UNIVERSITY OF TORONTO
3 1761 01461701 3

Toronto University Library

Presented by

Messrs Joseph Baer

through the Committee formed in
The Old Country
to aid in replacing the loss caused by
The disastrous Fire of February the 14th 1890

RHETORES GRAECI

EX

CODICIBUS FLORENTINIS MEDIOLANENSIBUS MONACENSIBUS NEAPOLITANIS PARISIENSIBUS ROMANIS VENETIS TAURINENSIBUS ET VINDOBONENSIBUS

EMENDATIORES ET AUCTIORES EDIDIT

SUIS ALIORUMQUE ANNOTATIONIBUS INSTRUXIT INDICES LOCUPLETISSIMOS ADIECIT

CHRISTIANUS WALZ

PROFESSOR TUBINGENSIS.

VOL. II.

STUTTGARTIAE ET TUBINGAE
sumtibus J. G. COTTAE.
LONDINI
apud BLACK, YOUNG et YOUNG. Tavistock Street.
LUTETIAE
apud FIRMIN DIDOT.
MDCCCXXXV.

PA
3484
W35
v.2

145-27
3/8/91

TUBINGAE, typis Hopferi de l' Orme

DE SCHOLIASTIS APHTHONII.

Aphthonii Progymnasmata non minus frequentes, quam Hermogenis Rhetorica, commentatores invenerunt. Quorum quidem antiquissimi, quamvis incertae aetatis sint, Geometra et Sardeon, aetatem non tulerunt, sed numerosa ex commentariis eorum excerpta servavit Joannes Doxopater. Ex iis vero, qui ad nostram aetatem pervenerunt, tres ab iisdem, quorum commentarios ad Hermogenem edidi, auctoribus, ni fallor, compositos, edendos censui.

I. Primo loco posui eum, quem Aldus secundo Rhetorum Graecorum Volumini tredecim foliis pagina destitutis praefixit. Renouardus, in egregio, quem de Typographia Aldina scripsit, libro Phoebammonem commentarii hujus auctorem nominat, idque quinque Bibliothecae Regiae codicibus comprobari dicit: sed confundit vir praestantissimus *Σχόλια περὶ σχημάτων ῥητορικῶν*, primo Rhetorum Graecorum tomo p. 588—593. contenta, quae consensu codicum Phoebammoni adjudicanda sunt, cum scholiis in Aphthonium. Westermannus in historia eloquentiae Graecae p. 233. Doxopatrum auctorem esse putat, in errorem inductus ab Angelo Politiano, qui in Miscellaneorum capite LV. Doxopatri scholia in Aphthonium laudat. Sed cum exemplum de syllogismo Crocodilite a Politiano allatum neque in scholiis Aldinis neque in Doxopatri Homiliis legatur, probabile mihi videtur, Politianum locum e Sopatri commentario ad Hermogenis status (T. IV. p. 154, 26. nostr. Ed.),

ubi de Crocodilite agitur, in animo habuisse, eumque commentarium eodem errore ad Aphthonium retulisse, quo Rhetorum Aldinorum Volumen alterum saepius in Bibliothecarum catalogis sub scholiorum in Aphthonium nomine consignatum est. Equidem Maximum Planudam scholiorum horum auctorem esse puto, nam ei, quem Planudae vindicavi, commentario in Hermogenem constanter in codicibus praemittuntur, et eandem expositiones longiores contrahendi rationem prae se ferunt: sed cum libris adespotis non nisi codicum auctoritate nomina dare soleam, eaque hoc loco destitutus sim, nullum auctoris nomen in fronte posui.

Aldus Scholia haec ex duobus commentariis diversis composuit. *Προλεγόμενα* enim et *ὁρισμὸς τοῦ καθόλου προγυμνάσματος* in ea, quam in praefatione Tomi septimi descripsi, codicum familia ei commentario, quem tertio loco edidi, praemissa sunt, interpretatio ipsa vero numerosa illa, ex qua Maximi Planudae Scholia ad Hermogenis Rhetoricam edidi, codicum familia continetur. Sed hoc notasse satis esse censeo, partes ab Aldo consociatas disjungere nolui. *Προλεγόμενα* igitur et *ὁρισμὸν τοῦ καθόλου προγυμνάσματος* ex Codice Farnes. II. E. 5. et Monac. 8. emendavi, cum reliqua parte contuli codicem Mon. 327. et Vindob. 238., qui Aphthonium et Hermogenem una cum scholiis continent. Ex Codice Angelico F. 6. 17. Scholia quaedam minora recepi.

II. Secundo loco posui Joannem Doxopatrum,[1] qui veterum commentatorum copiis in homilias suas receptis in-

1 Ad aetatem Doxopatri, de qua in Prolegomenis Tomi sexti disputavi, definiendam valet aliquid ethopoeia, quae p. 508, 18. legitur: *Τίνας ἂν εἴπῃ λόγους ὁ τῆς βασιλείας ἐκπεσὼν Μιχαὴλ, τῶν βασιλείων ἀπελαυνόμενος.* Respicit enim aperte ad Michaëlem, qui a. MXLI. Ioannis Eunuchi, avunculi sui, opera ad imperium evectus ab officio patris, naves reficientis, Calaphatae cognomen accepit, sed post paucorum mensium

signe edidit specimen, quantum horum hominum valeat loquacitas. Sed magna cum doctrina et bona fide indicatis veterum commentatorum nominibus, labore suo defunctus est Doxopater: ii contra, qui ipsum sequebantur, rhetores summa cum impudentia commentarios ejus ne nominato quidem fonte expilaverunt. Itaque in variis codicibus variae commentationes ex Prolegomenis ejus excerptae inveniuntur. Iriartus in Catal. MSS. Bibl. Matrit. Vol. I. p. 442—445. Trophonii, cujus aetas incerta est, Rhetoricam edidit, quae nihil aliud est, quam excerpta ex Doxopatri Prolegomenis p. 83, 6—118, 20. in brevius contracta. Eadem sine auctoris nomine in Codicibus Parisinis 2916. [Par. 1.] 2984 [Par. 2.] et 2985 [Par. 3.] et Ambrosianis B. 100 et B. 101. continentur. Alia eorum pars p. 120, 10—134, 4. in iisdem Codd. Parisinis, Ambros. B. 100. et Taurinensi 77. continetur. Aliam partem p. 114. sq. expilavit Anonymus, qui T. V. p. 605. editus est. Eodem modo commentarii Doxopatri ab aliis expilati sunt.

Codex Vindobonensis, ex quo has homilias descripsi, gerit numerum XV. Hunc ex Mediceo LVII, 5. descriptum esse, apparet ex lacunis quibusdam, quae ad caput primum p. 145. sq. utrisque codicibus communes sunt, ita quidem, ut verba quaedam, in Mediceo atramenti maculis tecta, in Vindobonensi spatio albo relicto omissa sint.

III. Tertius, quem edidi, commentarius ab eodem auctore, qui commentarium ad Hermogenem tomo VII. contentum composuit, profectus esse videtur: nam non modo in eadem codicum familia constanter invenitur, sed etiam p. 647, 27. scholiorum suorum ad Hermogenis Ideas mentionem facit auctor, quem satis antiquum esse jam vetustas codicum

spatium seditione atroci solio depulsus est, jactura aut vitae aut oculorum proposita. Cfr. Gibbon History of the decline and fall of the Roman empire c. XLVIII. Ex hoc igitur apparet, aetatem Doxopatri ante seculum undecimum medium nullo modo poni posse.

Parisinorum 1983 et 2977, seculo X scriptorum, pervincit. Praeter exempla poëtica nihil cum praecedentibus commune habet, et suo more progymnasmatum doctrinam explicat.

IV. Ex hoc et Doxopatro ea scholia, quae in codicibus Paris. 2984, 2985, 2986. continentur, ita consuta sunt, ut auctore nunquam nominato modo Doxopatri modo Anonymi fragmentum receptum, eaque paucis verbis ex propria penu interjectis conglutinata sint. Specimina quaedam horum codicum dedi ad p. 128—134 et p. 565—576. sed rem ad finem usque persequi neque sustinui, neque operae pretium esse duxi.

V. Rationem simpliciorem sed non minus turpem iniit is, qui „*Ἕτερα σχόλια εἰς τὰ τοῦ Ἀφθονίου προγυμνάσματα*," quae codice Vaticano 108 continentur, composuit. Cupidus novi aliquid ex copiis Vaticanis inveniendi commentarium istum non nimis longum a capite ad calcem examinavi, sed paucis fragmentis exceptis omnia ex Doxopatro nomine ejus ne semel quidem indicato exscripta deprehendi. Futile hoc opusculum tanto cum stupore confectum est, ut idem scholium non raro bis, primo mutilum, deinde integrum receptum sit: compilator vero nihil aliud fecit, quam quod pannis, a Doxopatro abruptis *σημείωσαι δὲ* praefigeret, vel Doxopatri verba *ἰστέον δὲ* in *σημείωσαι δὲ* mutaret. Ea quae e Doxopatro non sumta sunt, ex parte consentiunt cum scholiis minoribus, quae in Codice Farnes. II. E. 5. in spatio inter Aphthonii verba et scholia majora interjecto scripta sunt. Ex commentario nr. III. praeter sententiae definitionem nihil hausisse videtur.

Incipit:

Προγύμνασμά ἐστιν ἄσκησις μετρίων πρὸς ἐπίρρωσιν μειζόνων.

Ὁ μῦθος. Σημείωσαι, ὅτι τὰ ἄρθρα τῶν ἐγνωσμένων πραγμάτων εἰώθασι προτάττεσθαι.

Ζητοῦσί τινες, κ. τ. λ. Vide supra p. 145. v. 3—16.

Σημείωσαι, ὅτι διὰ τοῦτο προέταξε τὸν μῦθον, ὡς τοῦ συμβουλευτικοῦ εἴδους ὄντα, τὸ δὲ διήγημα μετ' αὐτὸν, ὡς τοῦ δικανικοῦ εἴδους, τὴν δὲ χρείαν, ὡς τοῦ πανηγυρικοῦ εἴδους οὖσαν ἔταξε τρίτην, ἐπὶ δὲ τῷ τῆς γνώμης προγυμνάσματι πάλιν ἐπανακυκλοῖ, ἣν καὶ προτάσσει, ὡς τοῦ συμβουλευτικοῦ εἴδους· τὴν δὲ ἀνασκευὴν καὶ κατασκευὴν καὶ τὸν κοινὸν τόπον ὡς τοῦ δικανικοῦ εἴδους, τὸ δὲ ἐγκώμιον καὶ τὸν ψόγον μετὰ ταῦτα, ἅ τινά εἰσι τοῦ πανηγυρικοῦ· καὶ ὅτε μὲν καθ' αὑτὸν ὁ μῦθος καὶ αὐτόθι ἄρχεται, τὸ ἐπιμύθιον ὑποταχθήσεται, ὡς μήπω ἡμῶν εἰπόντων, μηδὲ καταδεχομένου τινὸς ἀκροατοῦ τὴν παραίνεσιν· εἰ δ' ἀναμεταξὺ τοῦ λόγου τεθήσεται, ἀνάγκη καὶ διὰ πολλῶν ἄλλων περαίνοντα τὴν παραίνεσιν, εἰς ἀπόδειξιν ἔστιν ὅτε καὶ τὸν μῦθον παραλαβεῖν, εἶτα συστρέψαντα πάλιν ἀναλαβεῖν καὶ τὸ ἐπιμύθιον.

Μῦθος ὁ τῶν τεττίγων καὶ τῶν μυρμήκων, προτρέπων τοὺς νέους εἰς πόνους, ἐν ᾧ λέγουσιν, ὡς οὐκ ὤφειλεν οὕτως ἐπιχράψαι, ἀλλὰ ἀποτρέπων τοὺς νέους ῥᾳθυμίας. Φασὶ δὲ, ὡς εἰ μὲν ἐνυπῆρχε τοῖς εἰσαγομένοις κ. τ. λ. p. 177, 19—25.

Σημείωσαι,[1] *ὅτι τὰ ἐπιμύθια τριχῶς ἐκφέρονται, παραδειγματικῶς, προσφωνηματικῶς καὶ προστακτικῶς· ἔστι δὲ ὅτε καὶ ἐνθυμηματικὸν καὶ συλλογιστικὸν ποιοῦμεν τὸ ἐπιμύθιον. Σημείωσαι δὲ, ὅταν ὁ μῦθος ὁμολογουμένως ἢ παραινετικὸς, τότε καὶ τῷ ἐπιμυθίῳ χρησόμεθα προσφωνηματικῷ ἢ παραδειγματικῷ, ὅτε δὲ συμβουλευτικὸς ἢ, τῷ ἐνθυμηματικῷ.*

ΠΕΡΙ ΔΙΗΓΗΜΑΤΟΣ.

Ζητεῖται κ. τ. λ. p. 215, 21—30.

1 Cfr. p. 184, 14.

Ἡ ἔννοια τῆς εὐκρινείας ὡς ἀπαγγελτικὴ καὶ εἰς ἀρχὴν ἀνάγουσα τὸν λόγον· ἔτι δέ ἐστι καὶ συμπληρωτική, ἥ τις τὰ μὲν παρελθόντα ἀναπαύει, τῶν δὲ ῥηθησομένων ἀρχὴν ἔχει, ὡς ἔχει τό· ἓν μὲν δὴ τοῦτο τῆς ἐμῆς ἔστω φιλοσοφίας καὶ τῆς εὐηθείας τὸ πρῶτον. Δεύτερον δέ, ὃ καὶ μέγιστον, ὥσπερ ἐπὶ τοῦ μύθου μετὰ τὴν μέθοδον ἔθηκε τὸ παράδειγμα, οὕτω καὶ ἐπὶ τοῦ διηγήματος· μετὰ γὰρ τῆς μεθόδου κἀνταῦθα παράδοσιν ἐπὶ τὴν τῆς μελέτης ἔρχεται ἔκθεσιν· ἀλλὰ τὴν μὲν σαφήνειαν οὕτω τηρεῖ, τῆς δὲ συντομίας ἐκτὸς, ἧς ἐστι, [2] μὴ παρεκβάσεσιν, ἢ ἐπεισοδίοις, ἢ μεταξυλογίαις, ἤ τισι τοιούτοις κεχρῆσθαι, ἀλλ' ἐκεῖνα μόνα λέγειν, δι' ὧν τὸ προκείμενον δηλοῦται πρᾶγμα.

Ἐντεῦθεν ἄρχεται τὸ διήγημα· προέταξε δὲ τοῦ προσώπου τὸ πρᾶγμα δι' εὐρυθμίαν καὶ κάλλος τοῦ λόγου.

Σημείωσαι, ὅτι τὰ προγυμνάσματα εἰς τοὺς λόγους μὲν εὑρισκόμενα προοίμια οὐκ ἔχουσιν, αὐτὰ δὲ καθ' ἑαυτὰ γινόμενα εὑρίσκεται μετὰ προοιμίων, διὸ καὶ ὁ κοινὸς τόπος δευτερολογίᾳ καὶ ἐπιλόγῳ ἐοικώς, ἐν μὲν πολλῷ λόγῳ τιθέμενος χωρὶς προοιμίων τίθεται, αὐτὸς δὲ καθ' ἑαυτὸν γινόμενος μετὰ προοιμίων γίνεται.

Σημείωσαι, ὡς τὸν τρόπον, ὅπερ ἐστὶ καὶ αὐτὸ ἓν τῶν περιστατικῶν, μηδόλως ἐν τῷ παρόντι διηγήματι παρείληφεν. [3]

Ταρσὸν τοῦ ποδός. Ὅσα τὰ σημαινόμενα τοῦ ταρσοῦ; [4] τὴν πόλιν, τὸ πλατὺ τοῦ ποδὸς, τὸ δεκτικὸν τοῦ τυροῦ ἤτοι τὸν καλαθίσκον, καὶ τὸ πλατὺ τῆς κώπης.

---

2 ἧς ἐστι in codice non est. 3 Cod. παρειλῆφθαι. 4 Sch. in Ambr. Q. 23. ταρσὸν λέγει τὸ πλατὺ τοῦ ποδός· σημαίνει δὲ πλείονα ἡ λέξις· τήν τε πόλιν, καὶ τὸν δεκτικὸν τοῦ τυροῦ καλαθίσκον, καὶ τὸ πλατὺ τῆς κώπης.

Εὐστόχως. Εὔστοχος [5] λέγεται, ὅστις ἐν βραχεῖ ἢ ἔργῳ ἢ ῥήματι πολλὴν τὴν διάνοιαν περιέχει καὶ ὀξύτητα, ἢ εὐβουλίαν, ἢ ἐμπειρίαν, ἢ σοφίαν, ἤ τινα ἄλλην ἀρετὴν κατηγορεῖ τοῦ λέγοντος, οὕτω γὰρ εὑρίσκομεν τὰς χρείας, τὰς μὲν τοῦ λογικοῦ μέρους ἡμῶν τῆς ψυχῆς ἀρετήν τινα δεικνύοντες, τὰς δὲ τοῦ ἀλόγου, εἴτουν παθητικοῦ, τοῦ θυμοῦ λέγομεν καὶ τῆς ἐπιθυμίας.

Ἀναφέρουσα. Σημείωσαι, διατί εἶπεν ἀναφέρουσα, καὶ οὐκ εἶπεν ἀναφερόμενον· ἢ ὅτι προετίμησε τὸ θηλυκὸν τοῦ οὐδετέρου, ἢ ὅτι ποτὲ μὲν ἀποδίδομεν τὸν λόγον πρὸς τὸ ὁριστὸν, ποτὲ δὲ πρός τι τῶν συμπληρωτικῶν, ὥς φησιν Ἑρμογένης· ἐπιφώνημά ἐστι λόγος ἔξωθεν ἐπὶ τῷ πράγματι παρ' ἡμῶν λεγόμενος, ἢ ὅτι χρῶνται τοῦτό τινες ἀδιαφόρως. Καὶ ἰστέον, ὅτι τὰ τῆς χρείας κεφάλαια οὐκ εἰσὶ τῇ ἀληθείᾳ κεφάλαια, οὔτε γὰρ ἐκ νοημάτων καὶ ἐπιχειρημάτων σύγκεινται, αὐτὰ δὲ μᾶλλον ἀναλογοῦσιν ἐπιχειρήμασι καὶ ἐργασίαις, ἐξ ὧν τὰ κεφάλαια. Τὸ γὰρ κεφάλαιόν ἐστι μέρος λόγου ἀπόδειξιν ἔχοντος προκειμένου πράγματος ἐκ νοημάτων καὶ ἐπιχειρημάτων συγκείμενον.

Σημείωσαι περὶ τῆς χρείας, ὡς εἴπερ τοῦ συμβουλευτικοῦ εἴδους λέγομεν οὖσαν, οὐδὲν ἧττόν ἐστι καὶ τοῦ πανηγυρικοῦ, διὰ τὸ ἐν αὐτῇ ἐπαινεῖν ἡμᾶς τὸν εἰρηκότα ἢ πράξαντα τὴν χρείαν, ἄλλως τε δὲ καὶ ἐν ταῖς κατὰ χαριεντισμὸν χρείαις οὐ συμβουλεύομεν πάντως τῆς ἐν αὐταῖς ἔχεσθαι παραινέσεως, ἀλλὰ μόνον ἐπαινοῦμεν τὸν εἰρηκότα· ἐν δὲ ταῖς γνώμαις οὐ τὸ ἐπαινέσαι τὸν εἰρηκότα τοσοῦτον σκοπὸν ἔχομεν, ὅπου οὐδὲ ἐμφανίζεται ὅλως ἐν αὐταῖς τὸ εἰρηκὼς πρόσωπον, ὅσον τι προτρέψαι τὸν

5 Cod. εὐστοχία. Id. Sch. Ambros. εὐστόχως δὲ λέγεται, ὅστις usque ad ἄλλην ἀρετήν.

ἀκροατὴν, τῆς ἐν τῇ γνώμῃ ἔχεσθαι συμβουλῆς, ὥστε λοιπὸν ἡ γνώμη τοῦ συμβουλευτικοῦ εἴδους ἐστὶ, καὶ διαφέρει καὶ κατὰ τοῦτο τῆς χρείας.

Ἀλλ' ὅσα [6] περὶ τῆς παιδείας ἐφιλ. Ἐπὶ θαυμασμῷ ἐνταῦθα καὶ οὐκ ἐπὶ σχετλιασμῷ, ἅτινά εἰσιν ἀμφότερα τοῦ ἀληθινοῦ καὶ ἐνδιαθέτου λόγου· καὶ τοῦτό ἐστιν ἡ καλουμένη συμπλήρωσις κ. τ. λ. p. 278, 11—19. Deinceps sequitur p. 279, 28 — 281, 7.

ΠΕΡΙ ΓΝΩΜΗΣ.

Τὴν γνώμην φασὶν εἰρῆσθαι ἀπὸ τοῦ πίστιν καὶ γνῶσιν ἐμποιεῖν τοῦ προκειμένου, οὗ χάριν παρείληπται. Cfr. p. 593, 9.

Ἐν ἀποφάνσεσι. Σημείωσαι, ὅτι ὁ Γεωμέτρης τὸ ἀποφαντικὸν ἕτερόν τι λέγει παρὰ τὸ περιεκτικὸν κ. τ. λ. p. 298, 11 — 22.

Τὸ μὲν ἁπλοῦν, τὸ δὲ συνεζευγμένον. Σημείωσαι, ὅτι ἡ δύο καὶ πλείους ἀποφάσεις ἔχουσα ὁμοειδεῖς γνώμη, κ. τ. λ. p. 299, 12 — 300, 1. Deinceps sequitur p. 308, 8 — 23. p. 311, 19, — 22.

Σημείωσαι, ὡς τοῦ καθ' ἡμᾶς λόγου διττοῦ ὄντος, τοῦ ἐνδιαθέτου λέγω καὶ τοῦ προφορικοῦ, διαιρεῖται ὁ προφορικὸς εἰς εἴδη πέντε, εἰς τὸ ἀποφαντικὸν, εἰς τὸ κλητικὸν, εἰς τὸ προστακτικὸν, εἰς τὸ εὐκτικὸν, εἰς τὸ ἐρωτηματικόν· δῆλον δὲ ἐντεῦθεν, αἱ γὰρ ψυχικαὶ δυνάμεις ἢ γνωστικαί εἰσιν ἢ ζωτικαὶ, καὶ εἰ μὲν γνωστικαί εἰσι, ποιοῦσι τὸν ἀποφαντικὸν, ὃ γὰρ ἔχομεν ἐν γνώσει, τοῦτο καὶ ἀποφαινόμεθα· εἰ δὲ ζωτικαί εἰσιν, ἢ λόγου λέγονται ἢ πράγματος· ζωτικὰς δέ φασι τὰς ἐφ' ἡμῖν γινομένας ὀρέξεις· ἐν γὰρ τῷ ζῆν ἐφ' ἑκάστης ἡμέρας τινῶν ὀρεγόμεθα, καὶ εἰ μὲν λόγου ἐφίενται, ποιοῦσι τὸ

6 Ad vv. *βασιλεῦσι νομοθετῶν.* Schol. min. in Cod. Farnes. II. E. 5. adnotant: *Δημόνικον ἢ Δημοκλέα αἰνίττεται.*

ἐρωτηματικὸν, ἐν γὰρ τῷ ἐρωτᾶν ἀποκρίσεων ὀρέγονται, ἡ δὲ ἀπόκρισίς ἐστι λόγος, εἰ δὲ πράγματος ἐφίενται, ἢ τῶν ἀπ᾽ αὐτοῦ, καὶ εἰ μὲν αὐτοῦ, ποιοῦσι τὸν κλητικὸν, ἐν γὰρ τῷ εἰπεῖν, „Τεῦκρε φίλη κεφαλὴ,“ αὐτὸ τὸ πρόσωπον καλεῖ, ἅπερ ἐστὶν ἐνταῦθα τὸ πρᾶγμα· εἰ δὲ τῶν ἀπ᾽ αὐτοῦ, ἢ μείζονος δεῖται προσώπου, ἢ ἐλάττονος· καὶ εἰ μὲν μείζονος, ποιεῖ τὸν εὐκτικὸν, εἰ δὲ ἐλάττονος, τὸν προστακτικόν· αἱ τοίνυν γνῶμαι κατὰ τὸ ἀποφαντικὸν εἶδος γίνονται.

Οὐ μετελάμβανεν ἄδειαν. Περιττὸν ἐνταῦθα ἡ μετὰ πρόθεσις, κ. τ. λ. p. 313, 16—26.

Ἐπεὶ εἶπεν ἐν τῷ ἀπὸ τῆς αἰτίας κεφαλαίῳ, ὅτι διὰ τοῦτο εἶπεν ὁ Θέογνις δεῖν τὸν πένητα ἐθέλειν μᾶλλον ἀποθανεῖν, ἢ ζῆν ἐν αἰσχύνῃ, διότι εἰ συζῶν πενίᾳ πάντα δρᾷ τὰ χαλεπὰ, ὤφειλεν εἰπεῖν ἐκ τοῦ ἐναντίου, οὐ μὴν οἱ πενίας ἀπηλλαγμένοι τοιαῦτα, ἅπερ ἐστὶν ἐναντία, πάντα δρῶσι τὰ χαλεπά· οὕτω γὰρ ἂν καθαρῶς ἐφαίνετο λέγων κατὰ τὸ ἐναντίον, νῦν δὲ οὐκ εἶπεν οὕτως· ἀντὶ γὰρ τοῦ εἰπεῖν· οὐ μὴν οἱ πενίας ἀπηλλαγμένοι, τοιοῦτον εἶπεν, ἀλλά φασιν ἐκφυγεῖν τὸν Ἀφθόνιον τὴν τελείαν ἀρετὴν διά τὸ εἰδέναι, ὥς τινες ταύτῃ ἐκπίπτουσι, τὸ καλὸν εἶναι ἐκ τοῦ πλουτεῖν ἔχοντες.

ΠΕΡΙ ΑΝΑΣΚΕΥΗΣ. [1]

Τὴν τῶν φησάντων διαβολήν. Δεῖ[2] *γινώσκειν,*

1 Cod. Farnes. *Πόθεν ὀνομάζεται ἀνασκευή· οἱ μέν φασιν ἀπὸ μεταφορᾶς τῶν ἀνασκευαζομένων ἁρμάτων αὐτὴν εἰρῆσθαι· ὁ δὲ Γεωμέτρης φησὶν, ὅτι ἡ ἀπὸ τούτου, ἢ ἀπὸ μεταφορᾶς τῶν συντιθεμένων κτισμάτων, ἀναλυομένων δὲ εἰς ἐκεῖνο, ἐξ ὧνπερ καὶ συνετέθησαν· ἕτεροι δὲ λέγουσιν, ὅτι, ἐπειδὴ ἡ τοῦ προκειμένου πράγματος βεβαίωσις κατασκευὴ λέγεται, ἴδει πάντως καὶ τὴν ἀνατροπὴν αὐτοῦ καὶ τὸν ἔλεγχον ἀνατροπὴν ὀνομάζεσθαι.* 2 Farnes., qui usque ad verba: *ἰδίᾳ μελέτῃ ἐποίησεν*: cum nostro consentit, post *δεῖ* inserit *δέ*.

ὡς εἰ μὲν ἄδοξα εἴη τὰ πρόσωπα, οἷς ἀντιλέγομεν, ἀκράτῳ χρησόμεθα κατ' αὐτῶν τῇ τραχύτητι, καὶ μάλιστα, εἰ τῶν σφαλλομένων εἴη [3] *περὶ τὴν πίστιν, εἰ δὲ ἔνδοξά εἰσι καὶ ἐπὶ λόγοις θαυμαζόμενα, παραμυθησόμεθα τὴν τραχύτητα καὶ οὐ καθαρὰν αὐτὴν ἐξενέγκωμεν, ὥσπερ καὶ ὁ Ἀφθόνιος ἐν τῇ ἰδίᾳ μελέτῃ ἐποίησεν.* [4]

Ἀσαφεῖ καὶ ἀπιθάνῳ. Ὥσπερ [5] *ἐπὶ τῆς χρείας καὶ τῆς γνώμης τὰ κατασκευαστικὰ τούτων τῶν γυμνασμάτων ἐπιχειρήματα καὶ τὰς ἐργασίας, οἷον τὸ ἀπὸ τῆς αἰτίας, τὸ ἀπὸ τοῦ ἐναντίου κεφάλαια ὠνόμασεν, οὕτω κἀνταῦθα τὸ ἀσαφὲς καὶ τὸ ἀπίθανον κεφάλαια ὀνομάζει, μὴ ὄντα τῇ ἀληθείᾳ κεφάλαια. Κληθεῖεν δ' ἄν, φησὶ, μᾶλλον οἰκειότερον τόποι καὶ ἀφορμαί τινες, ἐξ ὧν τὰς δυνάμεις τῶν ἀνασκευῶν λαμβάνομεν.*

Σημείωσαι [6] *καὶ τοῦτο, ὡς ἡ μὲν τῶν φησάντων διαβολὴ ἀναλογεῖ προοιμίῳ, ἡ δὲ τοῦ πράγματος ἔκθεσις διηγήσει, τὰ δὲ ἑξῆς κεφάλαια τοῖς ἀγῶσι, τὸ δὲ συμπέρασμα τούτων ἐπιλόγῳ.*

---

3 Farnes. εἶεν. 4 In Farnes. sequitur: *Ἀπρεπές ἐστι τὸ αἰσχύνης πρόξενον, οἷον ἀπρεπές ἐστι, τὸν Λία ἐρᾶν θνητῆς γυναικὸς, τῆς Λήδας ἢ τῆς Δανάης· ὁ δὲ Γεωμέτρης οὐκ ἐκ τοῦ αἰσχροῦ μόνον γίνεσθαι λέγει τὸ ἀπρεπὲς, ἀλλὰ καὶ ἄλλως ἀδόξου καὶ ἀναξίου, ὥσπερ εἴτις τὸν Θεὸν ὑπνοῦν λέγει, ἢ ἀμελεῖν ἢ κοπιᾶν. Κατὰ τοῦτο τὸ κεφάλαιον ἀνασκευάσομεν ἐκεῖνο τὸ μέρος τοῦ κατὰ ῥόδον διηγήματος, τὸ λέγον, ὅτι ἦρα ἡ Ἀφροδίτη τοῦ Ἀδώνιδος, καὶ ὁ Ἄρης ἀντήρα τῆς Ἀφροδίτης, καὶ ὅτι ζηλότυπος ἦν ἡ Θεός.* 5 Haec usque ad verba: *ἀνασκευῶν λαμβάνομεν* Farnes. non habet. 6 Farnes. *ἡ μὲν τῶν φησάντων διαβολὴ προοιμίοις ἀναλογεῖ· δέον γὰρ ἦν, καθάπερ ἐπὶ τῶν προλαβόντων προγυμνασμάτων προκαταρκτικαί τινες ἐπινοοῦνται ἔννοιαι, οὕτω καὶ ἐνταῦθα μὴ τυφλῶς* (non liquet in codice hoc adverbium) *ἐμβάλλειν, ἡ δὲ τοῦ πράγματος ἔκθεσις διηγήσει ἀναλογεῖ, τὰ δὲ ἑφεξῆς κεφάλαια τοῖς ἀγῶσι.* Reliqua, *τὸ δὲ συμπερ. τούτων ἐπιλόγῳ* desunt.

Ἀδυνάτῳ. Τὸ ἀδύνατον p. 327, 22—28. Tum Farnes. addit: *κατὰ τὸ ἀδύνατον οὖν ἀνασκευάσομεν τοῦ κατὰ ῥόδον διηγήματος ἐκεῖνο τὸ μέρος, τὸ λέγον, ὅτι τὸ καταῤῥεῦσαν αἷμα τοῦ τραύματος τοῦ ποδὸς τῆς Ἀφροδίτης· ἀδύνατον γὰρ, ἑνὸς ῥόδου βαφέντος, ἅπαντα τὰ ῥόδα βαφῆς τοῦ αἵματος μετενεγκεῖν.*

Ποιηταῖς μὲν ἀντερεῖν. Τὸ προοίμιον ἐξ ὑπολήψεως, ἐκ τοῦ τὸν ἀντιλέγοντα τοῖς ποιηταῖς, τύπον ἔχοντα κατηγόρου παραιτεῖσθαί τρόπον τινὰ τὴν πρὸς αὐτοὺς τοὺς ποιητὰς ἔχθραν, διὰ τὴν ὑπεροχὴν αὐτῶν, καὶ λέγειν, ὅτι αὐτοί εἰσιν αἴτιοι τῆς εἰς αὐτοὺς ἡμῖν ἀντιλογίας.

Ποιητῶν πάντων μέν. Τοῦτο κατασκευὴ κ. τ. λ. p. 333, 25—28.

Σημείωσαι ἐν τῷ παρόντι προγυμνάσματι, πῶς οὐ φυλάττει τὴν τάξιν τῶν κεφαλαίων, ἣν ἐν τῇ μεθόδῳ παρέδωκεν· εἰ δέ τις εἴπῃ κ. τ. λ. p. 338, 3—21.

Ἀλλ' ὑπὸ γῆν ἡ παῖς. Ἠδύνατο[7] *κἀνταῦθα τὸ ἀπὸ τοῦ ἀδυνάτου λαβεῖν ἐπιχείρημα· ὁ δὲ τοῦτο παριδὼν, ὁ Ἀφθόνιος, διὰ τὸ λίαν εὔδηλον, ἢ καὶ διὰ τὸ σπεύδειν αὐτὸν ἐπὶ τὴν τῶν λοιπῶν κεφαλαίων ἔνδειξιν τὴν ἀπὸ τοῦ ἀπιθάνου μᾶλλον ἰσχὺν ἐνέφηνεν, εἰ καί τινες ἀπὸ τοῦ ἀδυνάτου καὶ ἀνακολούθου μᾶλλον ἐπέγραψαν.*

Πῶς ἦρα θεός. Ἐντεῦθεν ἄρχεται κ. τ. λ. p. 344, 4—17. Tum sequitur p. 345, 5—23.

Ἄνδρες γυναικῶν ὑπερέχουσι. Τοῦτο ἐργασία ἀπὸ τοῦ μικροτέρου. Ἴσθι δὲ, ὅτε μή κεῖται πρότασις ἐν τῷ κεφαλαίῳ κ. τ. λ. p. 346, 10—22.

---

7 Contracta sunt ex p. 310, 28 sqq.

ΠΕΡΙ ΚΑΤΑΣΚΕΥΗΣ.

Ὁ ποιητὰς ἀντερῶν. Ἡ πρότασις τοῦ προοιμίου ἐξενήνεκται σεμνῶς κ. τ. λ. p. 360, 29 — 361, 10.

Δάφνη φησὶ γῆς προῆλθε καὶ Λάδωνος. Τοῦτο οἱ μὲν παλαιοὶ τῶν ἐξηγητῶν ἐκ τοῦ σαφοῦς εἶπον εἶναι τὸ κεφάλαιον, ἄλλοι δὲ πάλιν τὴν μὲν πρότασιν εἶπον εἶναι τοῦ σαφοῦς, τὴν· τί τοῦτο πρὸς θεῶν· τὰ δὲ ἑξῆς κατασκευὴν ἐκ τοῦ δυνατοῦ· τῷ δὲ Γεωμέτρῃ ἐκ τοῦ δυνατοῦ εἶναι δοκεῖ τὸ ὅλον κεφάλαιον.

Τί τούτων πρὸς θεῶν ἄπιστον. [8] *Ἡ ἔννοια ἀφελής, τὸ γὰρ εἰς ὅρκον ἀνάγειν τὸν ἀντίδικον, ἢ ὀντιναοῦν, ἔννοια ἀφελής ἐστιν, ἡ δὲ πρὸς δηλοῖ τὴν ἐγγύτητα, καθὰ ἐγγὺς ἡ ἀκοὴ τῶν θεῶν.* Sequitur p. 362, 19 — 23.

Τὴν ὄψιν προεῖχε. Σημείωσαι τὸ παρὸν μέρος τοῦ διηγήματος, ὅπερ κατασκευάζει διὰ τοῦ πιθανοῦ· ἔστι δὲ τοῦτο τὸ, καὶ τὴν ὄψιν προεῖχε τῶν ἄλλων. Ἐν τῇ ἀνασκευῇ οὐκ ἀνεσκεύασιν ὁ Ἀφθόνιος, ἐπεὶ μηδὲ ἀφορμὰς αὐτῷ τοῦ εἰς ἀνασκευὴν ἐπιχειρήματος παρεῖχεν.

ΠΕΡΙ ΕΓΚΩΜΙΟΥ.

Σημείωσαι, ὅτι ἓξ ὄντων τῶν περιστατικῶν, προσώπου, πράγματος, χρόνου, τόπου, τρόπου, αἰτίας, διατὶ τὰ δύο μόνα φησὶ δεῖν ἐγκωμιάζειν, τὴν δὲ αἰτίαν καὶ τὸν τρόπον οὐ λέγει ὑποπίπτειν τῷ ἐγκωμίῳ ἢ τῇ ἐκφράσει· εὐλόγως· τὸ μὲν γὰρ πρόσωπον καὶ τὸ πρᾶγμα καὶ ὁ χρόνος καὶ ὁ τόπος καθ' ἑαυτά εἰσιν, ἡ δὲ αἰτία καὶ ὁ τρόπος καθ' ἑαυτὰ μὲν οὐκ εἰσί, τοῖς πράγμασι δὲ συναναφαίνεται. Ἔστι δὲ ὅτε τυχὸν μὲν καὶ καθ'

8 cfr. p. 361, 11 sqq.

ἑαυτὴν, μάλιστα δὲ, ὅτε διὰ ταύτης καὶ τὸ πρᾶγμά πως ἐπαινοῦμεν καὶ τὸ πρόσωπον. Σημείωσαι δὲ καὶ τοῦτο, ὅτι τὸ ἐγκώμιον κ. τ. λ. p. 415, 13 — 24.

Τιμᾶν ἄξιον. Δυσὶ προοιμίοις κ. τ. λ. p. 436, 5 — 19. Sequitur p. 437, 10 — 17. p. 438, 10 — 18.

Μετὰ τὰ διττὰ προοίμια καὶ ἐπὶ τὴν τοῦ γένους ἦκει διαίρεσιν, πλὴν οὐ τελείως ἐπέρχεται ταύτῃ, καθώσπερ ἐν τῇ μεθόδῳ διεῖλεν, ἵνα μὴ μείζονα ᾖ καὶ εἰσαγωγὴν φαίνηται τὴν μελέτην ποιούμενος, καὶ ὅτι οὐ πάντα ἐν πᾶσιν ἀναγκαῖα ἐμπίπτειν, ἀλλὰ τὰ ἐγχωροῦντα, ὥσπερ καὶ ὁ Θεολόγος ἐν τῷ ἐπιταφίῳ τῷ εἰς τὸν μέγαν Βασίλειον τὸ παρὸν κεφάλαιον διαιρῶν τῷ μὲν ἀπὸ τοῦ ἔθνους καὶ τῆς πατρίδος οὐ χρῆται, μόνον δὲ ἀπὸ τῶν προγόνων καὶ τῶν πατέρων. Sequitur p. 439, 24 — 440, 2. 440, 22 — 441, 11.

Ἁλισκ. μὲν ἔγνωσται Πλάταια. Ἱστορία. Ἡ Πλάταια συμμαχὶς ἦν Ἀθηναίων· ἐπολιορκεῖτο ὑπὸ Πελοποννησίων, ὕστερον δὲ ἑάλω ὑπ' αὐτῶν. Λέγει μὲν καὶ περὶ τῆς πολιορκίας αὐτῆς ὁ Θουκυδίδης ἐν τῇ δευτέρᾳ τῆς συγγραφῆς· ἐν Ναυπάκτῳ κ. τ. λ. p. 441, 22 — 442, 5.

ΣΟΦΙΑΣ ΕΓΚΩΜΙΟΝ.

Σοφίαν[1] εὐτυχὲς μὲν λαβεῖν — — ἀδύνατον. Σημείωσαι, ὅτι νόμος ἐστὶ τοῖς ἐγκωμιάζουσι, μεί-

---

1 Cod. Farnes. Τὴν σοφίαν ἐνταῦθα οὐ τὴν γνῶσιν, ἀλλὰ τὴν φρόνησιν ἐκληπτέον· λέγεται γὰρ σοφὸς οὐ μόνον ὁ λόγων ἔχων ἱκανὴν πεῖραν, ἀλλὰ καὶ ὁ τῇ γενικῇ ἀρετῇ τῇ φρονήσει καλλωπιζόμενος. οὕτω γὰρ καὶ σοφὸν βούλευμα τὸ συνετὸν λέγομεν· ὅτι δὲ καὶ σοφίαν ἐνταῦθα ὁ Ἀφθόνιος καλεῖ τὴν φρόνησιν, δῆλον ἐξ ὧν ἐγκωμιάζει αὐτὴν καὶ λέγει· ἥ τε γὰρ τοῦ Κύκλωπος πήρωσις καὶ τὰ λοιπὰ φρονήσεως μᾶλλον φαίνοιντ' ἂν, ἢ γνώμης. Εἰ

ζονα τοῦ οἰκείου λόγου ὁμολογεῖν ἀεὶ τὴν προκειμένην ὑπόθεσιν, ὡς καὶ ὁ Δημοσθένης ὧδέ πως λέγει ἐν τῷ ἐπιταφίῳ αὐτοῦ· „ἐπειδὴ τοὺς ἐν τῷδε τῷ τάφῳ κειμένους ἄνδρας ἀγαθοὺς ἐν τῷ πολέμῳ γεγενημένους ἔδοξε τῇ πόλει δημοσίᾳ θάψαι, καὶ προσέταξεν ἐμοὶ τὸν νομιζόμενον ὑπὲρ αὐτῶν λόγον εἰπεῖν, ἐσκόπουν, ὅπως τοῦ κατ' ἀξίαν τύχωσι, σκοπῶν δὲ ἔν τι τῶν ἀδυνάτων εὗρισκον ὄν.“ Sequitur p. 450, 21 — 451. 5.

Σημείωσαι, ὅτι ἀπὸ τῶν τιμιωτέρων κατὰ τὴν τῶν θεῶν τάξιν ἀρξάμενος ὁ σοφιστὴς καὶ ἐπὶ τὰ ἐπιδεέστερα κατ' ὀλίγον πρόεισι· σοφία μὲν γὰρ, ὡς ὑπερέχουσα κ. τ. λ. p. 453, 24 — 454, 5.

Ἡγεῖται τοῖς πλέουσιν· ἢ Ἀττικῶς ἀντὶ τοῦ πλεόντων, ἢ ὅτι τὸ ἡγεῖται ἀντὶ τοῦ οὐκ ἄρχει, οὐκ ἐπιστατεῖ, ἀλλ' ἀντὶ τοῦ· τὴν διὰ θαλάσσης αὐτοῖς πορείαν δείκνυσιν. ἐγκωμιάσας ὁ σοφιστὴς τὴν σοφίαν ἀπὸ τῶν οἰονεὶ προγόνων αὐτῆς τῶν θεῶν, νῦν καὶ ἀπὸ τῶν ἡρώων [2] ἐγκωμιάζει, οἵτινες πατέρων ἔχουσι τάξιν· εἰ δὲ καὶ ἔστι καὶ τῆς σοφίας ἀνατροφὴ, καὶ παρὰ τοῖς θεοῖς ἡ τῶν πραγμάτων ἐμπειρία καὶ μάθησις, ἀλλ' ὅμως παρῆκεν ὁ σοφιστής, τὸ ἀπὸ ταύτης αὐτὴν ἐπαινέσαι.

ΨΟ-

δέ τις πάλιν ἀδιάφορα ταῦτα νομίζει, φρόνησιν καὶ γνῶσιν, ἴστω, μὴ ὀρθῶς τοῦτο ὑπολαμβάνων, ἡ μὲν γὰρ φύσεώς ἐστι δώρημα, ἡ φρόνησις, τὴν δὲ γνῶσιν ἐκ προαιρέσεως ἔχομεν· διὸ καὶ πολλοὺς ὁρῶμεν φρονίμους μὴ περὶ λόγους εὐδοκιμεῖν, καὶ πάλιν πλείονας λόγων μὲν ἱκανὴν ἔχειν πεῖραν, φρονήσεως δὲ ἀμοιροῦντας. 2 Κοινωνία τοῦ γένους. Cod. Farnes. ὁ νοῦς τοιοῦτος· νῦν μὲν μὴ ὄντες παῖδες θεῶν ὅμως διὰ τὴν σοφίαν λέγονται εἶναι παῖδες θεῶν· εἰ δὲ ἦσαν ἀληθῶς παῖδες θεῶν, τὸ ἐκ τούτου ἐχαρακτηρίζοντο ἄν, ὅτι ἀναμφιβόλως εἰσὶ καὶ σοφοί.

ΨΟΓΟΣ ΦΙΛΙΠΠΟΥ.

Incipit a p. 467, 18 — 468, 10.

Προῆλθε μὲν γὰρ ἔθνους. Ὅρα, πῶς ἐκτελῇ τε ἅμα καὶ κατὰ τάξιν τὴν τοῦ γένους ἐνταῦθα ποιεῖται διαίρεσιν κ. τ. λ. p. 469, 20 — 470, 4.

Δουλούμενοι χαίρουσιν. Σημείωσαι, τὸ δουλοῦμαι σημαίνει δύο, ἢ τὸ δούλους ἐξωνέομαι, ἢ τὸ δοῦλος γίνομαι· συντάσσεται δὲ ἐνταῦθα διπλῶς· ἢ ὅτι οὐ χαίρουσιν ἄνθρωποι, οἱ ἐκ τῆς Πέλλης δούλους ἐξωνήσαντες, ἢ μετὰ τοῦ καὶ συνδέσμου, ἵν' ἔχῃ ἡ ἔννοια οὕτως, ὅτι οἱ τῆς Πέλλης οἰκήτορες τόδε χαίρουσι μᾶλλον, ὅταν δουλωθῶσιν. Sequitur p. 473, 25 — 33.

ΟΡΟΣ ΣΥΓΚΡΙΣΕΩΣ.

Incipit a p. 482, 6 — 27. Sequitur p. 482, 32 — 483, 24.

Ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα. Ὅρα κἀνταῦθα τὸν σοφιστήν· εἰ μὲν γὰρ εἶπεν, ὅτι ἀντεξετάζω τὸν Ἕκτορα πρὸς τὸν Πηλέα, ἐδήλου ἂν τὸ ὑπερέχον τοῦ Ἀχιλλέως, νῦν δὲ μὴ οὕτως ἀλλ' ἑτέρως, εἰπὼν λεληθότως καὶ μεῖζονα τοῦ Ἀχιλλέως τὸν Ἕκτορα δείκνυσιν· ἔστι δὲ τῆς δεινότητος αὐτοῦ, ἤγουν τῆς ἐπιτηδειότητος· καὶ μὴν ἡ ἀρετὴ πρᾶγμά ἐστιν, ὁ δὲ Ἀχιλλεὺς καὶ ὁ Ἕκτωρ πρόσωπα. Πῶς οὖν φησιν, ὅτι ἀρετὴν ἀρετῇ συγκρῖναι ζητῶν ἀντεξετάζει τὸν Πηλέως πρὸς Ἕκτορα. Τί γὰρ κοινὸν προσώπῳ καὶ πράγματι; ἢ οὖν ἀντὶ τοῦ εἰπεῖν, ἀντεξετάζω τὴν τοῦ Πηλέως ἀρετὴν πρὸς τὴν τοῦ Ἕκτορος, ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα εἶπεν, ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον δηλώσας, ἢ ὅτι ὥσπερ τὰς ἀρετὰς σωματοποιοῦμεν πολλάκις, οὕτως ἔστιν ὅτε καὶ τὰ σώματα πρὸς ἀρετὰς μεταβάλλομεν, ὥσπερ κἀνταῦθα τὴν σύγκρισιν Ἀχιλλέως καὶ Ἕκτορος σύγκρισιν ἀρετῆς ὀνομάζει πρὸς ἀρετήν.

* *

Ὅρα, πῶς παρεῖται ὁ ἀπὸ τοῦ ἔθνους τόπος τῷ σοφιστῇ, ἵνα μὴ κατὰ τοῦτο δεύτερον τοῦ Ἀχιλλέως πολὺ τὸν Ἕκτορα ἀποδείξῃ· ἔστι γὰρ ὁ μὲν Ἕκτωρ κατὰ ἔθνος βάρβαρος, ὁ δ' Ἀχιλλεὺς Ἕλλην· παρείληπται δὲ ὁ ἀπὸ τῆς πατρίδος καὶ τῶν προγόνων καὶ τοῦ πατρός· καὶ σημείωσαι, ὅτι κ. τ. λ. p. 489, 6. 7. Sequitur p. 486, 9 — 487, 15. p. 489, 26 — 33.

Φύσει τῆς ἀρετῆς· ἤγουν αὐτοδιδάκτως,[1] *ὡς ἂν εἴποι τις, ἐπιγίνεται τοῖς παισὶν ἀρετὴ, τοῖς γεννήτορσιν ἑπομένοις καὶ ταῖς ἐκείνων πράξεσι καὶ τοῖς ἤθεσιν ἐνασκουμένοις, ὅπερ καὶ ἐπὶ τῆς τῶν ἄλλων ζώων φύσεως γίνεσθαι πέφυκεν. Δέον δὲ εἰπεῖν, τὸν Πηλέως υἱὸν, παρῆκε κατὰ ἔθος Ἀττικὸν, ἔθος γὰρ τοῖς Ἀττικοῖς, ἐπὶ πάντων τῶν πατρωνυμικῶν τῷ κατ' ἔλλειψιν σχήματι χρῆσθαι. Σημείωσαι δὲ, ὅτι τὸν Ἕκτορα μᾶλλον ὤφειλεν εἰπεῖν ἀντεξετάζω πρὸς τὸν τοῦ Πηλέως, οὐ μὴν ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα· ἔστι δὲ τοῦτο δεινότατον ἔργον, δεικνύντος διὰ τούτου τοῦ σοφιστοῦ τὸ μὴ τὸν Ἕκτορα δεύτερον τυγχάνειν τοῦ Ἀχιλλέως· εἰ μὲν γὰρ εἶπεν, ἀντεξετάζω τὸν Ἕκτορα πρὸς τὸν τοῦ Πηλέως, ἐδήλου ἂν τὸ ὑπερέχον τοῦ Ἀχιλλέως· νῦν δὲ μὴ οὕτως, ἀλλ' ἑτέρως εἰπὼν, λελῃθότως καὶ μείζονα τοῦ Ἀχιλλέως τὸν Ἕκτορα δείκνυσιν.* Sequitur p. 490, 1 — 12.

Τὸ θεοῖς συνοικεῖν. Τοῦτο περὶ τοῦ Πηλέως εἴρηται, εἶπε γὰρ αὐτὸν συνοικῆσαι τῇ Θέτιδι.

Συνδιαιτᾶσθαι τοῖς κρείττοσι. Τοῦτο περὶ τοῦ Δαρδάνου· εἴρηται γὰρ ἀνωτέρω, ὅτι θεοῖς τὸ πρώην συνδιῃτᾶτο Δάρδανος.

Τοῖς κρείττοσι. Παλιλλογία τοῦτο· εἰς τὴν αὐτὴν κ. τ. λ. p. 490, 15 — p. 491, 20.

---

1 Sumsit hoc ex p. 491, 1. et infra verbotenus repetiit.

ΠΕΡΙ ΗΘΟΠΟΙΑΣ.

Μέμφεται ὁ Γεωμέτρης κ. τ. λ. p. 494, 14 — p. 495, 20. Sequitur p. 496, 3 — 497, 5. tum 497, 10 — 498, 16. p. 504, 15 — 505, 10. 505, 19 — 26.

Σημείωσαι, ὅτι τὸ προκείμενον εἰς μελέτην τῷ σοφιστῇ γύμνασμα οὔτε προσωποποιΐα οὔτε εἰδωλοποιΐα ἐστὶν, ἀλλ' ἠθοποιΐα, οὐδὲ γὰρ κ. τ. λ. p. 505, 21 — 25. Sequitur p. 506, 2 — 7. p. 506, 29 — 507, 7.

Διατὶ εἶπε τὸ, οἵαν ἀνθ' οἵας ἀλλάσσομαι τύχην, διότι ἄπαις εἰμὶ ἡ πρὶν εὔπαις δοκοῦσα· ἔστι δὲ τοῦτο οἱονεὶ κατασκευὴ τοῦ, οἵαν ἀνθ' οἵας ἀλλάσσομαι τύχην. Ζητοῦσί τινες, ὅτι ἀνθ' ὅτου σκοπὸν ἔχων κ. τ. λ. p. 506, 13 — 24.

Σημείωσαι τὸ οἵαν ἐνταῦθα σχετλιαστικὸν, τὸ δὲ ἄπαις ἡ πρὶν εὔπαις δοκοῦσα κατασκευή ἐστι τοῦ ἀνωτέρω, φημὶ δὴ τοῦ οἵαν ἀνθ' οἵας ἀλλάσσομαι τύχην, διότι ἄπαις εἰμὶ ἡ πρὶν εὔπαις δοκοῦσα. Sequitur p. 507, 14 — 508, 17.

Προσωποποιΐα κυρίως εἴωθε λέγεσθαι· καθὸ τοίνυν παρατιθέαμεν τοῖς ἀψύχοις σῶμα καὶ φωνὰς ἐνάρθρους καὶ ἀνθρωπίνας, οἷον λύχνοις, κλίναις, ὡς ἔστιν ἰδεῖν ἐκεῖνο παρὰ τῷ Λουκιανῷ ἐν τῷ Κατάπλῳ· εἶπατε, ὑμεῖς δὲ σύνιστε τῷ Μεγαπένθει τούτῳ· προερεῖ δὲ, σὺ ἡ κλίνη λέγε· εἶτά φησιν ἡ κλίνη· ἐγὼ μὲν τοιαῦτα εἰπεῖν ὦ δέσποτα Ῥαδάμανθυ, αἰσχύνομαι· τοιαῦτα ἦν ἃ ἐπ' ἐμοῦ διεπράττετο κ. τ. λ. p. 497, 18 — 498, 8. Sequitur p. 506, 29 — 507, 7. p. 498, 8 — 16. p. 504, 15 — 505, 6. tum p. 505, 9. (omissis vv. 10 — 18.) p. 505, 19 — 26.

ΠΕΡΙ ΕΚΦΡΑΣΕΩΣ.

Σημείωσαι, ὅτι διαφέρει ἔκφρασις κ. τ. λ. p. 511, 24 — 513, 3. Sequitur p. 525; 31 — 527, 8.

Ἄπορον· καὶ πῶς ἀκρόπολις ὅλως ὠνόμασται, μὴ ἐν ἄκρῳ οὖσα τῆς πόλεως; καί φαμεν, ὅτι, εἰ καὶ μὴ ἐπ᾽ ἄκρῳ τῆς πόλεώς ἐστιν, ὅμως εἰς ἄκρον ἀνέχουσα, καὶ τὴν ἄλλην ὑπεραίρουσα πόλιν, δι᾽ αὐτὸ τοῦτο ἀκρόπολις ὠνόμασται. Sequitur p. 532, 4—10.

ΠΡΟΛΕΓΟΜΕΝΑ ΕΙΣ ΤΑ ΤΟΥ ΑΦΘΟΝΙΟΥ ΤΗΣ ΡΗΤΟΡΙΚΗΣ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.[1]

1 A.

Τί ἐστι ῥήτωρ; ἀνὴρ πολιτικῶν πραγμάτων ἐπιστήμων καὶ ἐφ' ἑκάτερα ἐξ ἐνδόξων κατασκευαστής. Πόσα ἔργα τοῦ ῥήτορος; δ'. τὸ νοῆσαι, τὸ εὑρεῖν, το διαθέσθαι τὰ εὑρημένα καὶ τὸ ὑποκρίνασθαι. Ἔστι δὲ[2] τῆς μὲν νοήσεως τὸ νοῆσαι εἰ ῥητορικὸν τὸ πρόβλημα, ἢ μή, καὶ εἰ συνίσταται, ἢ οὐ, καὶ ὑπὸ ποῖον εἶδος καὶ ποίαν στάσιν ἀνάγεται· τῆς δὲ εὑρέσεως τὸ εὑρεῖν τὰ εἰς τὰ κεφάλαια ἐπιχειρήματα, πρὸς τῇ τῶν κεφαλαίων εὑρέσει ἔτι καὶ τοὺς ἐμπίπτοντος τόπους. τῆς δὲ διαθέσεως τὸ διαθέσθαι τὴν τάξιν καὶ τὴν οἰκονομίαν τῶν εὑρεθέντων[3] κεφαλαίων καὶ ἐπιχειρημάτων· τῆς δὲ ὑποκρίσεως ἵνα καὶ τῷ σχήματι καὶ τῇ φωνῇ ὡς ἂν τραγῳδὸς ἄριστος τοῖς λεγομένοις συσχηματίζηται.[4]

1 T. II. Ald. 2 Ἔστι δὲ abest ab Ald. mox in eadem legitur τὸ νοῆσαι ῥητορικὸν πρόβλ. Emendat Farn. Mon. 3 Ald. τῶν κεφαλ. Mon. Farn. τῶν om. 4 Ald. σχηματίζηται. Mon. Farn. συσχημ.

Τί ἐστι ῥητορική; δύναμες τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ εὖ λέγειν. Πόσα εἴδη τῆς ῥητορικῆς; γ'. πανηγυρικὸν, δικανικὸν, συμβουλευτικόν· εἰς πόσα διαιρεῖται τὸ πανηγυρικόν; εἰς δύο· εἰς ἐγκώμιον καὶ ψόγον, τέλος δὲ αὐτοῦ τὸ καλόν· εἰς πόσα διαιρεῖται τὸ δικανικόν; εἰς κατηγορίαν καὶ ἀπολογίαν, τέλος δὲ αὐτοῦ τὸ δίκαιον· εἰς πόσα διαιρεῖται τὸ συμβουλευτικόν; εἰς προτροπὴν καὶ ἀποτροπήν· τέλος δὲ αὐτοῦ τὸ συμφέρον. Πρὸς πόσα χρήσιμος [5] ἡ ῥητορική; πρὸς τέσσαρα· πρῶτον μὲν πρὸς τὴν τῶν ἀληθῶν καὶ δικαίων ἐν τοῖς πολιτικοῖς πράγμασιν ἐπίγνωσιν· δεύτερον δὲ [6] τὸ διὰ τῶν κοινῶν καὶ πιθανῶν λόγων πείθειν τοὺς πολλούς· ἀλλὰ μὴ διὰ τῶν ἐπιστημονικῶν, ὧν ἐπαίειν παντελῶς ἀδυνατοῦσι. τρίτον τὸ πρὸς τὰ ἀντικείμενα δύνασθαι διὰ λόγου βοηθεῖν ἑαυτοῖς· τέταρτον τὸ πᾶσαν ἐν λόγοις εὕροιαν,[7] ἥτις πρὸς ἅπασαν ἐπιστήμην χρήσιμος, ἐκ ταύτης ἡμῖν προσγίνεσθαι. Πόσα μέρη τοῦ πολιτικοῦ λόγου; ε'. προοίμια,[8] διηγήσεις, ἀντιθέσεις, λύσεις, ἐπίλογοι. Τί ἐστι προοίμιον; λόγος παρασκευάζων τὸν ἀκροατὴν καὶ οἰκείως διατιθεὶς πρὸς τὸ παραδέξασθαι ἢ ἀποθέσθαι τόδε τι πάθος [9] τῆς ψυχῆς. Τί ἐστι διήγησις; τῶν ἐν τῇ ὑποθέσει πραγμάτων ἔκθεσις εἰς τὸ ὑπὲρ τοῦ λέγοντος μέρος ῥέπουσα. Τί ἐστιν ἀντίθεσις; ἡ τοῦ ἀπολογουμένου προσώπου ἔνστασις, ἡ τὸ ἐν ἡμῖν πιθανὸν διαλύουσα καὶ πρὸς εὐλογωτέραν ἔννοιαν τὸν ἀκροατὴν μετάγουσα. Τί ἐστι λύσις; λόγος τὴν ἐκ τῆς ἐνστάσεως βλάβην ἀφαιρούμενος καὶ εἰς συγκατάθεσιν ἰέναι πείθων τοῖ προκειμένου ζητήματος.[10] Τί ἐστιν ἐπίλογος; λόγος ἐπὶ

---

5 Mon. *χρήσιμον*. 6 *δὲ* abest a Farn. Mon. 7 Farn. *εὔνοιαν*. 8 Ald. *προοίμιον*. Farn. *προοίμια*. 9 Mon. *πρᾶγμα*. 10 Ald. *ζητήματα*. Farn. Mon. *ζητήματος*.

προειρημέναις ταῖς ἀποδείξεσιν ἐπαγόμενος, ἀθροισμὸν πραγμάτων καὶ ἠθῶν καὶ παθῶν παρέχων. Πόσοι τρόποι ῥητορικῶν [11] ἀναγνώσεων; γ'. πρῶτος ὁ σύντονος, ὁ μάλιστα ἐν τοῖς δικανικοῖς πρωτεύων ἀγῶσι, κατὰ τὸ Ὁμηρικόν·

Ἔπεα νιφάδεσσιν [12] ἐοικότα χειμερίῃσιν·

ὁ δὲ σύντονος οὗτος φράζεσθαι θέλει μετὰ σφοδροῦ τοῦ πνεύματος καὶ ζεούσης τῆς προθυμίας, τῆς πληγῆς τοῦ πνεύματος θᾶττον κατὰ τὴν τραχεῖαν ἀρτηρίαν κτυπούσης· δεύτερος ὁ ἀνειμένος, ὅς ἐστι [13] διαλεκτικός τε καὶ διδασκαλικὸς καὶ συμβουλευτικός· ὑπάρχει δὲ ἐπιεικὴς ῥέμα τοῦ πνεύματος πνέοντος καὶ μελίχρουν τινὰ φωνὴν ἀποτελοῦντος κατὰ τὸ Ὁμηρικόν· [14]

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

τρίτος ὁ μέσος, ὅς ἐστι νομικός τε καὶ ἐπιστολιμαῖος καὶ ἐξηγητικός. φυσικώτατα δὲ πνεῖ τὸ πνεῦμα ἐπὶ τούτου καὶ οὔτε ἄγαν ὑπερπηδᾷ, ἵνα ἀποτελέσῃ τὸ σύντονον, οὔτε ῥέμα βαδίζει, ἵνα ἀποτελέσῃ τὸ ἀνειμένον, ἀλλὰ μέσῃ τινὶ χρῆται ὁδῷ· καὶ νομικὸς μέν ἐστι, καθ' ὃν τρόπον τοὺς νόμους ἀναγινώσκομεν. ἐπιστολιμαῖος δὲ, καθ' ὃν τὰς ἐπιστολάς, ἐξηγητικὸς δὲ, καθ' ὃν ἐξηγούμεθα τὰ μαθήματα. Κατὰ πόσους τρόπους ὁ ῥήτωρ ἐξηγήσεται τὰ ῥητορικὰ μαθήματα; κατὰ ἑπτά, κατὰ ἀλληγορίαν, κατὰ προϋφήγησιν, κατὰ τέχνην, κατὰ ἱστορίαν, κατὰ σχῆμα, κατὰ ἰδέαν, κατὰ τὴν τοῦ κειμένου σαφήνειαν· κατὰ ἀλληγορίαν μέν, ὅτ' ἂν ἔξωθεν καὶ παρὰ τὸ κείμενον ἕτερόν τι νοούμενον ἀγορεύσῃ, ἀλληγορία γὰρ παρὰ τὸ ἄλλο ἀγορεύειν παρὰ τὸ κείμενον· κατὰ προϋφήγησιν δὲ, ὅταν τὰ κεφάλαια καὶ τὰ ἐνθυ-

---

11 Ald. ῥητορικῷ ἀναγνώστῃ. recepi lectionem Farn. Mon. 12 Ald. Farn. νιφάδεσσιν. Mon. νιφάδεσσιν. — Il. γ, 222. 13 Mon. ὅς τε. 14 Il. α, 249.

μήματα τῆς μελλούσης λέγεσθαι πράξεως συνοψίσας θεωρήσῃ, καὶ προδιαστείληται πρὸς νόησιν σαφεστέραν τοῦ ἀκροατοῦ· κατὰ τέχνην δὲ, ὅτ' ἂν εἴπῃ ἐνταῦθα, εἰ τύχοι,[15] πρότασίς ἐστιν ἢ κατασκευὴ ἢ μεταληπτικὸν ἢ ὁρικὸν κεφάλαιον ἤ τι τῶν ἀπὸ τῆς τέχνης παραδεδομένων· κατὰ ἱστορίαν δὲ, ὅτ' ἂν τὴν ὑποκειμένην ἱστορίαν ἀφηγήσηται, χρόνους τε[16] λέγων τῆς ἱστορίας καὶ πρόσωπα[17] καὶ αἰτίας καὶ ὅσα κοσμεῖ τὴν ἱστορίαν· κατὰ σχῆμα δὲ, ὅτ' ἂν εἴπῃ, ἐνταῦθα προθεωρία[18] ἐστὶν ἢ παρ' ὑπόνοιαν[19] ἢ παρὰ προσδοκίαν ἤ τι τῶν τοιούτων· κατὰ ἰδέαν δὲ, ὅτ' ἂν εἴπῃ,[20] ἐνταῦθα λαμπρότης ἐστὶν ἢ σφοδρότης ἢ γοργότης ἤ τι τῶν τοιούτων· κατὰ δὲ τὴν τοῦ κειμένου σαφήνειαν, ὅτ' ἂν τὸ ἐμπεσὸν νόημα σαφηνίσῃ προσεναλλάττων κατὰ τὸ κείμενον. Τρία δὲ πρὸ πάντων δεῖ τὸν ἐξηγητὴν ζητεῖν παρὰ τοῦ ἀκροατοῦ, εἰ ἐνόησε τὸ ἐνθύμημα, εἰ συνῆκε τὴν λέξιν, εἰ ἐπέστησε τὴν σύνταξιν· πάντως γὰρ ὁ ἀγνοῶν ἕν τι τούτων ἀνάγκη τὸ ὅλον ἀγνοεῖ·[21] ἀσχάλλοντος δὲ ὡς μὴ νοοῦντος,[22] δεῖ τὸν ἐξηγητὴν ἐρωτᾷν, κατὰ τί οὐκ ἐνόησεν[23] ἄρα τὸ ἐνθύμημα ἢ τὴν λέξιν ἢ τὴν σύνταξιν· οὕτω γὰρ μαθὼν τὸ[24] ἀγνοούμενον σαφηνίσει καὶ πέμψει τὸν ἀκροατὴν μαθόντα πάντα καὶ μηδὲν ἀγνοήσαντα.

---

15 Ald. Farn. *τύχῃ*. scr. *τύχοι*. 16 Farn. Mon. *δέ*. 17 Ald. *πρόσωπον*. Farn. Mon. *προσωπα*. 18 Ald. *προθεωρίον*. Farn. Mon. *προθεωρία*. 19 Ald. Farn. *παρυπόνοια ἢ παραπροσδοκία*. Mon. *παρυπόνοιαν ἢ παραπροσδοκίαν*. scr. *παρ' ὑπ. ἢ παρὰ πρ.* 20 Ald. *εἴπῃς*. Farn. Mon. *εἴπῃ*. 21 Ald. Mon. Farn. *ἀνάγκη ἀγνοεῖ*, omisso *τὸ ὅλον*. 22 Mon. *νοεῖται*. 23 Ald. *ἐνόησε τὸ ἐνθ*. Inserui *ἄρα* ex Mon. Farn. 24 Mon. *τόν*.

ΟΡΙΣΜΟΣ ΤΟΥ ΚΑΘΟΛΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΟΣ.[1]

Προγύμνασμά ἐστιν ἄσκησις μετρίων πρὸς μειζόνων ἐπίῤῥωσιν[2] *πραγμάτων· ἢ οὕτως·*[3] *εἰσαγωγικὴ τριβὴ διὰ λόγων τῶν κατὲ τὴν ῥητορικὴν μερῶν καὶ εἰδῶν, χρήσιμά τινα προασκουμένη. Πρόσκειται*[4] *τῷ λόγῳ „τῶν κατὰ ῥητορικὴν μερῶν καὶ εἰδῶν χρήσιμά τινα προασκουμένη", ἐπειδὴ οὐ πρὸς πάντα ὁμοῦ τὰ κατὰ ῥητορικὴν μέρη ἢ εἴδη, ἀλλὰ πρὸς ἕκαστον τῶν μερῶν ἢ εἰδῶν*[5] *ἰδίως τοῖς προγυμνάσμασι γυμναζόμεθα·*[6] *Ἰστέον γὰρ ὡς τριῶν ὄντων τῶν ἀνωτάτω εἰδῶν τῆς ῥητορικῆς, δικανικοῦ φημι καὶ συμβουλευτικοῦ καὶ πανηγυρικοῦ, οὔτε πρὸς πάντα ταῦτα οὔτε πρὸς ὅλα ἕκαστον τῶν προγυμνασμάτων τὸ οἰκεῖον παρέχεται χρήσιμον· ἀλλὰ τισὶ μὲν τῶν πάντων, μέρεσι δὲ τῶν ὅλων· τὰ μὲν γὰρ τῷ δικανικῷ τὰ χρήσιμα φέρει, ὡς ἥ τε ἀνασκευὴ καὶ ἡ κατασκευὴ καὶ ὁ κοινὸς τόπος· καὶ εἴ τι τοιοῦτον ἕτερον· τὰ δὲ τῷ συμβουλευτικῷ· ὥσπερ ὁ μῦθος καὶ ἡ γνώμη· τὰ δὲ τῷ πανηγυρικῷ, ὡς τὸ ἐγκώμιον καὶ ὁ ψόγος, οὐχ ὅλοις δέ· ἦ γὰρ ἂν ἥρκει*[7] *ταῦτα μαθοῦσι, τὰ προγυμνάσματά φημι τῶν κατὰ ῥητορικὴν πραγμάτων καὶ τῶν περὶ τὰς διαιρέσεις*[8] *ἑκάστου εἴδους, ἀπηλλάχθαι φιλοπονίας· οὐχ ὅλοις οὖν, ὥσπερ*[9] *ἔφαμεν, τὰ προγυμνάσματα, ἀλλὰ μέρεσι τῶν ὅλων χρησιμεύει·*[10]

---

1 Vind. titulum habet: *Προλεγόμενα τῶν προγυμνασμάτων.* 2 Mon. *ἐπίῤῥησιν.* 3 Pro *ἢ οὕτως* Vind. habet *ἄλλως.* 4 *πρόσκειται τῷ λόγῳ — — προασκουμένη* Ald. Mon. om., recepi ex Farn. — In Vind. *πρόκειται* [sic] *τὸ μερῶν καὶ εἰδῶν, ἐπειδή.* 5 Vind. *πρὸς ἕκαστον αὐτῶν ἰδίᾳ.* Etiam Farn. *ἰδίᾳ.* 6 Vind. pergit: *Ὅτι τῶν προγυμνασμάτων τὰ μὲν τῷ δικανικῷ ἐστι χρήσιμα, ὡς ἀνασκευὴ καὶ κατασκευὴ καὶ κοινὸς τόπος καὶ εἴ τι τοιουτότροπον.* 7 Mon. *ἤρκειται.* 8 Vind. *διαιρήσεις.* 9 *ὥσπερ ἔφαμεν τὰ προγυμν.* Vind. om. 10 Sequentia usque

τρία δὲ τῆς ῥητορικῆς εἴδη· ἐπειδὴ καὶ οἱ ἀκροαταὶ, οἳ χαρακτηρίζουσι τὰ ὑποκείμενα πρόσωπα, ἢ δικασόμενοι συνεληλύθασιν ἢ συμβουλευσόμενοι ἢ πανηγυρίσοντες. ἔστι δὲ τοῦ μὲν δικανικοῦ ἴδιον πᾶν τὸ ἐν κατηγορίᾳ καὶ ἀπολογίᾳ, τέλος δὲ τὸ δίκαιον· τοῦ δὲ συμβουλευτικοῦ προτροπή τε καὶ ἀποτροπὴ, τέλος δὲ τὸ συμφέρον· τοῦ δὲ πανηγυρικοῦ, τὸ ἐγκωμιαστικὸν καὶ ψεκτικὸν, τέλος δὲ τὸ καλόν· καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον· πάλιν δὲ τοῦ πολιτικοῦ λόγου πέντε μερῶν ὄντων, οἷον προοιμίων, διηγήσεων, ἀντιθέσεων, λύσεων, ἐπιλόγων, καὶ τούτοις τὸ ἑαυτῶν τὰ προγυμνάσματα χρήσιμον χορηγεῖ· τὰ μὲν γὰρ τὴν τῶν προοιμίων διδάσκει χρείαν, τὰ δὲ τὴν τῶν διηγήσεων, ἕτερα [11] τὴν τῶν ἀγώνων ἐν ταῖς ἀντιθέσεσι καὶ λύσεσιν· ἔστι δὲ ἃ καὶ τοῖς ἐπιλόγοις· περὶ ὧν ὕστερον κατὰ μέρος μεταχειριζόμενοι ἐροῦμεν, πρὸς τὸ παρὸν τοσοῦτον [12] μόνον ὑπειπόντες, ὃ καὶ πᾶσι συνοίσει· ὡς προοίμιον μέν ἐστι λόγος παρασκευάζων τὸν ἀκροατὴν καὶ οἰκείως διατιθεὶς εἰς τὸν ὑποκεί-

---

ad finem capitis his paucis absolvit Vind. Ὅτι καὶ ἐπίγραμμα φέρεται ἐπὶ τοῖς Ἀφθονίου προγυμνάσμασι τοιοῦτον·

Εἴ σοι ῥητορικῆς φίλος ἔμπεσε θυμῷ,
Μὴ σέ γε γυμνασίη Ἀφθονίοιο λάθῃ.

Προτέτακται δὲ τὰ προγυμνάσματα τῶν ἄλλων ἐπὶ τῇ ῥητορικῇ συγγραμμάτων, ὡς ἁπλούστερα καὶ πρὸς ἐκεῖνα τὴν εἰσαγωγὴν ἔχοντα. οὕτω γὰρ καὶ ὁ μῦθος τῶν ἄλλων προγυμνασμάτων προτέτακται, ὡς ἁπλούστερος. Ὅτι τὸ σοφιστὴς τετραχῶς λέγεται· ὅ τε γὰρ σοφίζων καὶ διδάσκων ἕτερον, καὶ ὁ φιλόσοφος καὶ ὁ σοφιζόμενος καὶ παραπέμπων τὴν ἀλήθειαν, καὶ ὁ τοῖς ῥητορικοῖς ἐγγυμναζόμενος πλάσμασιν, οἷος ἦν ὁ Λιβάνιος· ῥήτωρ γὰρ ὁ τοῖς ἀληθινοῖς ἀγῶσιν ἐγγυμναζόμενος, ὡς ὁ Δημοσθένης. Ὅτι τὸ προγύμνασμα ἐκ τῶν γυμνικῶν ἀγώνων παρείληπται, ἐν οἷς γυμνοὶ τὰ τῶν ἀγώνων ἐμελέτων. 11 Ald. ἕτερον. Farn. Mon. ἕτερα. 12 Farn. τοσοῦτον μόνον πρὸς τὸ παρόν.

μενον λόγον·[13] ἔργον δὲ αὐτοῦ καὶ τέλος, (τὸ γὰρ αὐτό τινες ᾠήθησαν) τὸ προσοχὴν καὶ εὐμάθειαν καὶ εὔνοιαν ἀπεργάσασθαι· διήγησις δὲ τῶν ἐν τῇ ὑποθέσει πραγμάτων ἔκθεσις εἰς τὸ ὑπὲρ τοῦ λέγοντος μέρος ῥέπουσα, ἢ ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος· 2 A. ἔργον δὲ αὐτῆς καὶ τέλος τὸ παράδοσιν καὶ δήλωσιν ποιῆσαι τῷ ἀκροατῇ[14] τοῦ πράγματος. ἀντίθεσις δὲ ἡ παρὰ τοῦ ἀντικειμένου προσώπου ἔνστασις, τὸ ἐν ἡμῖν πιθανὸν διαλύουσα,[15] εἰς εὐλογωτέραν ἔννοιαν τὸν ἀκροατὴν μετάγουσα, καὶ εἰς συγκατάθεσιν ἰέναι πείθουσα. λύσις δὲ ἡ τὴν ἐκ τῆς στάσεως βλάβην ἀφαιρουμένη καὶ εἰς τὸ ἐξ ἀρχῆς τὸν ἀκροατὴν μετάγουσα, καὶ εἰς συγκατάθεσιν ἐλθεῖν[16] πείθουσα τοῦ προκειμένου ζητήματος· ἐπίλογος δὲ ἐστι λόγος ἐπὶ προειρημέναις ταῖς ἀποδείξεσιν ἐπαγόμενος, ἀθροισμὸν πραγμάτων καὶ ἠθῶν καὶ παθῶν περιέχων· ἔργον δέ ἐστι καὶ τούτου, φησὶν ὁ Πλάτων, τὸ ἐπὶ τελευτῆς τοὺς ἀκούοντας ὑπομνῆσαι τῶν εἰρημένων. Ἀλλὰ περὶ τοῦ προκειμένου μὲν ὁρισμοῦ ταῦτα· οὐ χεῖρον δὲ καὶ τὸν τῆς ῥητορικῆς αὐτῆς ὁρισμὸν παραθεῖναι. ῥητορικὴ τοίνυν ἐστὶν, ὡς Διόδωρός φησι, δύναμις εὑρετικὴ καὶ ἑρμηνευτικὴ μετὰ κόσμου τῶν ἐνδεχομένων πιθανῶν ἐν παντὶ λόγῳ· δύναμις μὲν οὖν ἐστι πρᾶγμα ἐν μεσότητι, ᾧ ἔξεστι καὶ[17] καλῶς καὶ κακῶς χρήσασθαι, οἷον πλοῦτος, ἰσχύς, μάχαιρα. τούτοις γὰρ χρήσαιτ' ἄν τις καὶ καλῶς καὶ πρὸς τἀναντία. καὶ τοίνυν καὶ τὴν ῥητορικὴν διὰ τοῦτο ἐκάλεσε δύναμιν, ἐπειδὴ χρήσαιτ' ἄν τις αὐτῇ καὶ πρὸς τὰ

13 Ald. λία. Farn. Mon. λόγον. 14 Mon. τὸν ἀκροατήν. 15 In Farn. manu correctrice addita sunt: καὶ εἰς εὐλογωτέραν ἔννοιαν τὸν ἀκρ. μετάγουσα: omissis sqq. καὶ εἰς συγκατάθεσιν ἰέναι πείθουσα. Eadem om. Mon. 16 Farn. Mon. ἰέναι. ex iisdem recepi πείθουσα, quod Ald. om. 17 Farn. καὶ om.

μὴ καλὰ καὶ τὰ μὴ ὄντα [18] τοιαῦτα· εὑρετικὴν δὲ καὶ ἑρμηνευτικήν, ἐπειδὴ τοῦτο ἔργον τοῦ ῥήτορος, τὸ ἐν παντὶ τῷ προτεθέντι προβλήματι νοῆσαι τὰ δέοντα καὶ οἰκονομῆσαι καλῶς καὶ ἑρμηνεῦσαι ἄριστα· τέλος δὲ οὐ τὸ πεῖσαι πάντως, τοῦτο γὰρ καὶ τῷ Σταγειρίτῃ δοκεῖ, ἀλλὰ τὸ [19] πειστικῶς εἰπεῖν μηδὲν τῶν ἐνδεχομένων εἰρῆσθαι παραλιπόντα ταύτῃ· καὶ ὁ ἐν Γοργίᾳ [20] Σωκράτης πειθοῦς αὐτήν φησι δημιουργόν. Ῥητορικὴ δὲ εἴρηται ἤτοι ἀπὸ τοῦ ῥύδην [21] λέγειν, ἢ ἀπὸ τοῦ συνηγορεῖν τῷ νόμῳ· ῥήτραν γὰρ τὸν νόμον φασὶν οἱ Δωριεῖς· περὶ μὲν οὖν ῥητορικῆς ἐπὶ τοσοῦτον πρὸς τὸ παρόν· πρῶτον δὲ πάντων τῶν προγυμνασμάτων τὸν μῦθον ἔταξαν. Ὥσπερ τὸ ἐν ταῖς τελείαις ὑποθέσεσι δυσχερὲς [22] φεύγοντες τὴν τῶν προγυμνασμάτων εὗρον χρείαν οἱ ταῦτα τάξαντες, οὕτω καὶ τὸν μῦθον τῶν ἄλλων προγυμνασμάτων ἔταξαν πρῶτον, φύσει τε ὄντα ἀφελῆ καὶ τῶν ἄλλων ἁπλούστερον· καὶ ὡς συγγενείᾳ τινὶ χρώμενον [23] πρὸς τὰ ποιήματα, ἀφ' ὧν μεταβαίνοντας τοὺς νέους οὐκ ἀθρόως ξένοις τε καὶ μηδαμῶς συνήθεσιν ἐντυγχάνειν ἐχρῆν. Καὶ τοῦτο δὲ γνῶναι καλόν, ὡς τοὺς μύθους οἱ μὲν Αἰσωπείους ὠνόμασαν, οἱ δὲ Συβαριτικούς, οἱ δὲ Φρυγίους, οἱ δὲ Λυδίους, ἀπὸ τόπων τινῶν ἢ προσώπων τὰς προσηγορίας εὑρόντες· ἔτι δὲ οἱ Συβαριτικοὺς μὲν τοὺς ἐκ μόνων λογικῶν ζώων ἐκάλεσαν, Αἰσωπείους δὲ τοὺς ἐξ ἀλόγων καὶ λογικῶν συγκειμένους, Λυδίους δὲ καὶ Φρυγίους καὶ Λιβυκοὺς τοὺς ἐκ μόνων ἀλόγων ζώων· εἰσὶ δέ τινες μῦθοι καὶ ἐκ θεῶν συγκείμενοι, οἷον Ἥρα συνῴκει τῷ Διΐ, οἳ φιλοσοφίᾳ

---

18 Farn. Mon. ὄντα om. 19 τὸ Farn. Mon. om. 20 p. 453. A. 21 Mon. Farn. ῥύδην. Ald. ῥυδόν. 22 δυσχερὲς Ald. om., recepi ex Farn. Mon. 23 Ald. χρώμενος. Farn. χρώμενον.

μόνῃ ἀνάκεινται· αὐτῆς γάρ ἐστιν εὖ κρίνειν τὰς ἐν αὐτοῖς ἀλληγορίας· τούτους δέ τινες καὶ οὐδὲ μύθους, ἀλλὰ μυθικὰ ἐκάλεσαν διηγήματα ἀναμιγνύντες αὐτὰ τοῖς περὶ τῶν μεταμορφώσεων λόγοις καὶ τῶν ἐκείνοις παραπλησίων, πλὴν ὁποτέρως ἂν ἔχοι, τὰς ἐν αὐτοῖς ἀλληγορίας, ἢ καὶ προείρηται, ἀναπτύξουσιν [24] οἱ φιλόσοφοι. Καὶ ἀπὸ τῶν προγυμνασμάτων ἀρχόμεθα, ὅτι ἡ ῥητορικὴ φύσει μὲν ἀεὶ τοῖς ἀνθρώποις παρῆν, ἦν δὲ δύσληπτος καὶ οὐ ῥᾳδίαν ἑαυτῆς [25] τὴν χρῆσιν παρεχομένη. διὸ οὐδὲ πᾶσιν ἦν κατάδηλος· ἕκαστος τοίνυν μέρος τι ταύτης τέχνῃ παραλαμβάνων τοῖς μετ' αὐτὸν παρεδίδου, καὶ οὕτω κατὰ βραχὺ διῆλθεν εἰς διαιρέσεις τινὰς [26] καὶ μεθόδους· τούτων δὲ ἐξ ἀρχῆς καταληφθέντων ἦν μὲν ἤδη σαφέστερα τὰ ἐκ τῆς ῥητορικῆς καλά. τοῖς δὲ νέοις ὅμως [27] δυσμεταχείριστον τὸ πρᾶγμα ἐφαίνετο· οὐ γὰρ [28] εἶναι ῥᾴδιον τοῖς ἁπτομένοις αὐτοῦ πρῶτον εὐθὺς [29] ἀθρόα πάντα τὰ ἐν αὐτῷ καθορᾶν· διὸ παρῆλθεν ἡ τῶν προγυμνασμάτων χρεία· οὐ γὰρ πρὸς τὸ ὅλον ἐν αὐτοῖς, ἀλλὰ πρὸς ἕκαστον τῶν μερῶν ἰδίᾳ γυμναζόμεθα.

I. ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΜΥΘΟΥ. Β.

Διὰ τί τὸ μὲν ὁ μῦθος μετὰ τοῦ ἄρθρου προήνεγκεν, ὡσαύτως καὶ τὴν εἰσφορὰν τοῦ νόμου, τὰ δὲ λοιπὰ προγυμνάσματα χωρὶς ἄρθρου; ὅτι ἐν οἷς μὲν ὁρίζεται, [1] οὐ προστίθησι τὸ ἄρθρον· τὰ γὰρ ὁριζόμενα ἀνάρθρως

---

24 Ald. Farn. ἀναπύξ. Mon. ἀναπιύξ. 25 Ald. Farn. αὐτῆς. Mon. ἑαυτοῖς. 26 Ald. εἰς διαιρέσειν καὶ μεθ. τινάς. emendat Farn. Mon. 27 Farn. ὁμοίως. tum Ald. δυσμεταχείριτον. 28 Farn. ἂν εἶναι. 29 εὐθὺς ex Farn. Mon. inserui.

1 Mon. καὶ οὐ. omisso sq. γάρ.

ἐκφέρεται· οἷον διήγημά ἐστι, χρεία ἐστίν· ἐν οἷς δὲ γένεσιν ἢ οὐσίαν ἢ διαίρεσιν αὐτῶν λέγει, καὶ τὸ ἄρθρον προστίθησιν· ὅτι ὁ μὲν μῦθος καὶ ἡ χρεία καὶ ἡ γνώμη τοῦ συμβουλευτικοῦ εἴδους ἐστίν, ἡ δὲ ἀνασκευὴ καὶ κατασκευὴ καὶ ὁ κοινὸς τόπος καὶ ἡ εἰσφορὰ τοῦ νόμου τοῦ δικανικοῦ, τὸ δὲ ἐγκώμιον καὶ ὁ ψόγος καὶ ἡ σύγκρισις καὶ ἡ ἠθοποιΐα τοῦ πανηγυρικοῦ, ἡ δὲ ἔκφρασις καὶ τὸ διήγημα κοινά, ἡ δὲ θέσις ἐστὶ μὲν τοῦ συμβουλευτικοῦ, τὴν δὲ ὕλην ἐπιδέχεται ἐκ [2] τοῦ πανηγυρικοῦ. Ποιητῶν· εἰ γὰρ καὶ Ἡρόδοτος καὶ ἄλλοι μύθοις ἐχρήσαντο, ἀλλὰ πρότεροι τούτων οἱ ποιηταί. Ἐκ παραινέσεως· οἱ μὲν γὰρ ποιηταὶ ἡδονῆς χάριν τῷ μύθῳ ἐχρήσαντο, οἱ δὲ ῥήτορες διὰ παραίνεσιν· ἐμφαίνει δὲ καὶ ἡ ἐκ πρόθεσις ἐνταῦθα ὅτι ἐκεῖθεν ὁρμώμενον καὶ ἐκ τῆς τοῦ ἐπιμυθίου παραινέσεως οἱ ῥήτορες τὸν μῦθον ὑφαίνουσιν, ὧν εἶναι τὴν παραίνεσιν ὑστέραν μὲν τῇ τάξει, προτέραν δὲ τῇ φύσει καὶ τῇ δυνάμει. Λόγος ψευδής· ὁ ὅρος οὗτος οὐ [3] δοκεῖ μόνῳ τῷ μύθῳ ἁρμόζειν ἀλλὰ καὶ πᾶσι πιθανοῖς καὶ ψευδέσι λόγοις· ὅθεν καί τινες ἔφασαν μῦθον εἶναι λόγον κατὰ φύσιν μὲν ψευδῆ, τῷ δὲ πιθανῶς [4] συγκεῖσθαι εἰκονίζοντα ἀλήθειαν, παραινέσεως ἕνεκα καὶ ὠφελείας πλαττόμενον. Εἰκονίζων· πολλαχόθεν γὰρ δεῖ πιθανῶς συγκεῖσθαι τὸν μῦθον, ἐκ τόπων, ἐν οἷς εἴωθε τὰ ζῶα διατρίβειν· ἐκ [5] καιρῶν, ἐν οἷς φιλεῖ φαίνεσθαι, οἷον εἰ περὶ ἀηδόνος [6] λέγομεν, ὡς ἔαρι· ἐκ λόγων τῶν τῇ

---

2 ἐκ Mon. om. 3 οὐ abest ab Ald. Vind. recepi ex Vind. 4 Ald. πιθανῶς ὡς. Mon. Vind. ὡς om. 5 Ald. ἐν καιρῷ. emendat Mon. Vind. 6 Mon. ἀηδόνων. tum Mon. Vind. ἐν ἔαρι. Addo locum ex cod. Angelico F. 6. 17. ubi in praefatione proverbiis quibusdam praemissa legitur. Ἔστι δὲ ἡ παροιμία τρόπος καὶ τῆς καλουμένης ἀλληγορίας· παράκειται δὲ αὐτῇ λόγος, αἶνος Αἰσώπειος, Καρικὸς αἶνος, Συβαρικὸς [sic]

φύσει ἑκάστῳ ἁρμοζόντων· δεῖ γὰρ προβάτοις μὲν εὐήθεις περιτιθέναι λόγους, ἀλώπεκι δὲ δολεροὺς, καὶ τὰ τοιαῦτα· ἐκ πραγμάτων, ἃ μὴ ὑπερβαίνει τὴν ἐκείνων ποιότητα, ἵνα μὴ λέγωμεν, ὡς ὁ μῦς περὶ βασιλείας τῶν

λόγος, Κύπριος, Λιβυκὸς αἶνος, καὶ Αἰσωπικὴ [Cod. μαισωπ. sine καὶ] παροιμία· μάρσιπος. Αἶνος μὲν οὖν ἐστι κατ' ἀνάπλασιν μυθικὴν ἀναφερόμενος ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν ἐπὶ ἀνθρώπων παραίνεσιν, καὶ ἀπὸ ζώων μὲν ὡς παρ' Ἀρχιλόχῳ. [Fr. XXXVIII. Gaisf.]

Αἶνός τις ἀνθρώποισιν ὅδε
Ὡς ἄρ' ἀλώπηξ κἀετὸς [Cod. καὶ ἀετὸς]
Ξυνωνίην ἔμιξαν·

Ἀπὸ δὲ φυτῶν.

Ἄκουε δὴ τὸν αἶνον, ἔγκοτε Τμώλῳ
Δάφνην ἐλαίη νεῖκος οἱ παλαιοὶ
Λυδοὶ λέγουσι θέσθαι.

εἰκὸς δὲ καταχρηστικώτερον παρ' Ὁμήρῳ αἶνος, ὃ μηδ' ἑτέρου τούτων μετέχων, ὅτε ἐνδεικνυμένου Ὀδυσσέως χλαίνης ὡς χρήζει, ὁ Εὔμαιός φησιν, [Od. ξ. 508.]

Ὦ γέρον, αἶνος μέν τοι ἀμύμων ὃν κατέλεξας.

οἱ δ' ἄλλοι τῶν κατειλεγμένων ὀνόματι μὲν διαφέρειν, δυνάμει δ' εἰσὶν ἐμφερεῖς. Αἰσώπειος μὲν γὰρ λέγεται ὁ ἀπὸ ἀνδρὸς Αἰσώπου πλεονάσαντος ἐν τῷ τοιούτῳ εἴδει τοῦ μύθου, οὐχ εὑρόντος, ὡς ἐν ποιητικῇ μέτρον Ἀρχεβούλειον ἢ καὶ Ἀριστοφάνειον, ἃ λέγεται οὐχ εὑρημένα ὑπὸ τῶν ἀνδρῶν, ἀλλὰ παρὰ τούτοις κατακορέστερον ἐν τῇ ποιήσει τεταγμένα. Καρικὸς δὲ αἶνος λέγεται, ὃν ἀναφέρουσιν εἰς γένει Κᾶρα ἄνδρα· τοῦτον γὰρ ἁλιέα τυγχάνοντα χειμῶνος θεασάμενον πολύποδα εἰπεῖν, εἰ μὲν ἀποδὺς κολυμβήσαιμι ἐπ' αὐτὸν, ῥιγώσω, ἐὰν δὲ μὴ λάβω τὸν πολύποδα, τῷ λιμῷ τὰ παιδί' ἀπολῶ. Κέχρηται δὲ τῷ λόγῳ τούτῳ καὶ Τιμοκρέων ἐν μέλεσι, καὶ Σιμωνίδης αὐτοῦ μνημονεύει ἐν τῷ εἰς Ὀρίλλαν ἐπινικίῳ. Ὁ Συβαριτικὸς δὲ λέγεται εἶναι τοιοῦτος, ὁποῖον Ἀριστοφάνης ἐν Σφηξίν· ὡς ἀνδρὶ Συβαρίτῃ ἀπόρῳ ἱππικῆς ἐφ' ἅρμα ἀναβάντι συνέβη κατενεχθέντι συντριβῆναι· φίλον

ζώων ἐβουλεύετο. Συβαριτικός· ὅτι οἱ μὲν Συβαρῖται τρυφηλοὶ ὄντες ἐκ μόνων λογικῶν ζώων μύθους ἐξεῦρον·[7] οἱ δὲ Κίλικες καὶ Κύπριοι ἐμπορευόμενοι καὶ τόπους ἀγνώστους[8] διερχόμενοι ἐνεπλάσαντο τοὺς ἐξ ἀλόγων[9] ζώων μύθους, ὡς ἑωρακότες ἐν τόποις τισὶ ξένην μορφὴν ἔχοντα ζῶα. ὁ δὲ Αἴσωπος τοὺς ἐξ ἀλόγων καὶ λογικῶν μύθους ἀνεπλάσατο πρὸς βιωφελῆ παραίνεσιν· διὸ καὶ Αἰσώπειοι καλοῦνται, ἢ ἀπὸ τοῦ πλεονάζοντος, διότι τούτοις μᾶλλον τῶν ἄλλων αὐτὸς κατεχρήσατο· ἐπιστητέον δὲ εἰ μὴ πάντα μῦθον ἀνάγκη ἔχειν τὸ ψευδὲς, ἀλλά τινας καὶ κατ' ἐνέργειαν εἶναι, ὡς ὁ τῆς κυνὸς τῆς τὸ κρέας διὰ τοῦ ποταμοῦ φερούσης· καὶ ὁ τοῦ δύο γυναῖκας ἔχοντος, πρεσβυτέραν καὶ νεωτέραν. Ἐπιμύθιον δέ· ὅτι βέλτιον τοῦ προμυθίου[10] τὸ ἐπιμύθιον καὶ ἀνυστικώτερον· τῶν γὰρ νέων ὡς ἐπίπαν πεφυκότων τὰς φανερὰς ἀποστρέφεσθαι νουθετήσεις, δῆλον πάντως ὅτι μετὰ τὸν μῦθον εὐπαραδεκτότερον τὸ ἀπ' αὐτοῦ γενήσεται χρήσιμον, ἐπεὶ εἰ προταττόμενον δρᾷ τι τὸ ἐπιμύθιον[11] ταῖς τῶν νέων ψυχαῖς, περιττὴ ἡ τοῦ μύθου χρῆσις.

[sequitur lacuna in cod. male tractato] — ὑπὸ τῆς Ἀφροδίτης· μετὰ τὴν τελευτὴν οἱ Κύπριοι ζώσας ἐνέσαν περιστερὰς, αἱ δ' ἀποπτᾶσαι καὶ διαφυγοῦσαι αὖθις ἀδοκήτως εἰς ἄλλην ἐμπεσοῦσαι πυρὰν διεφθάρησαν. Λιβυκὸς δὲ αἶνος ἀπὸ τοῦ ἔθνους εἰρῆσθαι λέγεται, ἀπὸ Λίβυός τινος, οἱ δὲ Κύβισσαν εὑρετὴν γενέσθαι τοῦ εἴδους τούτου ὡς Αἰσχύλος διασαφεῖ· [Myrm. 116.]

Ὧδ' ἐστὶ μύθων τῶν Λιβυκῶν τὸ κλέος.

7 Mon. ἐφεῦρον. 8 Ald. ἀγνώστας. corrigit Mon. Vind. 9 Ald. τὸ τῶν ἀλόγων ἦθος ἀπομιμούμενος. schol. in Cod. Angel. F. 6. 17. τὴν φύσιν καὶ τὸν τρόπον. — μικτὸν δὲ τὸ ἐξ ἀμφοτέρων Cod. Ang. οἷον μυλωρὸς τὸν ἵππον γηράσαντα ἐν τῷ μύλωνι ἔτυπτεν, ὁ δὲ στραφεὶς πρὸς τὸν ἄνθρωπον εἶπεν. 10 Mon. Vind. τὸ ἐπιμύθιον τοῦ προμυθίου. 11 Vind. τὸ ἐπιμύθιον om.

II. ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΔΙΗΓΗΜΑΤΟΣ.

Γεγονότος· τῶν γὰρ παρεληλυθότων ἐστὶ τὰ διηγήματα· τῶν δὲ ἐνεστώτων ἔνδειξις μᾶλλον ἢ διήγησις, ὡς ὁ παρ' Εὐριπίδῃ[1] δεικνὺς τῇ Ἀντιγόνῃ τοὺς ἥρωας· τῶν δὲ μελλόντων πρόρρησις μᾶλλον, ἀλλ' οὐ διήγησις. Διενήνοχε δέ· ὁ μὲν Ἀφθόνιος τῷ καθολικωτέρῳ καὶ μερικωτέρῳ φησὶ διαφέρειν αὐτά· οἱ δὲ διήγησιν μὲν τὴν ἐν τοῖς δικαστηρίοις ἀμφισβήτησιν· διήγημα δὲ ἱστορίας ἀπαγγελίαν εἶπον· οἱ δὲ τὴν μὲν τῶν ἀληθῶν πραγμάτων ἔκθεσιν, τὸ δὲ τὴν ὡς γεγονότων. Τοῦ δὲ διηγήματος. Ἑρμογένης μὲν εἰς τέσσαρα τοῦτο διεῖλεν,[2] εἵς τε τὸ μυθικὸν, ὡς τὸ κατὰ τὸν Περσέα καὶ τὰ τοιαῦτα, καὶ τὸ πλασματικὸν, ὅπερ ἀμφίδοξόν ἐστι καὶ ἐνδεχόμενον· καὶ τὸ ἱστορικὸν, τὸ ἀληθὲς δηλονότι,[3] καὶ τὸ πολιτικὸν τὸ ἐν τοῖς πολιτικοῖς ἀγῶσιν εἰς χρείαν ἦκον. Ἀφθόνιος δὲ τὸ μυθικὸν καὶ πλασματικὸν εἰς ἓν συνεῖλε τὸ δραματικόν· ἄλλοι δὲ τῶν διηγημάτων τὰ μέν φασιν εἶναι ὑφηγηματικὰ,[4] ὅσα μόνον τὸ ἀπαγγέλλον ἐμφαίνει πρόσωπον· ὡς τὸ τοῦ Πινδάρου· τὰ δὲ δραματικὰ,[5] ἐν οἷς τὸ τοῦ συντιθέντος οὐ παρεμφαίνεται πρόσωπον, καὶ τὰ τῶν τραγῳδῶν καὶ τὰ κωμικά· τὰ δὲ μικτὰ ἐν οἷς τό τε τοῦ συντιθέντος πρόσωπον καὶ τὰ ὑποκείμενα πρόσωπα ἐμφαίνεται, οἷα[6] τὰ τοῦ Ὁμήρου καὶ Ἡροδότου. Παρέπεται δέ· τινὲς τοῖς ἓξ τούτοις περιστατικοῖς καὶ τὴν ὕλην ἕβδομον στοιχεῖον προσέθηκαν, διαιροῦντες αὐτὴν ἀπὸ τοῦ τρόπου· καὶ τῷ μὲν τρόπῳ ἀπονέμοντες τὸ παρανόμως καὶ βιαίως πρᾶξαι ἢ ὁπωσοῦν ἄλλως·[7] τῇ δὲ ὕλῃ τῷ ξίφει

---

1 Phoen. 120. sqq. 2 Mon. Vind. διαιρεῖ. 3 Mon. Vind. δηλαδή. 4 Mon. ἀφηγηματικά. 5 Ald. δραγματικά. corrigunt Codd. 6 Mon. οἷον. 7 Ald. ἢ ἄλλως. Codd. ἢ om.

τυχὸν ἢ λίθῳ, ὅτι πενταχῶς διηγητέον· κατὰ τὸ ὀρθὸν, οἷον Φαέθων ἡλίου παῖς τοῦ πατρικοῦ ἅρματος ἐρασθεὶς, καὶ ἐξῆς· κατὰ τὸ ἐγκεκλιμένον· οἷον Φαέθοντα τὸν ἡλίου παῖδά φασιν ἐρασθῆναι τοῦ πατρικοῦ ἅρματος· κατὰ τὸ ἐλεγκτικόν· οἷον· τί δὲ, οὐκ ἠράσθη Φαέθων ἡλίου παῖς τοῦ πατρικοῦ ἅρματος· κατὰ τὸ συγκριτικόν· οἷον ὡς [8] ὅταν λέγωμεν ἀντὶ τοῦ σωφρονεῖν ἠράσθη ἀτόπων, ἀντὶ τοῦδε τόδε. κατὰ τὸ ἀσύνδετον· οἷον ἐπέβη τῶν ἵππων, ἐδέξατο τὰς ἡνίας, οὐχ ὑπεῖξε τῷ πατρὶ παραινοῦντι· χρησιμεύει δὲ τὸ μὲν κατ' ὀρθὸν ἐν τοῖς ἱστορικοῖς, καὶ ὅπου σαφηνείας δεόμεθα· τὸ δὲ κατὰ τὸ ἐγκεκλιμένον καὶ τὸ ἐλεγκτικὸν ἐν τοῖς ἀγῶσι, τὸ δὲ κατὰ τὸ ἀσύνδετον ἐν τοῖς ἐπιλόγοις, τὸ δὲ [9] κατὰ τὸ συγκριτικὸν, ὅπου ἂν ὁ καιρὸς διδῷ· [10] πανταχοῦ γὰρ καὶ ἐν ἅπασι τοῖς τῆς ῥητορικῆς [11] εἴδεσι καὶ τοῖς τοῦ πολιτικοῦ μέρεσιν αὐτῷ χρώμεθα. Ὅτι τὸ διήγημα πρὸς τὴν διήγησιν ἡμᾶς γυμνάζει, ἥτις μέρος τοῦ πολιτικοῦ λόγου τυγχάνει· πολλάκις δὲ αὐτῷ καὶ ἐν τοῖς ἀγῶσι χρώμεθα· καὶ μάλιστα ἐν ταῖς παραδειγματικαῖς ἀποδείξεσιν· ἀλλὰ καὶ ἐν τοῖς ἐπιλόγοις, ὅταν ἀναμιμνήσκωμεν [12] τὰ προειρημένα. Ἀρεταὶ δέ· τινὲς ἀντὶ τοῦ τῶν ὀνομάτων ἑλληνισμοῦ ἡδονὴν καὶ μεγαλοπρέπειαν ἔθηκαν· ἕτεροι δὲ ἀρετὴν διηγήματος μόνην εἶπον τὴν πιθανότητα· τὰς γὰρ ἄλλας τέσσαρας κοινὰς παντὸς λόγου εἶναι [13] ἐνόμισαν· ἐπεὶ δὲ ἡ συντομία τῇ σαφηνείᾳ ἀντίκειται, [14] δεῖ χρῆσθαι μὲν ἀμφοτέροις· εἰ δὲ μὴ συντρέχει τῷ κατεπείγοντι, τὸ δέ ἐστι μᾶλλον τῆς σαφηνείας γίνεσθαι·

---

8 ὡς Mon. Vind. om. 9 Ald. et Codd. τὸ δὲ τὸ κατά. delevi secundum τό. 10 διδῷ Ald. om. Mon. Vind. δίδωσι omisso praec. ἄν. 11 Ald. τοῖς ῥητορικοῖς εἴδεσι. recepi lectionem codicum. 12 Ald. ἀναμιμνήσκομεν. 13 Vind. εἶναι om. 14 Ald. ἀντίκειται. corrigunt Codd.

οὐ γὰρ τοσοῦτον ἐκ τοῦ μήκους, ὅσον ἐκ τῆς ἀσαφείας ὁ λόγος βλαβήσεται· ὅτι ἐν τῷ παρόντι τοῦ Ἀφθονίου διηγήματι πρόσωπον μὲν ἡ θεός, τόπος αἱ ἄκανθαι, τρόπος ἡ ἔπειξις, αἰτία ὁ τοῦ Ἀδώνιδος θάνατος, ὁ δὲ χρόνος συνεμφαίνεται τῷ ἄνθει· ἦρος γὰρ ἦν. [15]

III. ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΧΡΕΙΑΣ.

Ἰστέον ὅτι τὴν χρείαν τινὲς πρὸ τοῦ διηγήματος ἔταξαν, συνάπτοντες αὐτὴν τῷ μύθῳ διὰ τὸ συμβουλευτικόν· οὐ καλῶς δέ· δεῖ [1] γὰρ αὐτῆς προτάττεσθαι ὡς ἁπλούστερον τὸ διήγημα. καὶ ὅτι ὁ μὲν μῦθος τῷ προοιμίῳ ἀναλογεῖ, τὸ δὲ διήγημα τῇ διηγήσει, ἡ δὲ χρεία τοῖς ἀγῶσιν· οὐ μὴν δὲ ἀλλὰ καὶ μόνη ἡ χρεία πᾶσι τοῖς τοῦ λόγου συμβάλλεται μέρεσι· διὰ μὲν τοῦ ἐγκωμιαστικοῦ τῷ προοιμίῳ, διὰ δὲ τοῦ παραφραστικοῦ τῇ διηγήσει, διὰ δὲ τῶν ἄλλων κεφαλαίων τοῖς ἀγῶσι. διὰ δὲ τῆς ἐν τῷ λέγειν βραχείας παρακλήσεως τοῖς ἐπιλόγοις. Χρεία ἐστίν. Ἑρμογένης οὕτως ὡρίσατο· ἀπομνημόνευμα λόγου τινὸς ἢ πράξεως, ἢ τὸ συναμφότερον, σύντομον ἔχον δήλωσιν, ὡς ἐπὶ τὸ πλεῖστον χρησίμου τινὸς εἵνεκα· [2] ἀλλ' οὐκ ἀνεπίληπτος [3] ὁ ὅρος διὰ τοὺς διαζευκτικοὺς συνδέσμους, οὓς οὐ δέον ἐν ὁρισμοῖς τίθεσθαι. Σύντομον· διὰ τὰ μακρὰ ἀπομνημονεύματα, ὡς ἔχει μετὰ πολλὴν τὴν διήγησιν τὸ τοῦ Δημητρίου τοῦ πολιορκητοῦ πρὸς τὸν Μιθριδάτην· „φεῦγε Μιθριδάτα·" ὁ Πλούταρχος ἐν τοῖς παραλλήλοις [4] ἱστόρησεν. Εὐστόχως· ἢ ἀντὶ τοῦ εὐκαίρως· οὐ γὰρ πρὸς τὸν ὀκνη- B.

15 ἦν Mon. Vind. om.

1 Ald. Mon. δεῖται. Vind. δεῖ. 2 Mon. ἕνεκα. 3 Ald. ἀναπέληπτος. 4 Vita Demetrii c. 4. vide Wyttenb. Praef. ad Plut. T. I. p. XXXVII.

ρὸν, ἀλλὰ τὸν διεγηγερμένον καὶ φιλοκερδῆ χρὴ τὸ τοῦ Μενάνδρου [5] λέγειν,

Βέλτιστε μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει·

ἢ εὐστόχως· τὸ ἐν βραχεῖ ἔργῳ ἢ ῥήματι πολλὴν τὴν διάνοιαν περιέχειν. Ἀναφέρουσα· οὐκ εἶπεν ἀναφέρον, ὅτι ἀδιάφορον ἡγεῖται, πολὺ μὲν πρὸς τὸ ὁριστὸν ποιεῖν τὴν ἀπόδοσιν, ὡς ἐνταῦθα πρὸς τὸ χρεία, ποτὲ δὲ πρός τι τῶν συμπληρούντων τὸν ὅρον· οἷον εἰ ἀναφέρον εἶπε πρὸς τὸ ἀπομνημόνευμα. Χρειώδης δὲ οὖσα [6] κατ' ἐξοχὴν εἴρηται χρεία ὡς χρειωδεστέρα πρὸς παραίνεσιν τῶν ἄλλων προγυμνασμάτων, ὥσπερ καὶ τὸν Δημοσθένην ῥήτορα λέγομεν. Τῆς δὲ χρείας. ἰστέον [7] ὅτι τὸ λογικὸν καὶ πρακτικὸν καὶ ὑποδιαίρεσιν ἐπιδέχεται. τοῦ μὲν γὰρ λογικοῦ τὸ μέν ἐστιν ἀποφαντικὸν, τὸ δὲ ἀποκριτικόν· καὶ τοῦ μὲν ἀποφαντικοῦ τὸ μὲν εἴς τε τὸ καθ' ἑκούσιον ἀποφαντικὸν, ὡς Ἰσοκράτης τοὺς εὐφυεῖς τῶν μαθητῶν θεῶν [8] παῖδας ἔφασκεν εἶναι, καὶ εἰς τὸ κατὰ περίστασιν ἀποφαντικὸν, ἐν ᾧ ἔκ τινος περιστάσεως ἐπὶ τὸν λόγον κεκίνηται ὁ εἰπών· ὡς ὁ Διογένης ἰδὼν πλούσιον ἀπαίδευτον [9] εἶπεν· οὗτός ἐστιν ἵππος περιηργυρωμένος· τοῦ δὲ ἀποκριτικοῦ τὸ μὲν εἴς τε τὸ κατ' ἐρώτησιν, ἥτις ἄρνησιν μόνην ἔχει ἢ συγκατάθεσιν, τὸ ναὶ ἢ οὔ· πολλάκις δὲ καὶ διὰ σχήματος μόνην [10] ἀνάνευσιν ἢ κατάνευσιν, ὡς Πιττακὸς Μιτυληναῖος ἐρωτηθεὶς εἰ λανθάνοι [11] τις τοὺς θεοὺς κακὰ [12] πράτ-

---

5 Fragmentum hoc non invenio apud Meinekium. 6 οὖσα Mon. Vind. om. 7 Haec usque ad vv. *ἐπιθυμεῖν τῶν ἀλλοτρίων* p. 19. v. 9. in codice Darmstadino Theonis nomine leguntur, ex quo edidi in T. I. p. 141 — 143. 8 *θεῶν π. ἔφ. εἶναι* Darmst. om. 9 Ald. *ἀπόδευτον*. 10 Vind. *μόνου*. Darmst. *μόνη ἀνάνευσις ἢ κατάνευσις*. 11 Mon. Darmst. *λανθάνει*. 12 Ald. Vind. *κατά*. Mon. *κακά*.

πράττων, ἔφη ὅτι μηδὲ διανοούμενος· περιττὸν [13] γὰρ ἐνταῦθα τὸ μηδὲ διανοούμενος, ἀρκούσης καὶ μόνης τῆς ἀποφάσεως· καὶ εἰς τὸ κατὰ πύσμα, [14] ὃ μακροτέραν [14*] ἀπαιτεῖ τὴν ἀπόκρισιν· [15] οἷον Θεανὼ ἡ Πυθαγορικὴ φιλόσοφος ἐρωτηθεῖσα, ποσταία [16] ἀπὸ ἀνδρὸς γυνὴ καθαρὰ τοῖς θεσμοφορίοις κάτεισιν, εἶπεν ὡς ἀπὸ μὲν τοῦ ἀνδρὸς τοῦ ἰδίου παραχρῆμα, ἀπὸ δὲ τοῦ ἀλλοτρίου οὐδέποτε· καὶ εἰς τὸ κατ' ἐρώτησιν αἰτιῶδες, ὅταν τις [17] τὴν αἰτίαν ἀποδῷ· οἷον Σωκράτης ἐρωτηθείς, εἰ εὐδαίμων αὐτῷ δοκεῖ ὁ Περσῶν βασιλεύς, ἔφησε μὴ εἰδέναι· μὴ γὰρ εἰδέναι πῶς ἔχει παιδείας· καὶ τέταρτον τὸ ὁμωνύμως τῷ γένει καλούμενον ἀποκριτικόν, ὃ μήτε ἐρώτησιν ἔχει μήτε ἀπόκρισιν, πρὸς δέ τινα λόγον ἁπλῶς ἀντιῤῥήσιν· οἷον Διογένους ἀριστῶντός ποτε καὶ Πλάτωνα παριόντα πρὸς τὸ ἄριστον προσκαλεσαμένου, ὁ Πλάτων, ὡς χαρίεν ἂν ἦν [18] σου, Διόγενες, τὸ ἄπλαστον, ἔφη, εἰ μὴ πλαστὸν ἦν. καὶ τὸ μὲν λογικὸν οὕτω· τοῦ δὲ πρακτικοῦ τό μέν ἐστιν ἐνεργητικόν, ἐν ᾧ τι ποιῶν τις ὑπόκειται. οἷον Διογένης ἰδὼν ἀδδηφάγον παῖδα τὸν παιδαγωγὸν ἔπαισε· [19] τὸ δὲ παθητικόν, ἐν ᾧ τι πάθος ὑποσημαίνεται· οἷον Διδύμων ὁ αὐλητὴς ἁλοὺς ἐπὶ μοιχείᾳ ἐκ τοῦ ὀνόματος ἐκρεμάσθη, τουτέστι [20] τῶν διδύμων· ἔτι ἡ χρεία διαιρεῖται κατ' ἐπιδιαίρεσιν εἴς τε τὰς γνωμολογικάς, ὅσαι περί τινος καθολικοῦ κοινῶς ἀποφαίνονται, ὡς ὁ Βίας ἔφη τὴν φιλαργυρίαν [21] μητρό-

---

13 περιττόν — — διανοούμενος. Ald. om. restitui ex codd. 14 Ald. πῦσμα. 14* Darmst. μακροτέρων. 15 Ald. ἀπαίτησιν. Codd. ἀπόκρισιν. 16 Ald. ποστοῖα. 17 Mon. Vind. καὶ τὴν ἀ. 18 Mon. Vind. Darmst. ἦν ἄν. 19 Mon. Vind. ἔπαισιν. ex iisdem et Darmst. sq. δὲ recepi. 20 Darmst. ἤτοι ἐκ τῶν διδ. Etym. M. δίδυμος· ὁ ὄρχις. Solin. Polyhist. c. 13. castor — geminos suos devorat. 21 Darmst.

πολιν εἶναι πάσης κακίας, καὶ εἰς τὰς ἀποδεικτικὰς, [22] αἳ καὶ τὴν ἀπόδειξιν τοῦ λεγομένου ἐπιφέρουσιν, ὡς Ἰσοκράτης παρήνει τῶν γονέων τοὺς διδασκάλους προτιμᾶν· οἱ μὲν γὰρ τοῦ ζῆν, οἱ δὲ τοῦ εὖ ζῆν γεγόνασιν αἴτιοι· καὶ [23] εἰς τὰς κατὰ χαριεντισμὸν, ὡς τὸ [24] τοῦ Ἀλεξάνδρου παῖδα τοῦ Διὸς ἑαυτὸν εἶναι λέγοντος, Ὀλυμπιὰς ἀκούσασα ἔφη· οὐ παύσεται τὸ μειράκιον διαβάλλον με πρὸς τὴν Ἥραν. [25] ἢ ὡς ὁ παιδοτρίβης Δάμων χωλὸς ὢν ὑφελομένου τινὸς αὐτὸν τὰ ὑποδήματα, εἴθε, φησὶν, ἐφαρμόσειαν τοῖς τοῦ κλέπτου ποσίν. καὶ [26] εἰς τὰς συμβολικάς· οἷον Διογένης ἰδὼν [27] μειράκιον ἐκ μοιχοῦ [28] βάλλον εἰς πλῆθος λίθους, οὐ παύσῃ, ἔφη, μειράκιον, μὴ ἀγνοοῦν παίσῃς σου τὸν πατέρα· συμβάλλεσθαι [29] γὰρ ἡμῖν δέδωκεν, ὡς οὐκ ἐξ ὡρισμένου προσώπου τὸ μειράκιον ἦν· καὶ [30] εἰς τὰς τροπικὰς, ὅσαι ταῖς λέξεσι μεταφορικῶς χρῶνται· ὥσπερ ὁ Πλάτων τοὺς τῆς ἀρετῆς κλῶνας ἱδρῶσι καὶ πόνοις ἔλεγε φύεσθαι· καὶ [31] εἰς τὰς κατὰ ἀμφιβολίαν. οἷον Ἰσοκράτης τινὸς αὐτῷ [32] συνιστῶντος τὸν παῖδα καὶ ἐρομένου, τίνος αὐτῷ δεῖ, γραφιδίου ἔφη καὶ νοῦ, [33] καὶ πινακιδίου καινοῦ. ἄδηλον γὰρ πότερον λέγει, γραφίδος καινῆς καὶ πινακίδος καινῆς, ἢ γραφιδίου καὶ φρενὸς, καὶ πινακιδίου καὶ φρενός· εἰς τὰς κατὰ μετάληψιν, ὅταν [34] ἄλλο μὲν τὸ ἐρωτώμενον ᾖ, ἄλλο δὲ τὸ ἀποκρινόμενον· οἷον Ἐπαμινώνδας ἀμφισβητούντων τινῶν περὶ πότον, πότε-

4 Α.

τὴν φιλ. ἔφη. 22 Darmst. ὑποδεικτ. 23 καὶ ex Vind. Darmst. recepi, Ald. Mon. om. 24 τὸ Mon. Vind. om. 25 Mon. κόρην. 26 Ald. καὶ om., recepi ex Codd. 27 Mon. ἑωρακώς. Darmst. ἰδὼν om. 28 Ald. μυχοῦ. Codd. μοιχοῦ. 29 συμβάλλεσθαι — μειράκιον ἦν Darmst. om. 30 καὶ Ald. Vind. om., recepi ex Darmst. Mon. 31 καὶ Ald. Vind. Mon. om, recepi ex Darmst. 32 Vind. Darmst. αὐτοῦ. 33 Mon. καινοῦ. 34 Ald. ὅτα.

ρον μᾶλλον αὐλητὴς κρείττων Ἀντιγενίδης [35] ἢ Σάτυρος, ἐμοὶ μὲν ἔφη δοκεῖ στρατηγὸς Πολυσπέρχων· [36] καὶ εἰς τὰς συνεζευγμένας, αἵπερ οὐκ ἄλλαι παρὰ ταύτας εἰσὶν, ἀλλ' ἐκ τούτων συνίστανται δύο [37] καὶ τριῶν πολλάκις συνελθουσῶν. Ἔτι τῶν χρειῶν αἱ μὲν δηλοῦσιν, [38] ὁποῖά ἐστι τὰ πράγματα· ὡς Αἴσωπος ἐρωτηθεὶς, τί ἰσχυρότατον [39] τῶν ἐν ἀνθρώποις; ὁ λόγος, εἶπεν· αἱ δὲ, ὁποῖα δεῖ εἶναι· ὡς Ἀριστείδης [40] ἐρωτηθεὶς, τί ἔστι τὸ δίκαιον, τὸ μὴ ἐπιθυμεῖν, εἶπε, τῶν ἀλλοτρίων. Ἡ μὲν οὖν διαίρεσις, αὕτη μὲν γὰρ ἦν ἡ ἀπὸ γένους εἰς εἴδη· ἡ δὲ μετὰ ταῦτα ἡ ἀπὸ ὅλου εἰς μέρη. Ἐργάσαιο δ' αὐτήν· ἀντὶ τοῦ κατασκευάσεις. [41] Ἔδει οὖν, φασί τινες, καὶ ἀνασκευάζειν τὴν χρείαν, ἀλλ' οὐ δεῖ τὰς ἐπ' ἀγαθῷ παραινέσεις ἀνασκευάζειν, καὶ ἔτι ὥσπερ ἐν τοῖς διηγήμασιν οὔτε τὰ λίαν σαφῆ, οὔτε τὰ παντελῶς ἀδύνατα ἀνασκευάζομεν ἢ κατασκευάζομεν, οὕτω καὶ ἐπὶ τῶν χρειῶν οὔτε τὰς λίαν ἀμέμπτους κατασκευάζομεν, [42] παριττὸν γὰρ, ἢ ἀνασκευάζομεν, ἀδύνατον γὰρ, οὔτε τὰς λίαν μοχθηρὰς, αὐτόθεν γὰρ ἔχουσι τὴν ἀτοπίαν, ἀλλ' ὅσαι μέσην τὴν φύσιν ἔχουσιν. Παραφραστικῷ· ὅτι τὸ μὲν ἐγκωμιαστικὸν βραχὺ εἶναι δεῖ, ἵνα μὴ μεῖζον ᾖ τὸ προοίμιον τῆς ὑποθέσεως. τὸ δὲ παραφραστικὸν, ὡς ἂν βουλοίμεθα, νῦν μὲν ἐκτενοῦμεν, νῦν δὲ συνεσταλμένον αὐτὸ ποιήσομεν· καὶ ἄλλως δὲ βραχὺ τὸ ἐγκωμιαστικὸν εἶναι δεῖ, ἵνα μὴ μεῖζον ᾖ τοῦ ἔργου τὸ πάρεργον· δεῖ δὲ τοῦτο, ὡς τὸ προοίμιον,

35 Ald. Ἀντιγενείδης. Codd. Ἀντιγενίδης. 36 Ald. πολυσπεύδων. Codd. πολυσπέρχων. 37 δύο — συνελθουσῶν Darmst. om. 38 Darmst. δηλοῦσι, ποῖα. 39 Ald. ἰσχυρώτατον. 40 Darmst. ὡς Ἀρ. δὴ εἶπεν, εἶναι τὸ μὴ ἐπιθυμεῖν τῶν ἀλλοτρίων. In his verbis desinit. 41 Ald. κατασκευάσαις. Codd. κατασκευάσεις. 42 Vind. κατασκευάσομεν — ἢ ἀνασκευάσομεν.

ᾧ[43] ἀναλογεῖ, οἰκεῖον εἶναι τῷ ὑποκειμένῳ προσώπῳ, καὶ τῇ ὑποθέσει, ὥστε μὴ κοινὸν φαίνεσθαι, μηδὲ πολλοῖς δύνασθαι ἁρμόζειν· κἂν μέν τινα αὐτῷ ἕτερα πεπραγμένα ἢ ἔργοις ἢ λόγοις, ἐν παραλείψεως[44] ἢ ἀποσιωπήσεως σχήματι διὰ βραχέων αὐξάνειν τὸν ἔπαινον. Ἂν δὲ μηδὲν ἔχωμεν τοιοῦτον, ἀπὸ τοῦ ἐπιτηδεύματος, οἷον ῥήτωρ ἢ στρατηγός· ἢ[45] ἀπὸ τοῦ ἔθνους, οἷον Ἀθηναῖος καὶ ἀξίως τῶν τοῦ Σόλωνος νόμων τεθραμμένος· ἐνίοτε δὲ καὶ δίχα τοῦ κατὰ παράλειψιν[46] σχήματος ψιλὴ ἀπαρίθμησις τὸ αὐτὸ ποιεῖν δύναται· τὴν δὲ παράφρασιν δεῖ μήτε ἀφίστασθαι τοῦ προκειμένου, μήτε ἐπ᾽ αὐτῶν τῶν λέξεων ἀκριβῶς μένειν· Κεφαλαίοις· ἀντὶ τοῦ μέρεσι· καταχρηστικῶς δὲ εἶπεν· οὐ γὰρ ὡς τὰ κεφάλαια τοῦ πολιτικοῦ λόγου, καὶ ταῦτα. Παραβολῇ· ἕπεται τῇ παραβολῇ τὸ παράδειγμα· κατασκευαστικὸν γὰρ αὐτῆς ὡς μερικώτερον. διαφέρει δὲ ἀλλήλων, ἢ ὅτι ἡ μὲν ἀπὸ τῶν καθ᾽ ἑκάστην γινομένων λαμβάνεται, τὸ δὲ ἀπὸ τῶν ἅπαξ γεγονότων. ἢ ὅτι ἡ μὲν διὰ πράξεως, τὸ δὲ διὰ προσώπου εἰσφέρεται· ἢ ὅτι ἡ μὲν καὶ ἀπὸ τῶν ἀλόγων καὶ ἀπὸ τῶν ἀψύχων λαμβάνεται· τὸ δὲ ἀπὸ μόνων τῶν λογικῶν· τῷ τῆς αἰτίας. ἐκ τῶν περιστατικῶν τὴν αἰτίαν μόνην παρείληφεν, ὡς κρείττονα τῶν ἄλλων. παρὰ τοῦτο γὰρ καὶ τῶν πολιτικῶν ζητημάτων ὅσα μὴ ἔχει αἰτίαν ἀσύστατά εἰσιν. Ἐκ τοῦ ἐναντίου· πέφυκε γὰρ τὰ πράγματα τῇ παραθέσει τῶν ἐναντίων ἐκδηλότερα φαίνεσθαι, ὡς τὸ φῶς τῇ τοῦ σκότους παραβολῇ. Μαρτυρίᾳ παλαιῶν. τοῦτο τῶν ἀτέχνων[47] ἐστὶ πίστεων. εἰ δέ ποτε ἀποροῖμεν αὐτοῦ, τῷ κατὰ παράλειψιν[48] χρησόμεθα· ζητητέον

43 ᾧ Ald. om., recepi ex codd. 44 Ald. Codd. παραλήψεως. vide paullo post v. 9. 45 ἢ Vind. om. 46 Vind. Mon. παράλειψιν. Ald. παράληψιν. 47 Mon. ἀτεχνῶν. 48 Ald. παράληψιν. corr. codd.

δὲ, πῶς ἂν ἐν ταῖς πρακτικαῖς χρείαις μαρτυρία τεθείη λόγων οὐκ ὄντων. δεῖ οὖν ἐν τούτοις λέγειν, ὅτι καλὸν τὸ γεγενημένον, καὶ ὅτι τὸν σκοπὸν τῆς πράξεως ἐγνωμολόγησεν ἕτερος, ὡς ἐπὶ τοῦ Διογένους τοῦ τυπτήσαντος τὸν παιδαγωγόν. εἰσάξομεν τὸν Θουκυδίδην λέγοντα. ὁ γὰρ δυνάμενος παῦσαι, περιορῶν δὲ, ἀληθέστερον αὐτὸ δρᾷ. Ἰστέον δὲ, ὅτι αἱ χρεῖαι κατὰ πᾶσαν πτῶσιν προφέρονται· κατ' εὐθεῖαν, οἷον Πιττακὸς ἐρωτηθεὶς ἀπεκρίνατο. κατὰ γενικὴν, οἷον Πιττακοῦ ἐρωτηθέντος λόγος φέρεται. κατὰ δοτικὴν, οἷον Πιττακῷ ἐρωτηθέντι ἐπῆλθεν εἰπεῖν. κατ' [49] αἰτιατικὴν, οἷον Πιττακὸν ἐρωτηθέντα φασὶν εἰπεῖν. κατὰ κλητικήν· οἷον σὺ, ὦ Πιττακὲ, ἐρωτηθεὶς εἶπας· καὶ ἐπὶ τῶν ἄλλων ἀριθμῶν. [50]

10 B.

IV. ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΓΝΩΜΗΣ.

Προτέτακται ἡ χρεία τῆς γνώμης ὡς μερικωτέρα· ἡ γὰρ τῶν περιστατικῶν προσθήκη μερικώτερον ἀεὶ τὸ πρᾶγμα ποιεῖν εἴωθεν· ὥσπερ γὰρ [1] τὸ, εἰ γαμητέον, καθολικόν ὂν ἡ τοῦ προσώπου προσθήκη ἑνὸς τῶν περιστατικῶν ὄντος μερικώτερον ποιεῖ· οἷον εἰ γαμητέον Σωκράτῃ. Λόγος· διότι ἐν λόγῳ ἀεὶ αἱ [2] γνῶμαι καὶ οὐκ ἐν πράξεσιν· ἰστέον μὲν ὅτι τοῦ λόγου διττοῦ ὄντος, τοῦ τε ἐνδιαθέτου καὶ τοῦ προφορικοῦ, ὁ προφορικὸς εἰς πέντε εἴδη διαιρεῖται οὕτως· αἱ ψυχικαὶ δυνά-

49 Vind. κατά. 50 Ad χρείαν λογικὴν Schol. Angel. κηρύττει τὴν τέχνην, οὐκ αὐτὸς etc. ἀντίστροφον τὸ σχῆμα, οὐδὲ γὰρ ἡ τέχνη τοῦτον ἐδόξασεν, ἀλλὰ μᾶλλον αὐτὸς τὴν τέχνην. διαλιπεῖν ἀμαθέστατον. Sch. ἀμαθίας πρόξενον. Καὶ μέλλουσι Sch. βραδύνουσι καὶ ἀναβάλλουσι καὶ ὀφείλουσιν ἀπελθεῖν. Κόσμον παραιρεῖσθαι· ἀντὶ τοῦ ἀφαιρεῖσθαι τὸν αὐτῆς κόσμον, ἢ οὐδὲν ἡγεῖσθαι.

1 γὰρ Mon. om. 2 Codd. ἡ γνώμη.

μεις ἢ γνωστικαί εἰσιν ἢ ζωτικαί· καὶ εἰ μὲν γνωστικαὶ, ποιοῦσι τὸ ἀποφαντικόν. οἷον·

Οὐκ ἔστιν οὐδὲν κρεῖττον [3] ἢ φίλος σαφής.

ὃ γὰρ ἔχομεν ἐν γνώσει, τοῦτο καὶ ἀποφαινόμεθα. εἰ δὲ ζωτικαί εἰσιν εἴτουν [4] ὀρεκτικαὶ, ἢ λόγου ἐφίενται, καὶ ποιοῦσι τὸν [5] ἐρωτηματικὸν, οἷον·

Οὐχ ὁ Τρόφιμός σοι πρὸς θεῶν [6] Ὀνήσιμε;

ἢ πράγματος· καὶ εἰ πράγματος, ἢ αὐτοῦ μόνου καὶ ποιοῦσι τὸν κλητικόν. οἷον·

Τεῦκρε, φίλη [7] κεφαλή.

ἤ τινος τῶν ὑπ' αὐτό· καὶ εἰ μὲν μείζονος, ποιεῖ τὸ εὐκτικόν. οἷον·

Αἴ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη [8] καὶ Ἄπολλον.

εἰ δὲ ἐλάττονος, ποιεῖ τὸ [9] προστακτικόν. οἷον·

Βάσκ' ἴθι Ἶρι ταχεῖα. [9*]

αἱ τοίνυν γνῶμαι κατὰ τὸ ἀποφαντικὸν γίνονται, ᾧ μόνῳ δηλοῦται τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· διὰ τοῦτο γὰρ εἶπε καὶ ἐν ἀποφάνσεσι, διότι οὐχ, ὡς ἡ χρεία, ἔσθ' ὅτε καὶ κατ' ἐρώτησιν γίνεται. κεφαλαιώδης δὲ ἀντὶ τοῦ σύντομος, ἀπὸ μεταφορᾶς τῆς κεφαλῆς τῆς ἐν βραχεῖ τὰς [11] αἰσθήσεις ἁπάσας περιεχούσης· τὸ δὲ ἐπί τι προτρέπων ἢ ἀποτρέπων διὰ τὸ Σωκράτης φιλοσοφεῖ. Τὸ μέν ἐστι προτρεπτικόν· προτέτακται [12] τὸ προτρεπτικὸν τοῦ ἀποτρεπτικοῦ, ὅτι τὸ μὲν προτρέπει ἐπὶ τὰ ἀγαθὰ, τὸ δὲ ἀποτρέπει τῶν κακῶν· καὶ ἔστι τὸ μὲν ὡς ἕξις, τὸ δὲ ὡς στέρησις· κρεῖττον δὲ τὸ ἀγαθὸν τοῦ κακοῦ, καὶ ἕξις στερήσεως. Τὸ μὲν ἁπλοῦν,

---

3 Mon. κρεῖσσον. 4 Ald. Vind. εἴτ' οὖν. Mon. εἴτουν. 5 Mon. τό. 6 Ald. ὀνίσιμε. Codd. Ὀνήσιμε. cfr. T. VII. p. 3. 7 Ald. Vind. φίλε. Mon. φίλη. Il. ϑ, 281. 8 Ald. Ἀθηναῖοι. — Il. β. 371. 9 Mon. τόν. 9* Il. ϑ. 399. 10 Ald. γίνεται. 11 Mon. τὰς ἁπάσας αἰσθ. 12 Mon. Vind. προτάττεται.

ὅτι τῷ ἁπλῷ οὐ τὸ διπλοῦν ἀντέθηκε,[13] τὸ δὲ συνεζευγμένον· τὸ μὲν γὰρ διπλοῦν ἐκ δύο καταφατικῶν ὄν· οἷον

Δεινὸν πέπεσθαι, χεῖρον εὐπορεῖν κακῶς,

οὐ τοσοῦτον ἀντίκειται τῷ ἁπλῷ· τὸ δὲ συνεζευγμένον ἔκ τε καταφατικοῦ καὶ ἀποφατικοῦ ὂν τὴν ἄκραν ἀντίθεσιν ἔχει πρὸς τὸ ἁπλοῦν· ἔτι δὲ διαφέρει τὸ ἁπλοῦν τοῦ συνεζευγμένου, ὅτι τὸ μὲν ἀνάγκη διόλου λέγεσθαι,[14] ἵνα τὴν διάνοιαν ἀπαρτίσῃ· τὸ δὲ συνεζευγμένον καὶ μὴ διόλου λεγόμενον δύναται αὐτὴν τῷ ἡμίσει μέρει παριστᾶν· εἰπὼν γὰρ, ὅτι οὐκ ἀγαθὸν πολυκοιρανίη,[15] ἐδήλωσεν, ὅτι ἀγαθὸν ἡ μοναρχία. Τὸ δὲ πιθανόν· πιθανὸν λέγεται τὸ ὡς ἐπὶ τὸ πολὺ λεγόμενον,[16] οὐ μὴν πανταχοῦ ἀληθεῦον, μετέχον μέντοι μᾶλλον τῆς[17] ἀληθείας ἢ τοῦ ψεύδους· τὸ γὰρ ἐπ' ἔλαττον μετέχον ἀπίθανον· τὸ δὲ ἐπίσης οὐ πιθανὸν, ἀλλ' ἀμφιβαλλόμενον. Οἷσπερ ἥδεται. Ἀντώνιός τις ἔφη μὴ πιθανὸν εἶναι τοῦτο, ἀλλ' ἀληθές. τὸ γὰρ ἥδεται τὴν ἔμμονον καὶ ἐνδιάθετον καὶ σὺν εὐφροσύνῃ διατριβὴν δηλοῖ. τινὲς μέντοι τῶν ἐξηγητῶν διὰ πολλῶν βοηθῆσαι τῷ Ἀφθονίῳ ἐπεχείρησαν, ἀλλ' οὐδὲν ἤνυσαν. Ἰστέον ὡς ἐξ ἄλλης[18] ἐπιδιαιρέσεως τῶν γνωμῶν αἱ μὲν ἄνευ αἰτίας προφέρονται, ὡς τὸ,

Εἷς ἐστι δοῦλος, οἰκίας ὁ δεσπότης·

αἱ δὲ μετ' αἰτίας, ὡς τὸ,

Ἅλικμος ἔσσ'[19] *ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.*

Καὶ αὖθις αἱ μὲν ὡς περ αἱ χρεῖαι δηλοῦσιν, ὁποῖά ἐστι τὰ πράγματα, ὡς τὸ, οἱ πλεῖστοι κακοί.[20] αἱ δὲ ὁποῖα

---

13 Ald. ἀντέθεικε. Mon. ἀντέθηκε. Vind. ἀντέθηκεν. 14 Mon. γίνεσθαι. 15 Il. β. 204. 16 Vind. Mon. γινόμενον. 17 τῆς et sq. τοῦ Vind. Mon. om. 18 Codd. ἄλλου. 19 Ald. Mon. ἐσθ' Vind. ἐσσ'. — Od. α. 302. 20 Inter Biantis apophthegmata refert Arsenius p. 148.

δεῖ εἶναι· ὡς τό. μηδὲν ἄγαν· ἔτι τῶν γνωμῶν αἱ μέν εἰσι προστακτικαὶ, οἷον, ἄλκιμος ἔσσο, αἱ δὲ εὐκτικαὶ, ὡς τό·

Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος.

αἱ δὲ ἀπαγορευτικαὶ, οἷον

Μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ[21] *ἀμείνονι φωτὶ μάχεσθαι.*

αἱ δὲ κατ' ἐπίκρισιν· οἷον

Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς[22] *τὸν ὁμοῖον·*

Λ. καὶ ἔτι τῶν γνωμῶν αἱ μέν εἰσιν ἄδοξοι, ὡς τὸ,

Ἕα με κερδαίνοντα κεκλῆσθαι κακόν.

αἱ δὲ ἔνδοξοι, ὡς τὸ,

Εἷς[23] *οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.*

Διενήνοχε δὲ περὶ[24] τὰς διαφορὰς, ἃς τέθεικεν Ἀφθόνιος. Ἑρμογένης φησὶ τὴν μὲν γνώμην ἐν ἀποφάνσει ψιλῇ λέγεσθαι, τὴν δὲ χρείαν πολλάκις καὶ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν· ἄλλοι δὲ καὶ ταύτας προσέθεσαν, τὸ τὴν γνώμην καὶ ἐφ' ἡμῖν ἂν εἶναι ποιῆσαι, εἰ οὕτω τύχοι· χρείαν δὲ μὴ ἐφ' ἡμῖν εἶναι χωρὶς προσώπου συμπλάσασθαι. καὶ ὅτι ἡ μὲν γνώμη τὸ καθόλου μόνον ἀποφαίνεται, ἡ δὲ χρεία ποτὲ καὶ τὸ ἐπὶ μέρους· καὶ ὅτι ἡ μὲν γνώμη ἀεὶ περὶ τῶν ἐν βίῳ χρησίμων ἐστὶν, ἡ δὲ χρεία καὶ χαριεντισμοῦ ἕνεκα.[25] καὶ ὅτι ἡ μὲν χρεία τὴν πᾶσαν κατασκευὴν εἰς ἔπαινον ἔχει τοῦ εἰρηκότος ἀναφερομένην, ἡ δὲ γνώμη αὐτοῦ φύσει[26] τοῦ λόγου. Χρὴ πενίην φεύγοντα· τινὲς τὸ ῥιπτεῖν ἀντὶ τοῦ πανταχοῦ σπείρειν ἐνόησαν καὶ πανταχοῦ πλεῖν· οἱ δὲ τὸ καὶ ἐν τοῖς ἀνελπίστοις καὶ ἀκάρποις πονεῖν· οἱ δὲ ὅτι καὶ κινδύνων κατατολμᾷν προτρέπεται· Ἀφθόνιος δὲ φθονήσας τοῖς πένησι τοῦ ζῆν κατὰ βυθοῦ τούτους

---

21 Ald. σοῦ. Codd. σευ. — Il. η. 111. 22 Ald. Mon. ἐς. Vind. ὡς. — Od. ρ. 218. 23 Il. μ. 243. 24 Vind. παρά. 25 Codd. ἕνεκεν. 26 Ald. φησί. Codd. φύσει.

ὠθεῖ καὶ κρημνῶν,[27] πόρρω φιλοσοφίας καὶ φιλανθρωπίας νόμων τὸ ῥητὸν ἐξηγούμενος. Ὁ Θέογνις[28] ἀπροσώπως εἶπε τὴν γνώμην ἐκφέρεσθαι δεῖν ἐν τῇ ἐκθέσει μόνον, οὐ μὴν καὶ ἐν τῇ μελέτῃ. Τὴν ἐπωνυμίαν. οὕτω γάρ φησιν Ὅμηρος·

Οὔνεκ' ἀπαγγέλλεσκε κιὼν, ὅ τι κέν τις ἀνώγοι.[29]

ἀπὸ γὰρ τοῦ εἴρω τὸ λέγω Ἶρος ὠνόμασται, ὡς τὸ Ἶρις. ιά. Ἀλλ' Ὀδυσσεὺς·[30] δύο τέθεικε παραδείγματα, διδάσκων καί σε πλειόνων εὐπορεῖντα ταῦτα τιθέναι. ἔστι μὲν οὖν παραβολὴ μὲν[31] πράγματος οἵου τε γενέσθαι ἀπομνημόνευσις, εἰς ὁμοίωσιν τοῦ ζητουμένου, καὶ χορηγία μὲν ἡ ἐκ προαιρέσεως καὶ ἐν ἑορταῖς, εἰσφορὰ δὲ ἡ ἐξ ἐπιταγῆς ἑτέρου καὶ ἐν πολέμοις.

V. ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΑΝΑΣΚΕΥΗΣ.

Ἀνασκευὴ ὠνόμασται ἀπὸ τῶν ἀνασκευαζομένων καὶ ἀναλυομένων οἰκοδομημάτων, οὗπερ ἐναντίον τὸ κατασκευάζειν. Ἀνατροπή·[1] μέμφονταί τινες τῷ ὅρῳ κατὰ τὸ πλεονάζον, ὡς δηλουμένης δι' αὐτοῦ καὶ τῆς δι' ἔργων τῶν πραγμάτων ἀναιρέσεως, ὡς τὸ ἀνατρέψαι

---

27 Ald. κρημνοῦ. Codd. κρημνῶν. 28 Ὁ Θέογνις — ὡς τὸ Ἶρις Vind. Mon. om. 29 Ald. Codd. ἀνώγει. — Od. σ. 7. 30 Schol. Ang. δευτέρῳ παραδείγματι κέχρηται, ἵνα μὴ δόξῃ ἐξ ἑνὸς μόνον πιστοῦσθαι τὸν λόγον. παροινούμενος. Sch. λοιδορούμενος, ὑβριζόμενος· παροινία γὰρ ἡ ἀπὸ μέθης ὕβρις. 31 μὲν Codd. om.

1 Ἀνασκευή ἐστιν ἀνατροπή. Schol. Ang. ὁ παρὼν ὅρος οὐκ ἔστιν Ἀφθονίου, ἀλλὰ τοῦ Ἑρμογένους· ἐκεῖνος γάρ φησιν οὕτως· ἀνασκευή ἐστι τοῦ προκειμένου πράγματος ἀνατροπή. Λίαν σαφῆ. In Cod. Ang. superscr. ἀληθῆ, ad marg. ὡς τὰ ἱστορικὰ διηγήματα, ἀληθῆ γάρ εἰσι, καὶ οὐδεὶς ὁ προσέχων. In dextra parte marginis: ὡς οἱ μῦθοι, οὐδεὶς γὰρ ἐν αὐτοῖς τοῦ πείθεσθαι χρείαν ἔχει οἴκοθεν· ἔχουσι γὰρ φυσικον τὸ ψευδές.

ναὸν ἤ τι τοιοῦτον· ἔδει οὖν ἀνατρεπτικὸς λόγος εἰπεῖν· ἕτεροι δὲ οὕτως ὡρίσαντο· λόγος ἀνατρεπτικὸς τοῦ πιθανῶς προτεθέντος λόγου, ὡς τῶν πιθανῶν ὀφειλόντων ἀνασκευάζεσθαι· οὔτε γὰρ τὰ ὁμολογούμενα ἀληθῆ ἀνατρέποντες ἀληθεῖς φανησόμεθα· οὐδεὶς γὰρ ὁ προσέξων, ἀλλὰ πρὸς τῷ γελοίῳ καὶ κολάσεως ἢ αἰσθήσεως κατὰ τὸν Σταγειρίτην δεησόμεθα· οὔτε τὰ ὁμολογουμένως ψευδῆ· οὐδεὶς γὰρ ὁ τοῦτο πεισθῆναι δέομενος. ὁ μέν τοι Γεωμέτρης φησὶν, ὡς ἐν πρώτοις μὲν ἀνασκευάζονται τὰ μυθικὰ διηγήματα, καὶ ῥᾴστην ὅτι μάλιστα δέχονται τὴν ἀνασκευήν· δεύτερον τὰ ἱστορικὰ δυσχερεστέρας ἤδη καὶ ῥητορικωτέρας δεόμενα τῆς ἔξεως. τρίτον τὰ πολιτικὰ ἐναγωνιώτερα πάντων ὄντα καὶ εὐπορωτέρας τῆς ἀνασκευῆς δεόμενα· ἀνασκευάζομεν δὲ ἔστιν ὅτε καὶ μύθους, ἀλλ' οὐχ ὡς μύθους, ἀλλὰ τὴν συνθήκην τῶν πλασάντων αὐτοὺς, ὡς οὐ κατὰ λόγον μύθων [2] προβᾶσαν αἰτιώμενοι. Ἰστέον ὡς ὁποτέραν προτάξομεν, εἴτε τὴν ἀνασκευὴν, εἴτε τὴν κατασκευὴν, ἀδιάφορόν ἐστι. Καὶ κεφαλαίοις· [3] ταῦτα οὔτε κεφάλαιά ἐστι διὰ τὸ μὴ ταῖς ἐργασίαις πλατύνεσθαι, οὔτε ἐπιχειρήματα διὰ τὸ πλειόνων ἐκεῖνα περιεκτικὰ εἶναι· κληθεῖεν δ' ἂν οἰκειοτέρως τόποι καὶ ἀφορμαί τινες. Πρῶτον μὲν οὐ τακτικῷ χρῆται τῷ ὀνόματι, ὡς ἐξ ἅπαντος δεῖν πρῶτον κεῖσθαι τὸ ἀσαφὲς, ἀλλ' ἀπαριθμητικῷ· οὐ γὰρ δεῖ φρονTίζειν τῆς τῶν κεφαλαίων τάξεως, ἀλλ' ὅπερ ἂν ἐμπίπτῃ πρὸς τὴν τοῦ ἀνασκευαζομένου φύσιν, ἐκείνῳ πρώτῳ χρῆσθαι. καὶ ἑφεξῆς ὁμοίως· καὶ ἔτι ἐὰν τὸ αὐτὸ κεφάλαιον ἐν πολλοῖς μέρεσι τοῦ ἀνασκευαζομένου ἐμπίB. πτῃ, πολλάκις τῷ αὐτῷ χρῆσθαι. καὶ εἰ μὴ πάντα τὰ κεφάλαια ἡ φύσις τοῦ πράγματος ἐμπεσεῖν ἀπαιτεῖ, ἀλλ'

---

2 μύθων codd. om. 3 Ald. κεφαλαίως.

ἔνια,[4] τοῖς ἐμπίπτουσι μόνοις χρῆσθαι, ἵνα μὴ εἰς ψυχρολογίαν περιστῇ ὁ λόγος, πλῆθος ἀπειρόκαλον ἐπισωρευόντων ἡμῶν. καὶ δὴ καὶ ἐὰν ἓν μέρος τοῦ διηγήματος ὑπὸ πλείονα ἀνάγηται κεφάλαια, χρησόμεθα μὲν αὐτῷ ἐν ἅπασι· τῇ δὲ περὶ τὴν ἐργασίαν διαφορᾷ τὴν ἐξαλ- 5
λαγὴν μηχανησόμεθα· ἡ μέν τοι τῶν φησάντων διαβολὴ προοιμίῳ ἀναλογεῖ, καὶ προκαταρκτικῇ τινι ἐννοίᾳ, ὡς κἂν τοῖς προλαβοῦσιν ἐγένετο προγυμνάσμασι.[5] Τῷ ἀσαφεῖ· ἡ ἀσάφεια, ὡς κἂν τῷ διηγήματι, ἢ ἐκ τῶν ἀπαγγελλουσῶν αὐτὸ[6] γίνεται λέξεων, ὅταν ὁμώνυμοι 10
ὦσιν ἢ τροπικαὶ ἢ σκληραὶ, ἢ ξέναι καὶ ἀσυνήθεις· ἐροῦμεν γὰρ ὅτι καὶ πρὸς τοῖς ἄλλοις οὐδὲ[7] εὐσύνοπτόν ἐστι τὸ λεγόμενον· ἢ ἐκ τῶν νοημάτων, ὅταν ἀποκεκρυμμέναι τινὲς ἀλληγορίαι τῷ διηγήματι ἐμφαίνωνται, οἷον ἐν τῷ περὶ Σειρήνων. ἢ κατὰ τὴν τοῦ λόγου σύν- 15
ταξιν, ὅταν μὲν[8] στιζόντων ἡμῶν οὕτω ἑτέρα[9] φαίνηται ἡ διάνοια, ἄλλως δὲ πάλιν ἑτέρα. ὡς τό·

Οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἥδὺ γέλασσαν.[10]

ἄδηλον γὰρ πότερον ἐπὶ τῷ Θερσίτῃ ἀχνύμενοι,[11] ἢ ἐπὶ τῇ τῶν νεῶν ὀλκῇ. ἕτεροι δὲ ἀσαφὲς τὸ μὴ πιστευ- 20
όμενον εἶπον. Ἀπιθάνῳ· περὶ μὲν τοῦ πιθανοῦ εἴρηται ἐν τῇ γνώμῃ, ἀπίθανον δὲ εἴρηται[12] τὸ μὴ ὡς ἐπὶ τὸ πολὺ γινόμενον, ἀλλὰ σπανίως καὶ ἐκ τοῦ παραδόξου· οἷον τὸ τὴν Μήδειαν ἀποσφάξαι τοὺς παῖδας, καὶ ἔτι ὅταν[13] κατηγορίαν κινῶμεν[14] κατά τινος ἐναν- 25
τίαν τῇ περὶ αὐτὸν[15] ὑπολήψει. οἷον εἰ λέγομεν,[16]

---

4 Mon. ἓν. 5 Vind. *προγυμνάσμασιν.* 6 *αὐτὸ* Ald. om. recepi ex Vind. in Mon. *αὐτῷ.* 7 Vind. *οὐδ'.* 8 Codd. *ὅταν οὕτω μὲν στιζ.* omisso *ἑτέρα.* 9 Vind. *ἑτέρα* om. Tum Ald. *φαίνεται.* 10 Ald. Codd. *γέλασαν.* Il. *β.* 270. 11 Mon. addit: *ἡδὺ γέλασαν.* 12 Codd. *λέγεται.* 13 Vind. *ὅτε.* 14 Codd. *κινοῦμεν.* 15 Ald. *αὐτὸν*, Mon. *αὐτόν.* Vind. *αὐτοῦ.* 16 Vind. et Ald. *λέγωμεν.* Mon. *λέγομεν.*

Σωκράτης πορνοβοσκεῖ. Ἀδυνάτῳ· τὸ ἀδύνατον τριχῶς γίνεται, ἀπὸ ψυχῆς, οἷον τὸ τὰ ἄλογα λόγῳ χρῆσθαι, ἢ καὶ τοὐναντίον τὰ λογικὰ τοῖς τῶν ἀλόγων πλεονεκτήμασιν· ἀπὸ σώματος, ὡς εἴ τις λέγει μὴ δυνατὸν εἶναι βρέφει τὸν ἄνδρα καταπαλαίεσθαι. ἀπὸ τῶν ἐκτός· οἷον εἰ φαίημεν ἀδύνατον εἶναι πένητα τυραννίδι ἐπιχειρεῖν. Ἰστέον δὲ [17] ὅτι εἰ μὲν ἄλλο μέρος τοῦ διηγήματος ἐγχωρεῖ λυθῆναι διὰ τοῦ ἀπιθάνου, καὶ ἕτερον διὰ τοῦ ἀδυνάτου, τότε πρὸς τὰ μέρη τοῦ διηγήματος καὶ τὰ κεφάλαια τάξομεν. εἰ δὲ ἓν καὶ τὸ αὐτό δι' ἀμφοτέρων, πρῶτον θήσομεν τὸ ἀπίθανον, [18] εἶτα τὸ ἀδύνατον, ὡς ἂν προχωρῶν ὁ λόγος ἐπὶ τὸ ἀκμαιότερον φαίνηται· τοῦ γὰρ ἀπιθάνου τὸ ἀδύνατον ἰσχυρότερον. [19] εἰ δὲ τοὐναντίον ποιήσομεν, περιττὸν φανήσεται τὸ ἀπίθανον. Καὶ [20] ἀπρεπεῖ· ἀπρεπὲς οὐ μόνον τὸ αἰσχρὸν, οἷον τὸ θεὸν θνητῆς γυναικὸς ἐρᾶν, ἀλλὰ καὶ τὸ ἄδοξον καὶ ἀνάξιον, ὥσπερ εἴ τις τὸν Θεὸν ὑπνοῦντα λέγοι ἢ ἀμελεῖν. Ἀσύμφορον· ἀσύμφορόν φησι τὸ μὴ συμφερόμενον, ἤτοι ἀνάρμοστον, ὃ καὶ μαχόμενον λέγεται, ὃ καὶ ἀγωνιστικώτατόν ἐστιν, ἔνθα τὸν τὴν ἱστορίαν γράφοντα ὥσπερ ἀντιλέγοντα αὐτὸν ἑαυτῷ [21] ἀνασκευάζοντες δείκνυμεν. Ἰστέον ὅτι τινὲς ἕκαστον τῶν εἰρημένων κεφαλαίων δι' ἐπιχειρημάτων πλατύνειν βούλονται, ἅπερ ἐκ τῶν περιστατικῶν ἔχει τὴν γένεσιν· ὡς ἐν τῷ περὶ εὑρέσεως [22] δείκνυται· οἷον εἰ ἀπὸ τοῦ ἀπιθάνου τὸ περὶ Μηδείας ἀνατρέπομεν διήγημα, ἐροῦμεν ἐκ μὲν τοῦ προσώπου, ὅτι ἀπίθανόν ἐστι μητέρα κακῶς ποιῆσαι τὰ τέκνα. ἐκ δὲ τῆς πράξεως, ὅτι οὐκ εἰκός ἐστιν ἀποσφάξαι. ἐκ δὲ τοῦ τόπου, ὅτι οὐδ' ἂν ἐν Κορίνθῳ

---

17 δὲ Mon. om. 18 Ald. ἐπίθανον. 19 Ald. ἰσχυρώτερον. 20 Mon. ἢ καί. 21 Codd. inserunt ἡμεῖς. 22 Codd. εὑρέσεων.

ἔνθα διέτριβεν ὁ Ἰάσων· ἐκ δὲ τοῦ χρόνου, ὅτι μὴ [23]
ἐν τούτῳ τῷ χρόνῳ, ἐν ᾧ ἡ μὲν ἐτεταπείνωτο τοῦ ἀν-
δρὸς ἐκπεσοῦσα ξένη γυνὴ, ὁ δὲ μείζω δύναμιν προσει-
λήφει γήμας Γλαύκην τὴν Κρέοντος· ἐκ δὲ τοῦ τρόπου,
ὅτι ἐπειράθη ἂν λαθεῖν καὶ οὐκ ἂν ξίφει διεχρήσατο,
ἀλλὰ φαρμάκῳ, ἄλλως τε καὶ φαρμακὶς οὖσα· ἐκ δὲ
τῆς αἰτίας, ὅτι οὐκ ἂν δι' ὀργὴν τὴν πρὸς τὸν πατέρα
τὰ [24] τέκνα ἀπέκτεινεν. οὐ γὰρ ἴδιον τοῦ Ἰάσονος, ἀλ-
λὰ καὶ αὐτῆς κοινὸν ἐγίνετο τὸ ἀτύχημα καὶ μᾶλλον αὐ-
τῆς, [25] ὅσον μαλακώτεραί πως αἱ γυναῖκες πρὸς τὰ
πάθη· τὸ δὲ προγύμνασμα· τὸ μὲν διήγημα διηγή-
σεως εἶχεν εἰκόνα, ἡ δὲ χρεία καὶ ἡ γνώμη ἀγώνων, ἡ δὲ
ἀνασκευὴ τῶν τεσσάρων τοῦ λόγου μερῶν· ἢ πᾶσαν,
ἀντὶ τοῦ τὴν πλείστην ἢ τὴν κρείττονα. Ἀρετῆς δὲ
μαντεία τεκμήριον· πέντε τινὰ παράκεινται ἀλλή- 6 A.
λοις, σύμβολον, σημεῖον, εἰκὼν, ὁμοίωμα καὶ τεκμή-
ριον· διαφέρουσι δὲ ὅτι τὸ μὲν σύμβολον καὶ σημεῖον
ἐπὶ τῶν θέσει λέγεται, καὶ ἐκ τῆς ἡμετέρας ἐστὶ δια-
νοίας· οἷον ἐν πολέμῳ σάλπιγγος ἦχος ἢ πυρὸς αὐγὴ,
τὰ δὲ λοιπὰ τρία ἐπὶ τῶν φύσει· διαφέρει δὲ ὅτι τὰ μὲν
ἡ εἰκὼν ἢ τὸ ὁμοίωμα τὴν φύσιν τοῦ πράγματος εἰκονί-
ζουσιν, [26] οὐ μέντοι ἀπαραλλάκτως, ὡς ἡ τοῦ Σωκρά-
τους εἰκών· τὸ δὲ τεκμήριον ἀναγκαίως μόνον τοῖς πρά-
γμασιν ἕπεται, μηδὲν τῶν ἐν αὐτοῖς συμβεβηκότων φέ-
ρον ἐν ἑαυτῷ· οἷον τεκμήριον τοῦ τετοκέναι τὴν γυναῖ-
κα τὸ γάλα, καὶ τοῦ πυρὸς ὁ καπνός· ἐνταῦθα μέντοι
τὸ τεκμήριον οὐ κυρίως εἴληφεν ὁ Ἀφθόνιος. [27]

---

23 Ald. Mon. *καί*. Vind. *μή*. 24 Codd. *τά* om. 25 Ald. *αὐτῆς*. 26 Ald. *οἰκονίζ*. 27 Sub *ἀνασκευή*, *ὅτι οὐκ εἰκότα*· etc. ad voc. *ἐλάνθανεν ὁ πατὴρ ἀποπνίγων* Sch. Ang. *ἀντὶ τοῦ ἠγνόει*· *καὶ Ἀριστοφάνης ἐν τῷ Πλούτῳ*· [v. 775.] *οἷοις ἂν ἀνθρώποις ξυνὼν ἐλάνθανεν.*

VI. ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΚΑΤΑΣΚΕΥΗΣ.

Ὁ μὲν Ἀφθόνιος ἰδίᾳ περὶ ἀνασκευῆς καὶ αὖθις περὶ κατασκευῆς διδάσκει, ὁ δὲ [1] Ἑρμογένης ὁμοῦ περὶ τούτων φησίν· ἀνασκευή ἐστιν ἀνατροπὴ τοῦ προκειμένου πράγματος, κατασκευὴ δὲ τοὐναντίον βεβαίωσις. προτάττεται δὲ ἡ ἀνασκευὴ τῆς κατασκευῆς, ὅτι ὁ μὲν ἀνασκευάζων ἀναλογεῖ τῷ κατηγόρῳ πρώτως λέγοντι, ὁ δὲ κατασκευάζων τῷ ἀπολογουμένῳ δευτέρῳ [2] εἰσιόντι· ἢ ὅτι ἀπὸ τῶν εὐχερεστέρων ἐπὶ τὰ δυσχερέστερα προβαίνομεν. εὐχερέστερον δὲ ἀνατρέπειν τὰ μυθικὰ ἢ βεβαιοῦν. κατασκευή ἐστιν· ἕτεροι οὕτως ὡρίσαντο· λόγος κατασκευαστικὸς τοῦ προτεθέντος [3] πιθανῶς λόγου. Ἀλλ' ὅσα μέσην ἔχει· τουτέστι τὰ ἀμφίδοξα, τὰ μὲν γὰρ πάντη ἀληθῆ οὐ δεῖται κατασκευῆς· τὰ δὲ πάντη ψευδῆ γελοῖόν ἐστι κατασκευάζειν. καὶ [4] πρῶτον μὲν οὔτε τὴν τῶν φησάντων διαβολὴν ἢ εὐφημίαν, οὔτε τὴν τοῦ πράγματος ἔκθεσιν κεφάλαια ὀνομάζει, διὰ τὸ τὴν μὲν προοιμίῳ ἀναλογεῖν, τὴν δὲ διηγήσει· τὰ γὰρ κεφάλαια τῶν ἀγώνων ἐστίν· ἔδει οὖν κατὰ ταῦτα κἂν τῇ χρείᾳ καὶ τῇ γνώμῃ τό τε ἐγκωμιαστικὸν ὡς ἀναλογοῦν προοιμίῳ καὶ τὸ παραγραφικὸν [5] τῇ διηγήσει μὴ κεφάλαια εἰπεῖν· ὁ δὲ οὕτως ὠνόμασεν. Εἶτα ἐν μέρει· ἐπειδὴ γὰρ τὸ αὐτὸ δέον ἀνασκευάζειν καὶ κατασκευάζειν, οὐ δεῖ προεκθεμένους ὅλον ἐν τῇ ἀνασκευῇ τὸ διήγημα ταυτολογεῖν διόλου πάλιν ἐν τῇ κατασκευῇ· ἢ ἐπειδὴ τὰ δραματικὰ ῥᾷον ἀνασκευάζεται ἢ κατασκευάζεται, ἐν μὲν τῇ ἀνασκευῇ ἀθρόον ἐκτιθέμεθα τὸ πρᾶγμα, ἅτε δὴ καὶ πάντα τὰ ἐν τῇ ἐκθέσει ἀνασκευάσαι

---

1 Vind. δ'. 2 Mon. δευτέρως. 3 Vind. πιθανῶς προτεθ. 4 καὶ πρῶτον μὲν — ὁ δὲ οὕτως ὠνόμασιν. εἶτα Vind. h. l. om. et post πρὸς πάντα κατασκευῆς ἔχοντες ponit. 5 Mon. παραφραστικόν.

δυνάμενοι, ἐν δὲ τῇ κατασκευῇ ἔσθ' ὅτε καί τινα καὶ τῶν ἐν τῇ ἀνασκευῇ ἐκτεθέντων παραλιμπάνομεν, ἅτε δὴ μὴ [6] εὐπόρως τῆς πρὸς πάντα κατασκευῆς ἔχοντες. Ἀντὶ μὲν τοῦ ἀσαφοῦς· ὥσπερ ἀσαφὲς ἐλέγετο τὸ μὴ ὂν φανερὸν διὰ τὴν τῶν εἰκότων ἀπουσίαν, οὕτω καὶ σαφὲς τὸ εἰκὸς πιστευθῆναι διὰ τὴν τῶν εἰκότων μαρτυρίαν. οὐ πάντως δὲ τὸ αὐτὸ μέρος τοῦ διηγήματος, τὸ διὰ τοῦ ἀσαφοῦς ἀνασκευαζόμενον, διὰ τοῦ ἀσαφοῦς κατασκευασθήσεται, ἀλλ' ἔστι [7] μὲν ὅτε διὰ τούτου, ἔστι δ' ὅτε δι' ἑτέρου τῶν προκειμένων κεφαλαίων, ἤτοι ἑνὸς ἢ καὶ πλειόνων· τὸν ἴσον δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων κεφαλαίων τοῦτο νοεῖν χρή. Πρώτη τῶν ἄλλων γενομένη τῆς γῆς· συνεξακούεται καὶ τοῦ Ἀάδωνος ὡς μηδενὸς τάχα πρὸ αὐτῆς ἐκ ποταμοῦ καὶ γῆς γεννηθέντος. Στέργουσιν ἅπαντες· δῆλον δὴ ὅτι καὶ θεοὶ ἕτεροι. ἐνδεεῖς γὰρ οἱ τῶν Ἑλλήνων θεοὶ τοῦ ἀλλήλων ἀγαθοῦ, ὅθεν καὶ παρακατιὼν καὶ ἀτελεῖς αὐτοὺς φήσει πρὸς ἀρετήν· καὶ διώκοντας μὲν αὐτήν, μὴ καταλαμβάνοντας δέ. Τὸ μέτρον τιμῶ· ἤτοι τὰ ἔμμετρα ποιήματα. [8]

VII. ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΚΟΙΝΟΥ ΤΟΠΟΥ.

Μετὰ τὴν ἀνασκευὴν καὶ κατασκευὴν τέτακται ὁ κοινὸς τόπος ἀναλόγως τοῖς τοῦ πολιτικοῦ λόγου μέρεσιν,

---

6 Mon. μὴ, Ald. Vind. καί. 7 Vind. ἔστιν. 8 Sub κατασκευὴ, ὅτι εἰκότα ad voc. οἷς τὸ κάλλος δωρεὰ τῶν θεῶν, Sch. Ang. τὸ τῆς ψυχῆς, τουτέστι τὴν ἀρετήν. in alt. marg. κάλλος λέγει τὴν ἀρετήν. Ἃ γὰρ θεοὶ δωροῦνται Sch. τὰ γὰρ ἑαυτῶν ποιήματα ἀγαπῶσι θεοί. πρὸς βίαν ἔχουσι. Sch. τὸ πρὸς περισσὸν Ἀττικῶς. ποθῶν οὐ κατείληφεν Sch. κλῖμαξ ἀτελής. τὸ μέτρον τιμῶ· τουτέστι τὰ τούτων ποιήματα τὰ ἔμμετρα.

εἴγε ὁ μὲν μῦθος προοιμίῳ ἀναλογεῖ, διηγήσει δὲ τὸ διήγημα, χρεία δὲ καὶ τὰ λοιπὰ τρία τοῖς ἀγῶσιν, ὁ δὲ κοινὸς τόπος ἐπιλόγῳ. Κοινός ἐστι τόπος· ἕτεροι
B. οὕτως ὡρίσαντο· αὔξησις καὶ καταδρομὴ ὁμολογουμένου ἀδικήματος. ἡμάρτηται δὲ ὁ ὅρος, ὅτι κατηγορίαν μόνον ἔχει, οὐ μὴν καὶ συνηγορίαν. ἕτεροι δὲ προσέθηκαν τῷ ἀδικήματος ἢ ἁμαρτήματος[1] τῷ διαφέρειν αὐτά· ἀδίκημα μὲν γὰρ τὸ εἰς ἑτέρου βλάβην γινόμενον, οἷον φόνος, μοιχεία· ἁμάρτημα δὲ τὸ εἰς τὸν πράττοντα μόνον περιϊστάμενον, οἷον ἀσωτεία,[2] μέθη. παροξύνομεν οὖν τοὺς δικαστὰς ἐπὶ μὲν τῶν ἀδικημάτων εἰς τιμωρίαν, ἐπὶ δὲ τῶν ἁμαρτημάτων εἰς ἀποστροφήν τε καὶ μῖσος. Αὐξητικός· οὐ γὰρ ζητοῦμεν, εἰ οὗτος ἱερόσυλός ἐστιν, ἢ οὗτος ἀριστεύς, ἀλλ' ὡς προαποδεδειγμένου τὴν αὔξησιν ποιούμεθα. ὅτε γὰρ ἀδήλου τοῦ πράγματος ὄντος ῥᾳθύμως περὶ αὐτὸ διακείμεθα, χρεία λόγων, οὐκ ἀποδεικτικῶν, οὐδὲ ἐξεταστικῶν, ὥσπερ ἐν τοῖς ἀγῶσιν, ἀλλ' αὐξήσεως καὶ δεινώσεως. Εἴρηται δὲ οὕτως· ὁ μὲν Ἀφθόνιος ἀπὸ τοῦ κοινῇ πᾶσιν ἁρμόττειν φησίν· ἕτεροι δὲ κοινὸν τόπον φασὶν οὐχ ὅτι κατὰ τυράννου μόνον εἴρηται,[3] ἀλλὰ καὶ ὑπέρ τυραννοκτόνου, καὶ ὅτι κοινῇ καὶ ἐπὶ πάντων τῶν δικανικῶν καὶ συμβουλευτικῶν ἐπὶ τέλους τίθεται ζητημάτων, καὶ ὅτι οὐ μόνος ὁ διώκων ἐν τοῖς κατὰ κρίσιν ἢ ἀξίωσιν αὐτῷ χρῆται, ἀλλὰ καὶ ὁ φεύγων. καὶ ὅτι καθάπερ ἀπὸ κοινοῦ τινος ὁρμώμενοι τόπου καὶ τὰς ἀφορμὰς ἐκεῖθεν λαμβάνοντες καὶ κατ' ἰδικῶν[4] ἐπιχειροῦμεν προσώπων· τόπος δὲ εἴρηται οἱονεὶ ἐπιχείρημα. τόποι γὰρ τὰ ἐπιχειρήματα λέγονται, διότι ἀπ' αὐτῶν ὡς ἐκ τόπου ἐπιτηδείου ὁρμώμενον τὸ δοκοῦν ἡμῖν βεβαιοῦμεν. ἰστέον δὲ,

1 ἢ ἁμαρτ. Mon. om. 2 Vind. ἀσωτία. 3 Mon. γίνεται. 4 Ald. Mon. εἰδικῶν. Vind. ἰδικῶν.

δὲ, ὅτι τινὲς εἶπον τοὺς μὲν τῶν κοινῶν τόπων ἁπλοῦς εἶναι, οἷον κατὰ ἱεροσύλου ἢ κλέπτου, τοὺς δὲ διπλοῦς, οἷον κατὰ ἱερέως φονέως,[5] ἱεροσύλου, ἢ στρατηγοῦ προδότου· ἁμαρτάνειν δὲ τούτους ἄλλοι φασὶν ἐν τοῖς διπλοῖς· οὐ γὰρ ὑπεύθυνα τὰ πρόσωπα, ὅθεν καὶ περιαιρεθέντος τοῦ ἀδικήματος κατὰ στρατηγοῦ μόνου ἢ ἱερέως οὐδέν τι λέγειν τις ἕξει. ἀλλ' εἰ ἄρα, φασὶ, καὶ γένοιτο διπλοῦς, γένοιτ' ἂν κατὰ μοιχοῦ φονέως ἢ κλέπτου φονέως, ὧν καὶ ἑκάτερον ἰδίᾳ κρίσιν ἐπιδέχεται. ἕτεροι δὲ καὶ τούς τε προτέρους διπλοῦς δέχονται αὔξησιν λαμβάνοντας ἀπὸ τῆς τῶν προσώπων ποιότητος, καὶ ἔτι τριπλοῦς καὶ πολλαπλοῦς τῇ προσθήκῃ τῶν περιστατικῶν ἐφευρίσκουσιν. ὁ μὲν γὰρ Ἀφθόνιος πράγματος μόνον κατηγορίαν εἰσάγει, οἱ δὲ καὶ ἐκ προσώπου, οἷον κατὰ ἱερέως· καὶ ἔτι ἐκ τόπου, οἷον καὶ ἐν ναῷ φονεύσαντος· καὶ ἔτι ἀπὸ χρόνου, οἷον καὶ ἐν ἑορτῇ. ἐμοὶ δὲ δοκεῖ μὴ κοινὸν τόπον κατὰ τῶν τοιούτων εἶναι. οὐ γὰρ ἔστιν εὑρεῖν πολλὰς τοιαύτας περιστάσεις ὁμοῦ συνδραμούσας, ὡς πολλοὺς μοιχοὺς καὶ ἱεροσύλους ἐστὶν εὑρεῖν. Δευτερολογίᾳ· ἐν γὰρ τοῖς ἀγῶσι μερικῶς εἰπόντες καὶ ἀποδείξαντες τὸν Αἰσχίνην, εἰ τύχοι, προδότην, ἐν τοῖς ἐπιλόγοις κατὰ πάντων τῶν προδοτῶν ἐροῦμεν. δευτερολογίας δὲ τρόπους τέσσαρας εἶναί φασιν, εἷς μὲν ὅτε τοῦ αὐτοῦ προσώπου καὶ πράγματος μένοντος δύο γίνονται λόγοι, ὥστε κατηγορήσαντος τοῦ διώκοντος καὶ ἀπολογησαμένου τοῦ φεύγοντος αὖθις κατηγορῆσαι τὸν διώκοντα, καὶ ἀνατρέποντα τὴν ἀπολογίαν καὶ τὸν φεύγοντα πάλιν ἀπολογήσασθαι πρὸς τὴν δευτέραν κατηγορίαν, ὡς εἶχον αἱ τοῦ Ἀντιφῶντος δευτερολογίαι· δεύτερος δὲ, ὅταν[6] τοῦ αὐτοῦ προσώπου μένοντος τὸ ζητούμενον πρᾶγμα διάφορον εὑρίσκηται·[7]

5 φονέως ex codd. addidi. 6 Mon. ὅτι. 7 Ald. Codd. εὑρίσκεται.

ποιουμένων ἡμῶν πρῶτον λόγον περὶ τοῦ ἐγκλήματος, καὶ ἀποδεικνύντων ὅτι προδέδωκε, καὶ δεύτερον λεγόντων, τίς [8] αὐτῷ τιμωρία προσήκει. τρίτος ὅταν τοὐναντίον τοῦ αὐτοῦ πράγματος μένοντος τὸ πρόσωπον ἐναλλάττηται, ὅταν ἐπὶ τῷ αὐτῷ πράγματι ὁ μέν τις πρότερος λέγῃ, [9] ὃ καὶ πρωτολογία λέγεται, ὁ δὲ δεύτερος, ὡς ἐν τῷ κατὰ Ἀνδροτίωνος πρότερος ἔφη ὁ Εὐκτήμων, δεύτερος δὲ ὁ Διόδωρος· τέταρτος, ὅταν τις διττολογῇ, τουτέστι δὶς τὰ αὐτὰ λέγῃ, [10] ἀνακεφαλαίωσιν τῶν προαποδειχθέντων ποιούμενος· ὁ κοινὸς οὖν τόπος τῷ τετάρτῳ τῆς δευτερολογίας ἔοικεν εἴδει· διαφέρει δὲ
7 A. αὕτη τοῦ ἐπιλόγου τῷ τὴν μὲν ἀνακεφαλαίωσιν μόνην εἶναι, τὸν δὲ δευτερολογίαν τε καὶ τοῦ πράγματος αὔξησιν. διαφέρει τούτων [11] ἀμφοῖν ὁ κοινὸς τόπος, ὅτι ἐκεῖνα μὲν μέρη τοῦ ὅλου λόγου ἐστὶν, ὁ δὲ ὅλον τι· [12] καὶ ὅτι ἐκεῖ μὲν ὡρισμένον ἐστὶ πρόσωπον, ἐνταῦθα δὲ κοινῶς [13] κατὰ πάντων ἐστὶν [14] εἰπεῖν μοιχῶν. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν, ὅτι ὁ περὶ τοῦ προστιμήματος αὐξητικὸς λόγος μετὰ τὸν ἀποδεικτικὸν γινόμενος ἰδίᾳ μὲν τεθεὶς δευτερολογία λέγεται, συνημμένως δὲ τῷ λοιπῷ τοῦ λόγου σώματι μέρος τε αὐτοῦ ἐστι καὶ καλεῖται ἐπίλογος. Ἐκ τοῦ ἐναντίου. διαφέρει τὸ ἐν τῷ κοινῷ τόπῳ ἐναντίον τοῦ ἐν τῇ χρείᾳ καὶ γνώμῃ· ἐκεῖνο μὲν γὰρ τὰ ἐναντία παρίστησι τοῦ πρὸ αὐτοῦ κεφαλαίου, τοῦτο δὲ τοῦ μετ' αὐτό· κἀκεῖνο μὲν τἀναντία οὐ τῆς διηγήσεως, ἀλλὰ τῆς αἰτίας φησὶ, τοῦτο δὲ αὐτῆς τῆς [15] ἐκθέσεως· καὶ ὅτι τοῦτο μὲν τὰ πρεσβύτερα τῶν προκειμένων διέξεισιν, ἐκεῖνο δὲ οὐ πάντως τὰ πρεσβύτερα· καὶ

---

8 Vind. ὅτι. 9 Ald. Vind. λέγει. Mon. λέγῃ. 10 Mon. λέγει. 11 Ald. Vind. τὸ τούτων. Mon. τὸ om. 12 Ald. Vind. τί. Mon. ἐστί. 13 Vind. κοινός. Mon. κοινόν. 14 Vind. φέρε. Mon. φέρει. 15 τῆς Vind. om.

ὅτι ἐκεῖνο μὲν ἐργασίας ἐπέχει τόπον ὡς κατασκευαστικόν, τοῦτο δὲ προδιηγήσεως. Τὴν ἔκθεσιν· μετὰ τὸ ἐναντίον ἀναλογοῦν τῇ προδιηγήσει εὐθὺς ἐπάγει τὴν ἔκθεσιν ἀναλογοῦσαν τῇ διηγήσει. Ἀλλ' ὡς παροξύνων· ἐν μὲν γὰρ τῇ διηγήσει ἁπλῶς τὸ πρᾶγμα ἐροῦμεν· ἐνταῦθα δὲ μετὰ δεινώσεως καὶ αὐξήσεως. Τὴν σύγκρισιν· τριχῶς γίνονται αἱ συγκρίσεις, ἀπὸ τοῦ μείζονος, ἀπὸ τοῦ ἴσου, ἀπὸ [16] τοῦ ἐλάττονος. τινὲς δέ φασι καὶ ἀπὸ τοῦ ἐναντίου, οἷον ὑποκειμένης ἱεροσυλίας, ἀπὸ μὲν τοῦ μείζονος ἐροῦμεν, δεινὸν ἡ ἀσέβεια, οὐδὲν δὲ ἧσσον [17] καὶ ἡ ἱεροσυλία· ἄμφω γὰρ περὶ τοὺς θεοὺς ἐξυβρίζουσιν· ἀπὸ δὲ τοῦ ἴσου, εἰ τὸν ἀπὸ τοῦ ναοῦ τοῦ Διὸς ἱεροσυλήσαντα [18] τῷ ἀπὸ τοῦ ναοῦ τῆς Ἥρας ἱεροσυλήσαντι παραβάλλοιμεν. [19] ἀπὸ δὲ τοῦ ἐλάττονος, οἷον εἰ δεινὸν ὁ κλέπτης, πολλῷ δήπου ὁ ἱερόσυλος· ἀπὸ δὲ τοῦ ἐναντίου, οἷον εἰ ὁ ἀναθήματα τοῖς θεοῖς προσφέρων ἐπαίνων ἄξιος, κολαστέον δήπου τὸν ἱερόσυλον· καὶ ὅτε μὲν ἀπὸ τοῦ μείζονος συγκρίνοιμεν, [20] ἴσον τὸν παραβαλλόμενον [21] τῷ μείζονι ποιήσομεν, ἀλλ' οὐ μείζονα, ἵνα μὴ ἀπίθανα δόξωμεν λέγειν καὶ καταγέλαστα. εἰ δὲ καὶ μείζονα βουλησόμεθα ἀποδεῖξαι, πρότερον τὸ ἴσον ἀποδείξαντες οὕτως ἐπὶ τὸ μεῖζον χωρήσομεν. οἷον μοιχείας ὑποκειμένης, ὅτι μηδὲν ἔλαττον κακὸν μοιχεία [22] ἱεροσυλίας· ἄμφω γὰρ θείους πατοῦσι νόμους. εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, καὶ [23] μεῖζον· ὁ μὲν γὰρ περὶ κτήματα, ὁ δὲ περὶ αὐτὸν τὸν ἄνθρωπον ἁμαρτάνει. ἐπὶ δὲ τῶν [24] ἀπὸ τοῦ ἐλάττονος ἐπιτιμητι-

16 Vind. καὶ τοῦ. 17 Vind. Mon. ἧττον. 18 Ald. Codd. ἱεροσυλήσαντος. 19 Mon. παραβάλλομεν. 20 Mon. συγκρίνομεν. 21 Ald. παραβαλλόμεν τῷ μείζονει. 22 Ald. μοιχείας ἱεροσυλία. Mon. ἱεροσυλίας μοιχεία. Vind. ἱεροσυλία μοιχείας. 23 καὶ Vind. om. 24 Ald. Mon. τὸν, Vind. τῶν.

κῶς τὸν λόγον προσάξομεν· [25] οἷον εἶτα τὸν κλέπτην δεινὸν ἡγούμενοι οὐ πολλῷ τούτου δεινότερον τὸν ἱερόσυλον λογισόμεθα; [26] καὶ ποιήσομεν τοῦτο ἐντέχνως· ἢ διὰ τὸ ἄγαν τῆς ἐπιχειρήσεως ἰσχυρὸν, ἢ ὅτι καθαιρεῖ τὸν ὑπάρχοντα ὄγκον· ἀπὸ τῆς φύσεως ὁ ἀπὸ τοῦ ἥττονος τῆς συγκρίσεως τρόπος· ἂν γὰρ εἴπωμεν, ὅτι ὁ ἱερόσυλος μείζων ἐστὶ τοῦ κλέπτου, οὐ μᾶλλον αὔξεται ἢ καθαιρεῖται τῆς ἱεροσυλίας τὸ μέγεθος. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι τὰς συγκρίσεις οὕτως ὀφείλομεν σχηματίζειν, ὡς μόνον τὸ μεῖζον τῷ παραβαλλομένῳ συνάγεσθαι, μὴ μέντοι καὶ τιμωρίας ἤ τινος ἄλλου ἄξιον ἀποφαίνεσθαι. οἷον εἰπόντες εἰ τὸν κλέπτην κολαστέον, οὐ πολλῷ μᾶλλον τὸν ἱερόσυλον; ἐργασίαν [27] ἀπὸ τοῦ μικροτέρου ποιοῦμεν, οὐ σύγκρισιν. συγκριτέον δὲ τὰ ὁμογενῆ, οἷον τυμβωρύχον πρὸς κλέπτην καὶ ἱερόσυλον· ὁμογενῆ γὰρ τὰ ἐν ταῖς [28] αἰτίαις ἐξεταζόμενα. Συνάγων· φωνὴ φιλοσόφων ἐστί. συνάγειν [29] γὰρ τὸ ἐπάγειν τὸ συμπέρασμά φασι, καὶ συναγωγὴ καὶ συμπέρασμα ταὐτόν· ἢ μὲν ὅτι ἐκ δύο προτάσεων συνάγεται, τὸ δὲ ὅτι πέρας ἐπιτίθησι τῷ λόγῳ· τοῦτο δὲ καὶ ἐπὶ τῆς συγκρίσεως θεωρεῖται. οἷον ὁ Ἕκτος ἀπάνθρωπος, ὁ Φάλαρις τὴν ἐκείνου μιμεῖται ὠμότητα, ὁ Φάλαρις ἄρα τοῦ μισεῖσθαι κατὰ τὸν Ἕκτον ἄξιος. Τῷ [30] κατηγορουμένῳ· νοητέον ἔξωθεν τὸ, [31] ἢ τῷ συνηγορουμένῳ. Εἶτα γνώμην, ἢ ὅτι οὐκ ἄκων τὸ δεινὸν ἐποίησεν ἀλλ' ἑκών. ἢ ὅτι πονηρὸς ὢν καὶ πονηρὰ ἐθισθεὶς πράττειν

B.

---

25 Ald. Vind. *πράξομεν*. Mon. *προσάξομεν*. 26 Codd. *λογισόμεθα*. Ald. *λογισώμεθα*. 27 *ἐργασίαν ἀπὸ τοῦ — κλέπτην καὶ ἱερόσυλον* Vind. om. 28 Mon. *ταῖς αὐτῶν ἀ*. 29 *ἐκ παραθέσεως* Schol. Ang. *ὁμοιώσεως*. *συνάγων* Schol. *τὸ συνάγειν τῶν φιλοσόφων ἐστί*. *τῷ κατηγορουμένῳ* Schol. *συνηγορουμένῳ*. 30 *τῷ κατηγ. — συνηγορουμένῳ* Mon. om. 31 *τὸ* Vind. om.

καὶ τοῦτο πεποίηκε. τὸν ἴσον δὲ τρόπον νοητέον καὶ ἐπὶ τοῦ συνηγορουμένου· γνώμην γὰρ ἐνταῦθά φησιν αὐτὴν τοῦ προσώπου τὴν γνώμην, καθ' ἣν τόδε [32] ἔπραξε. *Παρέκβασιν*· ὁ μὲν Ἑρμογένης ποιότητα αὐτὴν ὀνομάζει, διότι ἐν αὐτῇ τὴν τοῦ προσώπου ποιότητα ἐξετάζομεν· ὁ δὲ Ἀφθόνιος παρέκβασιν, διότι ἐν αὐτῇ τῶν προκειμένων [33] ἐξιστάμενον περὶ τῶν φθασάντων [34] σκοποῦμεν, πλὴν ὁ μὲν Ἀφθόνιος τὸν φθάσαντα μόνον βίον ἀξιοῖ κακίζεσθαι, σὺ δὲ καὶ τὸν μέλλοντα ἐξετάσεις, τίς ἔσται, λέγων, εἰ ἀφεθείη. *Στοχαστικῶς*· ἀόριστον γὰρ τὸ πρόσωπον· εἰ δὲ ὡρισμένον ἦν, ὡς Περικλῆς, ἀποφαντικῶς ἂν ἐλέγομεν. *Ἐλέου ἐκβολήν*· αὕτη ἡ μὲν ἐκ τοῦ ὁμοίου γίνεται, ὅταν τοῖς ὁμοίοις ὅμοια παραβάλλωμεν· οἷον γυναῖκα οὖν καὶ παιδία ὁ φονεὺς κλαίοντα παραστήσεται, ἀλλ' ἐνθυμήθητε καὶ τὰ τοῦ φονευθέντος παιδία καὶ τὴν γυναῖκα· ἐκ δὲ τοῦ ἀνομοίου, ὅταν τείχη καὶ χώρας καὶ στρατόπεδα καὶ νόμους παραβάλλωμεν παισὶ καὶ γυναιξί, ὡς ὁ [35] Δημοσθένης ἐν τῷ κατὰ Μειδίου. Ἐν μέντοι τοῖς ὑπέρ τινος κοινοῖς τόποις ἢ οὐκ ἐμπεσεῖται τὸ τοιοῦτον κεφάλαιον, ἢ, εἰ ἐμπεσεῖται, ἐλέου εἰσβολὴ μᾶλλον, ἀλλ' οὐκ ἐκβολὴ κληθήσεται. οἷον ἐνθυμήθητε, ὦ ἄνδρες, ἐν ὅσῃ μὲν εὐθυμίᾳ οἱ τοῦ τυραννοκτόνου παῖδες τὸ γέρας λαβόντες [36] ἔσονται· ἐν ὅσῃ δὲ ἀθυμίᾳ τῆς ἐλπίδος αὐτοῖς διαπεσούσης. *Τὰ τελικὰ κεφάλαια*. τελικὰ λέγονται, ἢ διότι ἐν τῷ τέλει τοῦ πολιτικοῦ λόγου ὀφείλουσι τίθεσθαι ἐν τῇ κοινῇ ποιότητι, ἢ ὅτι τὰ τέλη πάντων περιέχουσι τῶν πραγμάτων· κατὰ ταύτας γὰρ τὰς δυνάμεις τὰ πράγματα ἐξετάζεται· ὡς νόμιμον, ἢ

---

32 Codd. τόδε τι. 33 Ald. προκημένων. 34 Schol. Ang. οἷον, τίς οὗτος ἦν κατὰ τὸν παρελθόντα χρόνον. 35 ὁ Codd. om. 36 Vind. λαβόντος.

ἄνομον, ὡς δίκαιον ἢ ἄδικον, καὶ τὰ λοιπά· ἢ ὅτι τούτων ἕκαστον αὐτὸ καθ' ἑαυτὸ δύναται πέρας ἐπιθεῖναι τῷ λόγῳ. οὕτω καὶ Δημοσθένης μόνῳ τῷ συμφέροντι τοὺς Ὀλυνθιακοὺς ἐξετέλεσεν, ὥσπερ οὐδ' ἐν τοῖς κοινοῖς τόποις ἀγωνιζόμενοι πάντα ἀπαιτούμεθα, εἰ μήπου γυμνασίας χάριν. Νόμιμον. ἐνταῦθα εἰ μὲν ἔχομεν νόμον κείμενον, ἐκείνῳ χρησόμεθα· εἰ δὲ μὴ ἔχομεν, τὸ ἐναντίον τῷ προκειμένῳ σκοπήσομεν· κἂν μὲν [37] εὕρωμεν ἐπ' ἐκείνῳ νόμον, ἐξ ἐκείνου ἐπιχειρήσομεν. οἷον προκειμένου λέγειν κατὰ λειποτάκτου, ἐὰν μὴ ἔχωμεν [38] κατ' αὐτοῦ νόμον, ἔχωμεν δὲ ὑπὲρ ἀριστέως, ἀπ' ἐκείνου ἐπιχειρήσομεν, ὅτι εἰ τοὺς ἀριστεῖς στεφανοῦσιν οἱ νόμοι, πάντως τοὺς λειποτάκτας κολάζεσθαι βούλονται· εἰ δὲ μηδὲν [39] ἐπὶ τοῦ ἐναντίου ἔχομεν, ταῖς καθολικαῖς ἐννοίαις χρησόμεθα, ὅτι οἱ νόμοι τοὺς τὰ φαῦλα πράττοντας μισοῦσι καὶ διὰ τοῦτο κολάζουσι. Δίκαιον· τὸ δίκαιον ἐν μὲν τοῖς κατά τινων ἐγκληματικῶς ἐμπεσεῖται. οἷον δικαιόν ἐστι τόνδε [40] τόδε παθεῖν. ἐν δὲ τοῖς ὑπέρ τινων ἀντιστατικῶς, [41] οἷον εἰ καὶ μεγάλα αἰτεῖται, δίκαιόν ἐστιν ὅμως ταῦτα λαβεῖν· ἐπὶ μεγάλοις γὰρ τὴν πόλιν ὠφέλησε. τέτακται δὲ μετὰ τὸ νόμιμον ὡς συγγενές. εἴ τι γὰρ νόμιμον, τοῦτο καὶ δίκαιον. Συμφέρον· μετὰ το νόμιμον καὶ δίκαιον τέτακται τὸ συμφέρον, ὅτι ἐκεῖνα μὲν τοῦ ἀποφαντικοῦ λόγου καὶ βεβαιότερα, τοῦτο δὲ τοῦ στοχαστικοῦ· περὶ γὰρ τὸ μέλλον ἔχει τὴν ζήτησιν. Δυνατόν· οἷον εἰ μὲν μὴ δυνατῶς εἴχομεν τόδε τι ποιῆσαι, ἦν ἂν τόδε· ἐπεὶ δὲ τόδε καὶ ἐφεξῆς· συμπλέκεται δὲ τὸ δυνατὸν τῷ συμφέροντι, ἐπει-

37 μὲν Mon. om. post. Vind. ἔχωμεν. 38 Mon. Ald. ἔχομεν. h. l. et paullo 39 Vind. μηδ' ἐπί. 40 Ald. τόδε τόνδε. Codd. τόνδε τόδε. corrigit Vind. 41 Ald. Mon. ἀντιστατικοῖς.

δὴ καὶ θάτερον θατέρου ἀπολειφθὲν[42] οὐδὲν ἰσχύει. Ἔνδοξον· οἷον τίς δόξα τῇ πόλει προσέσται τόδε τι ποιησαμένων[43] ἡμῶν, καὶ τίς εἰ τοὐναντίον. διαφέρει δὲ τοῦ συμφέροντος, κοινωνοῦν αὐτῷ κατὰ τὸ ἐκβησόμενον· ὅτι ἐκεῖνο μὲν καὶ ἐν σώμασιν[44] ἢ ἄλλῳ τινὶ, τοῦτο δὲ εἰς δόξαν ἢ ἀδοξίαν τείνει. Τὸ ἐκβησόμενον· τοῦτο τέλος ὂν τοῦ συμφέροντος ἰδίᾳ τέθειται. τὸ μὲν γὰρ ἐν ἐκείνῳ ὀποβησόμενον ἐκ τῶν προσεχῶν λαμβάνεται,[45] οἷον δεῖ τιμωρηθῆναι τὸν τύραννον, ἵνα μὴ καὶ ἕτερος τυραννήσῃ, τοῦτο δὲ ἐκ τῶν ἀπωτέρω·[46] οἷον οὐκέτι καταλήψεταί τις τὴν ἀκρόπολιν, οὐκέτι τὴν 8 Α. πόλιν δουλώσει. Ἰστέον δὲ ὅτι τῶν προγυμνασμάτων τῶν μὲν ὄντων μερῶν, τῶν δὲ καὶ μερῶν καὶ ὅλων, ὁ κοινὸς τόπος τούτων[47] κἀκείνων εὑρίσκεται, καὶ ὅτι τὴν περὶ τὸ δικανικὸν ὁ κοινὸς τόπος ἐπαγγέλλεται μελέτην. ὥσπερ φασὶν οἱ μὴ προσδεχόμενοι κοινὸν τόπον ὑπέρ τινος· εἰ δ' ἐκεῖνοι μηδὲν λέγουσι, γένοιτ' ἂν ἐν κοινῷ τόπῳ καὶ[48] περὶ τὸ πανηγυρικὸν γυμνασία.[49]

---

42 Ald. ἀποληφθέν. 43 Vind. ποιησάντων. 44 Codd. χρήμασιν. 45 Ald. Mon. λαμβάνον. corrigit Vind. 46 Mon. ἀπωτέρω. Ald. Vind. ἀποτέρω. 47 Vind. κακείνων καὶ τούτων. 48 καὶ περὶ Vind. om. 49 Sub κοινὸς τόπος κατὰ τύρ. ad voc. ὡς ἑστήκασι Sch. Ang. τὸ ὡς ἀντὶ τοῦ ἕως, ἢ ἀντὶ τοῦ ἐπειδή. δημοτικώτερος. In Cod. superscriptum est: πολιτικώτερος· ad marg. εἰώθασι γὰρ οἱ ποιηταὶ δημότας καλεῖν τοὺς μετρίους καὶ ταπεινούς. μίαν πᾶσιν — — γνώμην· τὸ ἀρκεῖσθαι τοῖς ἰδίοις, καὶ τῶν ἀλλοτρίων μὴ ἐφίεσθαι. παρὰ τοὺς πολλοὺς ὀφθείς. ἀντὶ τοῦ ὑπὲρ τοὺς πολλοὺς, τουτέστι κρείττων τῶν πολλῶν. τουτονὶ καὶ διασώσειε· παρέλκει τὸ καὶ κατ' ἔθος Ἀττικόν. τό τε γὰρ φθάσαν· τὸ προλαβόν, τὸ παρελθόν. τῶν γεγενημένων ἐστὶ χαλεπώτερον· τὸ κατὰ ἄθροισιν σχῆμα, ὅπερ ἐστὶν ἴδιον εὐκρινείας. διὰ μὲν γὰρ τοὺς τούτου παῖδας· ἤτοι θαρρῶν, ὡς ἀφεθήσεται διὰ τούτων, ἢ πάλιν τυραννήσει, αὐτὸς διαδοχὴν καταλιπὼν τυραννίδος.

VIII. ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΕΓΚΩΜΙΟΥ.

Μετὰ τὰ προλαβόντα προγυμνάσματα [1] τέθειται τὸ ἐγκώμιον ὡς τελείαν ἔχον πανηγυρικοῦ λόγου διαίρεσιν, καὶ τελεωτέρας δεόμενον ἕξεως. Ἔδει οὖν, φασὶ, μὴ συντάττεσθαι τοῖς προγυμνάσμασιν ἀτελέσιν οὖσι· φαμὲν οὖν ὅτι οὐχὶ πλατύνειν [2] τὰ ἐν αὐτῷ κεφάλαια οἱ γυμναζόμενοι ἀπαιτοῦνται, ἀλλὰ τύπους μόνον [3] ποιεῖν εἰς γνῶσιν τῆς αὐτῶν φύσεως. ἢ καὶ ὅτι ἐπειδὴ ἐν τῇ ῥητορικῇ περὶ μόνου τοῦ συμβουλευτικοῦ καὶ δικανικοῦ καὶ συμβουλευτικοῦ ἐν ταὐτῷ καὶ πανηγυρικοῦ Ἑρμογένης ἐδίδαξεν, οὐ μὴν καὶ περὶ μόνου [4] πανηγυρικοῦ, εἰκότως ἐν τοῖς προγυμνάσμασι περὶ μόνου αὐτοῦ διαλαμβάνεται. Τῷ γὰρ Ἑρμογένει περὶ πολιτικοῦ λόγου ἐστὶν ὁ σκοπός· οἱ δέ φασι διὰ τοῦτο τοῖς προγυμνάσμασι τοῦτο συντάττεσθαι, καί τοι τελείου λόγου ἔχον διαίρεσιν διὰ τὴν τοῦ πανηγυρικοῦ εἴδους εὐχέρειαν· πολλῷ γὰρ ῥᾷον αὐξῆσαι τὰ ὁμολογούμενα ἀγαθὰ ἢ κακὰ, ἢ ἀνασκευάσαι καὶ κατασκευάσαι τὰ μὴ [5] ὁμολογούμενα, ἢ καὶ ὅτι πολλάκις ὡς μέρος τοῦ πολιτικοῦ λόγου [6] λαμβάνεται, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου καὶ ἐν τῷ πρὸς Λεπτίνην, καὶ ἐν τοῖς συμβουλευτικοῖς· καὶ γὰρ καὶ τοῦτο ὡς ὁ κοινὸς τόπος καὶ ὅλον καὶ μέρος ἐστίν. Ἐκθετικός· τινὲς ἐκθετικὸς καὶ αὐξητικός φασιν. εἰ μὴ γὰρ τοῦτο προστεθείη, οὐδὲν διοίσει ψιλῆς ἱστορίας. διαφέρει δὲ ἐγκώμιον τοῦ ὑπέρ τινος κοινοῦ τόπου τῷ τέλει καὶ τῇ ἐκβάσει· ἐν μὲν γὰρ τῷ κοινῷ τόπῳ σκοπός ἐστι δωρεὰν λαβεῖν, τὸ δὲ ἐγκώμιον ψιλῆς ἀρετῆς ἔχει μαρτυρίαν. Εὕρηται δέ· ὁ μὲν Ἀφθόνιος οὕτως· ἄλλοι δὲ

---

1 Mon. γυμνάσματα. 2 Ald. πλατήνειν. 3 Ald. Mon. μόνου τούτου. secutus sum Vind. 4 Ald. Vind. μόνον. Mon. μόνου. 5 μὴ Vind. om. 6 λόγου recepi ex Mon.

ἀπὸ τοῦ ἐν τοῖς κώμοις καὶ συμποσίοις ᾄδεσθαί φασιν· ὡς καὶ Ὅμηρος·[7]

Οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο·

ἢ διὰ τὸ ἐν ταῖς κώμαις ᾄδεσθαι, διὰ τὸ τηνικαῦτα τὴν Ἑλλάδα κατὰ κώμας οἰκεῖσθαι· διαιρεῖται δὲ τὸ ἐγκώμιον εἴς τε ἐπιβατηρίους λόγους καὶ προσφωνηματικοὺς καὶ ἐπιθαλαμίους καὶ ἐπιταφίους. ὁ δὲ ὕμνος[8] εἴς τε παιᾶνας καὶ διθυράμβους καὶ ἐρωτικούς· ὧν οἱ μὲν εἰς Ἀπόλλωνα, οἱ δὲ εἰς Διόνυσον, οἱ δὲ εἰς Ἀφροδίτην. Καὶ τῷ τὸν μὲν ἔπαινον. ὁ μὲν Ἀφθόνιος οὕτως, ὁ δὲ Ἑρμογένης φησὶ τῷ τὸν μὲν μιᾶς πράξεως εὐφημίαν ἔχειν, τὸ δὲ ἐγκώμιον πολλῶν· πολλάκις γὰρ, φησὶ, καὶ ὁ ἔπαινος ἐπεκτείνεται. καὶ ἔτι τῷ τὸν μὲν ἔπαινον τῶν ἀληθῶν καὶ[9] κεκριμένων ἔχεσθαι, λέγω δὲ πρὸς τὴν τῶν ἐπαινούντων διάθεσιν, τὸ δὲ ἐγκώμιον οὐ πάντως τῶν ἀληθῶν καὶ τῶν ἐξ ἀληθοῦς διαθέσεως, ἀλλὰ καὶ τῶν πιθανῶν. Πρόσωπά τε καὶ πράγματα. τῶν πραγμάτων τὰ μὲν μόνῃ τῇ διανοίᾳ θεωρεῖται, οἷά ἐστι τὰ ἀσώματα, οἷον σωφροσύνη, δικαιοσύνη· τὰ δὲ καὶ ταῖς αἰσθήσεσιν ὑποπίπτουσιν, οἷον ἀσπὶς, λίθος, δόρυ. Ἄλογα ζῶα· ἔξ ὄντων τῶν περιστατικῶν, τὰ μὲν[10] τέσσαρά φησιν ὑποπίπτειν τῷ ἐγκωμίῳ, ὡς καὶ καθ' ἑαυτὰ[11] συνιστάμενα· τὸν δὲ τρόπον καὶ τὴν αἰτίαν οὐκ εἰσάγει, ὡς μὴ καθ' ἑαυτὰ, ἀλλὰ σὺν τοῖς ἄλλοις εἶναι δυνάμενα. πλὴν ἰστέον ὅτι ἐγκωμιάζονται καὶ ταῦτα, ἀλλ' οὐ καθ' αὑτὰ, ὁμοῦ δὲ τοῖς ἄλλοις. Ὡς δικαιοσύνην· ζητεῖται εἰ τῶν πραγμάτων τὰ μὲν μόνως ψέγονται, ὡς αἱ κακίαι, τὰ δὲ μόνως ἐπαινοῦνται, ὡς αἱ ἀρεταὶ, τὰ δὲ καὶ ἐπαινοῦνται καὶ ψέγονται, ὡς τὰ μέσα, οἷον εἰρήνη, πόλεμος, καὶ τὰ τοιαῦτα,

---

7 Il. α. 472. 8 Mon. ὁ δὲ εἰς ὕμνους. 9 Mon. καὶ τῶν. 10 Ald. Vind. καί. Mon. μέν. 11 Vind. αὐτά.

πῶς οὐχ ὑπέθετο καὶ τούτων ἐγκωμιάσαι τι, καί τοι [12] τῆς ῥητορικῆς περὶ τὰ μέσα μάλιστα καταγινομένης. φαμὲν οὖν ὅτι εἰ κἀκεῖνα [13] ἐγκωμιάζειν εἶπεν, ἀλλ' οὐ-
B. δὲ ταῦτα ἀπέκλεισε. καὶ ἄλλως ἐν μὲν κατηγορίαις καὶ ἀπολογίαις καὶ προτροπαῖς καὶ ἀποτροπαῖς τοῖς μέσοις ἐπιχειρητέον. ἐν τοῖς [14] δὲ ἐγκωμίοις καὶ ψόγοις οὐκ ἀνάγκη. οὐ γὰρ ταῦτα ἀναγκαῖον ψέγειν, ἅπερ ἐγκωμιάζειν δυνάμεθα. Καὶ κοινῇ καὶ καθ' ἕκαστον· τούτοις τινὲς προστιθέασι καὶ ὅλον καὶ μέρος. Ἡ μὲν οὖν διαίρεσις αὕτη. δύο διαιρέσεων ἐν ταῖς τεχνολογίαις οὐσῶν, τῆς μὲν κατὰ τὴν ὕλην, τῆς δὲ κατὰ τὴν τέχνην, τὴν κατὰ τὴν ὕλην ἐνταῦθά φησι, καθ' ἣν τὸ ἐγκώμιον διαιρεῖται· πέντε γὰρ ταῦτα παρέλαβε τὰ κεφάλαια, πρῶτον μὲν ὅρον τοῦ ἐγκωμίου, δεύτερον δὲ [15] διὰ τί οὕτω λέγεται, τρίτον διαφορὰν αὐτοῦ πρὸς ὕμνον καὶ ἔπαινον· τέταρτον τίνα καὶ πόσα τὰ τούτῳ ὑποκείμενα· πέμπτον τίς ἡ ὕλη, ὅτι γένος καὶ ἀγωγὴ καὶ τὰ τοιαῦτα· νῦν δὲ ἑτέραν εἰπεῖν βούλεται διαίρεσιν τὴν κατὰ τέχνην, πῶς ταύτην τὴν ὕλην οἰκονομήσομεν. Προοιμιάσῃ μὲν· φασὶν ὅτι μὴ πάνυ ῥᾴδιον ἰδιάζον προοίμιον ἐπὶ τῶν ἐγκωμίων εὑρεῖν. κοινὰ γὰρ ταῦτα, ὡς ἐπὶ τὸ πολύ, καὶ πᾶσιν ἁρμόζοντα. οἷον ὅτι δίκαιον τοὺς ἀγαθοὺς ἐπαινεῖσθαι, ἅσπερ κἂν τῷ ψόγῳ τοὺς πονηροὺς διαβάλλεσθαι· καὶ αὖθις ὅτι δεῖ τοὺς γονέας ἢ διδασκάλους τὴν ὀφειλομένην εὐφημίαν ἀπολαμβάνειν· ἔστι δέ που καὶ ἰδικῶν προοιμίων ἐπὶ τούτοις εὕρεσις. ὅταν ὥσπερ ἐπιταχθέντες [16] πρὸς τὸν λόγον ἐρχόμενοι φαινώμεθα, ἢ συγγενῆ τιμῶντες, ἢ ἀμειβόμενοι φίλον ἢ παρ' αὐτοῦ τοῦ καλοῦ προκαλούμενοι. Ὁ διαιρή-

12 Ald. τι. Vind. Mon. τοι. 13 Vind. ἐκεῖνα. 14 τοῖς Vind. om. 15 δὲ Vind. om. 16 Mon. ἐπιταχθέντος.

σεις· κατὰ τὸν Πορφύριον ἐν τῇ εἰσαγωγῇ καὶ ὁ Ἀφθόνιος ἐνταῦθα τὸ γένος διαιρεῖ· τοῦ γὰρ γένους τὸ μὲν ἄψυχον, τὸ δὲ ἔμψυχον, καὶ τοῦ μὲν ἀψύχου πόρρω μὲν τὸ ἔθνος, προσεχὲς δὲ ἡ πατρίς· τοῦ δὲ ἐμψύχου πόρρω μὲν οἱ πρόγονοι, προσεχὲς δὲ οἱ γονεῖς· προτάττεται γοῦν [17] ἐνταῦθα τὰ φύσει πρότερα· πατέρας δὲ εἰπὼν, καί τοι τοῦ πατρὸς ἑνὸς ὄντος καὶ τὴν μητέρα τῷ πληθυντικῷ συμπεριλαμβάνει. ἰστέον δὲ, ὅτι οὐ [18] πάντα τὰ τοῦ γένους ἐν πᾶσι τοῖς ἐγκωμιαζομένοις ἀνάγκη ἐμπίπτειν, ἀλλ' ὅσα ἐνδέχεται, οἷον ἐπὶ σοφίας· ἔθνος μὲν τὴν Ἑλλάδα, καὶ [20] πατρίδα τὰς Ἀθήνας εὑρήσομεν, προγόνους δὲ ἢ πατέρας οὐκέτι. ἔτι ἰστέον, ὡς εἰ μηδὲν ἀξιόλογον ἡ πατρὶς ἔχει, οἷον ἡ Σίφνος, ἀπὸ τῶν περὶ αὐτὴν ταύτην ἐγκωμιάσομεν, ὅτι πλησίον κεῖται τῆς Ἀττικῆς καὶ μέση τῶν Κυκλάδων. καὶ εἰ κατὰ τὸν καιρὸν τῆς κυοφορίας ἢ τῆς ὠδῖνός τι συμβέβηκε, κἀκεῖνο λέξομεν· ὡς ἐπὶ τῆς Περικλέους μητρὸς, ἣ προεῖπεν ἐν ὕπνοις ὁ θεὸς, ὅτι λέοντα τέξεται. καὶ εἴ πού τι ἐλάττωμα ἔχοι, [21] καὶ τοῦτο περιστέλλειν εὐφημοτέροις πειρασόμεθα λόγοις, τὴν μὲν δειλίαν εὐλάβειαν καὶ προμήθειαν καλοῦντες, τὸ δὲ θράσος ἀνδρείαν [22] καὶ εὐψυχίαν. Εἰς ἐπιτηδεύματα καὶ τέχνην· ἐπιτήδευμα μὲν ἡ τοῦ βίου αἵρεσις, οἷον ὅτι εἵλετο στρατεύεσθαι· τέχνη δὲ τὸ εἰς ἕξιν ἐλθεῖν τοῦ ἐπιτηδεύματος· ἕτεροι δέ φασι τέχνην μὲν τὸ διὰ μαθήσεως μόνης προσγινόμενον, [23] ἐπιτήδευμα δὲ τὸ ἐπὶ τῶν πραγμάτων αὐτῶν ἥκειν εἰς μεταχείρισιν· [24] ὡς ὁ Ἀρι-

---

17 Vind. οὖν. 18 Mon. οὐ om. in Vind. insertum est μὴ, primum abfuit. 19 Mon. ἀνάγκης ἐμπίπτει. 20 καὶ Vind. om. 21 Vind. ἔχει. Mon. ἔχῃ. 22 Vind. ἀνδρείαν. Ald. Mon. ἀνδρίαν. 23 Ald. προγιν. Vind. Mon. προσγιν. 24 Ald. Codd. μεταχείρησιν.

στοτέλης τυχὸν ἔμαθε μὲν καὶ τὴν ῥητορικήν, ἐπετήδευσε δὲ τὴν φιλοσοφίαν πᾶν τὸ φιλότιμον εἰς αὐτὴν τρέψας. Καὶ νόμους· ὅταν ὡς δοκεῖ τοῖς νόμοις ἀποδείξωμεν [25] ἀνατραφέντα τὸν ἐγκωμιαζόμενον. Εἶτα τὸ μέγιστον· μέγιστον αὐτό φησιν, ὅτι τὰ μὲν ἄλλα φύσεως ἢ τύχης ἢ τῶν πατέρων ἐστὶ δωρήματα, αὗται δὲ τῆς ἡμῶν αὐτῶν [26] γνώμης καὶ προαιρέσεως, καὶ ὅτι τὰ μὲν ἄλλα ἐπιτετμημένως καὶ κατὰ παραδρομὴν παρερχόμεθα. ἐν δὲ ταύταις ἐμπλατυνόμεθα· ἰστέον δὲ ὡς εἰ ζῶα ἢ φυτὰ ἤ τοιαῦτά τινα ἐπαινοῦμεν, [27] ἀντὶ τῶν πράξεων τὰς ἐξ αὐτῶν ὠφελείας καὶ εἰσφορὰς θήσομεν· ἐπεὶ δὲ καὶ ἐν τοῖς πανηγυρικοῖς ὑπτιότητα ἡ τῶν πράξεων διέξοδος ποιεῖ, πειρατέον εἰς ἀρετὰς ἀναφέρειν τὰς πράξεις, καὶ ἐπάγειν κατὰ μέρος τὰς κρίσεις, ἵν' ἐναγώνιος ὁ λόγος κατασκευάζηται· ζητητέον δὲ, εἰ ἀντίθεσιν ἐπιδέχεται τὸ ἐγκώμιον· εἰ γὰρ δεῖ ὁμολογουμένων ἀγαθῶν βάσκανον γίνεσθαι, οὐκέτι ὁμολογήσεται τὰ ἔχοντα ἀντίθεσιν· εἰ δὲ ἐξ ἰδιαζούσης ὕλης ἐμπέσοι, ἢ [28] ἀποκρύψαι οὐ δυνάμεθα διὰ τὸ τὸν ἀκροατὴν αὐτὸ ζητεῖν, τῇ τε μεθόδῳ αὐτὸ καθαιρήσομεν, καὶ τὰς λύσεις ἰσχυροτέρας [29] ἐποίσομεν, ὡς Ἀριστείδης καὶ Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ καὶ τῷ Βουσίριδι.

9 Λ.

Τῶν ἁπάντων τὸ κάλλιστον· καὶ Πλάτων οὕτω φησὶν, ὅτι τοιοῦτον οὔτε ἦκέ ποτε εἰς ἀνθρώπους, οὔτε ἥξει δῶρον ἐκ θεοῦ. Ἢ βίον αὐτῷ· [30] οἱ γὰρ

---

25 Ald. ἀποδείξομεν. Mon. Vind. ἀποδείξωμεν. 26 αὐτῶν Mon. om. 27 Ald. ἐπαινοῖμεν. Vind. Mon. ἐπαινοῦμεν. 28 Vind. ὅ. 29 Vind. Ald. ἰσχυρωτ. 30 τὸ τῆς τύχης αὐτῷ Sch. Ang. τοῦ πλούτου λέγει, καὶ γὰρ περὶ τὴν Θρᾴκην εἶχε κτήματα μεγάλα, καὶ περιουσίαν πολλὴν, ἀφ' ὧν παρέχων τοῖς στρατιώταις χρήματα ἠκρίβωσε τὸ τῆς ἱστορίας ἀληθές. προελήλυθε γένους· τῆς εὐγενείας. φέρεται κέρδος· ἀντὶ τοῦ φέρει.

Ἀθηναῖοι τὸ παλαιὸν τοὺς ἑαυτῶν παῖδας γράμματα καὶ νήχεσθαι ἐξεπαίδευον· τὸ μὲν διὰ τοὺς νόμους, [31] τὸ δὲ διὰ τὰς ναυμαχίας. Εἶτα τίς αὐτῷ· ἰστέον ὅτι ἐν παντὶ λόγου μέρει χώραν ἔχει τὰ τῆς συγκρίσεως· ἐν μὲν προοιμίοις, ὡς Ἰσοκράτης [32] ἐν τῇ Ἑλένῃ· ἐν δὲ τοῖς ἀγῶσι καὶ ἐν τῷ τέλει, ὡς ὁ αὐτὸς ἐν τῷ Εὐαγόρα, καὶ αὖθις ὁ Δημοσθένης ἐν μέσοις τοῖς ἀγῶσιν ἐν τῷ περὶ στεφάνου.

Δύο πεποίηκεν ἐνταῦθα ἐγκώμια, προσώπου καὶ πράγματος, ἵνα ἐν μὲν τῷ προσώπῳ διδάξῃ τὸ κυρίως γένος καὶ τὴν κυρίως τροφὴν, καὶ τὰ τοιαῦτα, ἐν δὲ τῷ πράγματι τὰ ἀνάλογα τούτοις. ἰστέον δὲ, ὅτι σοφίαν [33] ἐνταῦθα τὴν φρόνησιν ἀλλ' οὐ τὴν γνῶσίν φησιν. ἡ μὲν γὰρ φρόνησις φυσικόν ἐστι δώρημα, ἡ δὲ γνῶσις ἐκ μαθήσεως προσγίνεται. Ἐπαινέσαι δέ· ζητεῖται πῶς λαβεῖν μὲν τὴν [34] σοφίαν δυνατὸν, ἐπαινέσαι δὲ ἀδύνατον· καί φασιν, ὅτι ὁ μὲν λαβὼν μέρους [35] αὐτῆς μετείληφεν, ὁ δὲ ἐπαινῶν πρὸς ὅλην τὴν τῆς σοφίας δύναμιν ἀποδύεται. Ἄρης μετὰ τῆς Ἀθηνᾶς· ἐπειδὴ ἐν τῷ πολέμῳ δεῖ μὲν καὶ τόλμης, δεῖ δὲ [36] καὶ φρονήσεως, ὧν ἡ μὲν εἰς Ἄρην, ἡ δὲ εἰς Ἀθηνᾶν ἀναφέρεται. Καὶ θεῶν παῖδες· οἱ μὲν ἀντὶ τοῦ τῆς ἀνατροφῆς κεφαλαίου, οἱ δὲ ἀντὶ τῶν πατέρων εἰρήκασι. [37] Καὶ Περσῶν ὅλην· ἕτεροι Τρώων ἀναγινώσκουσι.

---

31 Mon. λόγους. 32 Vind. Σωκράτης. 33 σοφίαν Ald. om. Sch. Ang. τὴν γνῶσιν εἶπόν τινες, ἄλλοι δὲ τὴν φράσιν. ἐπαινέσαι· κατὰ παράλειψιν· ἀφίησι γὰρ τοὺς λοιπούς. ἡγεῖται τοῖς πλέουσιν· ἀντὶ τῆς θαλάσσης, τοὺς γὰρ πλέοντας εἶπεν ἐκ τοῦ περιεχομένου δηλῶν. προῆλθεν εἰς γῆν· τοῦτο ὡς ἀνατροφή· μετὰ γὰρ τοὺς θεοὺς εἰς τοὺς ἥρωας μεταβέβηκεν, οὓς καὶ θεῶν λέγει παῖδας. 34 Codd. τὴν om. 35 Mon. μέρος. 36 δεῖ δὲ Ald. om. 37 Codd. εἰρήκασιν. quae sequuntur Vind. om.

IX. ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΨΟΓΟΥ.

Συντάττεται ὁ ψόγος τῷ ἐγκωμίῳ, διά τε τὸ τοῖς αὐτοῖς διαιρεῖσθαι κεφαλαίοις, καὶ ὅτι τοῦ πανηγυρικοῦ εἰς ἐγκώμιον καὶ ψόγον διαιρουμένου διδάξας περὶ τοῦ ἐγκωμίου καὶ περὶ τοῦ ψόγου διδάσκει. Τόπου δὲ κοινοῦ· ἔοικεν ὁ Ἀφθόνιος τὸν ὑπέρ τινος κοινὸν τόπον μὴ εἰδέναι, ἐπειδήπερ ἐν μὲν τῷ ἐγκωμίῳ διαφορὰν κοινοῦ τόπου καὶ ἐγκωμίου οὐκ εἰσήνεγκεν, ἐν δὲ τῷ ψόγῳ εἰσήνεγκε. τὸ γὰρ ἐν τῷ ὅρῳ τοῦ κοινοῦ τόπου προσκείμενον „ἢ καλῶν" οὐχὶ τοῦ Ἀφθονίου φασὶν εἶναι, ἀλλ' ἑτέρου· καὶ γὰρ καὶ οὐδαμοῦ ἐν τῇ τοῦ κοινοῦ τόπου διδασκαλίᾳ τοῦ ὑπέρ τινος κοινοῦ τόπου ἐμνημόνευσε, διόλου δὲ τοῦ κατά τινος. Τῷ τὸν μὲν τόπον·[1] ὁ μὲν Ἀφθόνιος οὕτως· ἕτεροι δὲ καὶ ἄλλα φασὶ, τῷ τὸν μὲν μετὰ τὴν ἀπόδειξιν φέρεσθαι, τὸν δὲ ψόγον καὶ πρὸ τῆς ἀποδείξεως· καὶ τῷ τὸν μὲν μέρος εἶναι[2] τοῦ λόγου, καὶ κατὰ προσώπων εἰ καὶ[3] συμπεπλεγμένων τῷ πράγματι καὶ ἀορίστων λέγεσθαι, τὸν δὲ ψόγον οὐ κατὰ προσώπων μόνον, ἀλλὰ καὶ κατὰ πραγμάτων γυμνῶν, οἷον πολέμου, ναυμαχίας. Διαιρεῖται δέ· οὐκ εἶπε τοῖς ἐναντίοις τῷ ἐγκωμίῳ, ὡς τὴν κατασκευὴν[4] τοῖς ἐναντίοις τῇ ἀνασκευῇ· καίτοι ἐναντίον τῷ ἐπαινεῖν γένος ἢ τροφὴν τὸ ψέγειν αὐτά. λύεται[5] δὲ ὅτι ἐκεῖ μὲν[6] ἐναντίον τὸ σαφὲς τῷ ἀσαφεῖ, οὐ κατὰ μόνην τὴν ὕπαρξιν, ἀλλὰ καὶ τὴν τοῦ λόγου προφοράν. ἐνταῦθα δὲ γένος καὶ γένος καὶ τροφὴ καὶ τροφή. καὶ οὐδὲν ἐναντίον· μόνῃ δὲ τῇ ὕλῃ διαφέρει, ὅτι ἐν μὲν τῷ τὰ προσόντα τινὶ καλὰ, ἐν δὲ τῷ τὰ προσόντα κακά. Τοσαῦτα δὲ δεῖ· οὐ τὰ αὐτὰ λέγει· ἔστι μὲν γὰρ ὅτε

---

1 Mon. τόπου. 2 εἶναι Mon. om. 3 καὶ Mon. om.
4 Mon. ἐν τοῖς. 5 Codd. λέγεται. 6 Mon. τὸ ἐναντ.

καὶ τοῦτο γίνεται· ἀλλ' οὐκ ἀεὶ οὐδ' ἐν πᾶσι· ἀλλὰ τοσαῦτα, τουτέστι πρόσωπα καὶ πράγματα, καὶ τοιαῦτα. ἰστέον ὡς ἐν τοῖς ἐγκωμίοις ἐπιτηδεύειν δεῖ γλαφυράν τε καὶ ἁβροτέραν [7] καὶ θεατρικὴν φράσιν μετά τινος σεμνότητος, ὥσπερ ἐν τοῖς συμβουλευτικοῖς ὄγκου δεόμεθα καὶ ἀξιώματος· καὶ ἐν τοῖς δικανικοῖς [8] σφοδρότητος τῆς ἔμψυχον τὸν ἀγῶνα ποιούσης. Ἴδει, τινές φασι, μὴ θεῖναι μελέτην ψόγου, ἔδειξε γὰρ αὐτὴν ἐν τῷ ἐγκωμίῳ ἐκ τῶν αὐτῶν τῷ ψόγῳ συγκειμένην. ἀλλά φαμεν, ὡς οὐ πάντως ὁ τῷ ἐγκωμίῳ ἐγγυμνασθεὶς ἤδη καὶ πρὸς ψόγον ἱκανός ἐστιν· ὅθεν καὶ πολλοὺς ὁρῶμεν πρὸς ἔπαινον δεξιούς, οὐ μὴν [9] καὶ πρὸς ψόγον, ὡς Ὅμηρον, Πίνδαρον· ἑτέρους δὲ τοὐναντίον, ὡς τὸν Ἀρχίλοχον. Προὔθηκε δὲ τὸν Φίλιππον εἰς ψόγον, φασίν, ἢ ὡς φιλέλληνα, ἢ ὅτι αὐτὸς τὰ Μακεδόνων εἰς μέγα πρῶτος αἴρειν ἤρξατο, ὑφ' ὧν οἱ ἐν Ἀθήναις ἀπώλοντο ῥήτορες. ἐποίησεν οὖν τοῦτο ὡς [10] σοφιστὴς ὁ Ἀφθόνιος τοῖς ῥήτορσι τιμωρῶν. Καθίσταται [11] χείριστον· εὐφυῶς κατεσκεύασεν, [12] ὅτι πάντας τοὺς [13] πονηροὺς ὁ Φίλιππος ὑπερέβαλλε. [14] δείκνυσι γὰρ τοὺς μὲν Μακεδόνας ἁπάντων τῶν βαρβάρων χειρίστους, τοὺς δὲ Πελλαίους τῶν ἄλλων Μακεδόνων, τοὺς δὲ Φιλίππου προγόνους τῶν ἄλλων [15] Πελλαίων, τὸν δὲ αὐτοῦ [16] πατέρα τῶν προγόνων, τὸν δὲ Φίλιππον τοῦ πατρός. Τὸ πρῶτον ἐξέωσαν· καὶ μὴν οὐκ ἐξελάθησαν, ἀλλ' εἰς ἀποικίαν διὰ πλῆθος ἐξεπέμφθησαν· [17] ἀλλ' ἔστι ταῦ-

B.

---

7 Ald. ἁβρωτέραν. Vind. Mon. ἁβροτέραν. 8 Vind. ἀγωνικοῖς. 9 Mon. μὲν omisso sq. καί. 10 Mon. ὁ σοφιστὴς Ἀφθ. 11 καθίσταται χείριστον — — ἐπιδεικτικῶς ἐπιχειροῦσιν Vind. ponit post πρότερον πρίασθαι. Ald. καθίστατον. 12 Ald. Codd. κατασκεύασεν. 13 τοὺς Mon. om. 14 Codd. ὑπερέβαλε. 15 Vind. λοιπῶν. 16 Ald. αὐτοῦ. 17 Codd.

τα ἐν ἀδείᾳ τοῖς σοφισταῖς, πιθανῶς ὡς τὰ πολλὰ καὶ μὴ ἐπιδεικτικῶς ἐπιχειροῦσιν· ἐξ ἧς οὐδὲ δουλούμενοι. τοῦτο ἐκ τοῦ Δημοσθένους εἴληφε. Φησὶ γὰρ ἐκεῖνος·[18] „ὅλεθρος Μακεδών, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον[19] ἦν πρότερον πρίασθαι". Ἀθηναῖοι[20] γάρ· ἔν τισι τῶν βιβλίων Θηβαῖοι γράφεται.[21] Ὡμήρευε· καταπολεμηθέντος γὰρ Ἀμύντου[22] ὑπὸ τῶν[23] Ἰλλυριῶν καὶ φόρους τοῖς κρατήσασι τελεῖν ἀναγκασθέντος οἱ Ἰλλυριοὶ λαβόντες εἰς ὁμηρίαν[24] Φίλιππον νεώτατον ὄντα τῶν υἱῶν παρέθεντο τοῖς Ἀθηναίοις. Τῶν ἄκρων ἀποστερῶν· φασὶ τὸν Ἔχετον τὴν θυγατέρα ὑπό του φθαρεῖσαν ἐγνωκότα ταῖς οἰκείαις χερσὶν ἐκκεντῆσαι τὰς ὄψεις αὐτῆς καὶ σιδηρᾶς κριθὰς[25] ἀλήθειν ἀναγκάσαι, εἰρηκότα τότε αὐτῇ τὰς ὄψεις ἀποδώσειν, ὅταν καὶ αὐτὴ τὸν σίδηρον ἄλευρον ποίησῃ· τὸν δὲ φθορέα τῆς κόρης Αἰχμόδημον τά τε ἄλλα μέρη περιτεμεῖν τοῦ σώματος καὶ αὐτὰ τὰ αἰδοῖα.

X. ΕΞΗΓΗΣΙΣ ΣΥΓΚΡΙΣΕΩΣ.

Εἰκότως τῷ ἐγκωμίῳ καὶ ψόγῳ ἡ σύγκρισις[1] ἕπεται·

ἐπέμφθησαν. 18 Phil. III. p. 119. 19 σπουδαῖον Mon. om. 20 Ἀθηναῖοι — γράφεται Vind. om. 21 Ald. γράφονται. 22 Vind. Ald. Ἀμύντα. 23 τῶν Mon. om. 24 Mon. ὁμηρείαν — παρέθετο. διῃρημένων ἁπάντων Sch. Ang. τουτέστι τεσσάρων ὄντων, νόμων, ἐθνῶν, ἐπιτηδευμάτων, πραγμάτων. Κατεδουλοῦτο τὸ συγγενές· τοὺς Μακεδόνας καὶ τοὺς Θρᾷκας. ὠνειροπόλουν ἀπόστασιν ἀντὶ τοῦ· ὡς ἐν ὀνείρῳ ἔβλεπον. Πύδναν· τὸ νῦν Κίτρος. Ποτίδαιαν· ἡ νῦν λεγομένη Βέρροια. Μάρτυρα τῆς αὐτοῦ τελευτῆς· ὡς ἐπὶ Ἕκτορος Ἀχιλλέα καὶ ἐπὶ Σαρπηδόνος Πάτροκλον. 25 Codd. ἀλήθειν κριθάς.

1 ἀντεξεταστικός· Sch. Ang. ἀντὶ τοῦ παραβλητικὸς·

ται· ἔστι γὰρ τοῦ αὐτοῦ αὐτοῖς εἴδους. διαφέρει δὲ ἡ παροῦσα σύγκρισις τῆς ἐν ἐκείνοις τε καὶ τῷ κοινῷ τόπῳ συγκρίσεως, ὅτι ἐκείνη μὲν μέρος ἦν γυμνάσματος, αὕτη δὲ ὅλον γύμνασμα· καὶ ὅτι ἐκεῖ μὲν ἢ μίαν πρᾶξιν μιᾷ πράξει παρεβάλλομεν,[2] ἢ γένος γένει, ἢ τι τοιοῦτον, ἐνταῦθα δὲ πάντας τοὺς ἐγκωμιαστικοὺς κινοῦντες τόπους συγκριτικῶς ἐκφέρομεν. δεῖ δὲ γινώσκειν ὅτι εἴτε ἀγαθῶν εἴτε κακῶν ποιούμεθα ἀντεξέτασιν, δεῖ μὴ τῇ καθαιρέσει τῶν ἀντεξεταζομένων[3] αὔξειν τὰ ἡμέτερα. οὐ γὰρ οὕτω μεγάλα ταῦτα ἀποδείξομεν, ἀλλὰ τότε ἔσται τὰ ἡμέτερα μεγάλα, ὅταν μεγάλων μείζονα φανῇ, ὡς τὸ Ὁμηρικόν·[4]

Πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων.

καὶ ἐπὶ κακῶν ὁ Δημοσθένης κατ' Ἀνδροτίωνος. Διόδωρος γὰρ[5] οὐκ εἶπεν ὅτι οὐδὲν Εὐκτήμων παρ' αὐτοῦ ἠδίκηται, ἀλλ' ὅτι πολλὰ μὲν καὶ μεγάλα, πολλῷ δὲ ἐγὼ μείζονα· συμβάλλεται δὲ ἡ σύγκρισις εἴς τε τὸ πανηγυρικὸν, ἐπειδὴ καὶ διπλοῦν ἐγκώμιόν ἐστι καὶ πρὸς τὸ δικανικόν· οἱ γὰρ ἀντεγκληματικοὶ στοχασμοὶ καὶ ὅροι καὶ οἱ[6] κατὰ ἀμφισβήτησιν συγκριτικῶς ἐκφέρονται· καὶ δὴ[7] καὶ πρὸς τὸ συμβουλευτικόν, αἱ γὰρ κατ' ἀμφισβήτησιν πραγματικαὶ συγκριτικῶς καὶ αὗται ἐκφέρονται· ὅτι δὲ καὶ ἐν πᾶσι τοῖς τοῦ πολιτικοῦ λόγου μέρεσι σύγκρισις εἰσάγεται, εἴρηται ἐν τῷ ἐγκωμίῳ. Ἰστέον δὲ καὶ τοῦτο, ὡς εἰ καὶ διπλοῦν ἐγκώμιον ἡ σύγκρισίς ἐστιν, ἀλλ' οὐκ ἀνάγκη διὰ πάντων τῶν ἐγκωμιαστικῶν κεφαλαίων ἰέναι, μηδὲ ζητεῖν παραιτήσεως τρόπους, τῆς ἀνειμένης φράσεως μὴ σφόδρα ἀνάγκην ἐχούσης τῇ τέχνῃ τῶν ἐγκωμίων ἔπεσθαι.

ἀντιξετάζειν γὰρ τὸ παραβάλλειν. 2 Mon. παραβάλ. 3 Vind. ἀντιξεταζ. Mon. Ald. ἑξεταζ. 4 Il. χ. 158. 5 Vind. δέ. 6 Ald. ἡ. Codd. οἱ. 7 καὶ δὴ καὶ πρὸς — — καὶ αὖ-

Συνάγων· ἀπὸ τῶν συλλογισμῶν κἀνταῦθα· τιθέντες γὰρ ὡς προτάσεις τὰ γένη τῶν συγκρινομένων καὶ τὰς πράξεις ἢ ἄλλο τι ὕστερον συνάγομεν θατέρῳ τὸ μεῖζον· οἷον ὡς ἐν τῇ τοῦ Ἀφθονίου μελέτῃ. Γεγόνασι τοί-
10A. νυν ἄμφω γῆς οὐ μιᾶς· καὶ ἑξῆς· εἶτα τὸ συμπέρασμα. ὅσῳ δὲ τὸ γεγενῆσθαι χώρας ὁμοίας· καὶ ἑξῆς. Ἡ χρηστὰ πονηροῖς· διπλῆς οὔσης τῆς συγκρίσεως κατά τε ποιότητα καὶ ποσότητα, ἡ μὲν διὰ τῶν χρηστῶν καὶ τῶν φαύλων τῆς ποιότητός ἐστιν, ἡ δὲ διὰ τῶν μικρῶν καὶ μεγάλων τῆς ποσότητος· παρέλιπε [8] δὲ ἐν μὲν τῇ προτέρᾳ πρὸς τὸ ἐντελὲς τῆς διαιρέσεως τὸ καὶ πονηρὰ χρηστοῖς, ἐν δὲ τῇ δευτέρᾳ τό τε μεγάλα μεγάλοις, καὶ μικρὰ μικροῖς, καὶ μεγάλα μικροῖς, ὡς [9] δυνάμενα ἐκ τῶν τεθέντων καὶ αὐτὰ νοηθῆναι· ἐν μὲν γὰρ τῇ προτέρᾳ τὰ τρία σκέλη τῆς διαιρέσεως εἰπὼν τὸ ἓν παρέλειπεν, ἐν δὲ τῇ δευτέρᾳ τὸ ἓν εἰπὼν τὰ τρία παρέλιπεν. Ἡ χρηστὰ πονηροῖς· οὐ τὰ ὁμολογούμενα ἀγαθὰ καὶ πονηρά. οἷον ἀρετὴν καὶ κακίαν, ἢ φῶς καὶ σκότος· ἀλλὰ τὰ μέσα, ὅταν κατὰ μὲν φύσιν ἀλλήλοις ἐναντία ᾖ, οὐ μὴν καὶ κατὰ τὴν τῶν πολλῶν ἢ τῶν σοφῶν ὑπόληψιν τὸ μὲν ὁμολογούμενον ἀγαθὸν ᾖ, τὸ δὲ πονηρὸν, ἀλλὰ πολλὴ ᾖ περὶ τούτων ἡ διαμάχη· [10] οἷον πενίας καὶ πλούτου· μάλιστα γὰρ τούτων τὸ μέσον ἐπαινούμενόν ἐστιν ἡ αὐτάρκεια. Οὐ δεῖ δὲ συγκρίνοντας· τρία φησὶν ὁ Γεωμέτρης χρήσιμα περιγίνεσθαι τῷ οὕτω συγκρίνοντι. πρῶτον μὲν τὸ σαφέστερον τὸν λόγον καὶ εὐμνημονευτότερον γίνεσθαι, διὰ τὸ μὴ τὰς διαφορὰς τῶν τόπων ἀπομηκύνεσθαι· δεύτερον δὲ τὸ καὶ τὰ μεγέθη καὶ τὰς ὑπεροχὰς ἐναργεῖς ὁρᾶσθαι σύνεγγυς

ται ἐκφέρονται Ald. Vind. om., recepi ex Mon. 8 Ald. Mon. παρέλειπε. Vind. παρέλιπε. 9 Mon. ὡς καὶ δυν. 10 Vind. μάχη.

οὔσας, καὶ μὴ ἀποκρυπτομένας ἢ ἀποκρυπτούσας τὰς ἐλάττονας. τρίτον ὅ φησι καὶ Ἀφθόνιος, ὡσπερεὶ καὶ δρομέων ἅμα συντρεχόντων καὶ ἀντιτρεχόντων ἀλλήλοις [11] ἅμιλλα. Ἀρετήν· ἀρετὴν ἐνταῦθα οὐ τὴν καθόλου φησί. πρὸς τίνα γὰρ ἂν ἄλλην αὐτὴ συγκριθείη, ἑτέρας καθόλου μὴ οὔσης, καὶ δὴ καὶ τῶν συγκρινομένων ὁμογενῶν, ἔστι δ' ὅτε καὶ ὁμοειδῶν ὀφειλόντων εἶναι; ἀλλὰ τὴν μερικὴν καὶ ἄτομον ἀρετὴν τῆς ἀνδρίας τὴν ἐν τῇ ψυχῇ τοῦ Ἀχιλλέως καὶ τὴν ὁμοίαν τὴν ἐν τῇ τοῦ Ἕκτορος. Τὸν Πηλέως πρὸς Ἕκτορα· πρᾶγμα βούλεσθαι τὴν ἀρετὴν συγκρίνειν εἰπὼν νῦν πρόσωπα εἰσάγει ἢ οὖν οὐχ ἁρμοδίως τὸ προοίμιον εἰσενήνεκται, ἢ Ἀχιλλέα καὶ Ἕκτορα τὰς ἐν ταῖς ψυχαῖς τούτων φησὶν ἀρετάς· οἶμαι δὲ μᾶλλον ἀληθεύειν τὸ πρότερον. Προῆλθον τοίνυν· παρεῖται ὁ ἀπὸ τοῦ ἔθνους τόπος τῷ σοφιστῇ διὰ τὸ δεύτερον ἐν τούτῳ κατὰ πολὺ εἶναι τοῦ Ἀχιλλέως τὸν Ἕκτορα· ὁ μὲν γὰρ Ἕλλην, ὁ δὲ βάρβαρος. Πρόγονος ὑπῆρχε Δάρδανος· τὸν Λαομέδοντα [12] ἐνταῦθα παρέλιπεν. ἐπειδὴ γὰρ μέσον Ἀχιλλέως καὶ Διὸς δίο εἶπεν, Αἰακὸν καὶ Πηλέα, οὐ βούλεται μέσον Ἕκτορος καὶ Διὸς τρεῖς ἐμφῆναι, [13] ἵνα μὴ ἐγγύτερος [14] τῷ Διῒ Ἀχιλλεὺς Ἕκτορος φαίνοιτο. καὶ [15] διὰ ταῦτα δὲ ἀνωτέρω τὸν [16] Λαομέδοντα τῷ Πριάμῳ συνῆψεν.

---

11 δεινὸς καθάπαξ. Sch. Ang. ἤτοι φοβερὸς, δυσμεταχείριστος, πᾶν γὰρ φοβερὸν ἀπροσπέλαστον καὶ δυσμεταχείριστον. 12 Ald. Λαμέδοντα. Θεοῖς συμμαχούμενος. Sch. Ang. ἀντὶ τοῦ ὑπὸ θεῶν βοηθούμενος, τὴν συμμαχίαν ἔχων τῶν θεῶν. 13 Ald. Mon. ἐμφῦναι. Vind. ἐμφῆναι. 14 Mon. ἐγγύτερον. 15 Vind. καὶ ἀνωτέρω δὲ διὰ ταῦτα. 16 Ald. τῶν.

XI. ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΗΘΟΠΟΙΑΣ.

Τῶν τελεωτέρων προγυμνασμάτων ἐστὶ καὶ ἡ ἠθοποιΐα· τὸ γὰρ πιθανὸν, ὅπερ δὴ κεφάλαιόν ἐστι τῆς ῥητορικῆς, ἐν αὐτῷ [1] διδασκόμεθα οἰκείοις τοῖς ἤθεσι τῶν ὑποκειμένων προσώπων τοὺς λόγους ποιεῖν γυμναζόμενοι. εἰκότως οὖν μετὰ τὰ προλαβόντα ὡς τελεώτερον τέτακται· χρήσιμον δὲ καὶ πρὸς τὰ τρία εἴδη τῆς ῥητορικῆς καὶ τὰ τέσσαρα τοῦ πολιτικοῦ λόγου μέρη. καὶ γὰρ ἐν αὐτοῖς ἔνθα ἂν ᾖ χρεία, ταῖς ἠθοποιΐαις χρώμεθα. δοκεῖ δὲ καὶ πρὸς τὸν ἐπιστολιμαῖον χαρακτῆρα γυμνάζειν, εἴ γε καὶ ἐν ἐκείνῳ δεῖ τοῦ ἤθους τῶν τε [2] ἐπιστελλόντων καὶ τῶν πρὸς οὓς ἐπιστέλλουσι ποιεῖσθαι πρόνοιαν. Μίμησις ἤθους· μέμφονταί τινες τῷ ὅρῳ κατὰ τὸ πλεονάζον, [3] ὡς συμπεριλαμβάνοντι τῇ λογικῇ μιμήσει καὶ τὴν γραφικὴν καὶ ἀνδριαντοποιητικήν. καὶ γὰρ ἐκεῖναι μιμοῦνται ἤθη. ἔδει οὖν, φασὶ, μίμησις λογικὴ προσθεῖναι. μίμησις δὲ ἤθους εἰπὼν καὶ τὰ πάθη καὶ τὰς διαθέσεις καὶ ἕξεις καὶ φύσεις [4] ἐδήλωσε. Β. ταῦτα γὰρ πάντα ἐν ἠθοποιΐαις μιμούμεθα. πάθος μὲν, οἷον ἔλεος, θυμὸν, μῖσος, φθόνον. ἔστι γὰρ πάθος πρόσκαιρος ψυχῆς κατάστασις. διάθεσιν δὲ, οἷον τύχην ἢ τέχνην ἢ προαίρεσιν· τύχην μὲν, οἷον [5] τίνας ἂν εἴποι [6] λόγους πένης ἢ πλούσιος, καὶ τὰ τοιαῦτα· τέχνην δὲ, οἷον τίνας ἂν εἴποι λόγους ναυτικὸς ἢ γεωργός· προαίρεσιν δὲ, τίνας ἂν εἴποι λόγους φίλος ἢ ἐχθρός· ἕξιν δὲ, τίνας ἂν εἴποι λόγους ὁ ἐν διηνεκεῖ μανίᾳ ὤν. φύσιν δὲ, οἷον τίνας ἂν εἴποι [7] λόγους πρόβατα ἢ ἀλώπεκες. Προσώπου· [8] ἔδει, φασί τινες, προσθεῖναι καὶ πρά-

---

1 Vind. ἐν τῷδε. 2 τε Vind. om. 3 Ald. πλεονάζων. 4 Ald. φύσις. Codd. φύσεις. 5 οἷον τίνας ἂν — τέχνην δὲ Mon. om. 6 Vind. εἴπῃ constanter. 7 Vind. εἴποιεν. 8 πρόσωπον ἔχουσα γνώριμον Sch. Ang. ἤτοι λέγειν

γματος· ἐν γὰρ ταῖς προσωποποιΐαις ἔστιν ὅτε καὶ πραγμάτων ἤθη μιμούμεθα. ὥσπερ ἐν τῷ κατάπλῳ Λουκιανὸς τὸ τῆς κλίνης καὶ τοῦ λύχνου ἐμιμήσατο· καὶ τῶν [9] ἀλόγων ζώων, ὥσπερ Ὅμηρος τὸ τοῦ Ἀχιλλείου ἵππου· ἀλλ' ὅμως ὅταν προαίρεσιν αὐτοῖς καὶ λόγων ἤθος περιτιθῶμεν, προσώποις καὶ αὐτὰ ἀναλογοῦσι· διὰ γὰρ τοῦτο καὶ προσωποποιΐα λέγονται. Εἰδωλοποιΐα δέ· ὥσπερ Εὐριπίδης [10] ἐν τῇ Ἑκάβῃ παρεισάγει τὸ τοῦ Πολυδώρου εἴδωλον καὶ Ὅμηρος τὸ τοῦ Πατρόκλου ὁμιλοῦν τῷ Ἀχιλλεῖ. Ἰστέον δὲ, ὅτι τὸ τεθνηκὸς πρόσωπον, εἰ μὲν ὡς μετὰ θάνατον λέγον εἰσάγεται, εἰδωλοποιΐαν ποιεῖ· εἰ δὲ [11] ὡς πρὸ τοῦ θανάτου καὶ ζῶν, ἠθοποιΐαν. Ἡ μὲν οὖν διαίρεσις. τοῦτο οἱ μὲν ἐπιδιαίρεσίν φασι τῆς ὅλης ἠθοποιΐας εἶναι, οἱ δὲ ὑποδιαίρεσιν τοῦ ὁμωνύμου τῆς ἠθοποιΐας εἴδους· διὰ τοῦτο γὰρ καὶ τὰ προτεθέντα παραδείγματα τό τε παθητικὸν καὶ ἠθικὸν καὶ μικτὸν, οὔτε εἰδωλοποιΐας οὔτε προσωποποιΐας ἐστὶν, ἀλλὰ μόνης ἠθοποιΐας· ὁπότερον δὲ ἂν [12] τούτων ἀληθὲς ᾖ, οὐδὲν τῷ λόγῳ λυμαίνεται.

Ἦθος μὲν γὰρ ἡ βουλή. Ἰστέον ὅτι πολλάκις οὐ μόνον ἦθος καὶ πάθος, ἀλλὰ καὶ πρᾶγμα συνεμφαίνεται· οἷον τίνας εἴποι λόγους ἀριστεὺς γέρων ἐπὶ πόλεμον τὸν υἱὸν προτρεπόμενος. πρᾶγμα γὰρ ἐνταῦθα ἡ προτροπή· ἀλλ' ἐν τῇ ἠθοποιΐᾳ πρὸς τὸ τοῦ λέγοντος μόνον ἦθος ἐγγυμναζόμεθα· πρὸς γὰρ τὴν τελείαν τῆς προτροπῆς διαίρεσιν οἱ προτρεπτικοὶ καὶ θετικοὶ γυμνά-

---

δυνάμενον. 9 Mon. Vind. τῶν om. 10 ὥσπερ Εὐριπίδης — — — τῷ Ἀχιλλεῖ etiam in Cod. Ang. ad marg. adjecta sunt: ubi pro ὁμιλοῦν legitur ὁμολογοῦν. Ἀριστείδης ὑπὲρ τῶν τεσσάρων Sch. τῶν ἐν Ἀθήναις στρατηγῶν, Κίμωνος, Μιλτιάδου, Θεμιστοκλέους, Περικλέους. 11 Vind. δ' ὡς. 12 Mon. δ' ἄν.

ζουσι λόγοι· διὸ κἀνταῦθα μηδὲ τὴν τελείαν τῶν κεφαλαίων τῆς θέσεως παραληπτέον διαίρεσιν· δεῖ γὰρ μὴ τοὺς προτρεπτικοὺς ὑπὸ τὰς ἠθοποιΐας πίπτειν, ἀλλὰ τούναντίον. Συντόμῳ, τουτέστι κομματικῷ, ἀνθηρῷ δὲ ἀντὶ τοῦ λαμπρῷ· ὡς γὰρ τὴν ὅρασιν τὰ ἄνθη, οὕτω καὶ τὸν νοῦν αἱ ἡδεῖαι καὶ κομματικαὶ λέξεις ἡδύνουσιν, ἅπερ εἰσόμεθα ἐν τοῖς περὶ λαμπρότητος Ἑρμογένους. Ἀπολύτῳ ἢ ἀσυνδέτῳ, ἢ ὡς ἕκαστον τῶν κώλων ἰδίαν ἔννοιαν περιέχειν, καὶ μὴ ἐξηρτημένα ἀλλήλων εἶναι. Πλοκῆς τε καὶ σχήματος. πλοκῆς μὲν οἷον ὑπερβατῶν, περιόδων καὶ τῶν τοιούτων· σχήματος δὲ, οἷον τοῦ καινοπρεποῦς καὶ τῶν ἄλλων· οὐ γὰρ παντός φησι σχήματος, οὐ γὰρ οἷόν τε, ἐπεὶ πᾶς λόγος διὰ σχημάτων γένεται, ἀλλὰ τοῦ συνεχῶς ἀπαλλαττομένου καὶ μεταβαλλομένου. οἷον ἐξ ἐλεγκτικοῦ εἰς ἐρωτηματικὸν, καὶ τὰ τοιαῦτα. τὸ γὰρ περὶ τὰ τοιαῦτα καταγίνεσθαι πάθους ἀλλότριον· ἴδιον δὲ [13] χαιρόντων καὶ γελώντων καὶ θρηνούντων τὸ συντόμως καὶ διὰ βραχέων ἕτερα ἑτέροις ἐπάγειν· ἀλλ' οὐδὲ [14] διηγήσεων σωζουσῶν τὴν ἀκολουθίαν δεησόμεθα· εἰ δὲ μὴ, λύοιτο ἂν τὸ πάθος. Τοῖς τρισὶ χρόνοις· ἀρξόμεθα γὰρ ἀπὸ τοῦ ἐνεστῶτος καὶ ἀναδραμούμεθα ἐπὶ τὸν παρεληλυθότα. κἀκεῖθεν αὖθις ὑποστρέψομεν εἰς τὸν ἐνεστῶτα· οὐ γὰρ ἀμέσως ἥξομεν ἐπὶ τὸν [15] μέλλοντα, ἀλλὰ μνημονεύσομεν διὰ βραχέων τῶν ἐνεστώτων· καὶ οὕτως ἐξετάσομεν τὰ μέλλοντα, μαντικώτερον τῷ λόγῳ χρώμενοι. [16]

---

13 Vind. Mon. δὲ καὶ omisso sq. καὶ γελώντων. 14 Mon. οὐδέν. 15 Ald. τῶν. 16 Sequenti ethopoeiae in Cod. Ang. superscr. γνωμικόν. Θρηνεῖν ἀπορώτερον. Sch. Ang. σεμνόν φησι τὸ νεκροὺς θρηνεῖν· διὰ δὲ τὸ πλῆθος καὶ τούτου ἠπόρημαι. Πρὸς ὅλων παίδων· δηλονότι ἀποροῦμαι ἐνταφιάσαι τοὺς ἅπαντας, τοῦτο γὰρ τοῖς τετελευτηκόσι σεμνὸν καὶ

Τὸ γὰρ [17] *εἰς πεῖραν ἦκον· τοῦτο ἀπὸ τοῦ* [18] *Θουκυδίδου ἐπιταφίου ἔλαβε παραφράσας αὐτό· ἔχει δὲ οὕτως ἐκεῖνο·* [19] *„καὶ λύπη οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν ἢ καλῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθείη.“ Καὶ νῦν ἑκατέρων· τῶν ἀρρένων δηλονότι καὶ θηλειῶν.*

XII. ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΕΚΦΡΑΣΕΩΣ. 11 A.

Τριῶν ὄντων εἰδῶν τῆς διηγήσεως, ἁπλοῦ, ἐγκατασκεύου καὶ ἐνδιασκεύου, τοῖς μὲν δυσὶ [1] *γυμνάζει ἡμᾶς τὸ διήγημα, τῷ δὲ ἐνδιασκεύῳ ἡ ἔκφρασις· ἔδει οὖν* [2] *ὡς οὖσαν συγγενῆ τῷ διηγήματι ταύτην μετ' ἐκεῖνο εὐθὺς τάττεσθαι· ἀλλ' ἐπεὶ τῶν τελεωτέρων ἐστὶ τοῦτο καὶ ποικιλωτέρων, καταγίνεται δὲ καὶ περὶ ἃ τὸ ἐγκώμιον καὶ ὁ ψόγος καὶ ἡ σύγκρισις καὶ ἠθοποιΐα, περὶ πρόσωπα δηλαδὴ καὶ πράγματα, καιρούς τε καὶ τόπους καὶ τὰ τοιαῦτα, εἰκότως αὐτοῖς συνετάχθη· εἰ δὲ καὶ το διήγημα παρεπόμενα ἔχει τὰ περιστατικά, πρόσωπον, πρᾶγμα, καὶ τὰ λοιπά, ἀλλ' ἐκεῖνο συνίσταται μόνον ἐκ τούτων, οὐ μὴν καὶ περὶ αὐτὰ καταγίνεται πάντα, ἀλλὰ περὶ μόνον τὸ πρᾶγμα, ὡς καὶ ὁ ὁρισμὸς αὐτοῦ* [3] *δείκνυσι. συντελεῖ* [4] *δὲ ἡ ἔκφρασις καὶ πρὸς τὰ τρία τῆς ῥητορικῆς εἴδη, ὥσπερ καὶ τὸ διήγημα, καὶ πρὸς τὰ δύο τοῦ πολιτικοῦ λόγου μέρη, τὴν διήγησιν λέγω καὶ τοὺς*

ἁρμόδιον. παρὸν αἰτῆσαι Sch. *ἀντὶ τοῦ ἐξὸν καὶ δυνατόν· κεῖται δὲ ἀντὶ γενικῆς, τουτέστι παρόντος μοι, νῦν αἰτῆσαι τοὺς θεούς. ἀλλὰ μᾶλλον δέδοικα· ὥσπερ τι μέλλον γενέσθαι προφητεύει· καὶ γὰρ ὁρώμενον δακρύειν εἰκάζεται.* 17 *τὸ γὰρ εἰς πεῖραν* sqq. usque ad finem capitis Vind. om. 18 Mon. *τοῦ ἐν τῷ Θουκυδίδῃ.* 19 *ἐκεῖνο* Mon. om. — Thuc. II. 44.

1 Ald. *ἐνδυσί.* 2 *οὖν* Ald. Mon. om., recepi ex Vind. 3 Ald. *αὐτό.* Mon. Vind. *αὐτοῦ.* 4 Ald. Mon. *συντελῇ.* Vind. *συντελεῖ.*

ἀγῶνας. τὸ γὰρ εὐθὺς ἐν προοιμίοις καὶ ἐν ἐπιλόγοις, ἔνθα μάλιστα συντέμνεται [5] ὁ λόγος, ἐκφράζειν ἄτεχνον κρίνεται· διαφέρει δὲ ἔκφρασις διηγήματος, ὅτι τὸ μὲν ψιλὴν ἔχει τοῦ πράγματος ἔκθεσιν, ἡ δὲ πειρᾶται θεατὰς ἐργάσασθαι μικρὸν τοὺς ἀκούοντας· καὶ ὅτι τὸ μὲν τὰ καθόλου ἐξετάζει, οἷον ὅτι ἐπολέμησαν Ἀθηναίοις Λακεδαιμόνιοι, ἡ δὲ τὰ κατὰ μέρος, οἷον ὅτι τοιῷδε καὶ τοιῷδε μηχανῇ [6] χρησάμενοι καὶ τοιῷδε τρόπῳ τῆς ὁπλίσεως. Περιηγηματικός· περιηγεῖσθαί ἐστι τό τινα προϊέναι τινὸς καὶ δεικνύειν αὐτῷ, ἃ μή πω τεθέαται· τὸν δὲ τοῦτο ποιοῦντα περιηγητὴν λέγομεν. Καιρούς τε καὶ τόπους· χρόνος καιροῦ διαφέρει, ὅτι ὁ μὲν περιεκτικὸς καὶ ἀόριστος, ὁ δὲ καιρὸς μερικός τε καὶ ὡρισμένος. οἷον ἔαρ, θέρος, ἡμέρα, νύξ, καὶ τὰ τοιαῦτα· διὸ οὐδὲ τὸν χρόνον εἶπεν ἐκφράζεσθαι, ἀλλὰ τὸν καιρὸν μόνον ὡς ὡρισμένον. ἰστέον δὲ ὅτι καὶ πάντα τὰ περιστατικὰ ἐκφράζεται, πλὴν τῆς αἰτίας, ὅτι τε καθ' αὑτὴν οὐχ ὑφέστηκε καὶ διότι [7] κατασκευῆς ἴδιον αὕτη. παραλαμβάνομεν [8] μέντοι ταύτην ἐν ἐκφράσεσιν, ὡς κατὰ [9] αὐτὴν κατασκευάζοντες [10] τὴν διασκευήν. δεῖ γὰρ μὴ κατ' ἔκφρασιν μόνον προϊέναι, ἀλλὰ καὶ τὰς αἰτίας τῶν ἐκφραζομένων προνοεῖν, τοῦ καλῶς [11] ἔχειν ἕκαστον πρὸς ἔπαινόν τε τῶν ἐκφραζομένων καὶ τοῦ ποικιλώτερον τὸν λόγον καὶ τερπνότερον [12] γίνεσθαι, ἐκ κατασκευῆς ὁμοῦ καὶ διασκευῆς. Ὥσπερ ὁ συγγραφεύς· συγγραφέα τὸν Θουκυδίδην καλεῖ κατὰ τὸ ἐξαίρετον, ὡς ποιητὴν τὸν Ὅμηρον φαμὲν [13] καὶ ῥήτορα τὸν Δημοσθένην, τὸ δὲ Χειμέριον ὄνομα λιμένος ἐστί. Δεῖ δὲ

5 Mon. τέμνεται. 6 Mon. παρασκευῇ. 7 Vind. μέντοι. 8 Ald. παραβάλλομεν. Vind. Mon. παραλαμβ. 9 Mon. κατ' ἀ. 10 Ald. κατασκευάσαι. Mon. Vind. κατασκευάζοντες. 11 Ald. καλῶν. 12 Ald. Mon. τερπνόν. Vind. τερπνότερον. 13 Mon. Vind. φαμὲν ponunt post ῥήτορα.

ἐκφράζοντας· εἰ δὲ πρᾶγμα ἐκφράζομεν, οἷον πόλεμον, τά τε πρὸ τοῦ πολέμου διελευσόμεθα, τὰς στρατολογίας, τὰ ἀναλώματα, τοὺς φόβους, εἶτα τὰς συμβολὰς, τὰς σφαγὰς, τὰ τραύματα· ἐφ' ἅπασι δὲ τῶν μὲν τὴν ἧτταν καὶ τὴν αἰχμαλωσίαν, τῶν δὲ τὰ τρόπαια καὶ τοὺς παιᾶνας. *Πεζομαχίας ἢ ναυμαχίας*· τῶν συνεζευγμένων εἶναι τὴν νυκτομαχίαν εἰπόντος τοῦ Ἀφθονίου, ὁ Γεωμέτρης καὶ τὴν ναυμαχίαν συνεζευγμένην εἶναί φησιν. εἰ γὰρ ἐκείνη τοιαύτη, διὰ τὸν καιρὸν τῆς νυκτὸς ἔσται πάντως. καὶ αὕτη διὰ τὸν τῆς θαλάσσης τόπον· τῶν περιστατικῶν γὰρ ἑκάτερα· εἰ δὲ τοῦτο δοίη τις, ἔσται ἄρα καὶ διπλῆ καὶ πολλαπλῆ πλειόνων περιστατικῶν συνδραμόντων.[14] *Χαρακτῆρα ἀνειμένον*· περὶ τούτου τελεώτατα ἐν τοῖς περὶ ἀφελείας ἐν τῷ περὶ ἰδεῶν Ἑρμογένους βιβλίῳ μαθησόμεθα. *Καὶ ὅλως ἀπομιμεῖσθαι*· οἱ μὲν ἔφασαν ὅτι δεῖ μὴ μόνον τὰ γεγονότα, ἀλλὰ καὶ τὰ μὴ γεγονότα μὲν, ἐνδεχόμενα δὲ γενέσθαι λέγειν ὅτι γεγόνασιν· οἱ δὲ τὸ μήτε τὰ μεγάλα μικρῶς λέγειν, καὶ τὰ μικρὰ μεγάλως, μήτε τὰ δεινὰ μετρίως, καὶ τοὐναντίον, μήτε τὴν φυγὴν μέτριον οὖσαν πρᾶγμα ἢ δρασμὸν[15] δεινοτέρως λέγειν ἢ ὑποχώρησιν μετριωτέρως· μήτε τὴν δειλίαν οἰκονομίαν, ἢ τὴν σωφροσύνην ἠλιθιότητα. ἀλλ' οἷά ἐστι τὰ πράγματα, τοιαῦτα καὶ[16] λέγειν, ἐπειδὴ σκοπὸς τῷ ἐκφράζοντι, ὑπ' B. ὄψιν ἄγειν τὰ ἐκφραζόμενα. *Πράγματα*· πράγματα ἐνταῦθα οὐ τὰ τοῖς προσώποις ἀντιδιαστελλόμενα, ἀλλ' ἁπλῶς πάντα, κἂν τόπος ᾖ, κἂν χρόνος. Ἰστέον δὲ ὅτι τὸ παρὸν προγύμνασμα οὐδὲν ἴσως κωλύει[17] καθ' αὑτὸ συστῆσαι ὑπόθεσιν, ὡς ἐπὶ τὸ πολὺ δὲ τῶν μερῶν ἐστι·

---

14 Ald. συναδραμόντων. Sqq. χαρακτῆρα ἀν. — — μαθησόμεθα Vind. om. 15 Ald. Mon. δραγμόν. Vind. δρασμόν. 16 καὶ Mon. om. 17 Vind. κωλύσει.

φράσεως δὲ ποικίλης ἐν τούτῳ δεόμεθα· πρὸς γὰρ τὴν ὑποκειμένην ὑπόθεσιν ἁρμόζειν δεῖ καὶ τὸ τῆς ἀπαγγελίας εἶδος.

Αἱ ἀκροπόλεις[18] δέ. ἀνειμένως καὶ ἀφελῶς ἐπήγαγε τὸ δὲ μὴ προηγησαμένου τοῦ μέν· τὸ δὲ ἄρα συμπέρασμά ἐστι συλλογισμοῦ· τῇ δὲ γέγονεν εἴσοδος. ἐκ τῶν ἐπιφερομένων δοκεῖ δεῖν ἄνοδος[19] γράφεσθαι. Τῶν ὄντων ὑπόμνημα· ἢ τῶν θεῶν, ἢ τῶν τεσσάρων στοιχείων φησὶ τοὺς τύπους γεγράφθαι. Τῆς τῶν Πεισιστρατιδῶν. ἥτις τὸ πρῶτον μὲν Καλλιῤῥόη ὠνομάζετο, ὕστερον δὲ ἐννεάκρουνος τῶν τυράννων οὕτω καλεσάντων[20]. Ἔχον τὸν ἀριθμόν· ὑπὸ γὰρ δυοκαίδεκα βασιλέων ἐτελεσιουργήθη. Σταδίῳ προσεοικώς· στάδιον ἐνταῦθα οὐ τὸ μέτρον λέγει, ἀλλὰ τὸ θέατρον.[21]

XIII. ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΘΕΣΕΩΣ.

Θέσις λέγεται καὶ ὁ ὁρισμὸς, θέσις καὶ ἡ παράδοξος ὑπόληψις ἑνός τινος τῶν κατὰ φιλοσοφίαν γνωρίμων, ὡς ἡ τοῦ Ἀντισθένους, ὅτι οὐκ ἔστιν ἀντιλέγειν, ἤ τις πλειόνων γινομένη δόξα ἀστείων μὲν ὄντων αἵρεσις γίνεται, ἀγελαίων δὲ κοινὴ[1] ἔννοια. Θέσις καὶ ἡ τοπικὴ σχέσις ὡς τὸ ἄνω καὶ κάτω· ἔστι δέ τι καὶ[2] σχῆμα παρὰ τοῖς ῥήτορσιν, ὃ κατὰ ἄρσιν καὶ θέσιν ὀνομάζεται, οἷον οὐ κοσμικῶς ἀλλ' ὑπερκοσμίως· Θέσις καὶ ὁ ὑποθετικὸς λόγος, ὁ μὴ ὢν μέν, ὡς ὢν δὲ παραλαμβανόμενος, ὁ καὶ εἰς ἄτοπον καὶ ἀδύνατον ἀπάγων· οἷον θῶμεν τὴν ψυχὴν μὴ εἶναι ἀθάνατον, οὐκοῦν οὐδὲ ἀνταπόδοσις τῶν

18 αἱ ἀκροπόλεις sqq. usque ad finem capitis Vind. om. 19 Mon. ἄνοδον. 20 Mon. κατασκευασάντων. 21 κίονων διπλῆ πρὸς ἑκατ. διαιρεῖται στοάν. Sch. Ang. ἐκ τούτου δῆλον, ὡς ἑκατόν εἰσιν αἱ κίονες.

1 Mon. ἡ ἔνν. 2 καὶ Mon. om.

βεβιωμένων· εἰ δὲ τοῦτο, οὐδὲ δίκη· εἰ δὲ οὐδὲ δίκη, οὐδὲ [3] πρόνοια. θέσις καὶ τὸ παρὰ τοῖς γραμματικοῖς ἐπίρρημα, τὸ ῥητορευτέον, πλευστέον· θέσις λέγεται καὶ ἡ τῶν τοιούτων ἐπιρρημάτων λογικὴ ἐπίσκεψις, περὶ ἧς νῦν ἡμῖν ὁ λόγος. εἴρηται δὲ θέσις ἀπὸ τοῦ τίθεσθαι ἡμᾶς καὶ ὥσπερ νομοθετεῖν καὶ δογματίζειν, ὅτι τόδε καλὸν ἢ κακόν. τάττεται δὲ μετὰ τὰ προλαβόντα γυμνάσματα, [4] ὡς τελειότερα ἐκείνων, ἅτε ἀντίθεσιν καὶ λύσιν πρώτη ἐπιδεχομένη. διαφέρει δὲ θέσις ὑποθέσεως, ὅτι ἡ μὲν θέσις περὶ τῶν καθόλου διαλέγεται, οἷον εἰ γαμητέον, εἰ πλευστέον. καὶ δὴ καὶ ἀπεριστάτως προφέρεται· ἡ δὲ ὑπόθεσις μερικὴ διὰ τὰ περιστατικά. οἷον εἰ γαμητέον Σωκράτει ἢ βασιλεῖ. συμβάλλεται δὲ ἡ θέσις πρός τε τὸ συμβουλευτικὸν εἶδος καὶ πρὸς τὸ ἀγωνιστικὸν μέρος τοῦ πολιτικοῦ λόγου καὶ τοῦ συμβουλευτικοῦ δὲ, καὶ πρὸς ἑκάτερα τὰ μέρη, τό τε παραινετικὸν, ὅπερ [5] καὶ ἀστασίαστον, καὶ τὸ ὁμώνυμον τῷ γένει συμβουλευτικὸν, ὅπερ καὶ στασιάζεται· καὶ γὰρ τῶν θέσεων αἱ μὲν τοῦ πανηγυρικοῦ εἴδους εἰσὶν, οἷον εἰ προσκυνητέον τὸ θεῖον· εἰ τὴν ἀρετὴν τιμητέον. αἱ δὲ τοῦ συμβουλευτικοῦ. οἷον εἰ τοὺς ἐχθροὺς μισητέον. δέχεται μέντοι καὶ τὰ ἀστασίαστα ἀντίθεσιν καὶ λύσιν. εἰ καὶ μὴ διὰ μηδὲν ἄλλο, διά τό γε τοῖς ὠφελίμοις καὶ ἀγαθοῖς μὴ πανταχοῦ καὶ τὸ ῥᾷστον συνεῖναι. ἀλλ' ὡς τὸ πλεῖστον διεστηκέναι μάλιστα τά τε ἥδιστα καὶ τὰ βέλτιστα. χαλεπὸν γὰρ ἡ ἀρετή. ἰστέον καὶ τοῦτο, ὅτι ὁ καθ' ἡμᾶς λόγος διαιρεῖται εἴς τε τὸν ἐνδιάθετον καὶ τὸν προφορικὸν, ὧν ὁ μὲν ἐνδιάθετος εἴς τε τὸν θεωρητικὸν καὶ τὸν πρακτικόν. καὶ ὁ μὲν θεωρητικὸς λόγος ἐστὶν ἐπίσκεψιν ἔχων ἄχρι μόνης θεωρίας ἱσταμένην· οἷον

3 Ald. οὐ. Mon. Vind. οὐδέ. 4 Vind. προγυμνάσματα.
5 Mon. Vind. ὅπιρ. Ald. ὅ.

ζητοῦντες, πῶς κεῖται ὁ οὐρανὸς, ἆρα μυλοειδῶς ἢ σφαιροειδῶς ἄχρι μόνης γνώσεως ποιοῦμεν τὴν ζήτησιν· πρακτικὸς δέ ἐστι λόγος ἐπίσκεψιν ἔχων ἐπὶ διαδεχομένῃ πράξει λεγόμενος. οἷον συμβουλεύει Δημοσθένης Ὀλυνθίοις βοηθεῖν· τοῦτο δὲ πάλιν ὁ μὲν θεωρητικὸς διαιρεῖται εἰς
12A. θέσιν καὶ τὸ πανηγυρικόν· ἔστι δὲ θέσις λόγος ἐπίσκεψιν ἔχων οὐκ ἐπὶ διαδεξομένῃ πράξει γενόμενος· οἷον γαμητέον, πλευστέον. φαμὲν γὰρ μόνον, ὅτι καλόν ἐστι τὸ γαμεῖν ἢ τὸ πλεῖν. εἰ δέ τις ἀκούων γαμήσει ἢ πλεύσει, οὐ παρὰ τοῦ εἰπόντος ἡ αἰτία· οὐ γὰρ ὁ εἰπὼν καλὸν τὸ πλεῖν ἤδη εἶπε καὶ τῷ πλεύσαντι, πλεῦσον. οὐ μὴν ἐν τῇ ὑποθέσει τοῦτο. ἐν ἐκείνῃ γὰρ οὐκ ἐπ' ἄλλῳ τινὶ ἡ συμβουλὴ [6] γίνεται, ἀλλ' ἢ ὡς ἂν ἡ πρᾶξις αὐτὴν διαδέξηται. Πανηγυρικὸν δέ ἐστιν αὔξησις ὁμολογουμένων ἀγαθῶν ἢ κακῶν· τὸ δὲ πρακτικὸν διαιρεῖται εἰς βουλὴν καὶ δίκην· ἔστι δὲ βουλὴ μὲν λόγος προτρεπτικὸς ἢ ἀποτρεπτικὸς τέλος ἔχων τὸ συμφέρον. δίκη δὲ ἀμφισβήτησις λογικὴ τέλος ἔχουσα τὸ δίκαιον· περὶ δὲ τοῦ προφορικοῦ ἔφαμεν [7] ἐν τοῖς περὶ γνώμης. Θέσις ἐστί· τὴν θέσιν ἔνιοι μὲν ὡρίσαντο λόγον ᾧ ἀναγκαίως οὐ παρέπεται πρᾶξις· τῇ γὰρ ὑποθέσει ἕπεται καὶ ἡ πρᾶξις διὰ τὸ τὴν μὲν θέσιν ἀπερίστατον εἶναι, τὴν δὲ ὑπόθεσιν μετὰ περιστάσεων, καὶ τὸ τῇ μὲν θέσει μὴ ὑποκεῖσθαι πρόσωπον ἀκροατῶν, ὥσπερ ἐν τῷ κοινῷ τόπῳ τοὺς δικαστὰς, τῇ δὲ ὑποθέσει ὑποκεῖσθαι αὐτὸ τὸ τὴν συμβουλὴν δεχόμενον πρόσωπον. Ἑρμογένης δέ φησι· Θέσις ἐστὶν ἐπίσκεψίς τινος πράγματος θεωρουμένου, ἀμοιροῦσα πάσης ἰδικῆς περιστάσεως. Νικόλαος δὲ ὁ σοφιστὴς οὕτω· Θέσις ἐστὶ πρᾶγμα λογικὴν ἐπίσκεψιν ἐνδεχόμενον ἄνευ προσώπων ὡρισμένων καὶ πάσης ἑτέρας περιστάσεως. ἰστέον μέντοι ὡς εἰ καὶ

6 Vind. *συμβουλευτική.* 7 Ald. ἔφημεν Vind. ἔφαμεν.

τὰ περιστατικὰ τὰ ἄλλα ἀπεῖναι δεήσει, ἀλλ' οὐχὶ καὶ τὸ πρᾶγμα, περὶ οὗ ὁ λόγος, οὐδὲ τὴν αἰτίαν τὴν κατασκευάζουσαν τὰ λεγόμενα· εἰ γὰρ μὴ πρᾶγμα ὑπόκειται, περὶ τίνος ἐρεῖ ὁ λέγων; εἰ δὲ μήδ' αἰτίαν ἀποδώσει τῶν λεγομένων, πῶς κατασκευάσει ὅτι καλῶς λέγει; Θεωρουμένου· ἀντὶ τοῦ εἰς ἐξέτασιν καὶ δοκιμασίαν προκειμένου, ἢ μέχρι μόνης θεωρίας ἱσταμένου, ἐπεὶ μηδ' ἀναμένει τὴν πρᾶξιν ἡ θέσις, ὥσπερ ὁ κοινὸς τόπος τὴν ψῆφον τῶν δικαστῶν· καὶ ὁ μῦθος καὶ ἡ χρεία καὶ ἡ γνώμη τὴν τῶν ἀκουόντων ὠφέλειαν. Τινός· τὸ τινὸς ἐνταῦθα οὐ μερικοῦ ἀτόμου φησίν· ἦ γὰρ ἂν ἦν ὑπόθεσις, ἀλλ' ἑνός τινος εἴδους, ὅπερ καθολικόν ἐστι. Τῶν δὲ [8] θέσεων. ζητοῦσί τινες, πότερον τὰς τῶν φιλοσόφων καὶ μάντεων καὶ γεωμετρῶν καὶ τὰς [9] ὅλως μὴ δυναμένας ὑπὸ ἰδιωτῶν καταλαμβάνεσθαι, οἷον ἀστρονομικὴν, σπλαγχνοτομικὴν, ὀψαρτυτικήν. εὑρίσκονται γὰρ καὶ τοιαῦται θέσεις, εἰ ἀπὸ δρυὸς τὴν τρόπιν κατασκευαστέον, εἰ σιδηροῦν τὸν τῆς ἀσπίδος ὀμφαλὸν ποιητέον, εἰ [10] τοσαῖσδε χορδαῖς ἐν λύρᾳ χρηστέον· τὸ μὲν γὰρ ναυπηγοῦ, τὸ δὲ ἀσπιδοποιοῦ, τὸ δὲ μουσικοῦ, ἀλλ' ἐμοὶ δοκεῖ χρῆναι, φησὶν ὁ Σαρδέων, πάσας τὰς τοιαύτας θέσεις ἐν ταῖς πολιτικαῖς ἀριθμεῖν, ὧν αἱ ἐπιστῆμαι καθ' ἑκάστην πολιτείαν συμβαίνουσιν. ἀλλ' ὁ μὲν Ἀφθόνιος [11] τὴν θέσιν διαιρεῖ ὡς ἐν τῇ ἐκθέσει κεῖται· ὁ δὲ Ἑρμογένης εἴς τε τὸ ἁπλοῦν, οἷον εἰ γαμητέον, καὶ τὸ πρός τι, οἷον εἰ βασιλεῖ γαμητέον, καὶ τὸ διπλοῦν, οἷον εἰ ἀθλητέον μᾶλλον ἢ γεωργητέον. Διενήνοχε δέ· ἰστέον ὡς εἰ καὶ τάχα τῶν τελεωτέρων αἱ ὑποθέσεις παρὰ τοῖς ῥήτορσιν, ἅτε καὶ τὸ περιστατι-

---

8 δὲ Vind. om. 9 τὰς Ald. om., recepi e Vind. 10 Ald. εἰ δέ. Vind. δὲ om. 11 Vind. Ἀφθ. ὡς ἐν τῇ ἐκθ. κεῖται τὴν θέσιν διαιρεῖ.

κὸν προσλαμβάνουσα, ἀλλ᾽ οὖν ὑπὸ τὰς θέσεις τελοῦσιν ὡς μερικώτεραι,[12] ὡς οὖν ὑπὸ ταύτας ὑποθέσεις ἐκλήθησαν. κυρίως μὲν οὖν ὑποθέσεις αἱ συμβουλευτικαί· μετηνέχθη δὲ τὸ ὄνομα καὶ ἐπὶ τὰς δικανικάς τε καὶ πανηγυρικάς. Τῇ καλουμένῃ ἐφόδῳ· ἐξ ἐφόδου ποιήσει προοίμιον ὁ ἀπ᾽ αὐτοῦ τοῦ προκειμένου ἀρξάμενος πράγματος, καὶ μὴ ἔξω τούτου πλανώμενος· ὡς ἔχει τὸ, οὔτε τὴν ἀρετὴν ἐπαίνων χωρὶς, οὔτε τὴν κακίαν ἔξω ψόγου προσήκει καταλιπεῖν· καὶ ὡς το ἐν τῇ τῆς παρούσης θέσεως μελέτῃ· καλεῖται δὲ ἔφοδος ἀπὸ μεταφορᾶς τῶν ἐξ ἐφόδου χειρουμένων πόλεων. Νομίμῳ· δεῖ γινώσκειν ὅτι τῇ τοιαύτῃ διαιρέσει οὐκ ἐπὶ τῶν θεωρητικῶν, ἀλλ᾽ ἐπὶ τῶν πολιτικῶν χρησόμεθα θέσεων. αἱ μὲν γὰρ θεωρητικαὶ φιλοσόφου δέονται θεωρίας. τινὲς μέντοι τὴν θέσιν διὰ τὸ συμβουλευτικὴν εἶναι τοῖς τελικοῖς κεφαλαίοις διεῖλον, ἐπεὶ καὶ ἡ πραγματικὴ μόνη τῶν στάσεων τούτοις διαιρεῖται· ἕτεροι δὲ τοῖς ἐγκωμιαστικοῖς, γένει, ἀνατροφῇ, πράξεσι, καὶ ἴσως οὐ κακῶς· ἐνδέχεται γὰρ τοῦ εἴδους ὄντος συμβουλευτικοῦ πανηγυρικὴν εἶναι τὴν ὕλην. ὡς ἔχει τὸ, νόμος τὸν μέλλοντα δᾳδουχεῖν δοκιμάζεσθαι· Ἀλκιβιάδης λαχὼν δᾳδουχεῖν δοκιμάζεται· ὁ τοίνυν Ἀφθόνιος καὶ ἄμφω τὰς δόξας ἀποδεχόμενος ἐν μὲν τῇ μεθόδῳ τοῖς τελικοῖς κεφαλαίοις τὴν θέσιν διαιρεῖσθαι ἐδίδαξεν· ἐν δὲ τῇ μελέτῃ τοῖς ἐγκωμιαστικοῖς διεῖλεν αὐτήν. ἰστέον δὲ ὅτι δυνατὸν μὲν ἀνασκευάζειν τὰς θέσεις, οὐ σύνηθες δὲ διὰ τὸ μὴ ἐθίζειν τοὺς νέους τὰ τοῖς καλοῖς ἐναντία φρονεῖν· ἔτι ζητεῖται, εἰ τοῖς ἐγκωμιαστικοῖς ἡ θέσις διαιρεῖται, τί ἂν διαφέροι τοῦ ἐγκωμίου; καί φησιν ὁ Νικόλαος, ὅτι ἐν ταύτῃ μὲν ἐμπίπτει ἀντίθεσις, ἐν ἐκείνῳ δὲ οὐδαμῶς, εἰ μὴ ἄρα ἐξ ἰδιαζούσης ὕλης.

B.

12 Vind. μερικώτεραι. Ald. φειδικώτεραι.

Ἰστέον ὅτι τὸ μὲν „προῆλθεν [13] οὐρανοῦ“ τοῦ γένους ἐστὶ, τὸ δὲ „καὶ πρῶτον μὲν ἀνθρώπους“ τῶν πράξεων· τὸ δὲ „τύχης μοι δοκεῖς“ ἡ λύσις κατ᾽ ἔνστασιν· τὸ δὲ „ἃ μὲν γὰρ [14] κακοπραγοῦντες“ ἐπιχείρημα κατασκευαστικὸν τῆς λύσεως· τὸ δὲ „εἰ δὲ δὴ μάλιστα“ ἑτέρα λύσις τῆς αὐτῆς ἀντιθέσεως κατὰ ἀντιπαράστασιν· τὸ δὲ „οὐχ ὅσα ἂν τοῖς πράγμασιν,“ ἐπιχείρημα τῆς κατὰ ἀντιπαράστασιν λύσεως. τὸ δὲ „καί μοι τὰς καθ᾽ ἕκαστον“ ἐργασία μία διόλου ἐστὶν εἰς κατασκευὴν τοῦ ἐπιχειρήματος ἄχρι τῆς δευτέρας ἀντιθέσεως. τὸ δὲ, „ἐγὼ δ᾽ αὖ τοὐναντίον“, ἑτέρα λύσις κατὰ τὸ βίαιον. τὸ δὲ „ὑπόθεσις“ ἀντὶ τοῦ αἰτία καὶ ἀφορμή. τὸ δὲ „καὶ τί πόνον ἐπίσταται“, λύσις καὶ αὐτὴ κατὰ τὸ βίαιον. τὸ δὲ „μέγα ὁ γάμος“ οἷον ἐπίλογός ἐστι.

XIV. ΕΞΗΓΗΣΙΣ ΤΗΣ ΝΟΜΟΥ ΕΙΣΦΟΡΑΣ.

Ἔδει [1] μὲν τὴν τοῦ νόμου εἰσφορὰν προηγεῖσθαι τῆς θέσεως, διὰ τὸ ἐμφαίνεσθαι ἐν αὐτῇ πρόσωπον εἰ καὶ ἀόριστον, καὶ διὰ ταῦτα μερικωτέρα τῆς θέσεως οὖσῃ· δεῖ γὰρ ἀπὸ τῶν μερικωτέρων ἐπὶ τὰ καθολικώτερα προϊέναι· ἀλλ᾽ ἐπεὶ τὰ γυμνάσματα πρὸς τελείους λόγους ἡμᾶς γυμνάζει, τουτέστι τὰς ὑποθέσεις, ἐκεῖνο δοκεῖ τελεώτερον τὸ μᾶλλον γυμνάζον εἰς τὴν ὑπόθεσιν· τοιοῦτον δέ ἐστιν ἡ τοῦ νόμου εἰσφορὰ, μᾶλλον τῆς θέσεως κοινωνοῦσα τῇ ὑποθέσει· διὰ τὸ περίστασίν τινα δέχεσθαι τοῦ προσώπου· νόμου τοίνυν εἰσφορὰ πολλαχῶς γίνεται. καὶ γὰρ καὶ [2] ὅτε συνηγοροῦμεν νόμῳ ἢ

13 Vind. προεληθὼν. καὶ κατέστη πατὴρ Sch. Ang. διὰ τὸ [Cod. τὸ om.] τὸν Δία παρὰ τῷ ποιητῇ πατέρα ἀνδρῶν τε θεῶν τε καλεῖσθαι. 14 γὰρ Vind. om.

1 Ald. εἶδει. οὐ μὴν ἅπαντα σώζει Sch. Ang. διὰ τοῦτο οὐδὲ ἐν τοῖς προγυμνάσμασιν τὴν αὐτὴν ἔταττον. 2 καὶ Mon. om.

παρ' ἡμῶν τεθέντι καὶ νῦν εἰσφερομένῳ, ἢ πάλαι τεθέντι καὶ κυρωθέντι, καὶ ὅτε δὴ κατηγοροῦμεν νόμου ἢ νῦν τεθέντος, ἢ πάλαι ὅτε οὐδὲ εἰσφορὰ, ἀλλ' ἐκφορὰ μᾶλλον νόμου [3] καὶ λύσις ἐστὶν, ἔτι δὲ καὶ ἡνίκα ἀμφότερα ποιοῦμεν, ἐν μέρει μὲν κατηγοροῦντες τοῦ νόμου, [4] ἐν μέρει δὲ συνηγοροῦντες αὐτῷ· ὡς καὶ ἡ τοῦ Ἀφθονίου ἔχει μελέτη. εἰσφορὰν δὲ νόμου ταύτην καλοῦμεν καὶ οὐκ ἐκφορὰν ἀπὸ τοῦ κρείττονος μέρους. ὁ μὲν γὰρ λύων νόμον παραθεὶς τοῦ κακοῦ γέγονε φρονιμώτερος. ὁ δὲ τιθεὶς ἐπ' ἀδήλοις ἐτίθει καὶ διὰ τοῦτο προτιμότερος· εἰσφορὰν δὲ νόμου καὶ οὐ [5] συνηγορίαν ταύτην ὠνόμασαν ἀπὸ τοῦ καθολικωτέρου· πᾶς μὲν γὰρ εἰσφέρων καὶ συνηγορεῖ τῷ εἰσφερομένῳ, οὐ μὴν πᾶς ὁ συνηγορῶν καὶ εἰσφέρει· ἢ καὶ ἀπὸ τοῦ συνηθεστέρου καὶ πυκνότερον γενομένου. οὐ γὰρ τοσοῦτον ἐξ ἀνάγκης τοῖς κειμένοις καὶ πολιτευομένοις νόμοις συνηγοροῦμεν. περιττὸν γὰρ, εἰ μὴ ἀμελοῖντο, ὅσον νόμους εἰσφέρειν ἀναγκαζόμεθα. διαφέρει δὲ τῶν κατὰ νόμου εἰσφορὰν ζητημάτων τὸ παρὸν γύμνασμα, ὅτι ἐν ἐκείνοις [6] μὲν διά τινα συμβᾶσαν αἰτίαν ἢ εἰσφέρομεν νόμον ἢ λύομεν· οἷον νόμος ταριχεύειν τὰ σώματα· ἐμίχθη τις τεταριχευμένῳ σώματι, καὶ γράφει τις λελύσθαι τὸν τῆς ταριχείας νόμον. καὶ αὖθις Ἀλκιβιάδης μετὰ τὰ κατὰ Κύζικον εἰσφέρει νόμον, μηδένα στρατηγὸν ἐκ τοῦ στρατοπέδου ἀνακαλεῖσθαι. ἂν δὲ οὕτως εἴπωμεν νόμος ταριχεύειν τὰ σώματα, καὶ γράφει τις αὐτὸν λελύσθαι, ἢ γράφει μηδένα στρατηγὸν ἐκ τοῦ στρατοπέδου ἀνακαλεῖσθαι, γυμνασία ἔσται· συμβάλλεται δὲ ἡ τοῦ νόμου εἰσφορὰ πρὸς τὸ συμβουλευτικὸν, ὥσπερ καὶ πᾶσα πραγμα-

13 Λ.

---

3 Mon. *νόμου μᾶλλον.* 4 *τοῦ νόμου* Vind. om. 5 *οὐ* recepi ex Mon. 6 *ἐν ἐκείνοις* Mon. *ἐνείνοις* Ald.

γματικὴ ὑπόθεσις. πρὸς δὲ μέρος λόγου τὸ ἀγωνιστικόν. Λέχεται πρόσωπον· πρόσωπον οὐχὶ τὸ τοῦ γράψαντος, τούτου γὰρ καὶ ἡ θέσις ηὐπόρει, ἀλλὰ καθ' οὗ ἢ[7] ἁπλῶς περὶ οὗ ἐστιν ἡ γραφή· οἷον μοιχοῦ ἀνδροφόνου, ἢ ἀριστέως τυραννοκτόνου. Ὑποθέσεως λείπεται· ὑπόθεσίς ἐστι ζήτησις πολιτικὴ ἐφ' ὡρισμένων προσώπων καὶ πραγμάτων τὴν ἀμφισβήτησιν ἔχουσα, καὶ ἀπαιτοῦσά τινα παρὰ τῶν ἀκουόντων μετὰ τὸν λόγον ἐνέργειαν. Συνηγορία καὶ κατηγορία· τοῦτο οἱ μέν φασιν ὅτι ἢ συνηγοροῦμεν νόμῳ τινὶ, ἢ κατηγοροῦμεν ἑτέρου, ἐν ἄλλῳ μέντοι καὶ ἄλλῳ καιρῷ· οἱ δὲ ὅτι κατηγοροῦντες νόμου τινὸς ἕτερον ἀντὶ[4] αὐτοῦ εἰσφέρομεν, ὡς ἐπὶ τοῦ παρόντος Ἀφθόνιος ἐμελέτησεν. Ἔστι δὲ νόμος. τὸν ὁρισμὸν τοῦ νόμου ἐκ τοῦ ῥήτορος λαβὼν παρῴδησεν ὁ Ἀφθόνιος· ἐκεῖνος γὰρ ἐν τῷ πρώτῳ τῶν κατὰ Ἀριστογείτονος οὕτω φησί· „πᾶς ἐστι νόμος εὕρημα[9] μὲν καὶ δῶρον θεῶν, δόγμα δ' ἀνθρώπων φρονίμων, ἐπανόρθωμα δὲ τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων, κοινὴ δὲ συνθήκη πόλεως.[10] τὸ δὲ συνθήκη δηλοῖ, ἢ ὅτι πολλῶν συνελθόντων εἰς ταὐτὸ συνετέθη· ἢ ὅτι, κἂν ὑφ' ἑνὸς τεθῇ, τῇ συνθήκῃ καὶ συμφωνίᾳ τῶν ἄλλων κυροῦται. τὸ δὲ εἰς ἀμφότερα ἢ πρὸς τὰ ἑκούσια καὶ ἀκούσια ἀνεκτέον, ὡς εἴρηται, ἢ τοὺς θεοὺς καὶ ἀνθρώπους. Ἰστέον δὲ ὅτι τῶν νόμων οἱ μέν εἰσι κοινοὶ, ὡς οἱ καθόλου περὶ τῶν τῆς πόλεως, οἱ δὲ ἴδιοι οἱ περὶ τῶν πρὸς ἀλλήλους[11] συμβολαίων. καὶ πάλιν τῶν νό-

---

7 ἢ Ald. om. est in Mon. 8 Mon. ἀντ'. 9 Mon. Ald. εὕρεμα, — In Aristog. p. 774. 10 κοινὴ δὲ συνθήκη πόλεως· Sch. Ang. ὡς κωλυτικὸς ἀδικήματος ἢ τινος ἑτέρου κακοῦ. πλημμελημάτων· ἢ πρὸς τὰ ἑκούσια καὶ ἀκούσια ἀνακτέον, ἢ πρὸς θεοὺς καὶ ἀνθρώπους. 11 Mon. ἀλλήλων sine πρός.

μων οἱ μὲν ἀγαθῶν ἀμοιβὰς εἰσηγοῦνται, οἱ δὲ ἀδικημάτων τιμωρίαν ὁρίζουσι. διαφέρει δὲ ψήφισμα νόμου, ὅτι τὸ μὲν ψήφισμα πρὸς καιρόν ἐστιν, ὁ δὲ νόμος πρὸς ἅπαντα τὸν χρόνον ἀναφέρεται. Ἡ μὲν οὖν διαίρεσις· διαίρεσιν ἤτοι τὴν τεχνολογίαν λέγει, ἢ τὴν εἰς κατηγορίαν καὶ συνηγορίαν τοῦ προγυμνάσματος τομήν. Τὸ κεκλημένον ἐναντίον· ἐναντίον ὅπερ καὶ ἐν τῷ κοινῷ εἴρηται [12] τόπῳ· ἐνταῦθα δὲ οἱ μέν φασιν εἶναι τόδε τὸ κεφάλαιον, τὸ „εἰ [13] μὲν οὖν ὠροδοκίαν", οἱ δέ· „δοκεῖτε δέ μοι", βέλτιον δὲ τὸ δεύτερον. Ἰστέον δὲ ὅτι φράσεως ἐνταῦθα δεῖ συνεστραμμένης καὶ ἰσχυρᾶς· ὡς ἐγγὺς ὑποθέσεως ὄντος τοῦ γυμνάσματος. Ὥσπερ δίκαια κρίνετε· τοῦτο καθ' ὑποστροφὴν οὐκ ἐπὶ διόρθωσιν, τὸ δὲ κατεγνωκὼς περὶ τοῦ νομοθέτου ὁ λόγος, οὐ περὶ τοῦ νόμου. Ναί φησιν· ἀλλὰ μεγάλα. ἐντεῦθεν [14] ἡ τῶν τελικῶν κεφαλαίων εἰσαγωγή· εἰσάγει δὲ ταῦτα ὁ σοφιστὴς οὐχ ὥσπερ ἑαυτοῦ κατὰ θέσιν, ἀλλ' ὡς παρὰ ἐχθροῦ κατὰ ἀντίθεσιν, ἥτις ἐστίν· ἀπὸ τοῦ δικαίου καὶ ἀντεγκληματική. καὶ γὰρ τὸ δίκαιον μιᾷ τῶν δικαιολογικῶν ὑποπίπτει στάσεων. καὶ κατ' ἐκείνην διαιρεῖται, ὥς φησιν Ἑρμογένης. Καὶ τί διαφέρει· ἑτέρα ἀντίθεσις ἀπὸ τοῦ δικαίου· τὸ γὰρ δίκαιον, ὡς εἴρηται, κατὰ μίαν μελετᾶται τῶν δικαιολογικῶν· μεμελέτηκε δὲ ἐνταῦθα κατὰ μετάληψιν, ὡς τὸ μὲν πρᾶγμα συγχωροῦντος τοῦ ἀντιλέγοντος, ἤτοι τοῦ τὸν νόμον ἀνασκευάζοντος, τὸν δὲ χρόνον μόνον μετα-

---

12 Mon. εἴρηκε. 13 εἰ Mon. om. 14 Ald. ἐνθεῦθεν. ὀλίγου δέω λέγειν. Sch. Ang. μικρόν μοι λείπει πρὸς τὸ λέγειν. τοῖς ὑφαιρουμένοις· τοῖς ἱεροσυλοῦσι· διαφέρει τὸ ἀφαιρεῖσθαι τοῦ ὑφαιρεῖσθαι, καθὸ τὸ μὲν ἀφαιρεῖσθαι ἐπὶ τῶν φανερῶς λαμβανόντων τι λέγεται, τὸ δὲ ὑφαιρεῖσθαι ἐπὶ τῶν λάθρα.

λαμβάνοντος· ὡς δίκαιον μὲν τὸν μοιχὸν ἀναιρεῖσθαι, μὴ μέντοι πρὸ κρίσεως· εὐλόγως οὖν [15] ἡ ἀντίθεσις πρὸς τὴν μετάληψιν ἀπήντησε συλλογιστικῶς. καὶ γὰρ καὶ τοῦτο ἐν τῇ διαιρετικῇ παραδέδοται [16] τέχνῃ, τὸ μετὰ τὴν μετάληψιν συλλογισμὸν εὑρίσκεσθαι· καὶ ταύτην αὐτῷ λύεσθαι, ὥσπερ κἀνταῦθα συλλογιζόμενος ὁ τῷ νόμῳ συνιστάμενος, τί, φησὶ, διαφέρει, εἴτε πρὸ [17] τῆς κρίσεως, εἴτε μετὰ τὴν κρίσιν ὁ μοιχὸς ὑφέξει τὴν δίκην· δι' ἀμφοτέρων γὰρ τὸ αὐτὸ πάντως ἀπαντήσεται τέλος. Ὅσον [18] τυράννου· ἡ λύσις κατὰ ἔνστασιν. καὶ δῆμος μέν· ὅσα γὰρ ἐν τῇ βουλῇ ἔδοξε, ταῦτα ἐπὶ τὸν δῆμον ἀνεφέρετο· καὶ ἐκ τῶν ἐναντίων τὰ ὑπὸ τοῦ δήμου ψηφιζόμενα ὑπὸ τῆς βουλῆς B. ἐκυροῦτο. Ἐξ ἐναντιωμάτων· τοῦτό τινες οὕτως ἐνόησαν. οἱ νόμοι πάντες ἐξ ἐναντιωμάτων ἐτέθησαν. οἷον ἐτολμήθη φόνος, καὶ νόμοι κατὰ φονέων [19] ἐγράφησαν, μοιχεία, καὶ [20] κατὰ μοιχῶν ὡσαύτως. ὁμοίως καὶ περὶ τῶν λοιπῶν· εὐφυὲς οὖν τὸ νόημα, [21] οὐχ ἅπτεται δὲ τῆς Ἀφθονίου ἐννοίας. ἐναντία γὰρ οὗτος δημοκρατίαν καὶ τυραννίδα βούλεται ἀποδεῖξαι, εἰ καὶ παραφθείρει τὴν τοῦ λόγου σύνταξιν, ὡς καὶ πολλαχοῦ ἐν τοῖς προλαβοῦσι, ῥητορικὴν μὲν γὰρ ἴσως ἠκρίβωσε, λογογραφίαν δὲ ἔντεχνον [22] οὐδαμῶς.

Ἀλλὰ χαλεπωτέραν· ἀντίθεσις καὶ αὕτη ἀπὸ τοῦ συμφέροντος· τὸ δὲ τοὐναντίον μὲν οὖν ἡ λύσις κατὰ τὸ βιαιον. Δεινὸν ὁ μοιχός· ἑτέρα ἀντίθεσις ἀπὸ τοῦ

---

15 Ald. δ' οὖν. Mon. οὖν. 16 Ald. παραδέδυνται. 17 πρὸ Mon. πρὸς Ald. 18 Ὅσον τυράννου — ἔνστασιν Mon. cm. 19 Ald. φρονέων. 20 Mon. μοιχία καί. Ald. καὶ μοιχία. [scr. μοιχεία.] 21 Mon. ἐννόημα. 22 Mon. οὐδαμῶς ἔντ.

δικαίου· ἐνήλλαξε δὲ τὸ σχῆμα κατ᾽ ἐρώτησιν τὸν λόγον προαγαγών. Ἵνα δόξῃ λανθάνειν· καὶ πάλιν δὲ τὴν αὐτὴν λύσιν ἐπήγαγεν ἣν καὶ πρότερον. Ὡς μοιχὸς ἀναιρούμενος· τοῦτο ἀπὸ τοῦ ἐκβησομένου φησίν.

II.

ΠΡΟΛΕΓΟΜΕΝΑ

ΕΙΣ ΤΗΝ ΡΗΤΟΡΙΚΗΝ

ΤΟΥ ΛΟΞΟΠΑΤΡΙ.[1]

Ἅπασα ζήτησις εἰς ταῦτα καὶ μόνα τὰ τέσσαρα περιΐσταται, τὸ εἰ ἔστι, τὸ τί ἐστι,[2] τὸ ὁποῖόν τί ἐστι καὶ τὸ διατί ἐστιν· ἅπας γὰρ ὁ ζητῶν ἢ τὸ εἰ ἔστι ζητεῖ, οἷον εἰ σφαιροειδὴς ὁ οὐρανὸς ἢ οὔ· εἰ πολλοὶ κόσμοι, ὡς ἔλεγεν ὁ Δημόκριτος, ἢ εἷς, καθὰ τοῖς ἐκ τοῦ Περιπάτου δοκεῖ· ἢ περὶ τοῦ, τί ἐστιν, ἡ ζήτησις γίνεται, ὡς ὅτε ζητοῦμεν, τί ἐστιν ἄνθρωπος, ἢ ἵππος ἢ βοῦς ἢ τι ἕτερον. Ἄλλοτε τὸ ὁποῖόν τί ἐστι ζητεῖ ὁ ζητῶν, οἷον εἰ πολυπραγμονεῖ, ὁποῖόν τι ζῶον ὁ ἄνθρωπος, ὅτι λογικόν, καὶ ὁποῖον ὁ κόραξ, ὅτι μέλαν. ἢ περὶ τοῦ, διατί ἐστιν, ἡ ζήτησις γίνεται, οἷον διὰ τί ἡ μαγνῆτις ἕλκει τὸν σίδηρον, ἢ διὰ τί τῶν ἡμερῶν αἱ μὲν μείζους εἰσὶν, αἱ δὲ ἐλάττους. Ἐπὶ μὲν οὖν τῆς ῥητορικῆς οὐ χρὴ τὸ εἰ ἔστι[3] ζητεῖν, ὁμολογουμένην ἐχούσης τὴν ὕπαρξιν·

---

1 Descripsi haec Prolegomena ex Cod. Vat. CVI. et contuli cum Cod. CIII. Continentur etiam in Cod. Paris. MMCMLXXX. sed singulis partibus cum scribae tum glutinatoris culpa disjectis. 2 τό τί ἐστι Cod. 103. om. 3 Cod. 106. οὐ χρὴ τί ἐστι.

ἐπεὶ δέ τινες σοφιζόμενοι ταύτην ἀνατρέπειν πειρῶνται καὶ τῶν μὴ ὄντων ἀποδεικνύναι, φέρε προθέντες εἰς μέσον τοὺς ἐκείνων λόγους ἐλέγξωμεν. Πρῶτος μὲν οὖν λόγος τῶν ἀνατρεπόντων αὐτὴν τοιοῦτός ἐστιν· ἦν ὅτε οὐδόλως ἦν ἡ ῥητορικὴ, εἰ δὲ μὴ ἦν, οὐδὲ γέγονεν, ἐπεὶ οὐδὲν ἐκ τοῦ μηδαμῆ μηδαμῶς γένοιτο ἄν· καὶ οὗτος μὲν ὁ παραλογισμὸς καὶ τὸ σόφισμα· ἐλέγχουσι δὲ αὐτὸν οὕτωσί· τοῦ ὄντος διπλοῦν ὑπάρχει τὸ σημαινόμενον, τὸ μὲν γὰρ ἐπὶ τοῦ δυνάμει λέγεται, ὡς τὸ παιδίον δυνάμει λέγομεν εἶναι γραμματικόν· τὸ δὲ ἐπὶ τοῦ ἐνεργείᾳ, ὥσπερ φαμὲν γραμματικὸν τὸν ἤδη μετασχόντα τῆς τέχνης. Ὅταν οὖν οἱ σοφιζόμενοι λέγωσιν, ἦν ὅτε οὐκ ἦν ἡ ῥητορικὴ, ἐρωτῶμεν αὐτοὺς πῶς οὐκ ἦν ἡ ῥητορικὴ πρότερον, δυνάμει ἢ ἐνεργείᾳ; εἰ μὲν οὖν λέγουσιν, ἐνεργείᾳ πρότερον μὴ εἶναι αὐτὴν, καὶ ἡμεῖς αὐτοῖς συνομολογήσομεν· καὶ γὰρ δυνάμει οὖσα πρότερον ἡ ῥητορικὴ ὕστερον ἐκβέβηκεν εἰς ἐνέργειαν· πᾶσαι γὰρ καὶ αἱ ἄλλαι τέχναι καὶ ἐπιστῆμαι οὕτω γεγόνασι, δυνάμει μὲν οὖσαι πρότερον, ὕστερον δὲ προκόψασαι εἰς ἐνέργειαν, ὥστε οὐ γέγονε κατ' αὐτοὺς ἐκ τοῦ μηδαμῆ μηδαμῶς, ἀλλ' ἐκ τοῦ δυνάμει προελήλυθεν εἰς ἐνέργειαν· εἰ δέ φασι μηδὲ δυνάμει αὐτὴν εἶναι πρότερον, ἐλέγξομεν αὐτοὺς ψεύδους, ἐκ τοῦ ὁρᾶν αὐτὴν προχωρήσασαν εἰς ἐνέργειαν· εἰ γὰρ μὴ ἦν πρότερον δυνάμει, οὐκ ἂν ὕστερον προέκυψεν εἰς ἐνέργειαν· ὁρᾶται δὲ νῦν προχωρήσασα, καὶ τὰ ἔργα ταύτης ἐν ταῖς πολιτείαις ἀκμάζει· εἰ γὰρ ἔργα ῥητορικῆς, προτρέπειν μὲν ἐπὶ τὸ καλὸν, ἀποτρέπειν δὲ τοῦ κακοῦ, καὶ κατηγορεῖν μὲν τῶν ἀδικούντων, ὑπεραπολογεῖσθαι δὲ τῶν ἀδικουμένων, καὶ ψέγειν μὲν τοὺς φαύλους, τοὺς δὲ ἀγαθοὺς ἀξιοῦν ἐγκωμίων, ταῦτα δὲ πάντα πολιτεύεται σήμερον, καὶ τοῖς ἀνθρώποις εἰσὶ περισπούδαστα, φανερὸν, ὅτι καὶ ἡ ῥητορικὴ ἐνεργείᾳ τέ ἐστι καὶ ὑφέστηκε. Τοιοῦτον μὲν τὸ πρῶτον σόφισμα

τῶν τὴν ῥητορικὴν ἀνατρεπόντων καὶ τῶν μὴ ὄντων δεικνυόντων αὐτήν. τοιοῦτος δὲ καὶ ὁ τοῦ σοφίσματος αὐτῶν καθέστηκεν ἔλεγχος· δεύτερος πάλιν λόγος ἀνατρεπτικὸς τῆς ῥητορικῆς τοιοῦτός ἐστιν, εἰ ἔστιν ἡ ῥητορικὴ, ἢ περὶ τὰ ἰδικὰ καταγίνεται, ἢ περὶ τὰ κοινά· εἰ μὲν οὖν περὶ τὰ ἰδικά, οὐκέτι περὶ τὰ πολιτικά· κοινὰ γὰρ τὰ τῆς πολιτείας καὶ οὐχὶ μερικά, εἰ δὲ περὶ τὰ κοινὰ καταγίνεται, ἢ περὶ ἕν ἢ περὶ πάντα· ἀλλ' οὐδὲ μία τις ἄλλη τέχνη περὶ ἕν τι πρᾶγμα ἀεὶ καταγινομένη εὑρίσκεται, οἷον ὁ τέκτων οὐ πάντοτε κλίνην δημιουργεῖ, ἀλλὰ καὶ θρόνον καὶ τράπεζαν, ὥστε καὶ ἡ ῥητορικὴ οὐκ ἂν περὶ ἕν τι πρᾶγμα καταγινομένη λεχθήσεται. Εἰ οὖν περὶ πάντα τὰ κοινὰ καταγίνεται καὶ τὰ τῆς πολιτείας συνεκτικά, εἰ μὲν ὡς ἀγνοοῦσα, οὐδεὶς αὐτῇ προσέξει, εἰ δὲ ὡς ἐπισταμένη, τῷ περιττῷ καὶ τῷ ἀδυνάτῳ ἐκβληθήσεται· τῷ μὲν περιττῷ, ὅτι ἢ αὐτὴ περιττὴ, ἢ αἱ ἄλλαι τέχναι καὶ ἐπιστῆμαι, ἀλλὰ μὴν ἐκεῖναι οὐ περιττὰι, καὶ τοῦτο δῆλον, ὅτι ἐὰν ἐκεῖναι ἀναιρεθῶσιν, οὐ δυνήσεται ἡ ῥητορικὴ τὰ ἐκείνων διαπράξεσθαι ἔργα, ὥστε αὐτὴ μᾶλλόν ἐστι περιττή· τῷ δὲ ἀδυνάτῳ πάλιν ἐκβάλλεται, ὅτι ἀδύνατόν ἐστι, τὴν ῥητορικὴν μίαν οὖσαν τὰς ἁπασῶν τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν εἰδέναι μεθόδους· ἡ δὲ διαίρεσις τοῦ ῥηθέντος λόγου καὶ ἡ καταγραφὴ τοιαύτη ἐστίν.

Ἡ ῥητορικὴ

A. *ἢ περὶ τὰ ἰδικὰ καταγίνεται καὶ λοιπὸν οὐκ ἔστι τέχνη πολιτικὴ, κοινὰ γὰρ τὰ τῆς πολιτείας.*

B. *ἢ περὶ τὰ κοινά.*

a. *ἢ περὶ ἕν, ἀλλ' οὐδὲ ἄλλη τις τέχνη περὶ ἕν τι πρᾶγμα ἀεὶ καταγίνεται.*

b. *ἢ περὶ πάντα.*

α. ἢ ὡς ἀγνοοῦσα καὶ οὐδεὶς αὐτῇ προσέξει.

β. ἢ ὡς ἐπισταμένη, καὶ τῷ περιττῷ καὶ τῷ ἀδυνάτῳ ἐκβάλλεται.

Τοιοῦτόν ἐστι καὶ τὸ δεύτερον σόφισμα, εὐδιάλυτον δὲ καὶ αὐτό, καὶ σχεδὸν ἡ προγεγονυῖα πᾶσα διαίρεσις κακῶς ἔχει καὶ διὰ τοῦτο ἀνατρεπομένη εὑρίσκεται· αὐτίκα τὸ λέγειν, ὅτι ἡ ῥητορικὴ ἢ περὶ τὰ ἰδικὰ καταγίνεται ἢ περὶ τὰ κοινά, ψευδός ἐστιν, οὐδὲ γὰρ περὶ ἓν τούτων ἀλλὰ περὶ ἀμφότερα καταγίνεται, καὶ γὰρ ὁ ῥήτωρ ποτὲ μὲν περὶ ἰδικῶν διαλαμβάνει, ὅταν τῷδέ τινι συνηγορήσῃ τῶν πολιτικῶν ἢ συμβουλεύσηται, ποτὲ δὲ διαλαμβάνει καὶ περὶ τῶν κοινῶν, ὅταν ὑπὲρ ἁπάσης λέγῃ τῆς πολιτείας· ἀλλ᾽ οὐδὲ τὸ ἐφεξῆς τῆς διαιρέσεως ἄπταιστον, τὸ λέγειν, εἰ δὲ περὶ τὰ κοινὰ καταγίνεται ἡ ῥητορικὴ ἢ περὶ ἓν ἢ περὶ πάντα, διότι τῷ ἑνὶ οὐχὶ τὰ πάντα, ἀλλὰ τὰ πολλά εἰσιν ἀντιδιαιρούμενα, ὥστε οὕτως ὤφειλεν εἰπεῖν ὁ τὴν διαίρεσιν ἐργαζόμενος, ὅτι εἰ περὶ τὰ κοινὰ καταγίνεται ἡ ῥητορικὴ, ἢ περὶ πολλὰ ἢ περὶ ἓν καταγινομένη ἐστὶ, καὶ ἡμεῖς οὖν οὕτω φαμὲν, ὅτι περὶ πολλὰ ἡ ῥητορικὴ καταγίνεται, οὐδὲ γὰρ περὶ μιᾶς καὶ τῆς αὐτῆς ὑποθέσεως ἀεὶ διαλήψεται ὁ ῥήτωρ, ἀλλὰ ἄλλοτε [4] ἄλλου πράγματος εὑρίσκεται προϊστάμενος, πρὸς δὲ τὸ ἔσχατον μέρος τῆς διαιρέσεως, τὸ λέγον, εἰ δὲ περὶ πάντα καταγίνεται ἡ ῥητορικὴ, ἢ ὡς ἀγνοοῦσα ἢ ὡς ἐπισταμένη περὶ αὐτῶν διαλήψεται, καὶ εἰ μὲν ὡς ἀγνοοῦσα, οὐδεὶς ἔσται ταύτῃ προσέχων, εἰ δὲ ὡς γινώσκουσα, τῷ περιττῷ καὶ τῷ ἀδυνάτῳ ἐκβληθήσεται, τοιαῦτα φαμὲν, ὅτι ἐπὶ πάσης τέχνης καὶ ἐπιστήμης δύο τεθεώρηνται λόγοι, ὁ μὲν προτρεπτικὸς, ὁ δὲ μεθοδικός τε καὶ τεχνικός· τῷ μὲν οὖν προτρεπτικῷ ἐν ἁπάσαις ταῖς ἐπιστήμαις καὶ τέχναις κέχρηται ἡ ῥητορικὴ προτρέπουσα τούτων ἀντέχεσθαι· εἰ μὴ γὰρ εἴη προτροπή τις καὶ συμβουλὴ, οὐκ ἂν ὁ μὲν τήνδε τὴν ἐπιστήμην, ὁ δὲ τήνδε προέλοιτο, ὥστε ἡ ῥητορικὴ ὡς μὲν προτρέ-

4 ἄλλοτε Cod. 106. non habet.

πουσα ἢ ἀποτρέπουσα περὶ πάσας τὰς τέχνας τῆς πολιτείας θεωρηθήσεται· οὐ μὴν καὶ ὡς τὰς μεθόδους ἐκείνων[5] διδάσκουσα, καὶ διὰ τοῦτο ἀναγκαία μᾶλλον καὶ οὐχὶ περιττὴ καὶ ἀδύνατος εὑρεθήσεται. Οἱ μὲν οὖν λόγοι τῶν ἀνατρεπόντων τὴν ῥητορικὴν οὕτως ἀνεσκευάσθησαν· ὅτι δὲ τῶν ὄντων ἐστὶν ἡ ῥητορικὴ καὶ ἐνύπαρκτος, οἱ μὲν ἀπὸ μυθικῆς ἱστορίας κατασκευάζουσιν, οἱ δὲ ἀπὸ τῆς μαρτυρίας τῶν ποιητῶν, καὶ οἱ μὲν ἀπὸ μυθικῆς ἱστορίας κατασκευάζοντες οὕτω φασὶν,[6] ὅτι βουληθεὶς ὁ δημιουργὸς ἐξ ἀρχῆς τὸν κόσμον παραγεῖν πάσαις ταῖς ὑπ' αὐτὸν προσέταξε δυνάμεσιν, ὃ ἂν ἑκάστη κάλλιστον ἔχῃ συμβαλλόμενον εἰς τὴν τοῦ κόσμου σύστασιν ἀγαγεῖν. Ἀθηνᾶ μὲν ἐκόμισε τὴν ὑφαντικὴν, Ποσειδῶν δὲ τὸ σκάφος ἐπενοήσατο πρὸς ἐμπορίαν[7] τὸν ἄνθρωπον προτρεπόμενος, καὶ Ἥφαιστος τὰς βαναύσους τέχνας καὶ ὅσαι διὰ πυρὸς, καὶ ἄλλος τῶν θεῶν ἄλλο τι προσεπενοήσατο.[8] Ἑρμῆς δὲ τὴν ῥητορικὴν ἐφεῦρε, τῷ καλλίστῳ τῶν ζώων τὴν καλλίονα τῶν τεχνῶν χαριζόμενος, καὶ ἵνα μὲν τὰ ἀγαθὰ ἐπαινῶσιν οἱ ἄνθρωποι, ψέγωσι δὲ τὰ φαῦλα, τὸ πανηγυρικὸν ἐδωρήσατο, ἵνα δὲ πάλιν τοῖς μὲν λυσιτελοῦσι καὶ ὠφελίμοις προσέχωσι, τῶν δὲ βλαβερῶν ἀποτρέχωσι, τὸ συμβουλευτικὸν παραδέδωκε, καὶ ἵνα πάλιν τὰς πρὸς ἀλλήλους φιλονεικίας διαλύωνται,[9] τὸ δικανικὸν ἐτεχνήσατο. ταῦτα μὲν Ἕλληνες φληναφοῦσιν ἐκ μυθικῆς ἱστορίας, τὴν ῥητορικὴν τῶν ὄντων ἀποδεικνύοντες, ἀπὸ δὲ τῆς τῶν ποιητῶν μαρτυρίας, ὅτι παράγουσι τοὺς θεοὺς αὐτῶν ποτὲ μὲν μαχομένους, ποτὲ δὲ συμβουλευομένους καὶ ἄλλοτε ἐπαινοῦντάς τι ἢ ψέγοντας, οἱ δὲ ἀληθῶς λέγοντες οὐ μόνον ἐν ἀνθρώποις εἶναι λέγουσι τὴν ῥητορικὴν, ἀλλὰ καὶ αὐτόν φασι

5 Cod. 103. ἐκείνας. 6 Cfr. Doxop. Prolegomena. T. VI. p. 5. 7 Cod. 103. ἐμπορείαν. 8 Cod. 103. προσεπενόησεν. 9 Cod. 106. διαλύονται.

τὸν Θεὸν ταύτῃ χρήσασθαι. Ὅτι μὲν οὖν ἐν ἀνθρώποις ἐστὶν ἡ ῥητορικὴ, οὐδεμίαν ἔχει τοῦτο ἀμφιβολίαν, ὁρῶμεν γὰρ προτροπὴν καὶ ἀποτροπὴν, καὶ κατηγορίαν καὶ ἀπολογίαν, καὶ ἐγκώμιον καὶ ψόγον ἐν τοῖς ἀνθρώποις πολιτευόμενα, ταῦτα δὲ τῆς ῥητορικῆς πάντως εἰσίν· ἥ τε γὰρ προτροπὴ καὶ ἀποτροπὴ τοῦ συμβουλευτικοῦ εἴδους ἐστὶ τῆς ῥητορικῆς, καὶ ἡ κατηγορία καὶ ἡ ἀπολογία τοῦ δικανικοῦ, καὶ τὸ ἐγκώμιον καὶ ὁ ψόγος τοῦ πανηγυρικοῦ, ὥστε τούτων ἐν ἀνθρώποις ὄντων ἐστὶ πάντως καὶ ἡ ῥητορική· ὅτι δὲ καὶ Θεὸς αὐτὸς ἐχρήσατο τῇ ῥητορικῇ, δεικνύουσιν οὕτω· τῷ μὲν οὖν συμβουλευτικῷ φασι χρήσασθαι ὅτε ἔφη· „ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν·“ [10] τῷ δὲ δικανικῷ, δι᾽ ὧν παραβάντι τῷ Ἀδὰμ ἐδικάσατο, εἰπών· „τίς [11] σοι ἀνήγγειλεν, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι [12] μὴ φαγεῖν, ἔφαγες;“ τῷ δὲ πανηγυρικῷ, ὅτε ἰδὼν τὰ ὑπ᾽ αὐτοῦ δημιουργηθέντα, ὅτι καλὰ, ταῦτα ἐπήνεσεν, ὡς ἡ γραφὴ λέγει· [13] „καὶ εἶδεν ὁ Θεὸς πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν·“ οὕτω μὲν οὖν ἐδείχθη, ὅτι ἐστὶν ἡ ῥητορική.

Δευτέρα ζήτησις ἦν ἡ τοῦ τί ἐστι. ζητητέον οὖν ταύτην καὶ ἐπὶ τῆς ῥητορικῆς· πολλῶν δὲ ὄντων τῶν ὁρισμῶν αὐτῆς ἡμεῖς τοὺς ἄλλους ἀφέντες τὸν ἀκριβέστερον εἴπωμεν· ἔστιν οὖν ἡ ῥητορικὴ τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον· ἐπεὶ δὲ πᾶς ὁρισμὸς ἐκ γένους ἐστὶ καὶ συστατικῶν διαφορῶν, ῥητέον καὶ ἐν τούτῳ τῷ ὁρισμῷ, ποῖον μὲν τὸ γένος, ποῖαι δὲ αἱ διαφοραί. ἔστι τοίνυν τὸ μὲν τέχνη ὄνομα ὡς γένος ἐνταῦθα κείμενον, τὸ δὲ περὶ λόγου δύναμιν διαφορὰ χωρίζουσα τὴν ῥητο-

10 Cod. 106. καθομοίωσιν. — Gen. I. 26. 11 Cod. 106. τι. — Gen. III. 11. 12 pro σοι Cod. 103. τούτου μόνου. 13 Gen. I. 21.

ρικὴν ἀπὸ τῶν ἄλλων τεχνῶν τῶν μὴ λογικῶν, οἷον τῆς τεκτονικῆς, τῆς οἰκοδομικῆς, τῆς λιθοξοϊκῆς καὶ τῶν τοιούτων, αὗται γὰρ οὐκ εἰσὶ περὶ [14] δύναμιν λόγου καταγινόμεναι· τέχναι γάρ εἰσιν ἄλογοι· ἔτι τὸ περὶ λόγου δύναμιν δείκνυσι τὴν ῥητορικήν, ὅτι πρᾶγμά ἐστιν ἐν μεσότητι θεωρούμενον, ᾧ ἔξεστι χρήσασθαι καὶ καλῶς καὶ κακῶς, δυνάμεις γὰρ τὰ τοιαῦτα κατονομάζουσιν οἱ παλαιοὶ, οὔτε ἀγαθὰ οὔτε φαῦλά εἰσι κατὰ τὴν ἑαυτῶν φύσιν, ἀλλὰ μέσα, οἷον ὁ πλοῦτος κατὰ τὴν ἰδίαν φύσιν οὔτε ἀγαθόν ἐστιν οὔτε κακόν, ἀλλὰ διὰ τὸν χρώμενον ἀγαθὸς ἢ κακὸς ὁ πλοῦτος δοκεῖ· εἰ μὲν γὰρ εἰς ἀγαθὰς πράξεις αὐτῷ τις χρήσαιτο, ἀγαθὸν κἀκεῖνος δοκεῖ, εἰ δὲ εἰς φαύλας καὶ πονηράς, καὶ ὁ πλοῦτος φαῦλον δοκεῖ· τοιοῦτον καὶ ἡ ὑγίεια καὶ ἡ ἰσχὺς καὶ τὸ κάλλος καὶ τὸ ξίφος καὶ τὰ τοιαῦτα, δυνάμεις ὀνομαζόμενα, διότι δύναταί τις αὐτοῖς χρήσασθαι καὶ εἰς τὸ εὖ καὶ εἰς τὸ μὴ εὖ. τοιοῦτον καὶ ἡ ῥητορικὴ, δύναται γάρ τις αὐτῇ καὶ ἐν ἀγαθοῖς χρήσασθαι, ὅταν συνηγορῇ τοῖς ἀδικουμένοις καὶ τῶν ἀδικούντων κατηγορῇ, καὶ προτρέπῃ μὲν εἰς τὰ ἀγαθὰ, ἀποτρέπῃ δὲ τῶν κακῶν, καὶ τὰ μὲν ἀγαθὰ ἐγκωμιάζῃ, ψέγῃ δὲ τὰ φαῦλα καὶ πονηρά· δύναταί τις αὐτῇ χρήσασθαι καὶ κακῶς, συκοφαντῶν καὶ τοῖς συκοφάνταις συνηγορῶν καὶ ἐπὶ τὰ φαῦλα προτρεπόμενος καὶ ψέγων τὰ ἐπαίνων ἄξια καὶ τὰ πονηρὰ ἐπαινῶν, διὰ τοῦτο δύναμις ἡ ῥητορικὴ καὶ τέχνη περὶ λόγου δύναμιν ὀνομάζεται, τὸ δὲ ἐν πράγματι πολιτικῷ, ἑτέρα ἐστὶ διαφορὰ, χωρίζουσα τὴν ῥητορικὴν ἀπὸ τῆς γραμματικῆς καὶ τῆς ἰατρικῆς, καὶ τῶν λοιπῶν λογικῶν τεχνῶν· ἡ μὲν γὰρ γραμματικὴ καὶ ἡ ἰατρικὴ, εἰ καὶ αὗται τέχναι εἰσὶ περὶ λόγου δύναμιν, ἀλλ' οὐχὶ καὶ περὶ πράγματα πολιτικὰ καταγίνονται· ἥ τε γὰρ γραμματικὴ περὶ

---

11 Cod. 103. κατά. — v. 14. uterque Cod. ὑγεία.

τόνους καὶ χρόνους καὶ πνεύματα καὶ τὰ τοιαῦτα καταγινομένη ἐστὶν, ἡ δὲ ἰατρικὴ περὶ τὰ ἀνθρώπινα σώματα· μόνη δὲ ἡ ῥητορικὴ περὶ τὰ συστατικὰ τῆς πολιτείας καταγίνεται πράγματα· τὸ δὲ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον τὸ τέλος ἐστὶ τῆς ῥητορικῆς· δεῖ γὰρ τὸν ῥήτορα καὶ ἐν συμβουλαῖς καὶ ἐν δικαστηρίοις, καὶ ὅταν ἐγκωμιάζῃ ἢ ψέγῃ μὴ ἀπίθανα λέγειν, ἀλλ' ἐοικότα καὶ ἐνδεχόμενα· ἂν γὰρ ἐρῇ πιθανῶς, κἂν [15] οὐ πείσῃ τὸν ἀκροατὴν, καὶ οὕτω ῥήτωρ ἐστίν· ὡς γὰρ ἰατρὸν ἐκεῖνόν φαμεν, οὐ τὸν ἀεὶ θεραπεύοντα, ἀλλὰ καὶ τὸν ἰατρικῶς τὸν νοσοῦντα μεταχειριζόμενον, καὶ κατὰ τὸ τῆς τέχνης ἐνεργοῦντα ἐπάγγελμα, καὶ γὰρ ἔστιν ὅτε οὐ θεραπεύσει, ὅταν τὸ πάθος ὑπέρτερον τῆς τέχνης ἐστὶ, καὶ θεραπείαν οὐκ ἐπιδέχηται, ἄλλ' ὅμως, κἂν μὴ θεραπεύσῃ, ἰατρικῶς δὲ τὴν νόσον μεταχειρίσαιτο, καὶ οὕτως ἰατρός ἐστί τε καὶ λέγεται, οὕτως οὖν καὶ ὁ ῥήτωρ, κἂν μὴ πείσῃ, ὅμως δὲ πιθανῶς εἴπῃ οὐδὲν ἧττον ῥήτωρ λεχθήσεται· διὰ τοῦτο οὐ κεῖται ἐν τῷ ὁρισμῷ τέλος ἔχουσα τὸ πείθειν, ἀλλὰ τὸ πιθανῶς εἰπεῖν· οὕτω μὲν οὖν καὶ τό τί ἐστιν ἀποδεδώκαμεν ἐπὶ τῆς ῥητορικῆς. Ἀπὸ δὲ τῶν ἤδη ῥηθέντων δῆλον καὶ τὸ ποῖόν τί ἐστιν ἡ ῥητορικὴ, ὅτι λογικὴ τέχνη καὶ τῆς πολιτείας συστατικὴ, καὶ τοῖς ἀνθρώποις ὠφέλιμος ἐν βουλαῖς καὶ δικαστηρίοις καὶ πανταχοῦ. Ζητητέον δὲ καὶ τὸ διὰ τί ἐστιν ἡ ῥητορική; φασὶν οὖν, ὅτι δι' ἐκεῖνά ἐστι τὰ ὄντως θεῖα καὶ θαυμαστὰ, καὶ δι' ὧν μιμηταὶ θεοῦ οἱ ταύτην καλῶς μετερχόμενοι γίνονται. Ἐπενοήθη γὰρ ἡ ῥητορικὴ διὰ τὸ τῶν μὲν κακῶν ἀποτρέπειν, προτρέπειν δὲ εἰς τὸ ἀγαθὸν, καὶ διὰ τὸ τοὺς μὲν φαύλους τιμωρεῖν, τοὺς δὲ ἀγαθοὺς στεφανοῦν, καὶ τοὺς μὲν πονηροὺς ψέγειν, τιμᾷν δὲ καὶ ἐγκωμιάζειν τοὺς [16] ἀγαθούς. Ἀλλ' ἐπεὶ τὰ

15 Cod. 106. *καί.* 16 Contextus in Par. ad verba: *ἐγκωμιάζειν τοὺς* interjectis aliquot foliis continuatur.

τέσσαρα ταῦτα, τὸ εἰ ἔστι, τὸ τί ἐστι, τὸ ὁποῖόν τί ἐστι, καὶ τὸ διὰ τί ἐστιν ἐζητήσαμεν ἐπὶ τῆς ῥητορικῆς, φέρε καὶ τὰ ὀκτὼ κεφάλαια ἐπὶ τοῦ προκειμένου βιβλίου τῶν προγυμνασμάτων ζητήσωμεν, τὸν σκοπὸν λέγω, τὸ χρήσιμον, τὸ γνήσιον, τὴν τάξιν τῆς ἀναγνώσεως, τὴν αἰτίαν τῆς ἐπιγραφῆς, τὴν εἰς τὰ κεφάλαια διαίρεσιν, τὸν διδασκαλικὸν τρόπον, καὶ τὴν ὑπό τι μέρος ἀναφοράν. Ἔστι τοίνυν ὁ σκοπὸς τῷ Ἀφθονίῳ προασκῆσαι ἡμᾶς εἰς τὰ εἴδη τῆς ῥητορικῆς, καὶ εἰς τὰ μέρη τοῦ πολιτικοῦ λόγου· καὶ εἴδη μὲν ῥητορικῆς τρία, συμβουλευτικὸν, δικανικὸν, πανηγυρικὸν, μέρη δὲ τοῦ πολιτικοῦ λόγου τέσσαρα, προοίμια, διηγήσεις, ἀγῶνες καὶ ἐπίλογοι· διαιρεῖται δὲ πάλιν ἕκαστον τῶν εἰδῶν τῆς ῥητορικῆς εἰς δύο, τὸ μὲν συμβουλευτικὸν εἰς προτροπὴν καὶ ἀποτροπὴν, τέλος δὲ αὐτοῦ τὸ συμφέρον, τὸ δὲ δικανικὸν πάλιν διαιρεῖται εἰς κατηγορίαν καὶ ἀπολογίαν, τέλος δὲ αὐτοῦ τὸ δίκαιον· τὸ δὲ πανηγυρικὸν εἰς ἐγκώμιον καὶ ψόγον, τέλος δὲ αὐτοῦ τὸ καλόν· τοιοῦτος μὲν ὁ σκοπὸς τῶν προγυμνασμάτων, ἐκ [17] δὲ τοῦ σκοποῦ δῆλον γέγονε καὶ τὸ χρήσιμον· χρησιμεύουσι γὰρ τὰ προγυμνάσματα εἰς τὰ τῆς ῥητορικῆς εἴδη καὶ εἰς τὰ τοῦ πολιτικοῦ λόγου μέρη. Ὅτι δὲ γνήσιον τῷ Ἀφθονίῳ τὸ τῶν προγυμνασμάτων βιβλίον, ἐκ τῆς τῶν ἐξηγησαμένων αὐτὸ συμφωνίας κατάδηλον, ἅπαντες γὰρ ἐδέξαντο τοῦ Ἀφθονίου εἶναι τὰ προγυμνάσματα, διὸ καί τι ἐπίγραμμα τούτοις τοιοῦτόν ἐστιν ἐπιγραφόμενον·

Εἴ σοι ῥητορικῆς φίλος πόθος ἔμπεσε θυμῷ,
Μή σε γε γυμνασίη Ἀφθονίοιο λάθῃ. [18]

---

17 Cfr. Doxopatri Homilias in Aphthonii Progymn. in Prolegomenis. 18 In *λάθῃ* Cod. Par. desinit. Ad marg. *τὴν δὲ τάξιν τῆς ἀναγνώσεως καὶ τὰ λοιπὰ ζήτει εἰς τὴν ἀρχὴν τοῦ βιβλίου.* Revera in fronte libri Prolegomena sunt, quae inci-

Ἡ δὲ τάξις τῆς ἀναγνώσεως τοιαύτη. Εἰκότως τὸ τῶν προγυμνασμάτων βιβλίον τῆς ῥητορικῆς ἁπάσης προτέτακται, διότι εἰσαγωγή ἐστι πρὸς αὐτὴν καὶ προπαίδευσις· δεῖ δὲ ἀεὶ τὰς εἰσαγωγὰς τῶν ὑποθέσεων προμανθάνεσθαι, εἰς ἃς καὶ εἰσάγουσιν· ἡ δὲ αἰτία τῆς ἐπιγραφῆς τοιαύτη καὶ αὐτή ἐστιν. ἐπιγέγραπται τὸ παρὸν βιβλίον Ἀφθονίου σοφιστοῦ προγυμνάσματα, καὶ χρὴ ἡμᾶς σαφηνίσαι, τί ἐστι προγύμνασμα. χρὴ τοίνυν εἰδέναι, ὅτι τὸ προγύμνασμα καθολικόν ἐστιν ὄνομα, διαιρούμενον εἰς τὰ καθ' ἑκάστην ἐπιστήμην καὶ τέχνην προγυμνάσματα· ὁρίζονται οὖν τὸ μὲν καθολικὸν προγύμνασμα οὕτως, ἄσκησις μετρίων πρὸς μειζόνων ἐπίῤῥωσιν πραγμάτων, ἅπασα γὰρ προγυμνασία ἀπὸ τῶν εὐχερῶν καὶ μετριωτέρων εἰς τὰ μείζω καὶ δυσχερῆ τὸν μανθάνοντα ἐπιῤῥώννυσιν. Ῥητορικὸν δέ ἐστι προγύμνασμα εἰσαγωγικὴ τριβὴ διὰ λόγου τῶν κατὰ ῥητορικὴν μερῶν ἢ εἰδῶν, χρήσιμά τινα προασκουμένη. τριβὴ γάρ ἐστι καὶ προπαίδευσις τὸ ῥητορικὸν προγύμνασμα, προπαιδεύουσα ἡμᾶς καὶ προασκοῦσα εἰς τὰ τῆς ῥητορικῆς εἴδη, καὶ εἰς τὰ μέρη τοῦ πολιτικοῦ λόγου. Προγυμνάσματα δὲ ταῦτα λέγονται καὶ οὐχὶ γυμνάσματα, διότι κυρίως γυμνάσματά εἰσι τὰ τῆς ῥητορικῆς βιβλία, ἃ συνεγράψατο Ἑρμογένης, ἦγουν αἱ στάσεις, αἱ εὑρέσεις, αἱ ἰδέαι, καὶ τὸ περὶ μεθόδου δεινότητος, δι' ἐκείνων γὰρ τὰς ῥητορικὰς μεθόδους διδασκόμεθα, τὰ δὲ τοῦ Ἀφθονίου προγυμνάσματα ὠνομάσθησαν, ὡς πρὸ ἐκείνων τῶν γυμνασμάτων τασσόμενα καὶ προμανθανόμενα. Τὸ δὲ σοφιστὴς ὄνομα ὁμώνυμόν ἐστι· λέγεται γὰρ σοφιστὴς καὶ ὁ διδάσκων τινὰ καὶ σοφίζων, λέγεται σοφιστὴς καὶ ὁ φιλόσοφος, ὁ τὸ ἀληθὲς καὶ τὸ καλὸν ἐρευνῶν· λέγεται σοφιστὴς καὶ ὁ ψεύστης καὶ ἀπατεών· ἐπὶ τούτοις ὀνομάζεται σοφιστὴς

piunt: ὄντως τὸ τῶν προγυμν. βιβλίον τῆς ῥητ. ἁπάσης προτέτακται (sic).

καὶ ὁ πλασματογράφος καὶ μὴ ἐπὶ δικαστηρίου ἀγωνιζόμενος, οἷος ἦν καὶ Λιβάνιος· τοῦτο γὰρ διαφορὰ ῥήτορός τε καὶ σοφιστοῦ, ὅτι ῥήτωρ μέν ἐστιν ὁ τοῖς ἀληθινοῖς ἀγῶσιν ἐγγυμναζόμενος, καὶ ἐν δικαστηρίοις ἀγωνιζόμενος, οἷος ἦν Αἰσχίνης καὶ Δημοσθένης, σοφιστὴς δὲ ὁ πλασματογράφος καὶ μὴ ἐπὶ δικαστηρίου ἀγωνιζόμενος. Ὁ τοίνυν Ἀφθόνιος σοφιστὴς ὀνομάζεται ἢ ὡς διδάσκων καὶ προβιβάζων τοὺς νέους εἰς τὰς ῥητορικὰς μεθόδους καὶ οὕτω σοφίζων αὐτούς, ἢ καὶ ὡς πλασματογράφος καὶ μὴ ἐν ἐπηκόῳ [19] συγγυμναζόμενος. Ζητητέον δὲ καὶ τὴν εἰς τὰ κεφάλαια διαίρεσιν. Διαιρεῖται τὸ παρὸν βιβλίον τῶν προγυμνασμάτων εἰς τὰ γυμνάζοντα ἡμᾶς, εἰς τὸ συμβουλευτικὸν εἶδος τῆς ῥητορικῆς, καὶ εἰς τὰ γυμνάζοντα εἰς τὸ δικανικόν, ὁμοίως καὶ εἰς τὰ γυμνάζοντα εἰς τὸ πανηγυρικόν, ἔτι δὲ καὶ εἰς τὰ γυμνάζοντα εἰς προοίμιον ἢ διήγησιν, ἢ ἀγῶνας, ἢ ἐπιλόγους· ὁ μὲν γὰρ μῦθος καὶ ἡ χρεία καὶ ἡ γνώμη καὶ ἡ θέσις εἰς τὸ συμβουλευτικὸν προγυμνάζουσιν, ἡ δὲ ἀνασκευὴ καὶ κατασκευὴ καὶ ὁ κοινὸς τόπος εἰς τὸ δικανικόν, τὸ δὲ ἐγκώμιον καὶ ὁ ψόγος καὶ ἡ σύγκρισις εἰς τὸ πανηγυρικόν. Πάλιν ὁ μὲν μῦθος προγυμνάζει ἡμᾶς εἰς προοίμιον, τὸ δὲ διήγημα εἰς διήγησιν, ἡ δὲ ἀνασκευὴ καὶ ἡ κατασκευὴ εἰς τοὺς ἀγῶνας, ὁ δὲ κοινὸς τόπος εἰς τοὺς ἐπιλόγους.

Διδασκαλικοὶ δὲ τρόποι εἰσὶ τέσσαρες· διαιρετικός, ὁριστικός, ἀποδεικτικὸς καὶ ἀναλυτικός· χρῆται δὲ κυρίως τοῖς δυσὶν ὁ Ἀφθόνιος, τῷ μὲν διαιρετικῷ, ἡνίκα διαιρεῖ τῶν προγυμνασμάτων ἕκαστον λέγων, τοῦ μύθου τὸ μέν ἐστι λογικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ μικτόν, καὶ τοῦ διηγήματος τὸ μὲν δραματικόν, τὸ δὲ ἱστορικόν, τὸ δὲ μικτόν, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως· τῷ δὲ ὁριστικῷ πάλιν χρῆται, ἡνίκα ὁρίζεται τὰ προγυμνάσματα, οἷον μῦ-

19 ἐπικόῳ Cod. uterque.

θός ἐστι λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν, καὶ διήγημά ἐστιν ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος, καὶ ἐπὶ τῶν ἄλλων προγυμνασμάτων ὡσαύτως· ἀναφέρεται δὲ καὶ τοῦτο τὸ βιβλίον ὑπὸ τὸ λογικὸν ὄργανον τῆς φιλοσοφίας, ὡς μεθόδους λογικὰς καὶ κανόνας διδάσκον.

Διαίρεσις [20] *τῆς ῥητορικῆς καὶ τῶν εἰδῶν αὐτῆς.*

ἡ ῥητορικὴ

συμβουλευτικὸν	δικανικὸν	πανηγυρικὸν
προτροπήν	ἀποτροπήν	κατηγορίαν	ἀπολογίαν	ἐγκώμιον.	ψόγον.

Τῆς ψυχῆς μέρη τρία, λογικὸν, θυμικὸν, ἐπιθυμητικὸν, καὶ τῆς ῥητορικῆς εἴδη τρία, συμβουλευτικὸν, δικανικὸν, πανηγυρικόν. ἀναλογεῖ οὖν τὸ μὲν συμβουλευτικὸν τῷ λογικῷ, ὡς γὰρ ὁ λόγος ἐστὶν ἐν ἡμῖν διὰ τὸ κυβερνᾶν ἡμᾶς ἐπὶ τὰ χρηστὰ, οὕτω καὶ τὸ συμβουλευτικὸν ἀπὸ μὲν τῶν ἀχρήστων ἀποτρέπει, προτρέπει δὲ ἐπὶ τὰ χρηστά, τὸ δὲ δικανικὸν ἀναλογεῖ τῷ θυμικῷ· θυμὸς γάρ ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως, καὶ διὰ τοῦ δικανικοῦ πάλιν ἀμυνόμεθα καὶ ἀντιλυποῦμεν τοὺς προλυπήσαντας ἡμᾶς, καὶ προαδικήσαντας, τὸ δὲ πανηγυρικὸν ἀναλογεῖ τῷ ἐπιθυμητικῷ, ὡς γὰρ ἡ ἐπιθυμία τέλος ἔχει τὸ καλὸν, οὕτω καὶ τοῦ πανηγυρικοῦ τέλος ἐστὶ τὸ καλόν· ἵνα δὲ τὰ λεχθέντα εὐσύνοπτα ᾖ, ὑποκείσθω καὶ ἡ διαίρεσις.

ἡ ψυχὴ ἡ ῥητορικὴ

λογικὸν	θυμικὸν	ἐπιθυμητικὸν.	συμβουλευτικὸν	δικανικὸν	πανηγυρικόν.

III.

---

20 *Διαίρεσις τῆς ῥητορ.* et sqq. absunt a Par.

III.

ΤΟΥ ΔΟΞΑΠΑΤΡΗ[1]

ΡΗΤΟΡΙΚΑΙ ΟΜΙΛΙΑΙ

ΕΙΣ ΤΑ

ΤΟΥ ΑΦΘΟΝΙΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

Τοῖς ἐκ ποιητικῶν μαθημάτων καὶ τῆς ἐκεῖθεν τερατολογίας[2] ἐπὶ τὸ τῆς ῥητορικῆς ἤκουσιν ἄρτι μέγα μυστήριον καὶ τῆς ἐντεῦθεν ἐπιπνοίας καὶ μεγαλονοίας ἐμφορηθῆναι[3] θέλουσιν οὐκ ὀλίγον μὲν τὸ θάμβος οὐδὲ τὴν ἔκπληξιν ἀγεννῆ τῶν θαυμασίων αὐτῆς ἁπτομένοις προθύρων ἐνεῖναι εἰκός· τῷ γὰρ μεγέθει τῆς ἀκοῆς καὶ τῷ ἐξαισίῳ τῆς φήμης τοῦ πράγματος τηλικοῦτον αὐτοῖς[4] ἐγγίνεσθαι τὸν θόρυβον εὔλογον, καὶ τὸν πόθον δὲ καὶ τὴν σπουδὴν οὐδὲν ἧττον τοῦ θάμβους τοῖς γε τὰς ψυχὰς γενναιοτέροις αὐτῶν ἀναγκαῖον ἐντίκτεσθαι· ὅσον γὰρ δυσχερῆ καὶ ἄλλως δυσκατόρθωτον τὴν πραγματείαν πυνθάνονται, τοσοῦτον καὶ αὐτοὶ σπουδαιότε-

---

1 Laur. τοῦ *Δοξοπατρῆ Ἰωάννου*. Ambr. 1. τοῦ *Δοξοπατρῆ κυρίου Ἰωάννου*. 2 Ambr. 1. στρατολογίας. 3 Ambr. 1. *ἐμφορεθῆναι*. 4 Ambr. 1. αὐτῆς.

ρον ἑαυτοὺς συγκροτοῦσι καὶ ἀσφαλέστερον εὐτρεπίζονται, ὡς ἂν τὰ τοῖς πολλοῖς δύσληπτα καὶ δυσθεώρητα κατορθώσαντες περιφανεῖς ἐν λόγοις καὶ περιώνυμοι γένωνται. Ἀμέλει τοι καὶ πρὸς ἃ τὴν ἀρχὴν αὐτοὶ ἀπαντῶσι, ταῦτα δέ ἐστι τὰ γυμνάσματα, πολλαὶ φροντίδες ἐξηγήσεως καὶ σχολικαὶ μέριμναι τοῖς πρὸ ἡμῶν σοφοῖς ἅμα καὶ φιλανθρώποις ὑπάρξασι κατεβλήθησαν, τό τε πολὺ τῆς τῷ συγγράμματι τούτῳ δοκούσης ἐνεῖναι δυσκολίας διαλύουσαι, καὶ τὸ τῶν νέων ἐπιμελὲς ἐπιῤῥώνυουσαι καὶ τὴν προθυμίαν κρατύνουσαι, ὡς ἂν μήτε πρὸς τὸ πλῆθος τῶν ἀγνοουμένων ἀποναρκήσωσιν, ἀρτιπαγεῖς ὄντες, καὶ προσέτι μὴ ἁπλῶς ἐκλαμβάνωσι τὰ λεγόμενα, ἀλλὰ καὶ τοῦ φαινομένου ἐθίζωνται νοεῖν τι βαθύτερον τῇ λεπτότητι τῆς ἑρμηνείας πρὸς τοῦτο διεγειρόμενοι. Τηλικαύτης τοίνυν σπουδῆς τοῖς πρὸ ἡμῶν γενομένης περὶ τὴν τοῦ προκειμένου βιβλίου ἐξήγησιν, δεδοικὼς αὐτὸς, μὴ αὐθάδης τις καὶ θρασὺς εἶναι δόξω καὶ τοῦ δέοντος ἀνεπαίσθητος, ὅπερ σοφοὶ καὶ ἐλλόγιμοι ἔφθασαν ἐξηγήσασθαι, τοῦτο καὶ αὐτὸς ὑπομνηματίζειν πειρώμενος, ὥσπερ οὐκ ἐξαρκουσῶν, ἃς ἐκεῖνοι κατεβάλλοντο, ἐξηγήσεων, τὴν αἰτίαν εἰπεῖν τοῦ τολμήματος ἔκρινα δεῖν, λογιζόμενος ὡς εἰ αὕτη εὔλογος φανῇ καὶ εὐπρόσωπος, τοῦ δοκοῦντος αὐτὸς ἀπολυθήσομαι ἁμαρτήματος. Ἐγὼ γὰρ ἐνέτυχον μὲν πολλοῖς καὶ μεγάλοις βιβλίοις συμβαλλομένοις πρὸς τὰ τῆς ῥητορικῆς γυμνάσματα, τοῖς μὲν ἐξηγητικοῖς, τοῖς δὲ καὶ μεθόδους ἰδίας προϊσχομένοις, φιλοπονώτερον δὲ καὶ ὡς οἷόν τε ἦν ἐπιμελέστερον τοῖς τε τοῦ Ἀφθονίου γυμνάσμασι καὶ τοῖς εἰς αὐτὰ γεγενημένοις παρηκολούθησα ὑπομνήμασιν, ὧν καὶ οὐκ ὀλίγα αὐταῖς ἀπεγραψάμην ταῖς λέξεσιν. Βουλόμενος οὖν τήν τε γνῶσιν τῶν τοιούτων ἐκ τῆς ἀπογραφῆς ἀκριβεστέραν ἐσχηκέναι, καὶ τὴν τοῦ συγγράμματος ἕξιν τελεωτέραν ἐκ τῆς πονικωτέρας ἐρεύνης, ἁρ-

μοζουσῶν ἑκάστῃ σχεδὸν λέξει τῶν ἐν αὐτῷ ἐξηγήσεων, ἐπὶ τὴν παροῦσαν ἐξήγησιν ὡρμησάμην· εἰ δέ τι καὶ αὐτὸς ὠφελείας ἄξιον ἠδυνήθην προσεπινοῆσαι, χάρις ἐκείνοις τοῖς καὶ τὴν ἀρχὴν ἡμῖν ὁδηγήσασι καὶ πρὸς ἔννοιαν τῶν τοιούτων χειραγωγήσασιν.

Ἀλλ' ἐπειδὴ [5] τέσσαρές εἰσιν αἱ ἀνωτάτω ζητήσεις, ἡμὶ δὴ τὸ εἰ [6] ἔστι, καὶ τό τί ἐστι, τὸ ὁποῖόν τί ἐστι καὶ τὸ διὰ τί ἐστιν, ἐξ ὧν αἱ μὲν δύο, ἥ τε [7] τὸ τί ἐστι ζητοῦσα, καὶ ἡ τὸ διά τί ἐστιν, ἐν πᾶσι ζητεῖσθαι εἰώθασι, πλὴν τῶν ὁμολογουμένως [8] ἀνυπάρκτων, ἐν ἐκείνοις [9] γὰρ οὐδεμία ζητεῖται, αἱ δὲ λοιπαὶ [10] ἕτεραι δύο οὐκ ἐν πᾶσιν, ἀλλ' ἔν τισι· φέρε πρὸ [11] τῶν ἄλλων ἁπάντων καὶ ἐπὶ τῆς ῥητορικῆς, ἧς μέρος καὶ τὸ παρὸν βιβλίον, τὰς τοιαύτας ζητήσεις ζητήσωμεν, [12] καὶ εἰ μὴ πᾶσαι ἐμπίπτουσιν ἐνταῦθα, ἀλλ' ἔνιαι, ἀκριβέστερον ἐξετάσωμεν. Ἀλλὰ πρὸ τούτου [13] σκοπήσωμεν, τίνα μέν εἰσιν, ἐφ' ὧν αἱ πᾶσαι ζητοῦνται ζητήσεις, τίνα δὲ ἐφ' ὧν οὐ πᾶσαι, ἀλλ' ἔνιαι. Ἐπειδὴ τοίνυν πᾶν εἰς ζήτησιν προβαλλόμενον ἢ τῶν ἀνυπάρκτων ἐστὶν, ὡς τὰ ἐν ψιλῇ διανοίᾳ, [14] ἢ καὶ τῶν νομιζομένων ἔχειν ὕπαρξιν, [15]

---

5 Voce ἐπειδὴ incipit commentatio, quae apud Iriartem T. I. p. 442—445. Trophonii nomen in fronte gerit, et sine auctoris nomine in Paris. 2916. 2984. et 2985. Ambr. B. 100. [Ambr. 2.] et B. 101. [Ambr. 1.] continetur. 6 Ambr. 1. ἤ ἐστι. τὸ τί ἐστι. Matrit. εἰ om. 7 Laur. ἅτε. Vind. ὅτε. Ambr. 1. 2. Matrit. ἥ τε. 8 Par. 1. 2. Ambr. 1. ὁμολογουμένων. 9 Ambr. 1. μὲν γάρ. 10 Par. 1. 2. Ambr. 1. Matrit. λειπόμεναι ἕτεραι sine δύο. 11 Vind. πρός. Par. 1. 2. πρό. Ambr. 1. φέρε καὶ ἐπὶ τῶν ἀ. 12 Par. 2. ἐξετάσωμεν. idem fuit in Par. 1. sed correctum est ζητήσωμεν. Sqq. καὶ εἰ μὴ πᾶσαι — ἐξετάσωμεν. Matrit. om. 13 Matrit. πρὸ τούτων ζητήσωμεν. 14 Ambr. 1. ἐπινοίᾳ, ἢ καὶ τῶν. Vind. διανοίᾳ ἢ ἐκ τῶν. 15 Ambr. 1. addit: ὡς οἱ ἀντίποδες, ἡ Ἰρι

καὶ εἰ τούτων, ἢ τῶν ἀμφιβαλλομένην ἢ τῶν ἀναμφίβολον ταύτην ἐχόντων, ἐπὶ μὲν τῶν ὁμολογουμένως ἀνυπάρκτων οὐδεμίαν ἀνάγκη γίνεσθαι[16] ζήτησιν, ἐπὶ δὲ[17] τῶν ὑπάρχειν νομιζομένων, ἐπὶ μὲν τῶν ἀναμφιβόλων,[18] ὡς ἄνθρωπος, λίθος, ἅ τινα φανερῶς ὑφεστήκασι,[19] τὸ μὲν, εἰ ἔστιν, οὐ ζητεῖται,[19*] ἅτε δὴ πᾶσι δήλου τῆς τούτων οὔσης ὑπάρξεως, τὰ δὲ λοιπὰ ζητεῖται[20] καὶ μᾶλλον, ἡνίκα μὴ δι' ὁρισμοῦ ἀλλὰ δι' ὀνόματος μόνου ἀποδοθήσεται ἡ τούτων ὕπαρξις· εἰ γὰρ δι' ὁρισμοῦ, συνεμπίπτει καὶ τὸ ὁποῖόν τί ἐστι διὰ τὸ τοῖς ὅροις συναναφαίνεσθαι καὶ τὰς διαφορὰς ἐν τῷ ὁποῖόν τί ἐστι, λεγομένας· ἐπὶ δὲ τῶν ἀμφιβαλλομένην ἐχόντων τὴν ὕπαρξιν,[21] καὶ τὸ εἰ ἔστι, καὶ τὰ λοιπὰ ζητεῖται, εἰ τὸ τί ἐστι κἀνταῦθα δι' ὀνόματος καὶ οὐ δι' ὁρισμοῦ ἀποδίδοται. [21*] Ἐπὶ τῆς ῥητορικῆς τοίνυν τὸ, εἰ ἔστι, ζη-

καὶ τὰ ἐν τῷ ἀέρι σώματα. sq. εἰ Vind. om. recepi ex Ambr. 1. 16 γίνεσθαι Ambr. 1. om. 17 Laur. primum habuit μέν. manu recentiore correctum δέ. Ambr. 1. μέν. 18 Vind. ἀναμφίλων, unde conjeci ἀναμφιλόγων. Laur. Matr. Ambr. 1. ἀναμφιβόλων. 19 Ambr. 1. ὑφεστηκότα. 19* ζητεῖται — δὲ λοιπὰ Matr. om. 20 Matr. Ambr. 1. ζητεῖται, εἰ μὴ τὸ τί ἐστι δι' ὁρισμοῦ ἀλλὰ δι' ὀνόματος μόνου [M. μόνον] ἀποδοθήσεται. εἰ γὰρ δι' ὁρισμοῦ, συνεκλείπει [M. συνεκλείποι] καὶ τὸ ὁποῖόν τί ἐστι, διὰ — — — καὶ τὰς ἐν τῷ ὁποῖόν τί ἐστι λεγομένας [M. γενομένας] διαφοράς. 21 τὴν ὕπαρξιν Vind. om. 21* Ambr. Matr. addit: πλὴν εἰ μὴ ἀτελὴς εἴη ὁ ὁρισμός· εἰ γὰρ ἀτελῆ ποιήσομεν τὸν ὁρισμὸν τοῦ ὑποκειμένου, οὐ δηλοῦται τὸ ὁποῖόν τί ἐστιν· οἷον ἐπὶ τοῦ θυμοῦ· ὁριζόμενος γὰρ τοῦτον ζέσιν εἶναι τοῦ περὶ καρδίαν αἵματος οὐκ ἐσήμανα τὸ ὁποῖόν τί ἐστι· πολλαὶ γάρ εἰσι ζέσεις τοῦ περὶ καρδίαν αἵματος· [οὐκ ἐσήμανα — αἵματος Ambr. om.] εἰ δὲ προσθεὶς τὸ τέλειον εἶδος τῷ ὁρισμῷ τοῦ θυμοῦ εἴπω, ὅτι ζέσις ἐστὶ τοῦ περὶ καρδίαν αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως, ἰδοὺ συνανεφάνη καὶ τὸ ὁποῖόν τί ἐστι. [vide eandem definitionem apud Schol. in Arist. Ran. 869. θυμὸς γάρ

τεῖσθαι οὐκ εὔλογον ἦν, ἅτε δὴ ὁμολογουμένην καὶ ἀναμφίλεκτον [22] λαχούσης τὴν ὕπαρξιν. Ἀλλ' ἐπειδή τινες καὶ περὶ αὐτῆς [23] ἀμφιβάλλουσιν, οἳ καὶ διὰ παραλογισμῶν τινῶν ἀπαλεῖψαι [24] τῶν ὄντων ταύτην σπουδάζουσι, φέρε τοὺς ἐκείνων λόγους προθέντες [25] τὰ ἐν αὐτοῖς σοφίσματα διελέγξωμεν. Τινὲς μὲν οὖν αὐτῆς [26] τὴν ὕπαρξιν ἀναιροῦντες, ἦν, φασίν, ἡ ῥητορικὴ ὅτε οὐκ ἦν, εἰ δὲ οὐκ ἦν, οὐδὲ γέγονεν, ἐπεὶ οὐδὲν ἐκ [27] τῶν μὴ ὄντων, ὅσα γε κατὰ ἀνθρώπους γίνεται· μόνου [28] γὰρ θεοῦ ἦ τῶν ὄντων ἐκ τῶν μὴ ὄντων παραγωγή τε καὶ γένεσις· καὶ ὁ μὲν τῶν ἐκβαλλόντων τοῦ εἶναι τὴν ῥητορικὴν λόγος τοιοῦτος. Ἐξελεγκτέον δὲ ἤδη καὶ τὸ ἐν [29] αὐτοῖς σόφισμα· τοῦ γὰρ ὄντος διπλοῦν τι [30] τὸ σημαινόμενον ἔχοντος, καὶ πῇ μὲν τὸ ἐνεργείᾳ, πῇ δὲ τὸ δυνάμει σημαίνοντος, εἰ μὲν ἐπὶ τοῦ ἐνεργείᾳ τις κἀνταῦθα τὸ οὐκ ἦν παραλήψεται, καὶ παρὰ τοῦτο αὐτὴν τοῦ εἶναι ἐκβάλλει, [31] τῷ εἶναί τινα χρόνον, ὅτε οὔπω ἐνεργείᾳ [32] ἦν ἡ ῥητορική, οὐ μόνον αὐτὴν τὴν ῥητορικήν, ἀλλὰ καὶ τὰς ἄλλας ἁπάσας [33] ἀναιρήσει τέχνας καὶ ἐπιστήμας, πᾶσαι γὰρ κατὰ δύναμιν οὖσαι τὸ πρῶτον γεγόνασι [34] καὶ κατ' ἐνέργειαν ὕστερον, καὶ πᾶσαι ἐκ τῶν μὴ ὄντων γεγόνασιν· εἰ δὲ ἐπὶ τοῦ δυνάμει, ἐλεγχθήσεται [35] ψευδόμενος ἐκ τοῦ εἰς ἐνέργειαν τὴν ῥητο-

---

ἐστι ζέσις τοῦ περὶ καρδίαν αἵματος, δι' ὄρεξιν ἀντιλυπήσεως κινούμενος.] 22 Ambr. 1. ἀναμφίβολον. 23 Matr. ταύτης. 24 Ambr. 1. Matr. ἀπαλλάξαι ταύτην καὶ ἀπαλεῖψαι τ. ὄντ. σπουδ. 25 Matr. προσθέντες. 26 Ambr. 1. τὴν ὕπαρξιν τῆς ῥητορικῆς. 27 ἐκ Ambr. 1. Matr. om. Tum Matr. κατ' ἀνθ. γίγνονται. 28 Ambr. 1. μόνου. Vind. μόνη. 29 Matr. ἑνόν. 30 τι Matr. om. 31 Ambr. 1. ἐκβάλλειν. Tum Ambr. 1. Matr. διὰ τὸ εἶναι. 32 ἐνεργείᾳ Ambr. 1. Matr. om. 33 ἁπάσας Matr. om. 34 Ambr. 2. Matr. γεγόνασιν ὕστερον κατ' ἐν. 35 Matr. ἐλεχθήσεται.

ρικήν [36] προχωρῆσαι· εἰ γὰρ ἦν, ὅτε οὐκ ἦν ἡ ῥητορικὴ δυνάμει, οὐκ ἂν ποτε εἰς ἐνέργειαν προεχώρησε. τὸ γὰρ μὴ ὂν δυνάμει οὐκ ἂν εἰς ἐνέργειάν ποτε προχωρήσῃ· [37] ὁρᾶται δὲ προχωρήσασα· εἰ γὰρ τῆς ῥητορικῆς ἔργα λέγεται εἶναι [38] τὸ ἐπὶ μὲν τὰ καλὰ προτρέπειν, τῶν δὲ κακῶν ἀποτρέπειν, καὶ τὸ τῶν [39] μὲν ἀδικούντων κατηγορεῖν, τῶν δὲ ἀδικουμένων ὑπεραπολογεῖσθαι, καὶ τὸ [40] τοὺς μὲν φαύλους ψέγειν, τοὺς δὲ ἀγαθοὺς ἀξιοῦν ἐγκωμίων, ὁρῶμεν δὲ ταῦτα καὶ παρὰ τοῖς παλαιοῖς, ὅτι μάλιστα καὶ παρ' ἡμῖν δὲ οὐδὲν ἧττον τυγχάνοντα περισπούδαστα, εὔδηλον ὡς [41] καὶ ἡ ῥητορικὴ ἐνεργείᾳ ἐστὶ καὶ ὑφέστηκεν· ὥστε διττὸν τοῦ ὄντος τὸ σημαινόμενον ἔχοντος, καὶ πῇ μὲν τὸ ἐνεργείᾳ, πῇ δὲ τὸ δυνάμει σημαίνοντος, εἰ μὲν ἐπὶ τοῦ δυνάμει τὸ οὐκ ἦν ἐνταῦθα τέθειται, ψεύδεται ὁ λόγος, ὃς φησιν, ἦν, ὅτε οὐκ ἦν ἡ ῥητορικὴ, εἰ δὲ ἐπὶ τοῦ ἐνεργείᾳ, αὐτὸς μὲν ἀληθεύει, ψεύδεται δὲ τὸ ἐπαγόμενον, τὸ, εἰ οὐκ ἦν, οὐδὲ γέγονεν· οὐ [42] γὰρ, εἰ πάντως ἦν, ὅτε οὔπω ἐνεργείᾳ ἔτι [43] ἦν ἡ ῥητορικὴ, ἤδη καὶ τὸ γενέσθαι αὐτὴν ὅλως ἀδύνατον. πᾶσαι γὰρ αἱ τέχναι καὶ ἐπιστῆμαι καὶ τἆλλα δὲ τῶν ὄντων οὔπω ἐνεργείᾳ τὸ πρότερον [44] ὄντα γεγόνασιν ὕστερον. Οὕτω μὲν οὖν ὁ πρῶτος παραλογισμὸς προβαίνει, καὶ ἡ τοῦ λογισμοῦ ἀνατροπὴ καὶ ὁ ἔλεγχος· ἔστι δὲ καὶ δεύτερός τις τοῦ προτέρου σαθρότερος· φασὶ γάρ τινες πάλιν, ὅτι, εἰ ἔστι ῥητορικὴ, ἢ περὶ τὰ ἰδικὰ καταγίνεται ἢ περὶ τὰ κοινά. καὶ εἰ μὲν περὶ τὰ ἰδικὰ καταγίνεται, οὐκέτι περὶ τὰ [45] πολιτικά· ὁρῶμεν γὰρ τὴν

---

36 Matr. προχωρ. τὴν ῥητορ. 37 Ambr. 2. Matr. οὐδ' ἂν εἰς ἐν. ποτε προχωρήσειεν. 38 Matr. εἶναι λέγ. 39 τῶν ex Ambr. 2. Matr. recepi. 40 τὸ Vind. om. recepi ex Matr. Ambr. 2. 41 Ambr. 2. Matr. ὅτι. 42 Matr. εἰ γὰρ οὐ πάντ. 43 ἔτι Ambr. 2. Matr. om. 44 Matr. ὄντα τοπρῶτον. 45 τὰ ex Matr. recepi.

πολιτείαν ἐκ διαφόρων συνεστηκυῖαν τεχνῶν καὶ ἐπιστημῶν· εἰ δὲ περὶ τὰ κοινά, ἢ περὶ ἓν ἢ περὶ πάντα, καὶ εἰ μὲν περὶ ἕν, ψεῦδος, οὐκ ἔχει γάρ τις εἰπεῖν μίαν τινὰ τέχνην, περὶ ἧς ὁ ῥήτωρ ἀεὶ διαλήψεται, ἄλλως τε [46] δὲ εἰ καὶ δώσομεν ἀληθὲς εἶναι τοῦτο καὶ περὶ ἓν αὐτὴν εἴπωμεν καταγίνεσθαι, οὕτως [47] οὐ δεκτέον αὐτήν· τέχνης γὰρ οὐκ ἔστι τὸ περὶ ἓν καταγίνεσθαι· εἰ δὲ περὶ πάντα, ἢ ὡς ἀγνοοῦσα ἢ ὡς ἐπισταμένη, καὶ εἰ μὲν ὡς ἀγνοοῦσα, οὐ προσεκτέον αὐτῇ τὸ παρὰ τύχην φληναφοῦσῃ καὶ περὶ ὧν ἀγνοεῖ διαλεγομένῃ, [48] εἰ δὲ γινώσκουσα, τῷ περιττῷ καὶ ἀδυνάτῳ ἐκβληθήσεται· τῷ μὲν περιττῷ, ὅτι ἡ αὐτὴ περιττὴ, ἢ [49] αἱ ἄλλαι τέχναι· ἀλλὰ μὴν αἱ ἄλλαι οὐ περιτταί· δῆλον δὲ ἐξ [50] ὧν ἐὰν ἐκεῖναι ἀναιρεθῶσιν οὐ δυνήσεται αὕτη τὰς ἐκείνων ἡμᾶς μεθόδους διδάξαι, [51] ὥστε αὐτὴ μᾶλλόν ἐστι περιττή· τῷ δὲ ἀδυνάτῳ, ὅτι ἀδύνατόν ἐστιν αὐτὴν μίαν οὖσαν τὰς τῶν ἁπασῶν τεχνῶν καὶ ἐπιστημῶν εἰδέναι μεθόδους. Οὕτω τούτων εἰπόντων ἀκολουθοῦντες οἱ ἀνθιστάμενοι ἕκαστον σχεδὸν μέρος τῆς διαιρέσεως ἀποδεικνύουσιν ἄχρηστον, καὶ πρὸς μὲν τὸ, ὅτι ἡ ῥητορικὴ ἢ περὶ τὰ ἰδικὰ καταγίνεται ἢ περὶ τὰ κοινά, φασὶ μὴ καλῶς ἐνταῦθα τεθεῖσθαι τὸν διαζευκτικὸν σύνδεσμον, ὡς τῆς ῥητορικῆς μὴ [52] δυναμένης περὶ ἄμφω καταγίνεσθαι· ἰδοὺ γάρ, φησὶ, [53] τὸν Δημοσθένην εὑρίσκομεν ποτὲ μὲν περὶ ἰδικῶν διαλαμβάνοντα, ποτὲ δὲ περὶ κοινῶν, ποτὲ δὲ περὶ μικτῶν· περὶ κοινῶν μέν, ὡς ἐν τοῖς Φιλιππικοῖς, περὶ ἰδικῶν δέ, ὡς ἐν τοῖς ἐπιτροπικοῖς, περὶ μικτῶν δέ, ὡς ἐν τῷ κατὰ Μειδίου· ἀμφισβητεῖται

---

46 Matr. τε καὶ εἰ δώσ. 47 Matr. καὶ οὕτως. 48 Matr. διαλεγομένη, εἰ δὲ ὡς γιν. 49 Vind. Laur. ἢ ἂν αἱ ἀ. Matr. Ambr. 2. ἂν om. 50 Matr. δ' ἐξ. 51 Ambr. 2. Matr. μεθόδους ἡμᾶς διδάσκειν. 52 Matr. οὐ. 53 Matr. φησὶν εὑρίσκ. τὸν Δημ.

γὰρ ἐκεῖ, εἰ ἰδικὸν ἢ δημόσιον τὸ [54] ἀδίκημα· δεύτερον δέ φασιν, [55] ὅτι καὶ ἑκάτερον σκέλος κακῶς ἔχει, τὸ μὲν εἰ καὶ [55*] περὶ τὰ ἰδικά, οὐκέτι περὶ πολιτικά, καθὸ τὸ καταγίνεσθαι περὶ τὰ ἰδικὰ οὐδὲν ἕτερόν ἐστιν, ἢ περὶ τὰ κοινά· τὰ γὰρ κοινὰ ἐκ τῶν ἰδικῶν συνίσταται, τὸ δὲ καὶ [56] εἰ περὶ τὰ κοινά, ἢ περὶ ἓν ἢ περὶ πάντα καθὸ οὐκ ὀρθῶς ἀντιδιέσταλται τῷ ἑνὶ τὰ πάντα· ἀντιδιαστολὴ γάρ ἐστι τοῦ ἑνὸς οὐχὶ τὰ πάντα, ἀλλὰ τὰ πολλά, ἄλλως τε [57] οὐδὲ ἡ ῥητορικὴ ἢ [58] περὶ ἓν ἢ περὶ πάντα καταγίνεται, ἀλλὰ περὶ πολλά· πρὸς δὲ τὸ, ὅτι εἰ περὶ πάντων διαλαμβάνει, ἢ ὡς εἰδυῖα ἢ ὡς ἀγνοοῦσα, καὶ εἰ ὡς εἰδυῖα, τῷ περιττῷ καὶ ἀδυνάτῳ ἐκβληθήσεται, φασὶν [59] ὅτι ἐπὶ πάσης τέχνης καὶ ἐπιστήμης [60] δύο λόγοι εἰσίν, ὁ μὲν προτρεπτικός, ὁ δὲ μεθοδικός τε καὶ τεχνικός· [61] τῷ μὲν οὖν προτρεπτικῷ, φασὶν, [61*] ἐν ἁπάσαις ταῖς ἐπιστήμαις κέχρηται ἡ ῥητορικὴ, προτρέπουσα ἀντέχεσθαι αὐτῶν, τῷ δὲ μεθοδικῷ οὐ χρῆται, καὶ οὕτως οὔτε περιττὴ φαίνεται ἡ ῥητορικὴ, ἀλλὰ καὶ πάνυ [62] ἀναγκαία πρὸς τὴν τῶν ἄλλων τεχνῶν καὶ ἐπιστημῶν σύστασιν, εἴγε οὐκ ἂν ἄλλως ἐπιχειρήσει [63] τις ταύταις, εἰ μὴ προτροπή τις εἴη καὶ συμβουλὴ πρὸς τὴν ἐγχείρησιν διεγείρουσα. Ἀλλ' οὐδὲ [64] ἀδύνατόν ἐστι τὸ εἰς ἁπάσας τὰς τέχνας καὶ ἐπιστήμας τὸ οἰκεῖον αὐτῆς [65] ἐκτείνειν χρήσιμον, ἀλλ' οὕτω μὲν

---

54 Matr. ἢ τό. 55 φασιν Matr. om. 55* εἰ καὶ περὶ — συνίσταται, τὸ δὲ Vind. om., recepi ex Ambr. 2. Matr. — Mox Ambr. 2. καθὰ τὸ καταγινώσκεσθαι. 56 Matr. συνίστανται· τὸ δὲ εἰ καί. 57 τε ex Ambr. 2. recepi. Matr. τε δή. 58 ἢ Ambr. om. 59 Ambr. 2. Matr. φαμέν. 60 Post ἐπιστήμης Cod. Ambr. 1. abruptus est. 61 τε καὶ τεχνικὸς Vind. om., recepi ex Ambr. 2. Matr. 61* Matr. φαμεν ἐν. ἅ. τ. ἐπ. καὶ τέχναις. 62 Ambr. 2. πάλιν ἀναγκ. παρὰ τήν. Matr. ἀλλὰ πάλιν. 63 Ambr. 2. Matr. ἐπιχειρήσῃ. 64 Matr. οὐ δή. 65 Matr. αὐτήν.

καὶ ὁ δεύτερος αὐτοῖς[66] ἀνατέτραπται λόγος. Ἐπειδὴ δὲ γενναῖον τὸ μὴ μόνον τὰ τῶν ἄλλων[67] ἀνατρέπειν καὶ ἐξελέγχειν, ἀλλὰ καὶ τὰ οἰκεῖα αὐτοῖς ἀντεπάγειν, διὰ πολλῶν τὴν τῆς ῥητορικῆς ὕπαρξιν παριστᾷν πειρῶνται[68] τῶν ἀποδείξεων, καὶ πρῶτον μέν φασιν ὅτι τῶν τεχνῶν διαφοραί εἰσι δύο. αἱ μὲν γὰρ αὐτῶν πρακτικαὶ,[69] αἱ δὲ λογικαί· καὶ πρακτικαὶ μὲν πολλαὶ, λογικαὶ δὲ δύο, ἥ τε ῥητορικὴ καὶ ἡ[70] διαλεκτική. Ἀλλ' αὕτη ἡ ἀπόδειξις οὐ τοσοῦτόν μοι δοκεῖ ἔχειν τὸ ἰσχυρὸν, τὸ γὰρ ζητούμενον ὡς ὁμολογούμενον ἔλαβε· ζητουμένου γὰρ, εἰ ἔστι ῥητορικὴ, ὡς ἐφ' ὁμολογουμένων αὕτη προβαίνουσα, ἔφη, ὅτι ἡ ῥητορικὴ ἐστι τέχνη λογική. ἔπειτα καὶ τοῦτό φασιν, ὅτι εἰ πάντα τὰ[71] κατὰ τὸν βίον καλὰ ἐνύπαρκτά εἰσιν, ἓν δέ τι τῶν καλῶν καὶ ἡ ῥητορικὴ ἐστι[72] τῷ συμβάλλεσθαι ἡμῖν κατὰ πάντα τὸν βίον, ἄρα καὶ ἐνύπαρκτός ἐστι· τὰ μὲν γὰρ καλὰ πάντη ἐνύπαρκτα, τὰ δὲ κακὰ πάντη ἀνύπαρκτα. Ἐπάγουσι τούτοις κἀκεῖνο, ὡς δύο ταῦτα περὶ ἡμᾶς ὕλη καὶ τέχνη, καὶ τὴν μὲν ὕλην ἡ φύσις, τὴν δὲ τέχνην ὁ λόγος δίδωσιν· ὡς οὖν εἰσι λίθοι μὲν κατὰ φύσιν καὶ ξύλα, τέχνη[73] δὲ περὶ τὴν ὕλην, ἥ τε λιθοξοϊκὴ καὶ τεκτονικὴ καὶ ὅσαι ἄλλαι τοιαῦται[74] λόγῳ κοσμούμεναι· ἐγὼ γὰρ, φησὶν ὁ Πλάτων,[75] οὐ καλῶ τέχνην ὅπερ ἂν ᾖ ἄλογον πρᾶγμα· οὕτω πάντα διεξελθὼν[76] ὁ λόγος καὶ ἑαυτὸν ὥσπερ ὑπὸ τέχνην ἄγει· ὑπόκειται γοῦν, φασὶ, τῇ ῥητορικῇ ὁ μὲν λόγος καθάπερ ὕλη, ὅ τε προφορικὸς καὶ ὁ ἐνδιάθετος,

---

66 Matr. αὐτῶν. 67 Matr. ἀντιπάλων. 68 Vind. Laur. πειρᾶται. Matr. περιστᾶν πειφῶνται [sic] scr. πειρῶνται. 69 Matr. εἰσι λογικαὶ, αἱ δὲ πρακτικαί. 70 ἡ Matr. om. 71 Matr. ταῦτα. 72 ἐστι Matr. om. 73 Matr. τέχναι. 74 τοιαῦται Matr. om. 75 Gorg. p. 465. A. 76 Matr. διελθών.

κοσμεῖ δὲ αὐτὸν[77] ὁ τεχνικός. εἰ γοῦν[78] πᾶσα ὕλη κοσμουμένη λόγῳ κοσμεῖται καὶ διατάττεται, ὁ δὲ λόγος τέχνη, καθὸ καὶ τὸν[79] τοῦδε τοῦ παντὸς δημιουργὸν ἀριστοτέχνην φαμὲν, λόγῳ[80] τὴν ὕλην κοσμήσαντα καὶ τάξαντα καὶ εἰδοποιήσαντα, πῶς οὐχὶ καὶ τὸν δίκην ὕλης τὸν λόγον αὐτὸν κοσμοῦντα λογοτέχνην[81] εἶναι νομίσομεν; Τούτοις ἅπασι κἀκεῖνο προσεπιφέρουσιν· ἦν, φασὶ,[82] πάντως ἐξ ἀρχῆς τὸ εὖ λέγειν, εἰ γὰρ εἴποιμεν, ὡς οὐκ ἦν, σαφὴς δήπουθέν[82*] ἐστι τοῦτο πάντως κατηγορία τοῦ τὸν[83] λόγον ἡμῖν χαρισαμένου Θεοῦ, τὸ μὲν λέγειν[84] δόντος, τὸ δὲ εὖ μὴ προσθέντος, εἰ δὴ[85] ἦν λόγος, ἆρα περὶ τὸ λέγειν ἦν· ὁ δὲ λόγος τί ἄλλο ἢ τέχνη, χρόνῳ συγγυμναζόμενος καὶ θεωρήμασι[86] πυκαζόμενος ἅμα καὶ ἐξασκούμενος.[87] Τινὲς μέντοι καὶ ἀπὸ μυθικῆς τινος ἀποδείξεως καὶ ἀπὸ ποιητικῆς μαρτυρίας[88] καὶ ἀπὸ ἱστορίας τὴν ῥητορικὴν τῶν ὑφεστώτων ἀποδεικνύουσιν· ἀπὸ μὲν μυθικῆς ἀποδείξεως λέγοντες, ὡς ἄρτι βουληθεὶς ὁ Θεὸς τόνδε τὸν κόσμον διακοσμῆσαι προσέταξε ταῖς περὶ αὐτὸν Θείαις δυνάμεσιν, ὡς ἂν ἕκαστος κατὰ τὸ ἐπιβάλλον αὐτῷ μέρος εἰς τὴν τοῦδε τοῦ παντὸς γένεσιν προσαγάγῃ· καὶ ἄλλος μέν,

---

77 αὐτὸν Matr. om. 78 Matr. οὖν. 79 τὸν Matr. om. 80 Matr. τῷ λόγῳ. 81 Matr. τέχνην. Vind. λόγον τέχνην. scr. λογοτέχνην ut paullo ante ἀριστοτέχνην. 82 Matr. φασιν ἐξαρχῆς παντός. 82* Ambr. 2. δήπουθέν ἐστιν ἡ τούτου πάντως κατηγ. Matr. σαφὲς δήπ. ἡ τούτου. 83 τοῦ τὸν Laur. τοῦτον Vind. Matr. 84 Vind. τὸ μὲν εὖ λέγειν δόντος. Laur. Matr. εὖ om. Ambr. 2. τὸ μὲν γὰρ λέγειν. 85 Matr. δέ. 86 Matr. θεωρήμασιν ἅμα πληθυνόμενος. Ambr. 2. θεωρήματι πληθυνόμενος. 87 Post ἐξασκούμενος Ambr. 2. Matr. multis omissis ita pergit: Δείξαντες, ὅτι ἐστὶν ἡ ῥητορικὴ, ἔλθωμεν νῦν καὶ ἐπὶ τὸ τί ἐστιν. ἐπειδὴ δὲ τὸ τί ἐστιν κ. τ. λ. ut infra p. 93, 7. 88 Vind. μαρτυρίσης. Laur. μαρτυρίας.

φασὶν, ἄλλο προσέφερεν, Ἑρμῆς δὲ τὴν ῥητορικὴν ἐχαρίσατο. Καὶ ἵνα τὰ μὲν ἀγαθὰ ἐπαινῶσιν οἱ ἄνθρωποι, τὰ δὲ κακὰ διαβάλλωσι, τὸ πανηγυρικὸν παραδεδώκασιν, ἵνα δὲ πάλιν τοῖς μὲν λυσιτελοῦσι χρῶνται, τῶν δὲ ἀλυσιτελεστέρων ἀπέχωνται, τὸ συμβουλευτικὸν ἐπετήδευσαν. ἵνα δὲ καὶ τὰς πρὸς ἀλλήλους ἔριδας καὶ κρίσεις διαλύωνται, καὶ τὸ δικανικὸν ἐπεδίδαξαν. Ἐκ δὲ τῆς τῶν ποιητῶν μαρτυρίας ὡς ποτὲ μὲν δικαζομένων τῶν παρ' αὐτοῖς θεῶν καὶ τῶν ἀνθρώπων, ποτὲ δὲ βουλευομένων τῶν αὐτῶν τούτων, ποτὲ δὲ καὶ ἐπαινούντων καὶ ψεγόντων, καὶ ὡς τοῦ τῆς ῥητορικῆς ὀνόματος γνωρίμου καὶ αὐτοῖς ὑπάρχοντος· καὶ γάρ με, φησὶν ὁ Φοῖνιξ παρ' Ὁμήρῳ,[89]

Μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων·

προσέτι γε μὴν καὶ ὡς μὴ φυσικὴν ταύτην μόνον, ἀλλὰ καὶ θεοδίδακτον αὐτὴν νομιζόντων, ἕτερος μὲν γὰρ, φησὶν ὁ τοῦ Μέλητος, εἶδος ἀκιδνότερος,

Ἀλλ' οἱ θεὸς μορφὴν ἔπεσι στέφει, οἱ δέ τ' ἐς[90] αὐτὸν[1]
Τερπόμενοι λεύσσουσιν,[91] ὁ δ' ἀσφαλέως ἀγορεύει.

Ἐκ δὲ τῆς ἱστορίας, ὡς ὅτι πρῶτον ἐν Συρακούσαις τῆς Σικελίας λέγεται ἀνθῆσαι ῥητορικὴν, εἶτα καὶ ἐν Ἀθήναις, Γοργίου ἐκ Λεοντίνης ἐνταῦθα κατάραντος, καὶ τοῖς τῶν Ἀθηναίων παραδόντος τὴν τέχνην παισίν. ἀλλὰ καὶ οὗτοι οἱ λόγοι ἐοίκασι τὸ ζητούμενον ὡς ὁμολογούμενον λαμβάνειν. ζητουμένου γὰρ, εἰ ἔστι ῥητορικὴ, ὁ μὲν πρῶτος τὸ εἶναι αὐτὴν διδοὺς τὸν εὑρετὴν ταύτης δείκνυσιν,[92] ὁ δὲ δεύτερος τὸ εἶναι καὶ αὐτὸς ταύτην διδοὺς, τὸ ἐν τίσιν[93] ἐστὶ, καὶ ἕτερά τινα τοιαῦτα παρίστησιν, ὁ δὲ τρίτος ὥσπερ κατὰ συγχώρησιν καὶ αὐτὸς τὸ τὴν ῥητορικὴν εἶναι λαμβάνειν, οὗ τε τὴν ἀρχὴν ἦν-

89 Il. ι, 443. 90 Laur. εἰς αὐτόν. Od. ϑ, 170. 91 Vind. λεύσουσιν. 92 δείκνυσι Cod. uterque. 93 Vind. ἐντίειν. Laur. ἐντιεῖν. unde scribendum censui ἐν τίσιν.

θησε, καὶ ποῦ μετὰ ταῦτα, παρέδωκε. Διὰ τούτων μὲν οὖν καὶ τοσούτων ἀποδέδεικται οὖσα ἡ ῥητορική· ζητεῖται δὲ καὶ εἰ ἐκ θεοῦ τοῖς ἀνθρώποις δέδοται. Ἕλληνες μὲν οὖν ἐκ θεοῦ τὴν ταύτης λέγοντες γένεσιν τῇ προειρημένῃ μυθικῇ μαρτυρίᾳ χρῶνται πρὸς τὴν ἀπόδειξιν· οἱ δὲ καθ' ἡμᾶς ἐκ θεοῦ ταύτην τοῖς ἀνθρώποις δεδόσθαι λέγοντες, ἅμα μὲν καὶ συλλογισμῷ τινι χρῶνται πρὸς τὴν ἀπόδειξιν, κατὰ τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος πλέκοντες· ἐκ θεοῦ ἐστι πάντα τὰ ἀγαθά, τῶν ἀγαθῶν τι καὶ ἡ ῥητορική, ἐκ θεοῦ ἐστιν ἄρα ἡ ῥητορική· ἅμα δὲ κἀκεῖνο προστιθέασιν, ὅτι εἰ τὸ λέγειν ἡμῖν ὁ θεὸς ἐξ ἀρχῆς ἐχαρίσατο, εὔδηλον, ὅτι καὶ τὸ εὖ λέγειν ὁ αὐτὸς ἡμῖν ἐχαρίσατο. τοῦτο δὲ εἰ καὶ ἄλλων ἐστὶν, ἀλλὰ καὶ τῆς ῥητορικῆς αὐτῆς εἴη ἂν δήπουθεν γνώρισμα. Οὕτω μὲν οὖν οὐ μόνον οὖσα, ἀλλὰ καὶ ἐκ θεοῦ οὖσα ἡ ῥητορικὴ ἀποδέδεικται. ὅτι δὲ καὶ ἐν τῷ Θεῷ ἡ ῥητορική, Ἕλληνες μὲν καὶ πάλιν μυθικαῖς χρῶνται ταῖς ἀποδείξεσι, ποτὲ μὲν δικαζομένους αὐτῶν θεοὺς παρεισάγοντες, ὡς Ἄρην καὶ Ἀθηνᾶν ἐν τῷ Ἀρείῳ πάγῳ περὶ τῆς Ἀττικῆς, καὶ Ἄρην πάλιν καὶ Ποσειδῶνα ὑπὲρ Ἁλιρρόθιου, Εὐμενίδας τε καὶ Ὀρέστην ὑπὲρ τῆς μητροφονίας· ποτὲ δὲ καὶ βουλευομένους, ὡς περὶ τῆς Ἰλίου, φησὶν ὁ τοῦ Μέλητος.[94] ποτὲ δὲ καὶ τοὺς μὲν τῶν ἀνθρώπων ἐγκωμιάζοντας, πῇ δὲ διαβάλλοντας· ἡμεῖς δὲ κάνταῦθα τῶν μύθων ἀφέμενοι τῆς ἀληθείας φροντίσωμεν,[95] δεικνῦντες καὶ τοῖς τρισὶν εἴδεσι τῆς τέχνης τὸν Θεὸν χρησάμενον· τῷ μὲν συμβουλευτικῷ, διὸ λέγει, „ποιήσομεν[96] ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ ὁμοίωσιν“· τῷ δὲ δικανικῷ, δι' ὧν τῷ παραβάντι δικάζει, καὶ δι' ὧν ὁ αὐτὸς δικαστὴς ὁ-

94 Vind. μέλιτος. 95 Laur. φροντίσομεν. 96 Gen. I. 26.

μοῦ καὶ κατήγορος γίνεται, αὐτὸς γὰρ ἦν νομοθετήσας ἅμα καὶ ἀδικούμενος· τῷ δὲ πανηγυρικῷ δι' ἐκείνων, „καὶ εἶδεν[97] ὁ θεὸς πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν". Οὕτω μὲν οὖν τὸ, εἰ ἔστι ῥητορικὴ, ζητοῦντες καὶ οὖσαν εὕρομεν τὴν ῥητορικὴν, καὶ ἐκ θεοῦ οὖσαν καὶ ἐν θεῷ. Λοιπὸν τὸ, εἰ ἔστιν, ἀφέντες ἐπὶ τὸ, τί ἐστι ῥητορικὴ, ἔλθωμεν· ἐπειδὴ[98] δὲ τὸ τί ἐστιν ἢ δι' ὀνόματος ἢ δι' ὁρισμοῦ ἀποδίδοται, δι' ὀνόματος μὲν, ὡς ἵνα ἐρωτηθεὶς, τί ἐστι ῥητορικὴ, τὸ γενικὸν αὐτῆς εἴποιμι ὄνομα, τέχνη· δι' ὁρισμοῦ δὲ, ὡς ἵνα[99] καὶ τὰς διαφορὰς προσθήσω[1] εἰπὼν, τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ πιθανῶς[2] εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον· εἰ μὲν τὸ τί ἐστι δι' ὀνόματος ἀποδοθήσεται, τότε καὶ τὸ ὁποῖόν τί ἐστι ζητηθήσεται, ὡς ἂν δι' αὐτοῦ αἱ εἰδοποιοὶ ἀποδοθήσονται διαφοραί· εἰ δὲ[3] δι' ὁρισμοῦ, ὅπερ δὴ καὶ ποιήσομεν, ὡς μᾶλλον τοῦ ὅρου τὰς τῶν πραγμάτων φύσεις ἀποδεικνύντος, οὐκέτι ζητηθήσεται[4] τὸ ὁποῖόν τί ἐστιν, ὡς καὶ[5] τῶν διαφορῶν ἐν τῇ περὶ τοῦ, τί ἐστι, ζητήσει[6] ἀποδοθεισῶν καὶ μηκέτι ὀφειλουσῶν ἀποδοθῆναι. ὅτι δὲ τὰ μὲν γενικὰ ὀνόματα ἐν τῷ, τί ἐστι, κατηγοροῦνται,[7] αἱ δὲ διαφοραὶ ἐν τῷ, ὁποῖόν τί ἐστιν, ἐντελέστερον μὲν ἐν τοῖς τοπικοῖς Ἀριστοτέλους, καὶ πρὸ τούτων δὲ[8] ἐν τῇ τῶν πέντε φωνῶν πραγματείᾳ μανθάνομεν. Ζητητέον[9] τοίνυν, τί ἐστι ῥητορική· ἀλλ' ἐπειδὴ ὁρι-

---

97 Gen. I. 31. 98 In hac voce pergit Matr. Ambr. 2. 99 In Vindob. super ἵνα scriptum est ὅτι. 1 Matr. παραθήσω. 2 Matr. πειθανῶς constanter. 3 δὲ Matr. om. 4 ζητηθήσεται τὸ ὁποῖόν τί ἐστιν Vind. om. recepi ex Ambr. 2. Matr. 5 καὶ Matr. om. 6 Ambr. 2. ζητήσων et mox ἀποδιδοθῆναι. 7 Vind. κατηροῦνται. 8 Matr. δή. 9 ζητητέον τοίνυν, τί ἐστι ῥητορική Ambr. 2. Matr. om.

σμὸν ἀποδοῦναι βουλόμεθα τῆς ῥητορικῆς, ζητητέον πρότερον, [10] τί ἐστιν ὁρισμὸς, καὶ πόθεν παρωνόμασται, καὶ πόσαι αὐτοῦ διαφοραί. [11] Ὡρίσαντο μὲν οὖν τὸν ὁρισμὸν διάφοροι, μεθ' ὧν καὶ Πλάτων αὐτὸς καὶ Ἀριστοτέλης, ἀλλ' ἡμεῖς τοὺς τῶν ἄλλων [12] παρέντες τοὺς ἐκείνων ἐνταῦθα παραληψόμεθα. [13] Ὁρίζεται μὲν οὖν αὐτὸν [14] ὁ Πλάτων οὕτως· ὁρισμός ἐστι λόγος σύντομος, δηλωτικὸς τῆς φύσεως [15] τοῦ ὑποκειμένου πράγματος, καὶ λόγον [16] μὲν αὐτὸν εἰπὼν διαστέλλει ἀπὸ τῶν ὀνομάτων· τὸ μὲν γὰρ ὄνομα [17] μία τίς ἐστι λέξις, οἷον Πέτρος, ὁ δὲ λόγος ἐκ διαφόρων λέξεων σύγκειται. οἷον Πέτρος ὀρθῶς γράφει. σύντομον δὲ αὐτὸν εἰπὼν διαστέλλει [18] ἀπὸ τῶν μακρῶν λόγων, τῶν τε Δημοσθενικῶν, οἷον τοῦ παραπρεσβείας, τοῦ περὶ τοῦ στεφάνου καὶ τῶν λοιπῶν· δηλωτικὸν δὲ τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος εἶπε τὸν ὅρον, διϊστῶν αὐτὸν τῶν τε ἀποφθεγμάτων, οἷόν ἐστι τὸ, μηδὲν ἄγαν, καὶ τὸ, ἐγγύα πάρα δ' ἄτα, ἃ λόγοι μέν εἰσι σύντομοι καὶ αὐτοὶ, οὐ μὴν δηλωτικοὶ [19] τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος, καὶ τῶν ὑπογραφῶν, αἵ τινες οὐ τὴν οὐσίαν [20] δηλοῦσι τοῦ πράγματος, ἀλλὰ τὰ αὐτῷ [21] παρεπόμενα. Ἀλλ' ὁ μὲν παρὰ τοῦ Πλάτωνος ἀποδοθεὶς τῷ ὁρισμῷ λόγος τοιοῦτος· ὁ μέντοι Ἀριστοτέλης οὕτως αὐτὸν ὁρίζεται ἐν τοῖς τοπικοῖς· [22] ὁρισμός ἐστι λόγος ὁ τὸ, τί ἦν,

---

10 Ambr. 2. Matr. πρὸ τούτου. 11 καὶ πόσαι αὐτοῦ διαφοραὶ Ambr. 2. Matr. om. 12 Matr. ὅλων. 13 Matr. διαληψόμεθα. 14 Vindob. αὐτῶν. Matr. om. 15 τῆς φύσεως Ambr. 2. om. 16 Matr. λόγος omisso sq. εἰπών. 17 Ambr. 2. τὸ γὰρ ὄνομα μία τις λέξις ἐστίν. 18 Ambr. 2. αὐτὸν inserit. 19 Matr. δηλωτικά. 20 Matr. γαῖαν. 21 Ambr. 2. αὐτοῦ. Matr. αὐτῇ. 22 Ambr. 2. Matr. ἐν τοῖς τοπικοῖς ὁρίζεται.

εἶναι σημαίνων, τουτέστι λόγος ὁ δηλῶν τὸ εἶναί τι [23] καὶ τὴν οὐσίαν τοῦ πράγματος· τὸ γὰρ ἦν ἀντὶ τοῦ ἔστι τέθειται, συνήθους τῆς τοιαύτης χρήσεως οὔσης· ὁ γὰρ λέγων, τοῦτο ἦν, ἴσον λέγει τῷ, τοῦτο [24] ἔστι, καὶ ὁ λέγων, τίς ἦν ὁ κόπτων τὴν θύραν, ταὐτὸν [25] λέγει, τίς ἐστιν ὁ κόπτων τὴν θύραν. ὥσπερ καὶ ὁ Πορφύριος ἐν τῇ τῶν πέντε φωνῶν πραγματείᾳ ἐν τῷ περὶ τοῦ γένους λόγῳ λέγων τὸ, ἦν δὲ [26] ἀνθρώπου γένος τὸ ζῶον, ταὐτὸν λέγει τῷ· ἔστι δὲ ἀνθρώπου γένος τὸ ζῶον. Ἔστι δὲ ὁ τοῦ Ἀριστοτέλους ὁρισμὸς σχεδὸν [27] ὁ αὐτὸς τῷ τοῦ Πλάτωνος, πλὴν ὅσον ἔχει τὸ σύντομον, ἐπεὶ κατὰ [28] τὰ ἄλλα ὁμοίως ἔχουσιν· ἀμφότεροι γὰρ λόγον τὸν ὁρισμὸν λέγουσιν καὶ δηλωτικὸν τῆς φύσεως τοῦ ὑποκειμένου πράγματος· τὸ γὰρ, ὁ τὸ, τί ἦν, εἶναι σημαίνων, οὐδὲν ἕτερον δηλοῖ, ἢ τὸ, ὁ δηλῶν τὴν φύσιν τοῦ πράγματος, ἀλλ' ἴσως ἄν τις εἴποι· [30] καὶ τίνος χάριν οὐ προσέθηκεν ὁ Ἀριστοτέλης τὸ σύντομος, [31] ὥστε εἶναι τὸν ὁρισμὸν τοιοῦτον, λόγος σύντομος, ὁ τὸ τί ἦν εἶναι σημαίνων. [32] καί φαμεν, ὅτι ἤρκει καὶ οὐ πᾶσα ἀνάγκη πολλὰς διαφορὰς ἐν τοῖς ὁρισμοῖς παραλαμβά-

---

23 Ambr. 2. Matr. δηλῶν τί ἐστι τὸ εἶναι καί ἡ οὐσία. 24 τί Ambr. 2. om. Vind. τοῦτο τί ἐστιν. Ambr. 2. Matr. τοῦτό ἐστι. 25 ταὐτὸν — θύραν Matr. om. 26 Ambr. 2. λέγων, τὸ δὲ ἦν ἀνθρ. γένος τ. ζ. Sqq. ταὐτὸν λέγει — ζῶον Vind. Ambr. 2. om. Matr. ταὐτὸν λέγει τὸ τίς ἐστιν ὁ κόπτων τὴν θύραν καὶ τό ἐστι δὲ ἀνθρώπου γένος τὸ ζῶον, ex quo restitui. 27 Ambr. 2. Matr. ὅμοιος σχεδὸν τῷ τοῦ Πλ. πλὴν ὅσον ἔχει ἐκεῖνος τὸ σύντομον. [Matr. σύντομος. Vind. συντόμως.] 28 Matr. κατὰ ὅλα. 29 Matr. τὸν λόγον ὁρισμ. 30 εἴπῃ Vind. Laur. εἴποι Ambr. 2. αὖτις εἴποι Matr. 31 Ambr. 2. addit: καὶ αὐτός. Matr. τὸ σύντ. οὐ προσέθηκε καὶ αὐτός. Sqq. λόγος σύντ. — ἀνάγκη πολλὰς Matr. om. 32 Ambr. 2. ὃ τὸ τί ἦν σημαίνων. Vind. ὅτι τί ἦν εἶναι σημαίνει.

νεσθαι, ἀρκεῖ γὰρ τῷ [33] γένει καὶ μίαν διαφορὰν τὴν ἰδικὴν προσλαβόντας [34] ὅρον ποιῆσαι· ὥσπερ εἴ τις τὸν ἄνθρωπον ὁριζόμενος εἴποι [35] αὐτὸν ζῶον νοῦ καὶ ἐπιστήμης δεκτικόν. Τοῦτο δ' ἄν τις ποιήσαι [36] τοῦ τε συντόμου καὶ τοῦ ἀκριβοῦς ἅμα φροντίζων· οἱ γὰρ ὁρισμοὶ σύντομοι πάντες [37] ὀφείλουσιν εἶναι. Ὁ γοῦν [38] Ἀριστοτέλης καὶ αὐτὸς τῷ λόγος, [39] ὅπερ ἀντὶ γένους τέθεικε, τὴν ἰδικὴν συμπαραπλέξας μόνην διαφορὰν ἀκριβῆ τὸν ὅρον ἐποίησε, καὶ ὅπερ ὁ Πλάτων διὰ λόγων ἐποίησε, [40] σύντομον τὸν ὅρον ἀποφηνάμενος, τοῦτο Ἀριστοτέλης δι' αὐτῶν [41] τῶν πραγμάτων ἀπέδειξε, σύντομον τὸν τοῦ ὁρισμοῦ ὁρισμὸν ἐργασάμενος. Ἀλλ' ἐπειδὴ τὸν τοῦ ὁρισμοῦ ὁρισμὸν προεθέμεθα, φέρε καὶ πόθεν ὁ [42] ὁρισμὸς παρωνόμασται, εἴπωμεν. Τινὲς μὲν οὖν ἀπὸ μεταφορᾶς τῶν ὁροθεσίων [43] αὐτὸν εἶπον ὁρισμὸν εἰρῆσθαι, διὰ τὸ ὥσπερ τὰ ὁροθέσια τὰ οἰκεῖα ἀποχωρίζει [44] τῶν ἀλλοτρίων, οὕτω καὶ τὸν ὁρισμὸν ἀποχωρίζειν τὸ ὁριστὸν ἐκ τῶν ἄλλων· ἕτεροι δὲ πάλιν εἶπον, ὅτι [45] ὥσπερ ἀπὸ τοῦ σπείρω γίνεται σπόρος, οὕτω καὶ ἀπὸ τοῦ εἴρω, ὃ σημαίνει [46] τὸ συμπλέκω καὶ συνάπτω, γίνεται ὅρος· καὶ γὰρ ὁ ὅρος συμπλέκει καὶ συνάπτει τὰ ἴδια

---

33 Ambr. 2. Matr. τῷ. Vind. τό. 34 Ambr. 2. Matr. παραλαβόντας. 35 Ambr. 2. εἴποι. Vind. Laur. εἴπῃ. Matr. ἤποι αὐτὸν ξ. νῦν καὶ ἐ. 36 Ambr. 2. ποιήσαιτο τοῦτο συντόμου. Matr. αὖτις ποιήσαντο τοῦ τε σ. 37 Ambr. 2. Matr. πάντως. 38 Matr. οὐκοῦν. 39 Ambr. 2. τῷ λόγῳ, ἢ ἀντὶ γένους τέθεικε. Matr. τῷ λόγος, ὅ. Vind. τὸ λόγος, ὅπερ. 40 Matr. ἐσήμανε. Ambr. 2. διὰ λόγου ἐσήμανε, σύντομον τὸν τοῦ ὁρισμοῦ ὅρον ἐργασάμενος. omissis reliquis. 41 Matr. αὐτοῦ. 42 ὁ Matr. om. 43 Matr. ὁροθέων. Cfr. Schol. Dionysii Thrac. in Bekkeri Anecd. p. 649. 44 Ambr. 2. ἀποχωρίζειν. Matr. χωρίζειν. 45 Matr. ὅτι. 46 ὃ σημαίνει Vind. om. recepi ex Ambr. 2.

ἴδια[47] τῷ ὁριστῷ αὐτοῦ· ὁ μέντοι Ἡρωδιανὸς ἀπὸ τοῦ ὁρῶ τὸ βλέπω αὐτόν φησι παρεσχηματίσθαι, καὶ γὰρ, φησὶν, ὁ ὅρος εὐσύνοπτα καὶ εὐόρατα[48] ποιεῖ τὰ ὁριζόμενα ἡμῖν.[49] Ὑπόλοιπον εἰπεῖν καὶ πόσαι αἱ τῶν ὅρων διαφοραί· εἰσὶ δὴ τούτων διαφοραὶ πλεῖσται. καὶ γὰρ τῶν ὅρων οἱ μέν εἰσιν ἀπὸ αἰτίας, οἱ δὲ ἀπὸ οὐσίας,[50] οἱ δὲ ἐννοηματικοὶ, οἱ δὲ μικτοὶ, καὶ τῶν μικτῶν οἱ μὲν ἀπὸ αἰτίας καὶ οὐσίας, οἱ δὲ ἀπὸ οὐσίας καὶ τῶν παρεπομένων, τουτέστιν ἀπὸ οὐσίας καὶ ἐννοηματικοί· καὶ οἱ μὲν ἐξ ὑποκειμένου καὶ τούτου διχῶς, ἢ γὰρ τοῦ πόῤῥω ἢ τοῦ προσεχοῦς, οἱ δὲ ἐκ τοῦ τέλους, καὶ τούτου ἢ τοῖ πόῤῥω ἢ τοῦ προσεχοῦς, οἱ δὲ ἐξ ἀμφοτέρων, τοῦ τε ὑποκειμένου καὶ τοῦ τέλους, ἤτοι ἀμφοτέρων πόῤῥω, ἢ ἀμφοτέρων προσεχῶν. ἢ τοῦ μὲν ἑνὸς πόῤῥω, τοῦ δὲ ἑτέρου προσεχοῦς. καὶ τοῦτο διχῶς, ἢ γὰρ τοῦ μὲν ὑποκειμένου πόῤῥω, τοῦ δὲ τέλους προσεχοῦς, ἢ τοὐναντίον, τοῦ μὲν ὑποκειμένου προσεχοῦς, τοῦ δὲ τέλους πόῤῥω· καὶ ἀπὸ οὐσίας μέν ἐστιν, οἷον τί ἐστι βροντή; ψόφος νεφελῶν, ὁ γὰρ ψόφος οὐσία καθέστηκε τῆς βροντῆς· ἀπὸ αἰτίας, οἷον τί ἐστιν ἔκλειψις ἡλίου; ἐπιπρόσθησις[51] ἡλίου ὑπὸ σελήνης, ἰδοῦ γὰρ αἰτία μόνον ἀποδέδοται τῆς ἐκλείψεως, δι' ἣν γίνεται· ἐννοηματικὸς δέ ἐστιν ὁ ἐκ παρεπομένων τινῶν συνιστάμενος, ὃς καὶ ὑπογραφὴ κυρίως ὀνομάζεται, οἷον τί ἐστι φωνή; ἴδιον αἰσθητὸν ἀκοῆς· ἢ ὅτι ὁ ἄνθρωπός ἐστιν ὀρθοπερι-

47 Ambr. 2. Matr. καὶ γὰρ ὅρος συνάπτει καὶ συνείρει τῷ ὁριστῷ τὰ ἴδια αὐτοῦ. 48 Matr. εὐόριστα. 49 Ambr. 2. Matr. ἡμῖν τὰ ὁριζόμενα. Sqq. absunt ab his Codd. usque ad p. 105, 8. φέρονται δὲ ὁρισμοὶ τῆς ῥητορικῆς οὐχ εἷς, ἀλλὰ πλείονες· ἀλλ' ὅγε κυρίως ὁρισμὸς τῆς ῥητορικῆς οὗτός ἐστι· ῥητ. ἐστὶ τέχνη περὶ λόγου δύναμιν etc. 50 Post οἱ δὲ ἀπὸ οὐσίας in Vind. et Laur. sequitur: οἱ δέ ἀπὸ αἰτίας. 51 Vind. ἐπιπρόσθεσις. Laur. ἐπιπρόσθησις.

πατητικὸς, πλατυώνυχος, γελαστικός· μικτὸς δὲ ἀπὸ οὐσίας καὶ αἰτίας, οἷον, τί ἐστιν ἀστραπή; πῦρ ἀποσβεννύμενον ὑπὸ ψόφου νεφελῶν· αἰτία γὰρ ἐνταῦθα τοῦ σβεννυμένου πυρὸς ὁ ψόφος τῶν νεφελῶν· μικτὸς δὲ ἀπὸ οὐσίας ἐννοηματικὸς, ἀπὸ οὐσίας καὶ τῶν παρεπομένων συνιστάμενος, οἷον, τί ἐστι φωνή; πληγὴ ἀέρος, ἢ ἴδιον αἰσθητὸν ἀκοῆς· καὶ τί ἐστιν ἄνθρωπος; ζῶον ὀρθοπεριπατητικὸν, πλατυώνυχον, γελαστικόν. τούτους οὐδ' ἁπλῶς ὁρισμοὺς ἀλλ' ὑπογραφικοὺς ὀνομάζουσιν. ἐξ ὑποκειμένου δὲ τοῦ πόρρω, οἷον ναυπηγική ἐστι τέχνη περὶ τὰ εἰς κατασκευὴν πλοίων ἁρμόζοντα ξύλα καταγινομένη. Ἀλλ' εἴπωμεν, τί ἐστιν ὑποκείμενον καὶ τέλος, καὶ ποῖον τὸ προσεχὲς ὑποκείμενον καὶ τέλος, καὶ τὸ πόρρω· οὕτω γὰρ ἂν ῥᾳδίως τοῖς παραδείγμασι τῶν ἐξ ὑποκειμένου καὶ τέλους ὁρισμῶν παρακολουθήσωμεν. Ὑποκείμενον μὲν οὖν ἐστιν, ὅπερ ὑπόκειται πάσῃ τέχνῃ καὶ ἐπιστήμῃ, οἷον τῇ γραμματικῇ ὑπόκειται τὰ ὀκτὼ μέρη τοῦ λόγου· τούτοις γὰρ πάσας τὰς τῶν Ἑλλήνων φωνὰς περιέκλεισε· καὶ τῇ ἰατρικῇ τὰ ἀνθρώπινα σώματα. τέλος δὲ ὃ χρήσιμον τῆς τέχνης περιποιητικόν· οἷον γραμματικῆς μὲν τέλος τὸ μὴ σολοικίζειν ἢ βαρβαρίζειν, ἰατρικῆς δὲ τὸ ὑγείαν ποιῆσαι· τῶν δὲ ὑποκειμένων προσεχῆ μέν εἰσι τὰ πᾶσι γνώριμα καὶ δῆλα, οἷον ναυπηγικῆς μὲν προσεχῆ ὑποκείμενα τὰ ἁπλῶς ξύλα, αὐτὰ γὰρ πάντες ἴσασιν, ὅτι ὑπόκειται τῇ ναυπηγικῇ· πόρρω δὲ τὰ τῷ τεχνίτῃ μόνῳ ὑποπίπτοντα πρὸς γνῶσιν, οἷον τὰ πρὸς τρόπιν τυχὸν καὶ πηδάλιον ἁρμόζοντα, καὶ ἰατρικῇ δὲ προσεχῆ μὲν ὑποκείμενα τὰ ἀνθρώπινα σώματα, πόρρω δὲ τὰ τοιῶσδε κεκραμμένα. καὶ τῶν τελῶν δὲ τὰ μέν εἰσι προσεχῆ, οἷον τῆς ναυπηγικῆς τέλος προσεχὲς τὸ ἁπλῶς ναῦν ποιῆσαι· καὶ τῆς ἰατρικῆς τὸ ἁπλῶς ὑγείαν· τὸ δὲ πόρρω, οἷον τῆς ἰατρικῆς πόρρω τέλος τὸ τοιῶσδε ὑγιάσαι, καὶ τῆς ναυπηγικῆς τὸ τοιάνδε ναῦν ποιῆσαι· οἷον ἀκάτιον

ἢ δρόμωνα· γίνονται οὖν ὁρισμοὶ ἐκ μὲν τοῦ πόρρω ὑποκειμένου, οἷον ναυπηγική ἐστι τέχνη περὶ τὰ εἰς κατασκευὴν πλοίων ἁρμόζοντα ξύλα καταγινομένη· ἐκ δὲ τοῦ προσεχοῦς, οἷον ναυπηγική ἐστι τέχνη ἀκατίων ποιητική, καὶ τοιοῦτοι μὲν ἐξ ὑποκειμένων καὶ τελῶν προσεχῶν καὶ πόρρω γινόμενοι ὁρισμοί· γίνονται δὲ καὶ ἐξ ἀμφοτέρων ὁμοῦ. ἐξ ὑποκειμένων δηλονότι καὶ τέλους, ἢ ἀμφοτέρων προσεχῶν, ἢ ἀμφοτέρων πόρρω, ἢ τοῦ μὲν ἑνὸς προσεχοῦς, τοῦ δὲ ἑτέρου πόρρω, καὶ τοῦτο διχῶς, ἐκ μὲν τοῦ ὑποκειμένου πόρρω, τέλους δὲ προσεχοῦς· ἔστωσαν δὲ παραδείγματα τούτων ταῦτα· τοῦ μὲν ἐξ ὑποκειμένου πόρρω καὶ τέλους πόρρω, οἷον ναυπηγική ἐστι τέχνη περὶ τὰ ἁρμόδια εἰς ἐργασίαν πλοίων ξύλα καταγινομένη, ἀκατίων ποιητική, τοῦ δὲ ἐξ ἀμφοτέρων προσεχοῦς, οἷον ναυπηγική ἐστι τέχνη περὶ τὰ ξύλα καταγινομένη πλοίων ποιητική.[52] τοῦ δὲ ἐξ ὑποκειμένου προσεχοῦς καὶ τέλους πόρρω, οἷον ναυπηγική ἐστι τέχνη περὶ τὰ ξύλα καταγινομένη ἀκατίων ποιητική· τοῦ δὲ ἐξ ὑποκειμένου πόρρω καὶ τέλους προσεχοῦς, ναυπηγική ἐστι τέχνη περὶ τὰ εἰς ἐργασίαν πλοίων ἐπιτήδεια ξύλα καταγινομένη, πλοίων ποιητική· δεῖ δὲ γινώσκειν, ὅτι τῶν ὑποκειμένων τὰ μὲν μιᾷ μόνῃ τέχνῃ ὑπόκειται, ὥσπερ τῇ ὑαλοψικῇ[53] μόνῃ ὁ ὕαλος, τὰ δὲ πλείοσιν, οἷον τὰ ξύλα καὶ τῇ ναυπηγικῇ καὶ τῇ τεκτονικῇ· καὶ τῶν τελῶν πάλιν τὰ μὲν μιᾶς μόνης εἰσὶ τέχνης, οἷον τῇ ναυπηγικῇ μόνον τὸ πηγύναι ναῦς, τὰ δὲ καὶ ἑτέρων, ὡς εἴ τις τῆς ῥητορικῆς τέλος λέγοι τὸ εὖ λέγειν, τοῦτο γὰρ καὶ τῆς διαλεκτικῆς καὶ ἑτέρων πολλῶν ἐστι· δεῖ οὖν τὸν ἐξ ὑποκειμένου ἢ τέλους βουλόμενον ὁρίσασθαι πρότερον συνορᾶν, εἰ τῆς προκειμένης μόνης τέχνης ἐστὶ τὸ ὑποκείμενον ἢ καὶ ἑτέ-

52 τοῦ δὲ ἐξ ἀμφοτέρων προσεχοῦς, οἷον ναυπηγικὴ — ποιητική, ex Laur. inserui. Vind. om. 53 Vind. ἁλοψική. Laur. ἁλοψ.

ρων, καὶ τὸ τέλος ὡσαύτως, καὶ εἰ [54] μὲν μόνης, ἐστὶν ὁρίζεσθαι ἐκ μόνου τοῦ ὑποκειμένου ἢ τοῦ τέλους· ἐκ μὲν μόνου τοῦ ὑποκειμένου, οἷον ὑαλοψική ἐστι τέχνη περὶ τὸν ὕαλον καταγινομένη· ἐκ δὲ τοῦ τέλους, οἷον ναυπηγική ἐστι τέχνη πλοίων ποιητική· εἰ δὲ μή ἐστι μόνης, ἀλλὰ καὶ ἑτέρων μὴ ὁρίζεσθαι ἐκ τοῦ ἑνὸς μόνου, ἀλλὰ προσλαβεῖν καὶ τὸ ἕτερον. Δεῖ δὲ καὶ τοῦτο σκοπεῖν, εἰ ἀντιστρέφει ὁ ὁρισμὸς καὶ τὸ ὁριστόν· εἰ γὰρ μὴ ἀντιστρέφει, κακίζεται, ὁ δὲ ἐξ ὕλης καὶ εἴδους ὁρισμός ἐστι τοιοῦτος. οἷον ἀνδριάς ἐστι χαλκὸς ἀνθρώπου σχῆμα φέρων, ἰδοὺ γὰρ ὁ μὲν χαλκὸς ὕλη, τὸ δὲ σχῆμα ἀνθρώπου φέρει τὸ εἶδος· διαιρετικὸς δέ ἐστιν ἐκ γένους καὶ συστατικῶν διαφορῶν λαμβανόμενος, ἤτοι ἐκ τοῦ ὀνόματος τοῦ γένους, οἷον ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἰδοὺ γὰρ ἡ ζῶον λέξις ὄνομά ἐστιν, ἢ ἐκ τοῦ ὁρισμοῦ τοῦ γένους, οἷον ἄνθρωπός ἐστιν οὐσία ἔμψυχος αἰσθητικὴ, λογικὴ, θνητὴ, νοῦ καὶ ἐπιστήμης δεκτική· καὶ ἢ ἐκ πλειόνων διαφορῶν, ὡς ἔχουσιν οἱ τοιοῦτοι ὁρισμοὶ, ἢ ἐκ τῆς ἰδικωτάτης ταύτης μόνης, ὡς ἔχει τὸ, ἄνθρωπός ἐστι ζῶον νοῦ καὶ ἐπιστήμης δεκτικόν· καὶ ὃν ἀποδέδωκεν ὁρισμὸν τῆς ῥητορικῆς ὁ Ἑρμογένης ἐν τῷ προοιμίῳ τοῦ περὶ τῶν στάσεων βιβλίου, μονονουχὶ οὕτως εἰπών· ῥητορική ἐστι σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων, λυσιτελούσων κἂν ταῖς βουλαῖς κἂν τοῖς δικαστηρίοις καὶ πανταχοῦ, τὸ μὲν σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων ἀντὶ γένους παραλαβών, τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν, καὶ μᾶλλον ὡς ἰδικωτάτην διαφοράν· μόνη γὰρ ῥητορικὴ δοκεῖ ἔν τε ταῖς βουλαῖς καὶ τοῖς δικαστηρίοις λυσιτελεῖν. Πότε δὲ χρὴ τιθέναι τὸ ὄνομα τοῦ γένους ἐν τῷ ὁρισμῷ, καὶ πότε τὸν αὐτοῦ ὁρισμὸν, καὶ πάλιν πότε δεῖ πλείους

54 Vindob. ἡ. Laurent. εἰ.

[δέον] τιθέναι τὰς διαφορὰς, καὶ πότε τὴν ἰδικωτάτην, καὶ ἐν ἄλλοις μὲν σὺν Θεῷ εἰρήσεται, καὶ νῦν δὲ διὰ βραχέων ἐροῦμεν. Ὅτε μὲν γὰρ ἀμφιβάλλεται, εἰ γένος ἐστὶ τόδε τοῦ ὁριστοῦ, τότε δέον οὐχὶ τὸ ὄνομα τοῦ γένους, ἀλλὰ τὸν ὁρισμὸν αὐτὸν τιθέναι, ὡς ἂν δι' αὐτοῦ δειχθῇ, γένος εἶναι τοῦ ὁριστοῦ· ὧν γὰρ οἱ ὅροι κοινοὶ, τούτων καὶ τὰ πράγματα τὰ αὐτά· διά τοι τοῦτο καὶ ὁ σοφώτατος Ἑρμογένης ἐν τῷ περὶ τῶν στάσεων [55] βιβλίῳ βουλόμενος ὁρίσασθαι τὴν ῥητορικὴν, καὶ μέλλων ἀντὶ γένους ἐν τῷ ὁρισμῷ θεῖναι, ἐπειδὴ εὗρισκε πολλοὺς μὴ συγχωροῦντας τέχνην εἶναι τὴν ῥητορικὴν, ἀντὶ τοῦ τέχνη ὀνόματος τὸν ὁρισμὸν τῆς τέχνης παρέλαβεν· ἔνθα μέντοι ἐστὶ μηδεὶς ἀμφιβάλλων περὶ τοῦ γένους, τότε οὐχὶ τὸν ὁρισμὸν τοῦ γένους, ἀλλὰ τὸ ὄνομα δέον τιθέναι. Καὶ περὶ τῶν διαφορῶν δὲ ἐκεῖνο λέγομεν· ὅτε μὲν ἀντὶ τοῦ ὀνόματος τοῦ γένους τὸν ὁρισμὸν τίθεμεν, [56] τότε οὐχὶ πλείους διαφορὰς, ἀλλὰ τὴν ἰδικωτάτην μόνην παραληψόμεθα, ὥσπερ καὶ ὁ Ἑρμογένης ἐποίησε, τὴν ἰδικωτάτην μόνην παραλαβὼν, ἐπειδὴ ἀντὶ τοῦ τέχνη ὀνόματος τὸν ὁρισμὸν τῆς τέχνης παρέλαβε· τοῦτο δὲ ποιοῦμεν, ἵνα μὴ μακρὸν τὸν ὁρισμὸν ποιήσωμεν, δέον αὐτὸν σύντομον εἶναι· εἰ γὰρ καὶ ἀντὶ τοῦ ὀνόματος τοῦ γένους τὸν ὁρισμὸν τοῦ γένους παραληψόμεθα, καὶ πλείους διαφορὰς ἐκείνῳ πάλιν συμπλέξομεν, μακρὸς οὗτος ὁρισμὸς γενήσεται· εἰ μέντοι μὴ τὸν ὁρισμὸν, ἀλλὰ τὸ ὄνομα τοῦ γένους παραληψόμεθα, τότε οὐδὲν κωλύει καὶ πλείους παραλαβεῖν τὰς διαφοράς. Γεώργιος· δεῖ δὲ [57] γινώσκειν, ὅτι οἱ μὲν ἀπὸ γένους καὶ συστατικῶν διαφορῶν ὁρισμοὶ τοῖς φυσικοῖς καὶ ἐπὶ τὸ πλεῖστον ἁρμόζουσιν, οἷον ἀνθρώπῳ, βοΐ, λίθῳ καὶ τοῖς ὁμοίοις. οἱ δὲ ἐξ ὑποκειμέ-

55 Vind. συστάσεων. scr. στάσεων. 56 Vind. τιθέαμεν. 57 δὲ Vind. om.

νου καὶ τέλους ταῖς ἐπιστήμαις καὶ τέχναις, οἱ δὲ ἐξ ὕλης ἢ εἴδους τοῖς ἀποτελέσμασι τῶν τεχνῶν. Ἀλλ' ἐπειδὴ τί τέ ἐστιν ὅρος, καὶ πόθεν παρωνόμασται, καὶ πόσαι αὐτοῦ διαφοραί, εἰ καὶ διὰ βραχέων, ὅμως εἰρήκαμεν, ἴδωμεν,[58] εἰ δοκεῖ, καὶ τὸν τῆς ῥητορικῆς ὁρισμὸν τίς ἐστι, καὶ ἐπὶ τὸ δεύτερον ἐρχόμενοι τῶν ζητουμένων, τὸ τί ἐστι. Φέρονται δὴ τῆς ῥητορικῆς ὁρισμοὶ οὐχ εἷς, ἀλλὰ πλείονες· Ἀριστοτέλης μὲν γὰρ αὐτὴν ὡρίσατο οὕτως· ῥητορική ἐστι δύναμις τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου τέλος ἔχουσα τὸ εὖ λέγειν, ὃν καὶ αἰτιῶνταί τινες ὡς δύο κακιῶν παρακολουθουσῶν τοῖς ὅροις, ὑπερβολῆς ἢ ἐλλείψεως, τὴν μίαν τῶν κακιῶν τὴν ὑπερβολὴν ἔχοντα, καὶ παρὰ τοῦτο μὴ ἀντιστρέφοντα τῷ ὁριστῷ· ἔχει δὲ, φασὶ,[59] τὴν ὑπερβολὴν, καθὸ οὐ μόνον τὴν ῥητορικὴν περιέχει, ἀλλὰ καὶ τὴν διαλεκτικήν, καὶ γὰρ ἡ διαλεκτικὴ δύναμίς τίς ἐστι τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου τέλος ἔχουσα τό εὖ λέγειν. Ἀληθεύομεν, εἰ μέντοι καὶ ἀντιστρέψαι πειραθείημεν λέγοντες, ὅτι καὶ, εἴτι δύναμις τοῦ περὶ ἕκαστον ἐνδεχομένου λόγου τέλος ἔχουσα τὸ εὖ λέγειν, τοῦτο ῥητορική ἐστι. ψευδόμεθα, αὐτίκα γὰρ ἡ διαλεκτικὴ δύναμις οὖσα τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου τέλος ἔχουσα τὸ εὖ λέγειν, οὐκ ἔστι ῥητορική. διαφέρει γὰρ ῥητορικὴ διαλεκτικῆς τῇ τε ὕλῃ καὶ τοῖς ὀργάνοις· τῇ μὲν ὕλῃ, ὅτι ἡ μὲν ῥητορικὴ ὕλην ἔχει τὰ πολιτικὰ, ἡ δὲ διαλεκτικὴ τὰ περὶ πάντων ἁπλῶς, ὡς τισι δοκεῖ, διαλεχθήσεται. τοῖς δὲ ὀργάνοις, ὅτι τῆς μὲν ῥητορικῆς ὄργανα τὸ κεφάλαιον, τὸ ἐπιχείρημα, ἡ ἐργασία, τὸ ἐνθύμημα· κεφάλαιον μὲν οὖν ἐστι μέρος λόγου ἀπόδειξιν ἔχον τοῦ προκειμένου ζητήματος ἐκ νοημάτων καὶ ἐπιχειρημάτων συγκείμενον· οἷον· ὑποκείσθω ζήτημα τό· Φιλίππου

58 ἴδωμεν Vind. om. 59 Vind. φησί.

συνεχῶς Χαιρώνειαν κατατρέχοντος γράφει Δημοσθένης διορύξαι τὸν Ἰσθμόν, εἶτα πρὸς σύστασιν τούτου κεφάλαιον τὸ δυνατόν, ὅτι ῥᾴδιον τὸ διορύξαι τὸν Ἰσθμόν· ἐπιχείρημα δέ ἐστι λόγος κατασκευαστικὸς τοῦ προτεθέντος κεφαλαίου, ἐκ περιστάσεως ἔχων τὴν γένεσιν, οἷον ἵνα πρὸς κατασκευὴν τοῦ προτεθέντος κεφαλαίου ἐπαγάγωμεν, ἐπιχείρημα ἀπὸ τῆς περιστάσεως ἤγουν ἀπὸ τοῦ προσώπου, ἢ τοῦ τόπου ἢ τῶν ἄλλων· ἀπὸ μὲν τοῦ προσώπου, ὅτι ῥᾴδιον τοῖς Ἀθηναίοις τοῖς ἰσχυροῖς καὶ νεωτεροποιοῖς καὶ παρὰ τῶν ἐχθρῶν ἐπαινουμένοις· ἀπὸ δὲ τοῦ τόπου, ὅτι γῆν διορύξομεν, τὸ δὲ γῆν διορύσσειν παιδιά· ἐργασία δέ ἐστι λόγος κατασκευαστικὸς τοῦ προτεθέντος ἐπιχειρήματος ἐκ παραβολῆς ἢ παραδείγματος ἔχον τὴν γένεσιν· ἐκ μὲν οὖν παραδείγματος, οἷον ἐπεὶ καὶ ὁ Πέρσης ποτὲ διώρυξε τὸν Ἄθων, ἐκ δὲ παραβολῆς, ὡς εἴτις εἰπὼν δεῖν τοὺς γονέας τιμᾶν εἶτα ἐργασίας θήσει ἐκ παραβολῆς, καὶ γὰρ καὶ τῶν θηρίων ἔστιν ἃ τοῦτο ποιεῖ· καὶ ταῦτα μέν εἰσι τὰ τῆς ῥητορικῆς ὄργανα· τὰ δὲ τῆς διαλεκτικῆς ἥ τε ἐπαγωγὴ καὶ ὁ συλλογισμός, καὶ ὁ μὲν συλλογισμὸς ἐκ τῶν καθόλου τὰ μερικὰ πιστοῦται· ἡ δὲ ἐπαγωγὴ ἐκ τῶν μερικῶν τὰ καθόλου· εἰ μὲν γὰρ βουλόμενος ἀποδεῖξαι τὸν Σωκράτην λογικὸν εἴπω ὅτι πᾶς ἄνθρωπος, ὥστε λογικός ἐστι, συλλογισμὸν ποιῶ· ἐκ γὰρ τοῦ καθόλου τὸ μερικὸν ἐπιστωσάμην· εἰ δὲ τοὐναντίον τὸν ἄνθρωπον βουλόμενος δεῖξαι λογικὸν ἔκ τινος μερικοῦ τοῦτο πιστώσομαι, ἐπαγωγῇ χρῶμαι πρὸς τὴν ἀπόδειξιν· οἷον ὡς ἵνα οὕτως εἴπω, πᾶς ἄνθρωπος λογικός ἐστι, καὶ γὰρ ὁ Σωκράτης ἄνθρωπος ὢν λογικός ἐστι, καὶ οὐ τούτοις μόνον διαφέρει ἡ διαλεκτικὴ τῆς ῥητορικῆς, ἀλλὰ πρὸς τούτοις καὶ ὅτι ἡ μὲν κατὰ πεῖσιν μόνον ἢ ἐρώτησιν προσάγεται ἡ διαλεκτική, ἡ δὲ κατὰ πάντα λόγου τρόπον τε καὶ ἰδέαν. Ὁ μέντοι Γεωμέτρης ὀρθῶς φησιν ἔχειν τὸν ὁρι-

σμόν, παρόσον ἡ διαλεκτικὴ οὐκ ἔστι δύναμις τοῦ περὶ ἕκαστον ἐνδεχομένου πιθανοῦ λόγου· τῶν γὰρ περὶ τὰ πολιτικὰ πιθανῶν λόγων ἀπορεῖ· μόνης γὰρ τῆς ῥητορικῆς ὕλη τὰ πολιτικὰ ζητήματα καὶ ἐνθυμήματα. Ἀλλ' ὁ μὲν παρὰ τοῦ Ἀριστοτέλους ἀποδοθεὶς λόγος τῇ ῥητορικῇ τοιοῦτος, καὶ αἱ κατ' αὐτοῦ φερόμεναι μέμψεις τοιαῦται· ὁρίζεται δὲ πάλιν αὐτὴν Διονύσιος ὁ Θρᾷξ οὕτω· ῥητορική ἐστι δύναμις τεχνικὴ διὰ λόγου ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ εὖ λέγειν, ἀλλὰ καὶ οὗτος κακίζεται, διότι τέλος ἐν αὐτῷ ἀποδέδοται τῆς ῥητορικῆς, ὅπερ οὐκ αὐτῆς μόνης, ἀλλὰ καὶ τῶν ἄλλων τινῶν, δέον ὂν μήτε ἑνὸς πράγματος πολλὰ τέλη ἀποδίδοσθαι, μήτε πολλῶν ἕν· φαίνεται δὲ καὶ ὁ Ἑρμογένης ἐν τῇ ῥητορικῇ αὐτοῦ τέχνῃ οὕτως αὐτὴν ὁριζόμενος· ῥητορική ἐστι τέχνη τις λυσιτελοῦσα κἀν ταῖς βουλαῖς κἀν τοῖς δικαστηρίοις καὶ πανταχοῦ· ὁ δὲ Γεωμέτρης οὕτως αὐτὴν ὡρίσατο ἐν τῇ εἰς τὸ παρὸν τοῦ Ἀφθονίου βιβλίον ἐξηγήσει· ῥητορική ἐστι λόγος περὶ τὸν λόγον· ὁ μέντοι Γοργίας πειθοῦς δημιουργὸν[60] εἶπεν αὐτήν· ἀλλὰ καὶ οὗτος κακίζεται ὁ ὁρισμὸς κατὰ τὸ ὑπερβάλλον· οὐ μόνον γὰρ τῆς ῥητορικῆς ἐστι δηλωτικὸς, ἀλλὰ καὶ ἑτέρων πλειόνων, πολλὰ γὰρ καὶ ἄλλα ἐστὶ πειθοῦς δημιουργά, διὸ οὐδὲ ἀντιστρέφει· εἴ τι μὲν γὰρ ῥητορική, τοῦτο καὶ πειθοῦς δημιουργὸς, οὐ μὴν εἴ τι πειθοῦς δημιουργὸς, τοῦτο καὶ ῥητορική πάντως. Ἕτεροι δὲ οὕτως αὐτὴν ὁρίζονται· ῥητορική ἐστι δύναμις εὑρετικὴ καὶ ἑρμηνευτικὴ μετὰ κόσμου τῶν ἐνδεχομένων πιθανῶν ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ εὖ λέγειν, τὴν μὲν δύναμιν ἀντὶ γένους παραλαμβάνοντες· τῶν ἐμμέσων γὰρ τὸ ὄνομα καὶ βλάβῃ καὶ ἐπ' ὠφελείᾳ χρωμένων ἡμῶν αὐτῷ· τὸ δὲ ἐφευρετικὴ καὶ ἑρμηνευτικὴ ὡς διαφορὰς ἰδίας τοῦ ῥήτο-

60 Vind. δημιουργεῖν. Laur. δημιουργόν.

ρος· τούτοις γὰρ ἴδιον εὑρεῖν τὰ ῥηθησόμενα, καὶ ὡς δέον εἰπεῖν· τὸ δὲ μετὰ κόσμου διὰ τὸ τῆς φράσεως κάλλος, ὃ καὶ αὐτὸ παρὰ τοῦ ῥήτορος ἀπαιτοῦμεν· τὸ δὲ ἐν πράγματι πολιτικῷ προστέθειται διὰ τὸ περὶ τὰ τοιαῦτα τὸν ῥητορεύοντα καταγίνεσθαι· τὸ δὲ τέλος ἔχουσα τὸ εὖ λέγειν κακίζεται, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν. Ἄμεινον οὖν τῶν λοιπῶν δοκοῦσιν ὁρίσασθαι τὴν ῥητορικὴν οἱ οὕτως αὐτὴν ὁρισάμενοι· ῥητορική [61] ἐστι τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον· ἀλλ' ἐπειδὴ πᾶς ὁρισμὸς ἐκ γένους καὶ συστατικῶν διαφορῶν σύγκειται, ἴδωμεν, ποία μὲν λέξις ἀντὶ γένους παρείληπται, ποία [62] δὲ ἀντὶ συστατικῶν διαφορῶν. Ἀλλὰ πρὸ τούτου ζητητέον, πῶς εἴρηται, πάντα ὁρισμὸν [63] ἐκ γένους καὶ συστατικῶν διαφορῶν συγκεῖσθαι, ὅπου καὶ ἐξ ὑποκειμένου καὶ τέλους εἰσί τινες, [64] καὶ ἐξ ὕλης καὶ εἴδους, καὶ ἄλλων τινῶν· [65] καὶ φαμὲν ὅτι καὶ αὐτοὶ δυνάμει ἐκ γένους καὶ διαφορῶν εἰσί· τὰ γὰρ ὑποκείμενα τῇ ναυπηγικῇ ξύλα γένος αὐτῆς εἰσίν· οὐ μόνῃ [66] γὰρ αὐτῇ ὑπόκειται, ἀλλὰ καὶ τῇ τεκτονικῇ καὶ δρυτομικῇ· καὶ ἡ ὕλη δὲ κατὰ τοῦτον τὸν λόγον γένους τάξιν ἔχει· [67] τὸ δὲ τέλος [68] καὶ τὸ εἶδος τὸν τῶν διαφορῶν σώζουσι λόγον. Ἴδωμεν οὖν λοιπὸν καὶ τῶν ἐν τῷ προτεθέντι τῆς ῥητορικῆς ὁρισμῷ λέξεων, ποία [69] μὲν ἀντὶ

---

61 Ambr. 2. Matr. omissis reliquis definitionibus hanc ita proferunt ἀλλ' ὅγε κυρίως ὁρισμὸς τῆς ῥητ. οὗτός ἐστι· ῥητορική ἐστι κ. τ. λ. vide supra p. 97. 62 Matr. Ambr. 2. ποῖαι — διαφορῶν σύγκεινται. 63 πάντα ὁρισμὸν ex Ambr. 2. Matr. recepi. Vind. om. 64 Matr. ἐστί. τινες δὲ καί. 65 τινῶν ex Laur. Matr. Ambr. 2. recepi. 66 Matr. μόνον. mox Ambr. 2. Matr. ὑπόκεινται. 67 Matr. ἐπέχει. 68 Ambr. 2. τὸ δὲ καὶ τὸ εἶδος καὶ τέλος τὸν τῶν διαφορῶν ἀποσώζουσι λόγον. Matr. τὸ δέ τί μοι καὶ τὸ εἶδος τὸν τῶν διαφόρων ἀποσώζουσι λόγον. 69 Ambr. 2. bis

γένους κεῖται, ποία δὲ ἀντὶ τῶν διαφορῶν. Κεῖται τοίνυν τὸ μὲν τέχνη ὄνομα ἀντὶ γένους· εἰ γὰρ γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ τί ἐστι κατηγορούμενον, ὡς ὁ [70] Ἀριστοτέλης πρῶτος [71] ἐν τοῖς τοπικοῖς καὶ ἀπ' ἐκείνου ὁ [72] Πορφύριος ὁ Φοίνιξ ἔν τε ἄλλοις καὶ ἐν τῇ εἰσαγωγῇ ἐδίδαξαν, [73] εὔδηλον ὅτι καὶ τὸ τέχνη ὄνομα ἀντὶ γένους ἐστίν· εἴγε γραμματικῆς καὶ ῥητορικῆς καὶ τεκτονικῆς καὶ ἰατρικῆς καὶ [74] ἄλλων πλειόνων καὶ διαφερόντων τῷ εἴδει κατηγορεῖται ἐν τῷ διὰ τοῦ τί ἐστι προφέρεσθαι τὴν ἐρώτησιν. Καὶ αὕτη μὲν, ὡς ἔφαμεν, [75] ἡ λέξις ἀντὶ γένους παρείληπται, αἱ δὲ λοιπαὶ ἀντὶ διαφορῶν, χωρίζουσαι τὸ ὁριστὸν ἀπὸ τῶν ἄλλων τεχνῶν, καὶ [76] περιορίζουσαι τὴν αὐτοῦ ἰδιότητα. Παρείληπται τοίνυν τὸ μὲν περὶ λόγου δύναμιν, πρὸς τὸ χωρισθῆναι τὴν ῥητορικὴν ἀπό τε τῆς τεκτονικῆς καὶ τῶν ἄλλων τεχνῶν [77] τῶν πρακτικῶν, ἔτι δὲ καὶ [78] πρὸς τὸ δηλωθῆναι, ὅτι ἡ ῥητορικὴ πρᾶγμά ἐστιν ἔμμεσον, καὶ [79] ᾧ ἔξεστι καὶ καλῶς καὶ κακῶς

ποῖαι. Matr. ποῖα omisso μέν. tum ποῖαι δὲ ἀντὶ συστατικῶν διαφόρων. 70 ὁ ex Ambr. 2. recepi. 71 Ambr. 2. πρῶτον. Matr. καὶ Ἀριστοτέλης πρῶτον. omisso ὡς. 72 ὁ Vind. om. Est in Ambr. Matr. — Sq. ὁ Matr. om. 73 Matr. ἐδίδαξαν. 74 καὶ ante ἄλλων et διαφερόντων ex Ambr. 2. Matr. recepi. 75 Ambr. 2. Matr. ἀντὶ γένους, ὡς ἔφαμεν, ἡ λέξις παρείληπται. 76 καὶ Ambr. 2. om. 77 Ambr. 2. Matr. ἄλλων πρακτικῶν τεχνῶν. 78 καὶ Matr. om. 79 Matr. καὶ ἔξεστί τινι καλῶς. Cfr. cum his scholion in Ambros. C. 257. et M. 24. ad marginem prolegomenorum quorumdam (inc. ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου) adjectum. Δύναμίς ἐστι πρᾶγμα ἐν μεσότητι, ᾧ ἔξεστι καὶ καλῶς καὶ κακῶς χρήσασθαι, οἷον πλοῦτος, ἰσχύς, μάχαιρα. πρώτοις γὰρ χρήσαιτό τις καὶ καλῶς καὶ πρὸς τὰ ἐναντία· τοίνυν καὶ τὴν ῥητορικὴν διὰ τοῦτο ἐκάλεσαν δύναμιν, ἐπειδὴ χρήσαιτ' ἄν τις αὐτῇ καὶ πρὸς τὰ καλὰ καὶ πρὸς τὰ μὴ τοιαῦτα.

χρήσασθαι· τοιοῦτον [80] γὰρ ἡ δύναμις· διά τοι τοῦτο ὁ πλοῦτος καὶ ἡ ἰσχὺς καὶ ἡ μάχαιρα δυνάμεις [81] λέγονται· ἔξεστι γὰρ [82] αὐτοῖς καὶ καλῶς καὶ κακῶς χρήσασθαι· ἡ δὲ ῥητορικὴ δύναμίς ἐστιν ἐπειδὴ κέχρηται τῷ ψεύδει καὶ τῇ ἀληθείᾳ, καὶ καταγίνεται περὶ τὰ πιθανά, τουτέστι περὶ τὰ πείθοντα καὶ μὴ πείθοντα· ἐπεὶ οὖν ἡ γραμματικὴ, ἔτι δὲ καὶ ἡ διαλεκτικὴ τοιαῦται, τέχναι γὰρ [83] λογικαὶ καὶ αὐταὶ [84], προσετέθη τό· „ἐν πράγματι πολιτικῷ·“ ἡ γὰρ γραμματικὴ οὐ περὶ τὰ πολιτικὰ, ἀλλὰ περὶ τόνους [85] καὶ πνεύματα καὶ στιγμὰς καὶ τὰ [86] τοιαῦτα καταγίνεται· ὁμοίως δὲ καὶ ἡ διαλεκτικὴ, εἰ καὶ περὶ [87] πάντων τῶν προτεθέντων ἐπιχειρεῖ, οἷον περὶ μουσικῶν, περὶ γεωμετρικῶν, ἔτι γε μὴν περὶ ἰατρικῶν, φυσικῶν τε καὶ ἠθικῶν καὶ λογικῶν, ὅμως ὁ μὲν διαλεκτικὸς [88] περὶ πᾶσαν ὕλην ὁμοίως τῇ δυνάμει χρῆται, ὁ δὲ ῥητορικὸς εἰ καὶ αὐτὸς περὶ τῶν προτεθέντων λέγει, εἴτε ἰατρικά ἐισιν, [89] εἴτε φιλόσοφα, εἴτε μουσικά, ὅμως ὡς ἐπὶ τὸ πλεῖστον περὶ τῶν πολιτικῶν διαλαμβάνει· τὸ δὲ πιθανῶς [90] εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον ἐκ τοῦ τέλους παρείληπται· τοῦτο γάρ ἐστι τέλος τῆς ῥητορικῆς τὸ πιθανῶς λέγειν [91] κατὰ τὸ ἐνδεχόμενον. Τινὲς μέντοι τινὰ τῶν ἐν τῷ ὁρισμῷ κειμένων ἀνατρέπειν πειρῶνται, ὧν εἰ δοκεῖ τοὺς λόγους ἐπισκεψώμεθα. Ἐν

---

80 Matr. τοιοῦτο. 81 Matr. δύναμις. 82 Vind. καὶ, Matr. γάρ. 83 Vind. καὶ, Ambr. 2. Matr. γάρ. 84 Matr. αὗται. 85 Ambr. 2. πνεύματα καὶ τόνους. 86 καὶ τὰ Ambr. 2. om. - 87 Ambr. 2. περὶ om. 88 Ambr. 2. ὁμοίως ἡ μὲν διαλεκτικὴ. Matr. ὅμως ὁ διαλεκτικὸς μέν. 89 Matr. ἐστίν. 90 Matr. πιθανῶς h. l. et v. 21. 91 Ambr. 2. Matr. εἰπεῖν. Post ἐνδεχόμενον hi Codd. plura folia omittunt, usque ad: ἀλλ' ἐπειδὴ τὴν μέν, περὶ τοῦ εἰ ἔστι ῥητορική, ζήτησιν etc.

πρώτοις μὲν οὖν πρὸς τὴν ἀντὶ γένους ἐν τῷ ὁρισμῷ λέξιν κειμένην ἐνιστάμενοί φασιν, μὴ εἶναι τέχνην τὴν ῥητορικήν, ἀλλ' ἐπιστήμην ἢ ἐμπειρίαν· ἴδωμεν δὲ πρῶτον τὴν διαφορὰν τῆς τέχνης, ἣν ἔχει πρὸς τὴν ἐπιστήμην καὶ ἐμπειρίαν διά τινος διαιρέσεως. Ἡ γνῶσις ἢ καθόλου ἐστὶν ἢ μερική, καὶ εἰ μὲν μερική, ποιεῖ τὴν πεῖραν, πεῖρα γάρ ἐστιν ἑνὸς καὶ μερικοῦ πράγματος γνῶσις, ὡς ἵνα γινώσκῃ τις, ὅτι ἡ ἀψινθία κεφαλαλγίαν ἰᾶται· εἰ δὲ καθόλου, ἢ μετὰ λόγου, ἢ ἄνευ λόγου· καὶ εἰ μὲν ἄνευ λόγου, ἐμπειρία ἐστί, καθόλου γὰρ καὶ ἀλόγως ἔχει τὴν τῶν πολλῶν γνῶσιν, οἷον ὡς ἵνα γινώσκῃ τις ἀπὸ παρατηρήσεως γράφειν ὀρθῶς, μὴ μέντοι καὶ κανόνας καὶ ὅρους ἀποδιδόναι· εἰ δὲ μετὰ λόγου, ἢ πταιστὴ ἢ ἄπταιστος, καὶ εἰ μὲν πταιστή, ποιεῖ τὴν τέχνην, ὡς ἔστιν ἡ ἰατρική, αὕτη γὰρ καὶ καθόλου τὴν γνῶσιν ἔχει καὶ μετὰ λόγου· ἀλλ' ἐπειδὴ πταιστή ἐστιν, οὐχὶ καθ' ἑαυτήν, οὐδὲ κατὰ τοὺς μεθοδικοὺς ἢ θεωρητικοὺς λόγους, ἀλλὰ διὰ τὸ περὶ ὕλην τινὰ φθαρτὴν καὶ ἀλλοιωτὴν καταγίνεσθαι, καὶ διὰ τοῦτο μὴ ἀεὶ τοῦ σκοποῦ καὶ τοῦ τέλους ἐπιτυγχάνειν, οἷον τῆς ὑγείας, ἀποτυγχάνει γὰρ ἔστιν ὅτε ταύτης, διὰ τοῦτο τέχνη λέγεται εἶναι, καὶ οὐκ ἐπιστήμη· εἰ δὲ ἄπταιστος, ποιεῖ τὴν ἐπιστήμην· ἡ μὲν γὰρ τέχνη τρεπτὰ ἔχουσα τὰ ὑποκείμενα πράγματα καὶ παρὰ τοῦτο καὶ σφαλερά, ἔστιν ὅτε ἀποτυγχάνει τοῦ σκοποῦ, καὶ παρὰ τοῦτο πταιστὴ λέγεται εἶναι· ἡ δὲ ἐπιστήμη ἄτρεπτα καὶ ἀναλλοίωτα ἔχουσα ἄπταιστός ἐστιν· εἰ γὰρ καὶ οἱ ἐπιστήμονες ἔστιν ὅτε σφάλλονται, οὐ παρὰ τὴν ἐπιστήμην τοῦτο πάσχουσιν, ἀλλὰ διὰ τὴν οἰκείαν ἀφυΐαν ἢ ἀμαθίαν, ἢ καὶ διὰ τὸ τῆς ἐπιστήμης μέγεθος, οἱ δὲ τεχνῖται οὐ διὰ ταῦτα μόνα, ἀλλὰ καὶ διὰ τὴν τῶν ὑποκειμένων ἀδηλότητα σφάλοιντο ἄν. Ὁρίζονται δὲ τὴν μὲν ἐπιστήμην γνῶσιν ἄπταιστον· τὴν μὲν γνῶσιν ἀντὶ γένους λαμβάνοντες,

τὸ δὲ ἄπταιστος ὡς ἰδικὴν διαφοράν· μόνη γὰρ ἡ ἐπιστήμη ἔχει τὸ ἄπταιστον, καὶ τὸ ἀεὶ τὰ αὐτὰ καὶ περὶ τῶν αὐτῶν γινώσκειν· οἷον ἡ φιλοσοφία ἐπιστήμη οὖσα ἀεὶ γινώσκει περὶ τοῦ καθόλου ἀνθρώπου, ὅτι ζῷόν ἐστι λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, καὶ οὐδέποτε σφάλλεται τῆς καταλήψεως διὰ τὸ ἄτρεπτον εἶναι τὸ ὑποκείμενον. Τὴν δὲ τέχνην ὁρίζονται οὕτως· τέχνη ἐστὶ σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ· ἴδιον δὲ ταύτης λέγουσι τὸ πάντα μετὰ λόγου γινώσκουσαν ἔστιν ὅτε τοῦ οἰκείου σκοποῦ καὶ τοῦ τέλους ἀποτυγχάνειν· καὶ σφάλλεσθαι διὰ τὴν τῶν ὑποκειμένων ἀδηλότητα· Τὴν δὲ ἐμπειρίαν βούλονται εἶναι τριβὴν ἄλογον ἐκ παρατηρήσεως γινομένην· ἴδιον δὲ αὐτῆς τὸ μηδὲν μετὰ λόγου γινώσκειν, ἀλλ' ἀπὸ παρατηρήσεως μόνης· καὶ τοῦτό ἐστιν, ᾧτινι τέχνης ἐμπειρία διαφέρει, ἐπεὶ κατὰ τὰ ἄλλα διαφερόντως αὐτῇ κοινωνεῖ οἷον κατὰ τὴν ὕλην καὶ κατὰ τὰ ὄργανα καὶ τὰ τέλη· οἷον ἐπὶ τοῦ λογικοῦ ἰατροῦ καὶ ἐμπειρικοῦ· ὕλη μὲν γὰρ ἀμφοτέροις τὰ ἀνθρώπινα σώματα, ὄργανα δὲ τὰ δι' ὧν ἑκάτερος ἐνεργεῖ, τέλος ἡ ὑγεία. Ἐπειδὴ τοίνυν, τί διαφέρουσιν ἀλλήλων ἐπιστήμη καὶ τέχνη καὶ ἐμπειρία, εἴπομεν, ἴδωμεν καὶ τίσι χρῶνται λόγοις οἱ λέγοντες αὐτὴν ἐμπειρίαν, καὶ διὰ τίνων τὴν νικῶσαν ἀποφέρονται κατ' ἀμφοτέρων οἱ τέχνην αὐτὴν εἶναι τιθέμενοι. Οἱ μὲν οὖν λέγοντες αὐτὴν ἐπιστήμην φασίν, ὅτι ἴδιον τῆς ἐπιστήμης τὸ περὶ τῶν ὄντων ὡς ὄντων διαλέγεσθαι, οἷον ἡλίου ὑπὲρ γῆν ὄντος ὅσον πρὸς ἡμᾶς ἡμέρα ἐστίν· ἀλλὰ καὶ ἡ ῥητορικὴ τοῦτο ποιεῖ· ἰδοὺ γὰρ Φιλίππου πολεμοῦντος τοῖς Ὀλυνθίοις, ὡς περὶ ὄντων διαλέγεται Δημοσθένης· πρὸς τούτους· ἴδιον τῆς ἐπιστήμης τὸ τῶν καθόλου φροντίζειν, ἀλλὰ καὶ ἡ ῥητορικὴ τούτων ἀντέχεται, ἰδοὺ γὰρ καθόλου στοχασμὸν καὶ ὅρον διδάσκει ἡμᾶς, καὶ καθολικοὺς τρόπους προοι-

μίων καὶ γενικὰς ἰδέας· φαμὲν οὖν ἡμεῖς πρὸς μὲν τὸ πρῶτον αὐτῶν ἐπιχείρημα, ὅτι εἰ καὶ ἡ ἐπιστήμη καὶ ἡ ῥητορικὴ περὶ τῶν ὄντων ὡς ὄντων διαλέγεται, καὶ οὐ πταίει, ἡ δὲ ῥητορικὴ οὐ μόνον οὐ λέγει τὰ αὐτὰ περὶ τῶν αὐτῶν ἀεί, καὶ γὰρ οὐ μόνον ἀλλήλους, ἀλλὰ καὶ ἑαυτοὺς ἔσθ' ὅτε ἀνατρέπουσι, ποτὲ μὲν ἐν τῇ αὐτῇ ὑποθέσει τὸν κατήγορον μελετῶντες· ποτὲ δὲ τὸν φεύγοντα, καὶ μέμψιν ἡγοῦνται τὸ λέγειν ἐνθύμημα ὑφ' ἑτέρου ῥηθὲν, ἢ τῷ αὐτᾷ δὶς χρήσασθαι, οὐ μόνον δὲ οὐ κατορθοῖ, ἀλλ' ἔστιν ὅτε καὶ σφάλλεται καὶ ἀποτυγχάνει τοῦ οἰκείου σκοποῦ· οἷον τοῦ πεῖσαι·[92] πρὸς δὲ δεύτερον ἐπιχείρημα τῶν λεγόντων τὴν ῥητορικὴν ἐπιστήμην φαμὲν, ὅτι οὐδὲν θαυμαστὸν, ἐὰν περὶ καθόλου στοχασμοῦ καὶ ὅρου διδάσκῃ[93] ἡ ῥητορική· πᾶσα γὰρ τέχνη τοὺς μὲν κανόνας ἔχει καθολικούς, τὰ δὲ ἀποτελέσματα μερικά. ὡσαύτως οὖν καὶ ῥητορικὴ τέχνη οὖσα τὸν περὶ στοχασμοῦ λόγον ἔχει καθολικὸν, τὸν δὲ κατ' Αἰσχίνου ἢ κατὰ Τιμάρχου μερικοὺς ὡς ἀποτελέσματα· ἔτι πρὸς αὐτοὺς κακεῖνο λέγομεν, ὅτι ἡ μὲν ἐπιστήμη ἄτρεπτα, ὡς δέδεικται, ἔχει τὰ ὑποκείμενα, ἡ δὲ ῥητορικὴ τρεπτά· εἴγε καὶ ψυχὰς ἔχει ὑποκειμένας πολλὰς ἐχούσας τὰς καθ' ὥραν ἀγχιστρόφους μεταβολὰς, ἔτι καὶ ὅτι ὧν οἱ ὅροι διάφοροι καὶ αὐτὰ διάφορα. Ἔστι δὴ ἐπιστήμης μὲν ὁρισμὸς γνῶσις ἄπταιστος· ῥητορικῆς δὲ, τέχνη περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον. Ἀλλ' αὕτη ἡ ἀπόδειξις οὐκ ἔστιν ἰσχυρά· τὸ γὰρ ζητούμενον ὡς ὁμολογούμενον καὶ αὐτὴ λαμβάνει· ζητουμένου γὰρ, εἰ ἄρα τέχνη ἐστὶν ἡ ῥητορικὴ ἢ ἐπιστήμη, αὕτη τὸ ζητούμενον ὡς ὁμολογούμενον λαβοῦσα καὶ τέχνην αὐτὴν, περὶ λόγου δύναμιν εἰποῦσα ἐκ τούτου δείκνυσιν τέχνην τὴν ῥητορι-

92 Vind. πεῖσθαι. 93 Vind. διδάσκῃ.

κήν. ἰστέον δὲ ὡς ἐπιστήμην ἐνταῦθα τὴν ἀντιδιαστελλομένην τῇ τέχνῃ λαμβάνουσιν, οὐ τὴν ἑτέραν, ἥτις κοινῶς ἐπὶ πάσης τέχνης καὶ ἐπιστήμης λαμβάνεται· καὶ οὕτω μὲν ἐλέγχονται οἱ ἐπιστήμην τὴν ῥητορικὴν εἶναι βουλόμενοι· οἱ μέντοι ἐμπειρίαν αὐτὴν εἶναι λέγοντες φασίν,[94] ὅτι ἴδιον τῆς ἐμπειρίας ἡ τοῦ λόγου ἦγουν τῆς αἰτίας ἀπορία· ἀλλὰ καὶ τῆς ῥητορικῆς τοῦτό φασιν ἴδιον· οὐ γὰρ δύναται φυσικόν τινα λόγον εἰπεῖν ὁ ῥήτωρ, πόθεν οἱ δικασταὶ χαίρουσιν τοῖς προοιμίοις, ἢ ἄλλῳ τινὶ, ἄλλως τε δὲ καὶ πολλοὺς, φασὶν,[95] ἔχοιμεν ἂν δεῖξαι ἀπὸ τῆς παρατηρήσεως τῶν γραφέντων τοῖς παλαιοῖς ῥήτορσι λόγων, λόγους μὲν ποιοῦντας καὶ αὐτοὺς ῥητορικοὺς καὶ μεθόδους ἔχοντας, μὴ ἔχοντας δὲ εἰπεῖν αἰτίας τῶν μεθόδων· φαμὲν οὖν καὶ πρὸς τούτους, πρὸς μὲν τὸν πρῶτον αὐτῶν λόγον, ὅτι οἱ πάντας[96] τοὺς μὴ δυναμένους φυσικὸν λόγον ἀποδοῦναι τοῦ προκειμένου πράγματος, τούτους καὶ ἐμπειρίαν μόνην ἔχειν λέγομεν, οὐχὶ δὲ[97] καὶ τέχνην καὶ ἐπιστήμην, ἀλλὰ τοὺς ἁπλῶς λόγον ἦγουν αἰτίαν ἔχοντας ἀποδιδόναι· τὸ γὰρ περὶ τῶν φύσεων τῶν πραγμάτων φιλοσοφεῖν τοῦ φυσικοῦ ἂν εἴη δήπουθεν φιλοσόφου· ἐπειδὴ μηδεμία τέχνη ἢ ἐπιστήμη ἑαυτὴν δύναται συνορᾷν· αὐτίκα γοῦν ὁ γραμματικὸς, ὅτι μὲν διὰ τῶνδε γραπτέον, γινώσκει, πότερον δὲ δεῖ τόδε γράψαι ἢ μὴ, οὐκ οἶδε· ῥητορικῆς γὰρ ἂν εἴη τοῦτο πάλιν δεόμενον· οὕτως οὖν καὶ ῥητορική, ὅτι μὲν συμφέρει τῷ ῥητορεύοντι τὸ προοιμιάσασθαι οἶδε, τίνος δὲ χάριν οἱ ἀκροαταὶ τοῖς προοιμίοις χαίρουσιν, οὐκ αὐτῆς, ἀλλὰ τοῦ φυσικοῦ ἐστιν εἰπεῖν φιλοσόφου· πρὸς δὲ τὸν δεύτερον αὐτῶν λόγον φαμὲν, ὅτι ἀλλ' οὐδ' ἡμεῖς ἐκείνους λέγομεν ἔχειν

94 Laur. Vind. φησίν. 95 Vind. φησίν. 96 Vind. πάντις. Laur. πάντας. 97 δὲ Vind. om. Laur. habet.

τέχνην τὴν ῥητορικὴν, τοὺς ἐκ ψιλῆς παρατηρήσεως τῶν ῥητορικῶν λόγων λόγους ποιοῦντας ῥητορικούς· οὐδ' ἂν εἴποιμεν τὴν ἐνοῦσαν ταῖς ψυχαῖς αὐτῶν γνῶσιν τῶν ῥητορικῶν παρατηρημάτων τέχνην λογικὴν, ἀλλ' ἐμπειρίαν. τοὺς μέντοι τοὺς κανόνας ἀποδιδόντας τῶν γραφομένων, ἐκείνους λέγομεν ἔχειν τέχνην ῥητορικὴν, καὶ τὴν ἐνοῦσαν ταῖς ψυχαῖς αὐτῶν γνῶσιν τῶν ῥητορικῶν μεθόδων, τέχνην εἶναι ἀποφαινόμεθα· οὕτω μὲν οὖν καὶ διὰ τούτων ἐλέγχουσιν οἱ τέχνην τὴν ῥητορικὴν τιθέμενοι τοὺς ἐπιστήμην καὶ ἐμπειρίαν αὐτὴν εἶναι βουλομένους· ἴδωμεν δὲ εἰ δοκεῖ καὶ τὰ τοῦ Πλάτωνος, ὅς καὶ αὐτὸς ἐξευτελίζων τὴν ῥητορικὴν πολιτικῆς ἔφη ταύτην μορίου εἴδωλον· καὶ διὰ ποίαν αἰτίαν ὡρμήθη καὶ αὐτὸς διασύραι τὴν ῥητορικὴν, καὶ πόθεν ἐλέγχεται καὶ ταύτῃ μεμφόμενος. ἀλλὰ πρὸ [98] πάντων αὐταῖς λέξεσι τὰ τοῦ Πλάτωνος παραθήσομεν, ὡς ἂν εὐσύνοπτον ἡμῖν ἐνθένδε γένηται τὸ λεγόμενον.

ἘΚ ΤΟΥ ΓΟΡΓΙΟΥ ΠΛΑΤΩΝΟΣ. [1]

„Δοκεῖ τοίνυν, ὦ Γοργία, εἶναί τι ἐπιτήδευμα τεχνικὸν [2] μὲν οὔ, ψυχῆς δὲ στοχαστικῆς καὶ ἀνδρείας καὶ φύσει δεινῆς προσομιλεῖν τοῖς ἀνθρώποις, καλῶ δὲ ἐγὼ αὐτῶν τὸ κεφάλαιον κολακείαν. Ταύτης μοι δοκεῖ τῆς ἐπιτηδεύσεως πολλὰ μὲν καὶ ἄλλα μόρια εἶναι, ἓν δὲ καὶ ὀψοποιητική, ὃ δοκεῖ μὲν εἶναι τέχνη, ὡς δ' ὁ ἐμὸς λόγος, οὐκ ἔστι τέχνη, ἀλλ' ἐμπειρία καὶ τριβή. Ταύτης μόριον καὶ τὴν ῥητορικὴν καλῶ, καὶ τήν γε κομμωτικὴν καὶ τὴν σοφιστικὴν, τέτταρα ἐπὶ τέτταρσι πράγμασιν. Εἰ οὖν βούλεται Πῶλος ὅδε πυνθάνεσθαι, πυνθανέσθω·

---

98 Vind. πρός. 1 p. 463. A. Nonnulla ex Platone correxi.

2 Vind. τεχνικὸν, οὐ ψυχικῆς στοχαστ.

σθω. οὐ γάρ πω πέπυσται, ὁποῖόν φημι ἐγὼ τῆς κολακείας μόριον εἶναι τὴν ῥητορικήν, ἀλλ' αὐτὸν λέληθα οὔπω ἀποκρινόμενος· ὁ δὲ ἐπανερωτᾷ, εἰ οὐ καλὸν ἡγοῦμαι τὴν ῥητορικήν, πρὶν ἂν πρῶτον ἀποκρίνωμαι ὅτι ἐστίν· οὐ γὰρ δίκαιον, ὦ Πῶλε, ἀλλ' εἴπερ βούλει πυνθάνεσθαι, ἐρώτα, ὁποῖον μόριον τῆς κολακείας φημὶ τὴν ῥητορικήν. Πῶλος· ἐρωτῶ οὖν καὶ ἀπόκριναι, ὁποῖον μόριον. ἆρ' οὖν ἂν μάθοις[3] ἀποκρινομένου; ἔστι γὰρ ἡ ῥητορικὴ πολιτικῆς μορίου εἴδωλον. Πῶλος· τί οὖν; καλὸν ἢ αἰσχρὸν λέγεις αὐτὴν εἶναι; Σωκράτης· αἰσχρὸν ἔγωγε, τὰ γὰρ κακὰ αἰσχρὰ καλῶ. Γοργίας· μὰ τὸν Δία, ὦ Σώκρατες, ἀλλ' ἔγωγε οὐδ' αὐτὸς ξυνίημι ὃ λέγεις. Σωκράτης· εἰκότως γε, ὦ Γοργία. οὐδὲν γάρ πω σαφὲς λέγω. Πῶλος δὲ ὅδε νέος ἐστὶ καὶ ὀξύς. Γοργίας· ἀλλὰ τοῦτο μὲν ἔα. ἐμοὶ δὲ εἰπέ,[4] πῶς λέγεις πολιτικῆς μορίου εἴδωλον τὴν ῥητορικήν. Σωκράτης· ἀλλ' ἐγὼ πειράσομαι φράσαι, ὅ γέ μοι φαίνεται εἶναι ῥητορική. εἰ δὲ μὴ τυγχάνει ὂν τοῦτο, Πῶλος ὅδε ἐλέγξει. σῶμά που καλεῖς τι καὶ ψυχήν; Γοργίας· πῶς γὰρ οὔ; καὶ τούτων οἴει τινὰ εἶναι ἑκατέρου εὐεξίαν; Γοργίας· ἔγωγε. Σωκράτης· τί δὲ; δοκοῦσαν μὲν εὐεξίαν, οὖσαν δὲ οὔ; οἷον τοιόνδε λέγω· πολλοὶ δοκοῦσιν εὖ ἔχειν τὰ σώματα, οὓς[5] οὐκ ἂν ῥᾳδίως αἴσθοιτό τις, ὡς οὐκ εὖ ἔχουσιν, ἄλλος[6] ἢ ἰατρός τε καὶ τῶν γυμναστικῶν τις. Γοργίας· ἀληθῆ λέγεις. Σωκράτης·[7] τὸ τοιοῦτον λέγω καὶ ἐν σώματι εἶναι, ὃ καὶ ἐν ψυχῇ, ὃ ποιεῖ μὲν εὖ ἔχειν τὸ σῶμα καὶ τὴν ψυχήν, ἔχει δὲ οὐδὲν μᾶλλον. φέρε δέ σοι ἐὰν δύνωμαι σαφέστερον ἐπιδεῖξω, ὃ λέγω. δυοῖν ὄντων πραγμάτων δύο τέχνας λέγω· τὴν μὲν οὖν ἐπὶ τῇ ψυχῇ πολιτικὴν καλῶ, τὴν δὲ ἐπὶ τῷ σώματι μίαν μὲν

3 Vind. ἆρ' οὖν μάθῃς. 4 εἰπὲ Laur. εἰ περὶ Vind.
5 Vind. ὡς. 6 Vind. ἀλλ' ἤ. 7 Σωκρ. Vind. om.

οὕτως ὀνομάσαι οὐκ ἔχω σοι. μιᾶς δὲ οὔσης τῆς τοῦ σώματος θεραπείας δύο μόρια λέγω, τὴν μὲν γυμναστικὴν, τὴν δὲ ἰατρικήν. τῆς δὲ πολιτικῆς ἀντίστροφον μὲν τῇ γυμναστικῇ τὴν νομοθετικήν, ἀντίστροφον δὲ τῇ ἰατρικῇ τὴν δικαστικήν. ἐπικοινωνοῦσι δὲ ἀλλήλαις, ἅτε περὶ τὸ αὐτὸ οὖσα ἑκατέρα τούτων, ἥ τε ἰατρικὴ τῇ γυμναστικῇ, καὶ ἡ δικαστικὴ τῇ νομοθετικῇ· ὅμως δὲ διαφέρουσιν ἀλλήλων. τεττάρων δὴ τούτων[8] οὐσῶν, καὶ ἀεὶ πρὸς τὸ βέλτιον θεραπευουσῶν, τῶν μὲν τὸ σῶμα, τῶν δὲ τὴν ψυχὴν, ἡ κολακευτικὴ αἰσθομένη, οὐ γνοῦσα λέγω, ἀλλὰ στοχασαμένη, τέτραχα ἑαυτὴν διανείμασα, ὑποδῦσα ἕκαστον τῶν μορίων προσποιεῖται εἶναι τοιοῦτον ὅπερ ὑπέδυ. καὶ τοῦ μὲν βελτίστου οὐδὲν φροντίζει, τῷ δὲ ἡδίστῳ θηρεύει τὴν ἄνοιαν καὶ ἐξαπατᾷ· ὥστε δοκεῖν πλείστου[9] ἀξίαν εἶναι. ὑπὸ μὲν οὖν τὴν ἰατρικὴν ἡ ὀψοποιητικὴ ὑποδέδυκε, καὶ προσποιεῖται τὰ βέλτιστα σιτία σώματι εἰδέναι, κολακείαν μὲν οὖν αὐτὴν καλῶ καὶ αἰσχρόν φημι τὸ τοιοῦτον εἶναι, ὦ Πῶλε. τοῦτο γὰρ πρὸς σὲ λέγω, ὅτι τοῦ ἡδέος στοχάζεται ἄνευ τοῦ βελτίστου· τέχνην δὲ αὐτὴν οὔ φημι εἶναι ἀλλ' ἐμπειρίαν, ὅτι οὐκ ἔχει λόγον οὐδένα ὧν προσφέρει, ὁποῖα ἄλλα τὴν φύσιν ἐστὶν, ὥστε τὴν αἰτίαν ἑκάστου μὴ ἔχειν εἰπεῖν· ἐγὼ δὲ τέχνην οὐ καλῶ, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα. Τούτων δὲ πέρι, εἰ ἀμφισβητεῖς, ἐθέλω ὑποσχεῖν λόγον· τῇ μὲν οὖν ἰατρικῇ, ὥσπερ λέγω, ἡ ὀψοποιητικὴ κολακεία ὑπόκειται, τῇ δὲ γυμναστικῇ κατὰ τὸν αὐτὸν τρόπον ἡ κομμωτικὴ, κακοῦργος καὶ ἀπατηλὴ καὶ ἀγεννὴς καὶ ἀνελεύθερος, σχήμασι καὶ χρώμασι καὶ λειότησι καὶ ἐσθῆτι ἀπατῶσα, ὥστε ποιεῖν ἀλλότριον κάλλος, ἐφελκομένη

---

8 Haec et Sqq. paucis immutatis recepit in Prolegomena sua auctor anonymus Rh. Gr. T. V. p. 605. 9 Vind. πλείστην. Laur. πλείστου.

τοῦ οἰκείου διὰ γυμναστικῆς ἀμελεῖν. Ἵνα οὖν μὴ μακρολογῶ, ἐθέλω σοι εἰπεῖν, ὥσπερ οἱ γεωμέτραι, ἤδη γὰρ ἂν ἴσως ἀκολουθήσαις, ὅτι ὃ κομμωτικὴ πρὸς γυμναστικήν, τοῦτο σοφιστικὴ πρὸς νομοθετικήν, καὶ ὃ πρὸς ἰατρικὴν ὀψοποιητική, τοῦτο ῥητορικὴ πρὸς δικαστικήν." — Τὴν μὲν οὖν τῶν λεγομένων ἔννοιαν δι' αὐτῶν τῶν τοῦ Πλάτωνος φανερὰν οἶμαι γενέσθαι· ἴδωμεν δὲ τὴν αἰτίαν, δι' ἣν πρὸς τὴν ταύτης ὁ φιλόσοφος ὡρμήθη κατηγορίαν. Τινὲς μὲν οὖν φασιν, ὅτι διὰ τὸ τὴν μὲν ἑαυτοῦ διατριβὴν ἀποκενουμένην ἤδη ὁρᾷν, τὴν δὲ τῶν ῥητόρων αὐξανομένην· ἕτεροι δέ φασιν, ὅτι τὸν ἥττω λόγον κάνταῦθα γυμνάζων τοῦτο πεποίηκεν· ὃ καὶ αὐτὸ τῆς ῥητορικῆς ἔργον ἐστὶν, ὡς ἐν τῷ περὶ τῶν στάσεων βιβλίῳ ἐν τῷ περὶ ἑτεροῤῥέποῦς λόγῳ μανθάνομεν. Λείπεται λοιπὸν καὶ τῶν τοῦ Πλάτωνος λόγων ἐπαγαγεῖν τὸν ἔλεγχον. Ἐλέγχεται μὲν δὴ συκοφαντῶν καὶ μάτην ἐκφαυλίζων τὴν ῥητορικὴν ἐκ τοῦ ταύτην ἀσπάζεσθαι καὶ φιλοτιμεῖσθαι ταύτῃ μᾶλλον τῶν ἄλλων, ἥπερ τοῖς λοιποῖς· προσέτι γε μὴν καὶ ἐκ τοῦ ταῖς ῥητορικαῖς χρῆσθαι μεθόδοις τὴν ῥητορικὴν διαβάλλων, ἔτι δὲ καὶ ἐξ ἑτέρων πολλῶν, ἃ τοὺς ὑπὲρ ῥητορικῆς τοῦ Ἀριστείδου λόγους μετιόντες εὑρήσομεν. Λύται μὲν οὖν αἱ κατὰ τῆς λέξεως φερόμεναι ἀπορίαι τῆς ἀντὶ γένους τεθειμένης ἐν τῷ ὁρισμῷ τῷ λέγοντι τὴν ῥητορικὴν τέχνην περὶ λόγου δύναμιν ἐν πράγματι πολιτικῷ τέλος ἔχουσαν τὸ πιθανῶς εἰπεῖν κατὰ τὸ ἐνδεχόμενον, καὶ αἱ τῶν ἀπορημάτων λύσεις· ἴδωμεν δὲ καὶ τὰ πρὸς τὰ ἐφεξῆς τῶν ἐν τῷ ὁρισμῷ ἀπορούμενα. Ζητοῦσι δή τινες, περὶ ποίου λόγου δύναμιν ὁρᾶται ἡ ῥητορικὴ, καὶ ἀπὸ ποίου λόγου λογικὴ τέχνη αὕτη λέγεται· ἀλλὰ πρὸ τοῦ τῆς ζητήσεως ταύτης τὴν λύσιν ἐπαγαγεῖν ἁρμόδιον τὰ σημαινόμενα τοῦ λόγου καταριθμήσασθαι· ἔστι γὰρ ὁμώνυμος φωνὴ ὁ λόγος, εἶθ' οὕτω περὶ ποῖα τῶν σημαινομένων ἡ ῥη-

τορικὴ καταγίνεται παραστῆσαι. Ὁ τοίνυν λόγος ἐστὶ διττὸς, ὅ τε δημιουργικὸς καὶ ὁ καθ' ἡμᾶς. καὶ περὶ μὲν τοῦ δημιουργικοῦ οὐδεὶς ἡμῖν λόγος καλῶς τοῖς φιλοσόφοις εἰρημένου, τί μὲν γάρ ἐστι τὸ θεῖον οὐκ ἴσμεν, τί δ' οὐκ ἔστιν ἐπιστάμεθα· ἐξ ἀποφάσεως γὰρ, οὐκ ἐκ καταφάσεως τὰ τοῦ θείου γινώσκομεν. ὁ δὲ καθ' ἡμᾶς λόγος διττός ἐστιν, ὅ τε ἐνδιάθετος, καθ' ὃν βουλευόμεθα, καὶ ὁ προφορικὸς[10], καθ' ὃν φθεγγόμεθα· ὁρίζονται δὲ τὸν μὲν ἐνδιάθετον, ἔννοιαν ἀνθρωπίνην καθ' ἣν ἡμῖν περιγίνεται τὸ τί χρὴ λέγειν, ἢ τί χρὴ πράττειν, τὴν μὲν ἔννοιαν ἀντὶ γένους λαμβάνοντας, τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν. τινὲς δὲ καὶ οὕτως αὐτὴν ὁρίζονται· ἐνδιάθετός ἐστι λόγος ἕξις ψυχῆς ἀνθρώπου, καθ' ἣν λογικοί ἐσμεν. τὴν μὲν ἕξιν ὡς γένος τιθέντες· ἔχει γὰρ πάντα ζῶα ἕξιν τινὰ φυσικήν. ἐπειδὴ δέ ἐστιν καὶ σώματος ἕξις ἢ ἰσχύος ἢ εἴδους ἤ τινος τοιούτου, προσέθηκαν ψυχῆς· καὶ ἀποδιϊστῶντες τῶν ἀλόγων ζώων, κἀκεῖνα γὰρ ἔχει ψυχῆς ἕξιν, ὡς θυμικὸς μὲν ὁ λέων, νωθρὸς δὲ ὁ ὄνος, προσέθηκαν, καθ' ἣν λογικοί ἐσμεν, τὸ ἴδιον τοῦ ἀνθρώπου διοριζόμενοι. Τὸν δὲ προφορικὸν ὁρίζονται οὕτως· προφορικός ἐστι λόγος δήλωσις ἐννοίας ἀνθρώπου διὰ φωνῆς ἐνάρθρου, τὴν μὲν δήλωσιν γένος ἡγούμενοι, ἐπειδὴ καὶ πραγμάτων ἐστὶ δήλωσις, προσθέντες τὸ ἐννοίας ἀνθρώπου, καὶ ἐπειδή ἐστι πάλιν ἀνθρώπου ἐννοίας δήλωσις καὶ δι' ὀρχήσεως, τὸ διὰ φωνῆς προσθέντες. ἵν' οὖν καὶ ἀπὸ τῶν ἀσημάντων φωνῶν τὸν προφορικὸν διαστείλωσι λόγον, καὶ στενάζων γάρ τις καὶ καγχάζων δηλοῖ τὴν ἑαυτοῦ ἔννοιαν διὰ φωνῆς, ἀλλ' οὐκ ἀσημάντου, προσέθηκαν τὸ ἐνάρθρου. Ἔστι δὲ καὶ πρῶτος τῇ φύσει ὁ ἐνδιάθετος τοῦ προφορικοῦ, ἐπεὶ καὶ συναναιρεῖ αὐτὸν, οὐ συναναιρεῖται δέ·

10 Vind. προφητικὸς.

ὁ μὲν γὰρ ἐνδιάθετος χωρὶς τοῦ προφορικοῦ δύναται συστῆναι, ὁ δὲ προφορικὸς χωρὶς αὐτοῦ συστῆναι οὐ δύναται. πρῶτα δὲ τῇ φύσει ἀεὶ λέγεται εἶναι τὰ συναναιροῦντα καὶ μὴ συναναιρούμενα. τούτῳ γὰρ τῷ λόγῳ καὶ τὸ ζῶον πρῶτον λέγεται τοῦ ἀνθρώπου, ἐπειδὴ ἀναιρούμενον τὸ ζῶον συναναιρεῖ τὸν ἄνθρωπον· ζώου γὰρ μὴ ὄντος,[11] οὐδὲ ἄνθρωπός ἐστιν· ὁ δὲ ἄνθρωπος ἀναιρούμενος οὐ συναναιρεῖ τὸ ζῶον· δύναται γὰρ εἶναι τὸ ζῶον καὶ ἀνθρώπου μὴ ὄντος· ἀλλ' ἵνα πρὸς τὸ ἐξ ἀρχῆς ἐπανέλθωμεν, τοσούτων τῶν σημαινομένων ὄντων τοῦ λόγου, ζητεῖται ἀπὸ ποίου τούτων λογικὴ τέχνη παρωνόμασται ἡ ῥητορική, ἀπὸ τοῦ προφορικοῦ ἢ τοῦ ἐνδιαθέτου, ὅθεν καὶ ὁ ἄνθρωπος λέγεται λογικός· κατὰ γὰρ τὸν ἐνδιάθετον πάντες ἡμεῖς λεγόμεθα λογικοί· εἰ γε καὶ καθεύδοντες καὶ σιωπῶντες λογικοὶ λεγόμεθα· καὶ ὁ Πυθαγόρας δὲ λογικὸς ἐλέγετο τοσοῦτον χρόνον σιωπὴν ἀσκήσας. Φαμὲν οὖν ὅτι ἑκατέρωθεν ἡ ῥητορικὴ λογικὴ τέχνη λέγεται, ἀπό τε τοῦ προφορικοῦ καὶ τοῦ ἐνδιαθέτου· ἀπὸ μὲν τοῦ ἐνδιαθέτου, καθὸ κοσμεῖ αὐτὸν κατὰ τὴν εὕρεσιν τῶν ἐπιχειρημάτων καὶ τῶν νοημάτων· εἴγε ὁ ἐνδιάθετος τὴν τούτων ἐκλήρωσεν εὕρεσιν· ἀπὸ δὲ τοῦ προφορικοῦ, καθὸ καὶ αὐτὸν κοσμεῖ, χαριζομένη τὸ εὐφραδῶς καὶ εὐρύθμως λέγειν. εἴπερ καὶ αὐτὸς τὴν τῶν λέξεων συνθήκην καὶ εὐρυθμίαν ἐκλήρωσεν· τὸν αὐτὸν δὲ τοῦτον λόγον κοσμεῖ καὶ ἡ γραμματική, τὸ ἄπταιστον αὐτῷ παρέχουσα· δι' ἧς τοὺς βαρβαρισμοὺς καὶ σολοικισμοὺς ἐκφεύγομεν. Ἐν πράγματι πολιτικῷ· καὶ τούτῳ μέμφονταί τινες, οὐκ ἔδει γάρ, φασίν,[12] ἐν πράγματι πολιτικῷ εἰρῆσθαι, ἀλλὰ καὶ παντὶ ἰατρικῷ καὶ φυσικῷ καὶ μαθηματικῷ καὶ ἁπλῶς ἐν

11 Laur. ζώου γὰρ μὴ ὄντος Vind. ζῶον γὰρ μὴ ὄντως.
12 Vind. φησὶν, Laur. φασὶν.

ὕλοις τοῖς διὰ λόγων λεγομένοις· ταῦτα γὰρ πάντα παραλαβὼν ὁ ῥήτωρ καὶ τάξει καὶ ἑρμηνεύσει καὶ οἰκονομήσει κατὰ τὸ προσῆκον· ἡμεῖς δέ φαμεν, ὡς ἰδιαίτατον τοῦτο ῥήτορος ἐνταῦθα παραλαμβάνεται. μόνου γὰρ ῥήτορος τὸ περὶ τῶν πολιτικῶν διαλέγεσθαι. Ἀλλ' [13] ἐπειδὴ τὴν μὲν περὶ τοῦ, εἰ ἔστι ῥητορικὴ, ζήτησιν ἐξετάζοντες [14] οὖσαν τὴν ῥητορικὴν ἀπεδείξαμεν, καὶ τὴν περὶ τοῦ τί ἐστι πάλιν ζητοῦντες τὸν αὐτῆς ὅρον ἀποδεδώκαμεν, ὡς παρὰ τοῦτο καὶ τὸ, ὁποῖον τί ἐστι ῥητορικὴ, ἀποδεδεῖχθαι, [15] ἰτέον λοιπὸν καὶ ἐπὶ τὸ τέταρτον τῶν ζητουμένων, ὅπερ δὴ καὶ μόνον ἀνεξέταστον ἀπολέλειπται· [16] ἔστι δὲ τοῦτο τὸ διά τί ἐστι; Ζητητέον τοίνυν, διὰ τί ἐστι ῥητορική; φαμὲν δὴ ὅτι δι' ἐκεῖνά ἐστιν ἡ ῥητορικὴ [17] τὰ ὄντως θεῖα καὶ θαυμαστὰ, καὶ δι' ὧν τὸν θεὸν αὐτὸν μιμεῖσθαι πεπλουτήκαμεν, [18] φημὶ δὴ διὰ τὸ τῶν καλῶν [19] προτρέπειν ἀντέχεσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι. ἔτι διὰ τὸ τοὺς μὲν φαύλους τιμωρεῖν, τοὺς δὲ ἀγαθοὺς στεφανοῦν· πρόσεπι τούτοις καὶ διὰ τὸ τοὺς μὲν πονηροὺς ψόγων ἀξιοῦν, τοὺς δὲ χρηστοὺς ἐγκωμίων. [20]

Εἰπόντες οὖν πρῶτον τίνα τὰ ἔργα τῆς ῥητορικῆς καὶ τί τὸ τέλος αὐτῆς καὶ πόθεν παρωνόμασται ῥητο-

---

13 h. l. Continuatur Matr. Ambr. 2. 14 Matr. διεξάγοντος. 15 Matr. συναποδεδεῖχθαι, ἰστέον λοιπὸν ἐπὶ τὸ τέτ. Vind. τὸ om. 16 Matr. ὑπολείπεται. et v. 13. φαμὲν δέ. 17 Ambr. 2. διὰ repetit post ῥητορική. 18 Vind. πεπλούτηκεν. Matr. Ambr. 2. πεπλουτήκαμεν. 19 Ambr. 2. τῶν μὲν ἄλλων, Matr. τῶν μὲν καλῶν. 20 Parr. 1. 2. 3. Ambr. 2. sectione: ἀλλ' ἐπειδὴ τὴν μὲν usque ad: τοὺς δὲ χρηστοὺς ἐγκωμίων; finita inferunt Cap. περὶ τῶν τῆς ῥητορικῆς προοιμίων. Οἱ τὴν ἡμετέραν τέχνην διακοσμήσαντες quae Vol. VI. p. 4—30 continentur. Trophonins etiam iisdem in verbis excerpta sua finit.

ρικὴ, ζητήσωμεν τὰ εἰωθότα ζητεῖσθαι κεφάλαια πρὸ παντὸς τεχνικοῦ συγγράμματος. Ἔργα μὲν οὖν ἐστι τὸ ζητεῖν, εἰ ῥητορικόν ἐστι τὸ πρόβλημα, ἢ οὔ· ἔστι γάρ τινα καὶ ἰατρικὰ ζητήματα, ὡς ὅτε ζητεῖται, διὰ τί τὰ μὲν ἑπτάμηνα βρέφη ζῶσι, τὰ δὲ ὀκτάμηνα οὔ· καὶ φιλόσοφα πάλιν ὡς ὅτε ζητεῖται, εἰ ὁ οὐρανὸς σφαιροειδῶς κινεῖται· δέον οὖν ζητῆσαι εἰ ῥητορικόν ἐστι τὸ πρόβλημα ἢ οὔ, καὶ εἰ ῥητορικὸν συνίσταται ἢ οὔ· πολλὰ γάρ εἰσι δοκοῦντα μὲν συνίστασθαι, οὐ συνίστανται δὲ, καὶ εἰ συνίσταται, ποίας ἄρα στάσεως, στοχασμοῦ ἢ ὅρου, ἢ ἀντιλήψεως· εἶτα μετὰ τὸ νοῆσαι ταῦτα προοιμιάσασθαι, κατὰ τοὺς ἁρμόζοντας τῷ προβλήματι τῶν προοιμίων τρόπους, διηγήσασθαι, ἀγωνίσασθαι τὰ ἁρμόζοντα κεφάλαια εὑρόντα καὶ τὰς κατασκευὰς τοῦ καθέκαστον τῶν κεφαλαίων, πρὸς τούτοις ἐπιλογίσασθαι. Τούτων δέ φασιν εὑρετὴν πρῶτον γενέσθαι τὸν Κόρακα, ἄρτι τὸν δῆμον ἐκ τῆς ἀγρίου τυραννίδος ἐκείνης παραλαβόντα καὶ συγκεχυμένον εὑρόντα, καὶ ἵνα μὲν τὸ θορυβοῦν παύσῃ καὶ πείσῃ προσέχειν, τοὺς τῶν προοιμίων τόπους ἐπινοήσαντα· ἵνα δὲ καὶ περὶ τοῦ πράγματος σαφῶς διδάξῃ, καὶ πιθανῶς καὶ συντόμως τὴν διήγησιν ἐπικατανοήσαντα· ἵνα δὲ καὶ περὶ ὧν βούλεται πείσῃ καὶ ἀποτρέψῃ, τοῖς ἀγῶσι χρησάμενον· ἵνα δὲ καὶ τῶν καιριωτέρων ἀναμνήσῃ, πληρώσῃ δὲ καὶ πάθους τοὺς δικαστὰς ἢ τοὺς βουλευτὰς, καὶ τοὺς ἐπιλόγους καταστησάμενον. Τινὲς δέ φασιν ἔργα τῆς ῥητορικῆς εἶναι τὸ προοιμιάσασθαι πρὸς εὔνοιαν ἢ προσοχὴν ἢ εὐμάθειαν, τὸ διηγήσασθαι πρὸς σαφήνειαν, τὸ πρὸς πίστιν ἀγωνίσασθαι, τὸ πρὸς ἀνάμνησιν ἐπιλογίσασθαι, καὶ μέμφεται ὁ Γεωμέτρης ὡς τἄλλα ἠγνοηκόσιν, ὅσα κἂν τοῖς προοιμίοις κἂν ταῖς διηγήσεσι καὶ τοῖς ἄλλοις

---

21 Vind. ἢ. scr. εἰ.

τοῖς τεχνίταις ἐπινενόηται, καὶ ταῦτα μὲν ἔργα τῆς ῥητορικῆς· τέλος δὲ οὐ τὸ πεῖσαι, ἀλλὰ τὸ πιθανῶς εἰπεῖν, μηδὲν τῶν ἐνδεχομένων παραλιπόντα· ἄλλοι δὲ λέγουσιν, ὅτι τέλος ἐστὶ τῆς ῥητορικῆς ἡ πειθώ· ἡ δὲ πίστις ὄργανον· ὡς γὰρ ἄλλο, φασίν, ἔστι θέμα καὶ ἄλλο θεματικὴ, οὕτω καὶ ἄλλο πίστις καὶ ἄλλο πειστικόν· Ῥητορικὴ δὲ λέγεται ἤτοι ἀπὸ τοῦ ῥύδην ἤγουν ἀφθόνως λέγειν, ἢ καὶ ἀπὸ τοῦ συνηγορεῖν τοῖς νόμοις, ῥήτρας γὰρ ἐκάλουν οἱ παλαιοὶ τοὺς νόμους.

Ἔλθωμεν οὖν[22] λοιπὸν καὶ ἐπὶ τὴν τῶν πολυθρυλήτων κεφαλαίων ζήτησιν, ὀκτὼ τὸν ἀριθμὸν, ὥς φασι, τυγχάνοντων. ἔστι δὲ ταῦτα· ὁ σκοπὸς, τὸ χρήσιμον, τὸ γνήσιον, ἡ τάξις τῆς ἀναγνώσεως, ἡ αἰτία τῆς ἐπιγραφῆς, ἡ εἰς τὰ μέρη[23] διαίρεσις, ὁ διδασκαλικὸς τρόπος, καὶ ἡ ὑπό[24] τι μέρος ἀναφορά, ἥτις ἐν τοῖς κατὰ φιλοσοφίαν ὡς ἐπὶ τὸ πολὺ εἴωθε ζητεῖσθαι συγγράμμασι, καὶ[25] διατὶ προτετίμηται τῶν ἄλλων ὁ Ἀφθόνιος τῶν περὶ ῥητορικῶν προγυμνασμάτων διαλαβόντων.[26] Ἔλθωμεν δὴ ἐπὶ τὸ πρῶτον κεφάλαιον, τὸ δὲ

---

22 Codd. Parisienses et Ambr. 2. Prolegomenis: *περὶ τῶν τῆς ῥητορικῆς προοιμίων* haec ita subjungunt: *ζητητέον καὶ* (Par. 3. Ambr. 2. *καὶ* om.) *ἐπὶ τῆς ῥητορικῆς τὰ ὀκτὼ κεφάλαια. εἰσὶ δὲ ταῦτα, ὁ σκοπός.* Iisdem verbis incipiunt *Προλεγόμενα τῆς ῥητορικῆς* in Codd. Taur. LXXVII. 23 Ambr. 2. *μόρια.* 24 Taur. *καὶ ἡ ὑπό τ. μερ. ἀναφορά.* Vind. *καὶ ἀντὶ τῆς ὑ. τ. μ. ἀναφορᾶς.* 25 Taur. *καί.* Parr. om. Vind. *τὸ.* 26 Post *διαλαβόντων* sequitur in Par. Taur. et Ambr. 2. *Ἀπορῶμεν, πῶς δεκατεσσάμων ὄντων τῶν προγυμνασμάτων — — — — πλειόνων ὄντων τῶν προγυμνασμάτων* quae in nostro commentario aliquot foliis interjectis continentur. Omissis deinde verbis *Ἔλθωμεν δὴ* usque ad *ἦν ὁ σκοπὸς*, pergunt: *Σκοπὸς ἐστὶ τῷ Ἀφθ. ἐν τῇ τῶν προγ. — — λόγου μέρη.* Sqq. *τίνα δὲ εἰσι* omittunt usque ad *ἡ τοίνυν ῥητορικὴ διαιρεῖται.*

ἦν ὁ σκοπός· σκοπὸς τοίνυν ἐστὶ τῷ Ἀφθονίῳ τῇ τῶν προγυμνασμάτων ὑποθέσει προασκῆσαι καὶ προεθίσαι ἡμᾶς εἰς τὰ κατὰ τὴν ῥητορικὴν εἴδη καὶ μέρη, ἔτι δὲ καὶ εἰς τὰ τοῦ πολιτικοῦ λόγου μέρη. Τίνα δέ εἰσι τὰ κατὰ τὴν ῥητορικὴν εἴδη καὶ μέρη καὶ τίνα τὰ τοῦ πολιτικοῦ λόγου μέρη, ὀφείλομεν πρῶτον μαθεῖν, εἶθ' οὕτως ζητῆσαι, πῶς διὰ τῶν προγυμνασμάτων εἰς τὰ τοιαῦτα προγυμναζόμεθα καὶ παιδευόμεθα. Ὡς ἂν δὲ ἀκριβέστερον, τίνα τὰ τῆς ῥητορικῆς εἴδη καὶ μέρη, συνίδωμεν, ἄνωθέν ποθεν περὶ διαιρέσεως ἀρξόμεθα. Ἡ ποιότης ἐστὶ καὶ αὐτὴ γενικώτατον γένος, ὑπὸ δὲ ταύτην ἐστὶν ἕξις καὶ διάθεσις, ὑπὸ δὲ τὴν ἕξιν ἐπιστήμη καὶ ἀρετή, ὑπὸ δὲ τὴν ἐπιστήμην τέχνη καὶ ὁμώνυμος τῷ γένει ἐπιστήμη, ὑπὸ δὲ τὴν τέχνην λογικὴ τέχνη καὶ πρακτική· ἡ οὖν λογικὴ τέχνη ἢ περὶ λόγους καὶ πνεύματα καταγίνεται καὶ τοιαῦτά τινα, καὶ ποιεῖ τὴν γραμματικήν, ἢ περὶ πολιτικοῦ πράγματος, καὶ ποιεῖ τὴν ῥητορικήν, ἢ περὶ πάντα ἐπίσης καὶ ποιεῖ τὴν διαλεκτικήν. Ἡ τοίνυν ῥητορικὴ διαιρεῖται εἰς εἴδη τρία, εἰς τὸ συμβουλευτικόν, εἰς τὸ δικανικὸν καὶ εἰς τὸ πανηγυρικόν. ἐπειδὴ καὶ οἱ ἀκροαταὶ ἢ δικασόμενοι [27] συνεληλύθασιν ἢ συμβουλευσόμενοι ἢ πανηγυρίσοντες. Ἄλλως τε δὲ ἔδει τὴν ῥητορικὴν συνελθοῦσαν τῇ τοῦ [28] ἀνθρώπου ψυχῇ εἰς ἀναλογοῦντα διαιρεθῆναι τοῖς μέρεσι τῆς ψυχῆς. Ἔστι δὲ μέρη τῆς ψυχῆς λογικόν, θυμικὸν καὶ [29] ἐπιθυμητικόν· ἀναλογεῖ οὖν τῷ μὲν λογικῷ τὸ συμβουλευτικόν· ὥσπερ γὰρ ὁ λόγος ἐστὶν ἐν ἡμῖν διὰ τὸ κυβερνᾶν ἡμᾶς ἐπὶ τὰ χρηστά, οὕτω καὶ τὸ συμβουλευτικὸν ἀπὸ μὲν τῶν ἀχρήστων ἀποτρέπει ἡμᾶς, εἰς δὲ τὰ χρηστὰ διεγείρει· τῷ δὲ θυμικῷ [30] ἀναλογεῖ τὸ δικανικόν· φασὶ

27 Taur. et Ambr. 2. ἢ δικασόμενοι. Vind. οἱ δικασθησόμενοι. 28 τοῦ Taur. om. 29 καὶ Ambr. 2. om. 30 Taur. θυμῷ.

γὰρ εἶναι θυμὸν ζέσιν τοῦ περικαρδίου αἵματος πρὸς [31] ὄρεξιν ἀντιλυπήσεως· ὁμοίως δὲ καὶ τὸ δικανικόν ἐστιν·

Ἄνδρ' ἐπαμύνασθαι [32] ὅτε τις πρότερος χαλεπήνῃ·

τὸ δὲ πανηγυρικὸν ἀναλογεῖ τῇ ἐπιθυμίᾳ· ἡ γὰρ ἐπιθυμία τέλος ἔχει τὸ καλόν. [33] Ἕκαστον δὲ τούτων τῶν εἰδῶν πάλιν διαιρεῖται εἰς μέρη δύο· τό τε [34] γὰρ συμβουλευτικὸν εἰς προτροπὴν καὶ ἀποτροπήν, καὶ τὸ δικανικὸν εἰς κατηγορίαν καὶ ἀπολογίαν, καὶ τὸ πανηγυρικὸν εἰς ἐγκώμιον καὶ ψόγον· [1] τοῦτο δέ φασιν διοίσειν μέρος εἴδους, τῷ τὸ μὲν εἶδος ἀποτελεῖν ὁλόκληρον ῥήτορα, τὸ δὲ μέρος οὐδαμῶς· ὅστις μὲν γὰρ οἶδε τὸ συμβουλεύειν, μὴ μέντοιγε καὶ τὸ δικάζεσθαι καὶ τὸ πανηγυρίζειν, οὗτος [2] ῥήτωρ ἐστὶν, ὥσπερ καὶ Θηραμένης, ὁ καὶ κόθορνος ἐπονομασθείς, ἤτοι ἀπὸ τοῦ ἐπιτηδείως ἔχειν πρὸς τὸ προτρέπειν καὶ ἀποτρέπειν τῆς τοιαύτης τυχὼν προσηγορίας, ἢ διὰ τὸ πρὸς ἀλήθειαν καὶ ψεῦδος ἑτοιμότατος εἶναι, ἀπὸ μεταφορᾶς τοῦ ὑποδήματος τοῦ ἀμφοτέροις ἁρμόζοντος τοῖς ποσίν· οὗτος γὰρ ὁ Θηραμένης συμβουλεύειν μόνον εἰδὼς ῥήτωρ καὶ αὐτὸς ὠνομάζετο. Γοργίας τε πανηγυρίζειν μόνον εἰδὼς ῥήτωρ καὶ αὐτὸς ἤκουεν· ὡς γὰρ ὁλόκληρον εἶδος ἀνθρώπου ἐπί τινα λίθον ἢ χαλκὸν εἰ ἐπιτεθείη, εἶδος ἀνθρώπου λέγομεν ἀποσώζειν τὸν ἀνδριάντα, ἐὰν δὲ μέρος ἀνθρώπου ἐπί τινα λίθον ἢ χαλκὸν ἐπιθῶμεν, οἷον κεφαλὴν ἢ χεῖρα ἢ πόδα, οὐ λέγομεν τὸν χαλκὸν ἅπαν εἰληφέναι τὸ εἶδος, ἀλλὰ μέρος αὐτοῦ, οὕτω καὶ εἰ μέν ἔν τι τῶν μερῶν ἀσκεῖται ὁ ῥήτωρ, οὐκ ἂν λεχθείη ῥήτωρ, εἰ δὲ ἓν τῶν εἰδῶν ἀσκήσει, ἐξ ἀνάγκης ῥήτωρ ῥήτωρ ἐστίν. Εἰσὶ δὲ

---

31 Taur. δι'. 32 Il. τ, 183. 33 Taur. κακόν. 34 τε Ambr. 2. om. 1 Post ψόγον Ambr. 2. et Taur. reliqua om. usque ad: τοῦ δὲ πολιτικοῦ λόγου μέρη εἰσί. 2 Taur. οὗτος. Vind. οὕτως.

πάλιν οἳ τὸ συμβουλευτικὸν οὐχ ὡς εἰς μέρη διαιροῦσιν, εἰς τὴν προτροπὴν καὶ ἀποτροπήν, ἀλλ' ὡς εἰς εἴδη εἰδικώτατον· διαιροῦνται γὰρ ταῦτα πάλιν, φασὶν,[3] ἡ μὲν προτροπὴ εἰς τὰς κατὰ μέρος προτρεπτικὰς ὑποθέσεις. τὸν αὐτὸν δὲ τρόπον καὶ τὸ δικανικὸν καὶ τὸ πανηγυρικὸν ὡς εἴδη εἰδικώτατα καὶ αὐτὰ διαιροῦνται· τὸ μὲν δικανικὸν εἰς κατηγορίαν καὶ ἀπολογίαν, τὸ δὲ πανηγυρικὸν εἰς ἐγκώμιον καὶ ψόγον, διαιρεῖται γὰρ, φασὶ, καὶ ἡ κατηγορία εἰς τὰς κατὰ μέρος κατηγορίας· καὶ ἡ ἀπολογία εἰς τὰς κατὰ μέρος ἀπολογίας· καὶ τὸ ἐγκώμιον εἰς τὰ μερικὰ ἐγκώμια· καὶ ὁ ψόγος ὁμοίως εἰς τοὺς κατὰ μέρος ψόγους. Ὁ μέντοι Γεωμέτρης οὐχ ὡς γένος εἰς εἴδη τὴν ῥητορικὴν φησι διαιρεῖσθαι, εἴς τε δικανικὸν, συμβουλευτικὸν καὶ πανηγυρικὸν, διὰ τὸ ἐν αὐτοῖς εἶναί τι πρῶτον καὶ δεύτερον, ὡς δειχθήσεται, τῶν εἰδῶν ὁμοτίμων ὀφειλόντων εἶναι, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. Ἀλλὰ ταῦτα μέν εἰσιν, ὡς τοῖς ἐπιστατικωτέροις τῶν διδασκάλων δοκεῖ, τὰ κατὰ ῥητορικὴν εἴδη καὶ μέρη. Τοῦ δὲ πολιτικοῦ λόγου μέρη εἰσὶ τέσσαρα, προοίμια, διηγήσεις, ἀγῶνες, καὶ ἐπίλογος·[4] βούλονται δὲ τὸ μὲν προοίμιον εἶναι λόγον παρασκεύαζοντα τὸν ἀκροατὴν καὶ οἰκείως εἰς τὸν ὑποκείμενον λόγον διατιθέντα· ἔργον δὲ αὐτοῦ τό τε προσεκτικοὺς τοὺς ἀκροατὰς παρασκευάζειν πρὸς τὰ ῥηθησόμενα καὶ τὸ εὔνοιαν ἢ μῖσος ἐναπεργάζεσθαι. Τὴν δὲ διήγησιν πάλιν βούλονται εἶναι τῶν ἐν τῇ ὑποθέσει πραγμάτων ἔκθεσιν εἰς τὸ ὑπὲρ τοῦ λέγοντος μέρος ῥέπουσαν. ἔργον δὲ αὐτῆς τὸ παράδοσιν καὶ δήλωσιν τῷ ἀκροατῇ τοῦ πράγματος.

---

3 Vind. Laur. φησὶν h. l. et paullo post v. 8. 4 Taur. καὶ ante ἐπίλογος om. Ambr. 2. καὶ ἐπίλογοι· προασκοῦσι τοίνυν ἡμᾶς τὰ προοίμια. Sqq. foliorum aliquot jactura absorpta sunt.

Τοὺς δὲ ἀγῶνάς τινες διαιροῦσιν εἰς ἀντίθεσιν καὶ λύσιν, εἴ τινες καὶ πέντε παρὰ τοῦτο τὰ μέρη τοῦ λόγου εἶναι τίθενται, καὶ ἀντίθεσιν μέν φασιν εἶναι τὴν παρὰ τοῦ ἀντικειμένου προσώπου ἔνστασιν, τὸ ἐν ἡμῖν πιθανὸν διαλύουσαν, καὶ εἰς εὐλογωτέραν ἔννοιαν τὸν ἀκροατὴν ἐπανάγουσαν· λύσιν δὲ τὴν ἐκ τῆς ἐνστάσεως βλάβην ἀφαιρουμένην, καὶ εἰς τὸ ἐξ ἀρχῆς τὸν ἀκροατὴν ἐπανάγουσαν, καὶ εἰς συγκατάθεσιν ἰέναι πείθουσαν τοῦ προκειμένου ζητήματος. Ἀλλ' οὐκ ὀρθῶς οὗτοι εἰς τὰ δύο ταῦτα διαιροῦσι τοὺς ἀγῶνας· οὐ γὰρ ἀντιθέσεσι μόνον καὶ λύσεσιν οἱ ἀγῶνες διαιροῦνται, οὐδὲ ἐν ταῖς κατασκευαῖς αὐτῶν, οἷον ἐπιχειρήμασιν, ἐργασίαις, ἐνθυμήμασιν, ἀλλὰ καὶ ἐν τοῖς κεφαλαίοις τοῖς παρ' ἡμῶν εἰσαγομένοις καὶ τιθεμένοις καὶ δεομένοις κατασκευῆς. ἄλλως τε δὲ οὐ πέντε τὰ μέρη τοῦ λόγου μόνου τοῦτον τὸν τρόπον φανήσεται, ἀλλὰ καὶ πλείονα· αὐτίκα γὰρ καὶ τὸ προοίμιον διαιρεθήσεται εἰς πρότασιν καὶ κατασκευὴν καὶ ἀξίωσιν καὶ βάσιν, καὶ ἡ διήγησις εἰς προκατάστασιν, καὶ ὁ ἐπίλογος ὡσαύτως. Τὸν δὲ ἐπίλογον πάλιν βούλονται εἶναι λόγον ἐπὶ προειρημέναις ταῖς ἀποδείξεσιν ἐπαγόμενον, ἀθροισμὸν πραγμάτων καὶ ἠθῶν καὶ παθῶν περιέχοντα, πάθη μὲν τὰς ἐλεεινολογίας καὶ τοὺς ὀδυρμοὺς λέγοντες, καὶ τοὺς ἔρωτας ἢ τὰ μίση· ἤθη δὲ τὰ τῶν εἰσαγομένων προσώπων. Φασὶ δέ τινες τὸν παρόντα ὅρον τοῦ ἐπιλόγου μὴ συμπεριλαβεῖν καὶ τὸν πανηγυρικὸν ἐπίλογον· ἐκεῖνος μὲν γάρ, φασίν, εὐχὴν μόνην περιέχει, οὐ μὴν ἄθροισμα πραγμάτων, ὡς ἠθῶν καὶ παθῶν, πλὴν τὸ κατὰ παράλειψιν σχῆμα ἀθροισμός ἐστι πραγμάτων, ὡς ἔχει τό·[5] „λήγειν ὁ Φίλιππος περιὼν οὐκ ἠπίστατο, λήγειν δὲ ἀνάγκη τὸν περὶ ἐκείνου λόγον διεξερχόμενον". ἔργον δὲ τοῦ ἐπιλόγου

5 Aphthon. c. 9. p. 97, 13.

φασὶ καὶ τέλος τὸ ἐπὶ τῆς τελευτῆς παθαίνειν τοὺς ἀκροατὰς, καὶ τὸ ἀνακεφαλαιοῦσθαι καὶ ὑπομιμνήσκειν αὐτοὺς τῶν ἐν τοῖς ἀγῶσι τὰ καιριώτατα. Προασκοῖσι τοίνυν ἡμᾶς τὰ προγυμνάσματα εἰς μὲν τὰ τῆς ῥητορικῆς εἴδη καὶ μέρη. καθὸ τῶν προγυμνασμάτων τὰ μὲν τοῦ συμβουλευτικοῦ εἰσιν εἴδους, ὡς ὁ μῦθος καὶ ἡ θέσις καὶ ἡ χρεία καὶ ἡ γνώμη· τὰ δὲ τοῦ δικανικοῦ, ὡς ἡ ἀνασκευὴ καὶ ἡ [6] κατασκευὴ καὶ ὁ κοινὸς τόπος· τὰ δὲ τοῦ πανηγυρικοῦ, ὡς τὸ ἐγκώμιον, ὁ ψόγος [7] καὶ ἡ σύγκρισις. Ὁ γοῦν [8] τοῖς τοιούτοις ἐγγυμνασθεὶς καὶ πρὸς τοὺς τῶν τοιούτων εἰδῶν ἐχομένους πολιτικοὺς λόγους οὐκ ἂν ἀποκνήσειεν ἀποδύσασθαι. Προγυμνάζει δὲ ἡμᾶς [9] καὶ εἰς τὰ τοῦ πολιτικοῦ λόγου μέρη ἡ τῶν προγυμνασμάτων ὑπόθεσις, καθὸ τῶν προγυμνασμάτων τὰ μὲν προοιμίοις ἀναλογεῖ, ὡς ὁ μῦθος· ὥσπερ γὰρ προοιμίοις ἔργον ἐστὶν τὸ προσεκτικοὺς ποιεῖν τοὺς ἀκροατὰς πρὸς τὰ ἐν τῇ διηγήσει ῥηθησόμενα, οὕτω καὶ τοῦ μύθου ἔργον τὸ παρασκευάσαι τοὺς ἀκροατὰς πρὸς ὑποδοχὴν τοῦ ἐπιμυθίου. Ὁ τοίνυν διὰ μύθου δυνηθείς τινι προσοχὴν ἐμποιῆσαι τῆς ἐν τῷ ἐπιμυθίῳ παραινέσεως, εὔδηλον ὡς καὶ προοίμιον ὁ τοιοῦτος ποιῆσαι οὐκ ἀπορήσειεν. Οὐ μόνον δὲ ὁ μῦθος προοιμίοις ἡμᾶς ἐγγυμνάζει, ἀλλὰ καὶ αἱ προκαταρκτικαὶ τῶν προγυμνασμάτων ἔννοιαι. Τῶν οὖν προγυμνασμάτων τὰ μὲν ταῖς προοιμιακαῖς ἐννοίαις, ὡς ἔφαμεν, ἡμᾶς ἐγγυμνάζουσι, τὰ δὲ ταῖς διηγήσεσιν, ὡς τὸ διήγημα καὶ ἡ ἔκφρασις·

---

6 ἡ Taur. om. 7 Taur. καὶ ὁ ψόγος. 8 ὁ γοῦν τοῖς τοιούτοις usque ad ἀποδύσασθαι Taur. om. 9 ἡμᾶς καὶ Taur. om. et post λόγου μέρη ita pergit. ὁ γὰρ μῦθος ταῖς προοιμιακαῖς ἐννοίαις ἐγγυμνάζει, τὸ δὲ διήγημα καὶ ἡ ἔκφρασις ταῖς διηγήσεσιν, ἡ δὲ ἀνασκευὴ καὶ κατασκευὴ τοῖς ἀγῶσιν, ὁ δὲ κοινὸς τόπος ἐπιλόγοις. Χρησιμεύει δὲ ἡμῖν etc.

δῆλον οὖν, ὡς ὁ [9*] καὶ τὰ τοιαῦτα ποιήσας οὐδὲ πρὸς ἐκείνην ἀποναρκήσειεν, ἡ δέ γε ἀνασκευὴ καὶ κατασκευὴ ἀγῶσιν ἀναλογεῖ, καὶ ὁ κοινὸς τόπος ἐπιλόγοις· ὁ γοῦν τούτων ἐργάτης καὶ ἀγώνων καὶ ἐπιλόγων μέτοχον τὸν οἰκεῖον λόγον ἀποδεῖξαι ἰσχύσειεν, καὶ ὁ μὲν σκοπὸς τῶν προγυμνασμάτων τοιοῦτος.

Ἀποροῦσι δέ τινες, [10] πῶς δεκατεσσάρων τῶν προγυμνασμάτων ὄντων ἕνα σκοπὸν οἴονται ἀποδοθῆναι ἁπάντων· καὶ λέγομεν, ὅτι ὥσπερ πέντε φωνὰς τοῦ Πορφυρίου ἐν τῇ εἰσαγωγῇ διδάσκοντος, γένος, [11] διαφορὰν, εἶδος, ἴδιον, συμβεβηκὸς, σκοπὸν ἕνα τοῦ τοιούτου βιβλίου οἱ ἐξηγούμενοι αὐτὸ [12] ἀποδεδώκασιν, καὶ ὥσπερ δέκα καὶ τριῶν στάσεων διαιρέσεις ἐν τῷ περὶ τῶν στάσεων βιβλίῳ τοῦ Ἑρμογένους διδάσκοντος, οἱ τούτου [13] ἐξηγηταὶ ἕνα σκοπὸν τοῦ βιβλίου διδάσκουσι· καὶ ὥσπερ ἑπτὰ γενικὰς ἰδέας ἐν τῷ περὶ τῶν ἰδεῶν βιβλίῳ τοῦ αὐτοῦ πάλιν διδάσκοντος οἱ ἐξηγούμενοι ἕνα σκοπὸν τοῦ βιβλίου λέγουσιν· τὸ δ' αὐτὸ καὶ ἐπὶ τοῦ περὶ εὑρέσεων βιβλίου· καὶ ἐν ἐκείνῳ γὰρ πολλοὺς μὲν τόπους προοιμίων καὶ διηγήσεων, ἔτι δὲ καὶ προκατασκευῶν διάφορα εἴδη καὶ προκατασκευὰς τῶν κεφαλαίων καὶ σχημάτων πλείονας τρόπους διδάσκοντος, εἷς σκοπὸς ἀποδίδοται, οὕτως καὶ ἐνταῦθα πολλῶν καὶ διαφόρων ὄντων τῶν προγυμνασμάτων εἷς σκοπὸς ἀποδίδοται. Ἀλλ' ὁ μὲν σκοπὸς τοιοῦτος, τὸ δὲ χρήσιμον καὶ ἀπὸ τοῦ σκοποῦ

9* ὁ Vind. om. 10 Ambr. 2. ἀποροῦσιν, ὅτι πῶς. Parr. et Taur. ἀποροῦμεν ὅτι πῶς. 11 γένος, διαφορὰν, εἶδος, ἴδιον, συμβεβηκὸς Ambr. 2. Parr. Taur. om. 12 αὐτὸ Ambr. 2. et Taur. om. 13 Ambr. 2. Taur. Parr. οἱ τούτου τοῦ βιβλίου ἐξηγηταὶ — ἕνα σκοπὸν δεδώκασιν, ὁμοίως καὶ ἐν τῷ περὶ τῶν εὑρέσεων εἷς, καὶ ἐν τῷ περὶ τῶν ἰδεῶν εἷς· οὕτω καὶ ἐνταῦθα οὐδὲν ἄτοπον, εἰ εἷς σκοπὸς ἀποδίδοται, πλειόνων ὄντων τῶν προγυμνασμάτων.

φανερόν· χρησιμεύει γὰρ ἡμῖν εἴς τε τὰ κατὰ ῥητορικὴν εἴδη καὶ μέρη, ἔτι δὲ καὶ εἰς τὰ τοῦ πολιτικοῦ λόγου μέρη.

Ὅτι δὲ γνήσιον [14] Ἀφθονίου τὸ παρὸν βιβλίον, ἔκ τε τῆς πάντων συμφωνίας κατάδηλον, καὶ ἐκ τοῦ παρὰ μηδενὸς τὰ πρὸ [15] ἡμῶν νοθείας τὸ τοιοῦτον ἀλῶναι γραφῆ. ἔτι δὲ καὶ ἐκ τοῦ εἰς αὐτὸ ἐπιφερομένου ἐπιγράμματος·

Εἴ σοι ῥητορικῆς φίλος πόθος ἔμπεσε θυμῷ,
Μή σέ γε γυμνασίη Ἀφθονίοιο λάθῃ·

Τὴν δὲ τάξιν ζητοῦμεν τοῦ παρόντος βιβλίου τὴν πρὸς τὰ ἄλλα συγγράμματα [16] τῆς ῥητορικῆς, ἐν ᾧ καὶ ζητεῖται, διὰ τί προετάγη τὸ παρὸν βιβλίον τῶν ἄλλων τῶν περὶ ῥητορικῆς· καὶ λέγομεν, ὅτι δικαίως τῶν ἄλλων προτέτακται τοῦτο, εἴγε καὶ εἰσαγωγή ἐστι πρὸς ἅπασαν τὴν ῥητορικήν, δέον ὂν τὰς [17] εἰσαγωγὰς τῶν πρὸς ἃ εἰσάγουσι προτερεύειν.

Πέμπτον κεφάλαιόν [18] ἐστιν ἡ αἰτία τῆς ἐπιγραφῆς, ἐν ᾧ ζητῆσαι ὀφείλομεν ὁποῖόν τί ἐστι τὸ Ἀφθόνιος ὄνομα· εἶτα τί βούλεται σημαίνειν ἐν τῇ παρούσῃ ἐπιγραφῇ τὸ σοφιστὴς ὄνομα, καὶ διατί ἐπιγέγραπται [19] προγυμνάσματα, καὶ οὐχὶ γυμνάσματα, [20] καὶ τί σημαίνει κυρίως ἡ γυμνάζομαι λέξις· ἔπειτα καὶ διὰ τί οὐκ

---

14 Taur. ὅτι δὲ γνήσιον, ἐκ τῆς τῶν ἁπάντων συμφωνίας κατάδηλον. Τὴν δὲ τάξιν ζητοῦμεν. 15 Vind. πρός. Laurent. πρό. 16 Taur. ἄλλα τῆς ῥητορ. γυμνάσματα. Sqq. ἐν ᾧ καὶ ζητεῖται usque ad τῶν περὶ ῥητορικῆς om. 17 Vind. εἰς τάς. 18 Parr. Taur. ἐστὶ κεφάλαιον. 19 ἐπιγέγραπται Ambr. 2. Taur. et Parr. om. 20 Parr. Taur. et Ambr. 2. καὶ οὐχὶ περὶ προγυμνασμάτων, καὶ (Ambr. 2. ἤ) διατὶ οὐκ εἶπε γυμνάσματα, ἀλλὰ προγυμνάσματα, καὶ τί τὸ γυμνάζεσθαι, καὶ διατὶ ἀορίστως προγυμνάσματα, μὴ προσθεὶς τὸ εἰς τὴν ῥητορικήν. Τὸ Ἀφθόνιος ὄνομα κ. τ. λ.

εἶπε προγυμνάσματα εἰς τὴν ῥητορικήν, ἀλλ' ἀορίστως προγυμνάσματα· μετὰ ταῦτα καὶ διὰ τί προγυμνάσματα ἐπέγραψε, καὶ οὐχὶ περὶ προγυμνάσματος. Τὸ μὲν οὖν Ἀφθόνιος ὄνομά ἐστι μὲν κύριον καὶ παράγωγον, τὰ μάλιστα δὲ οἰκειότατον τῷ ῥήτορι πέφυκε, τῷ ἀφθόνως, εἴτουν πλουσίως τὰ τοῦ λόγου ῥεῖθρα προχέειν, τοῦ τε πάθους ἐκτὸς, δηλαδὴ φθόνου, ἐπαντλεῖν τοῖς μαθητευομένοις τῆς διδασκαλίας τὰ νάματα. Σοφιστὴς [21] δὲ λέγεται μὲν καὶ ὁ σοφίζων τινὰ καὶ ὁ διδάσκων, λέγεται δὲ σοφιστὴς καὶ ὁ φιλόσοφος, ὁ τὸ καλὸν καὶ φρόνιμον καὶ ἀληθὲς ἀγαπῶν· σημαίνει σοφιστὴς καὶ τὸν σοφιζόμενον τὴν ἀλήθειαν, ἤτοι παρατρέποντα, σημαίνει δὲ καὶ τὸν τοῖς πλάσμασιν ἐγγυμναζόμενον· ῥήτωρ μὲν γάρ ἐστιν ὁ τοῖς ἀληθινοῖς ἀγῶσιν ἐγγυμναζόμενος καὶ ἐπὶ δικαστηρίου, ὡς ὁ Δημοσθένης, σοφιστὴς δὲ ὁ πλασματογράφος, καὶ μὴ ἐπὶ δικαστηρίου ἀγωνιζόμενος, οἷος ἦν ὁ Λιβάνιος· ὁ τοίνυν Ἀφθόνιος λέγεται σοφιστὴς, ἢ ὡς σοφίζων τοὺς φοιτητὰς ἐκ τοῦ τὰ περὶ τῆς ῥητορικῆς τέχνης αὐτοῖς ἀναπτύσσειν, ἢ ὡς πλασματογράφος ὤν, καὶ μὴ ἐπὶ δικαστηρίου ἀγωνιζόμενος, οἷος ἦν ὁ Λιβάνιος. Προγυμνάσματα δὲ καὶ οὐχὶ γυμνάσματα ἐπιγέγραπται, διότι κυρίως γυμνάσματα αἱ τῶν πολιτικῶν ὑποθέσεων μελέται λέγονται τῶν πλασματικῶν, ὡς δι' αὐτῶν εἰς τοὺς τῶν ἀληθινῶν ὑποθέσεων λόγους γυμναζομένων ἡμῶν· ἐπεὶ οὖν αἱ τῶν πλασματικῶν ὑποθέσεων μελέται γυμνάσματα λέγονται, εὐλόγως καὶ τὰ τοιαῦτα προγυμνάσματα λέγονται, ὡς πρὸ τῶν

---

21 Σοφιστὴς δὲ λέγεται — — — — ἀορίστως τὸ βιβλίον προγυμνάσματα ἐπέγραψεν Parr. et Ambr. 2. omittunt, substituta interpretatione commentarii nr. IV. init. „τὸ σοφίζω διττῶς νοεῖται — usque ad ὑπεκράτησας.

τῶν γυμνασμάτων ἐκείνων ὄντα· διὰ τούτων γὰρ πάλιν εἰς τὰς ἀληθινὰς τῶν ὑποθέσεων γυμναζόμεθα. ἄλλως τε δὲ προγυμνάσματα τὰ πρὸ τῆς γυμνασίας φαμὲν, ὡς εἶναι γυμνάσματα μὲν καὶ ἄσκησιν καὶ ἀληθῆ παίδευσιν τῆς ῥητορικῆς, αὐτὰ τὰ τοῦ Ἑρμογένους βιβλία, τὰς στάσεις, τὰς εὑρέσεις, τὰς ἰδέας, τὸ περὶ μεθόδου δεινότητος· τὰ δὲ τοῦ Ἀφθονίου προγυμνάσματα λέγονται, εἰσαγωγή τις ὄντα πρὸς ἐκεῖνα, καὶ οἷον ἀνάπτυξις βραχεῖα, καί τις ἐθισμὸς ἀλείφων καὶ διεγείρων τοὺς νέους πρὸς τὴν ἐκείνων ἐξέτασιν· τὸ δὲ γυμνάζεσθαι καὶ κυρίως ἐστὶ τὸ γυμνὸν ἀγωνίζεσθαι καὶ ἐκμανθάνειν εἴτε πολεμικὴν ἄσκησιν, εἴτε ἀμιλλητηρίους ἀγῶνας, δίαυλον τυχὸν ἢ παγκράτιον ἢ πυγμὴν ἢ πάλην· ἐκεῖθεν οὖν εἴληπται τὸ γυμνάζεσθαι, καὶ καταχρηστικῶς ἐκφέρεται ἐπὶ πάσης παιδείας λογικῆς τε καὶ πρακτικῆς, καὶ γυμνάζομαί τις εἰπὼν οὐ τοῦτο ἁπλῶς ἐρεῖ, τὸ γυμνὸς διάπειραν ποιοῦμαι μαθήματα, τοῦτο γὰρ ἡ κυριολεξία ἐστὶν, ἀλλὰ καὶ τὸ ἁπλῶς ἐκπαιδεύομαί τι. Προγυμνάσματα[22] δὲ μόνον εἶπε, μὴ προσθεὶς εἰς τὴν ῥητορικὴν, οὐκ ἀλύγως· ὥσπερ γὰρ ὁ Πορφύριος εἰς τὴν βασιλικωτάτην τῶν ἐπιστημῶν τὴν φιλοσοφίαν γράφων εἰσαγωγὴν, Πορφυρίου εἰσαγωγὴ ἐπέγραψε, μὴ προσθεὶς εἰς τὴν φιλοσοφίαν, ἅτε δὴ καὶ σιωπηρῶς τοῦ τοιούτου διὰ τὸ ὑπερέχον τῆς φιλοσοφίας τὸ πρὸς τὰς ἄλλας ἐπιστήμας προσυπακουομένου, οὕτω καὶ ὁ Ἀφθόνιος εἰς τὴν μεγίστην καὶ βιωφελεστέραν τῶν τεχνῶν τεχνολογῶν γυμνασίαν ἀορίστως τὸ βιβλίον προγυμνάσματα ἐπέγραψεν· προγυμνάσματα δὲ καὶ οὐχὶ περὶ προγυμνασμάτων τὸ βιβλίον ἐπέγραψεν, ὅτι σύνηθές ἐστι τὸ ὄνομα, περὶ οὗ ὁ λόγος,

22 In Ambr. 2. sectio προγυμνάσματα δὲ μόνον usque ad προγυμνάσματα ἐπέγραψεν ponitur post sequentem: προγυμν. δὲ καὶ οὐχὶ περὶ προγ. — v. 21. τὴν Ambr. 2. om.

προγράφειν τοῦ συγγράμματος, ὥσπερ ὁ περὶ Θεμιστοκλέους λόγος Θεμιστοκλῆς ἐπιγέγραπται Πλάτωνι, καὶ ὁ περὶ πολιτείας πολιτεία· ἄλλως τε προγυμνάσματα μὲν ἐπιγράψας ἐδήλωσεν, ὅτι τοῦτό ἐστι τὸ βιβλίον, δι' οὗ εἰς τὴν ῥητορικὴν γυμναζόμεθα· περὶ προγυμνασμάτων δὲ εἰ ἐπέγραψεν, ἐδήλωσεν ὅτι αὐτὸ μὲν οὐ προγυμνάζει ἡμᾶς, συμβάλλεται δὲ εἰς τὸ προγυμνάζειν· ἡ μὲν γὰρ εὐθεῖα πτῶσις αὐτοῦ τοῦ πράγματός ἐστι δηλωτική· διὸ καὶ οἱ ὁρισμοὶ τὰς φύσεις τῶν πραγμάτων σημαίνοντες διὰ τῆς τοιαύτης ἐκφέρονται πτώσεως. αἱ δὲ πλάγιοι οὐ τὴν οὐσίαν δηλοῦσι τοῦ πράγματος, ἀλλά τι τῶν [23] περὶ αὐτό. Ἡ δὲ εἰς τὰ κεφάλαια διαίρεσις τέμνει τὸ παρὸν βιβλίον εἴς τε τὰς πρὸς τὸ συμβουλευτικὸν εἶδος γυμναζούσας ἡμᾶς γυμνασίας, καὶ εἰς τὰς πρὸς τὸ δικανικόν, καὶ εἰς τὰς πρὸς τὸ πανηγυρικόν· καὶ πάλιν εἴς τε τὰς προοιμίοις ἀναλογούσας καὶ εἰς τὰς σωζούσας εἰκόνας τῆς διηγήσεως· ἔτι δὲ καὶ εἰς τὰς τῶν ἀγώνων καὶ ἐπιλόγων χρείας [24] ἀναπληρούσας.

Ἔλθωμεν [25] τοίνυν καὶ ἐπὶ τὸν τρόπον τὸν διδασκαλικὸν λέξοντες, ὅτι διδασκαλικῶν τρόπων ὄντων τεσσάρων, διαιρετικοῦ, ὁριστικοῦ, ἀποδεικτικοῦ καὶ [26] ἀναλυτικοῦ, δυσὶ μόνοις χρῆται ὁ Ἄφθόνιος ἐν τῷ παρόντι συγγράμματι, τῷ τε ὁριστικῷ καὶ διαιρετικῷ· [27] τῷ μὲν διαιρετικῷ, ἡνίκα διαιρεῖ τῶν συγγραμμάτων ἕκαστον, λέγω, ὅτι τοῦ μύθου τὸ μέν ἐστι λογικὸν, τὸ δὲ ἠθικὸν,

---

23 Vind. τὸν, Laur. Ambr. 2. τῶν. Post αὐτὸ in Ambr. 2. sequitur γυμνάζεσθαι κυρίως ἐστὶ τὸ γυμνὸς ἀγωνίζεσθαι ex eodem comment. nr. IV. Quae in nostro comment. sequuntur, ἡ δὲ εἰς τὰ κεφάλαια διαίρεσις in Ambr. leguntur inferius post: ἀορίστως τὸ βιβλίον προγυμνάσματα ἐπέγραψεν. 24 Ambr. 2. χρείαν. 25 Ἔλθωμεν τοίνυν καὶ — — — λέξοντες ὅτι Ambr. 2. om. qui habet διδασκαλικῶν δὲ τρόπων. 26 καὶ Ambr. 2. om. 27 τῷ τε ὁριστικῷ καὶ διαιρετικῷ Ambr. 2. om.

τὸ δὲ μικτόν· καὶ ὅτι τοῦ διηγήματος τὸ μέν ἐστι δραματικόν, τὸ δὲ ἱστορικόν, τὸ δὲ πολιτικόν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· τῷ δὲ ὁριστικῷ χρῆται, ἡνίκα ὁρίζεται τὰ γυμνάσματα, λέγων τὸν μὲν μῦθον λόγον ψευδῆ ἀλήθειαν [28] εἰκονίζοντα, τὸ δὲ διήγημα ἔκθεσιν πράγματος γεγονότος ἢ ὡς γεγονότος. Τινὲς δέ [29] φασιν αὐτὸν καὶ τῷ ἀναλυτικῷ χρήσασθαι τρόπῳ, ἐν τῷ λέγειν τοῦ μύθου τὸ γένος· ἀπὸ γὰρ τῶν κάτω, φασὶ, καὶ ὑστέρων πρόεισιν ἐπὶ τὰ ἄνω καὶ πρῶτα, ἤτοι ἀπὸ τοῦ μύθου ἐπὶ τὰ πρόσω τὰ [30] ἐξ ὧν ἔχει τὴν γένεσιν· τοῦτο δὲ ἴδιόν ἐστι τοῦ ἀναλυτικοῦ τρόπου, τὸ ἀπὸ τῶν ὑστέρων ἐπὶ τὰ πρῶτα ἔρχεσθαι· οἷον πρῶτον τὰ τέσσαρα στοιχεῖα, ὕστερον ὁ ἄνθρωπος· ἀναλύεται οὖν ὁ ἄνθρωπος εἰς ταῦτα.

Ὄγδοον καὶ τελευταῖόν [31] ἐστι κεφάλαιον, ἐν ᾧ ζητεῖται διὰ τί τὰ τοῦ Ἀφθονίου προγυμνάσματα τῶν Ἑρμογενικῶν καὶ τῶν λοιπῶν προτετίμηται. φαμὲν οὖν [32] ὡς σαφέστερα τῶν ἄλλων καὶ ὡς εὐληπτότερα. ὁ μὲν γὰρ Ἑρμογένης καὶ οἱ λοιποὶ μεθόδους ψιλὰς [33] χωρὶς παραδειγμάτων ἐκθέμενοι δυσχερῆ τὴν τῶν προγυμνασμάτων πραγματείαν τοῖς εἰσαγομένοις ἐποίησαν, ὁ δὲ Ἀφθόνιος οὐ μόνον τὰς μεθόδους ἀλλὰ καὶ τὰ παραδείγματα, [34] ὡς ἐνῆν, σαφῶς καὶ διηρθρωμένως ποιήσας, ἀλλὰ καὶ παραδείγμασι φωτίσαι βουληθεὶς τὰ λεγόμενα, προσφυέστερος [35] τοῖς νέοις καὶ οἰκειότερος ἔδοξε. Τινὲς δὲ καὶ τὴν ὑπό τι μέρος ἀναφορὰν καὶ ἐπὶ τοῦ παρόντος βιβλίου ζητοῦντες, ἀναφέρεσθαί φασιν

---

28 Ambr. 2. εἰκονίζοντα ἀλήθειαν. 29 δὲ ex Ambr. recepi. 30 Ambr. 2. πρόσωπα. 31 καὶ τελευταῖόν ἐστι Codd. Parr. om. 32 Ambr. 2. καί φαμεν. 33 Ambr. τινάς. 34 Ambr. 2. ἀλλὰ καὶ τὰ παραδείγματα post ποιήσας legitur. 35 Post προσφυέστερος excidit Fol. ex Par. 1.

αὐτὸ οὔτε εἰς τὸ θεωρητικὸν, ἐπεὶ[36] μηδὲ φυσιολογεῖ, ἢ θεολογεῖ, ἢ μαθηματικεύεται,[37] ἀλλ' οὐδὲ εἰς τὸ πρακτικὸν, οὐδὲ γὰρ διδάσκει[38] πῶς δεῖ κοσμεῖν τὰ ἤθη, ἀλλ' εἰς τὸ μέσον τοίτων τὸ[39] μεθοδικὸν καὶ ὀργανικόν· ἔστι δὲ τοῦτο τὸ λογικόν· κανόνας γὰρ, φασὶ,[40] καὶ μεθόδους διδάσκει.

Τινὲς δὲ καὶ τὸν χαρακτῆρα ζητοῦσι τοῦ παρόντος[41] βιβλίου. Χαρακτῆρες δέ εἰσι τρεῖς, ἁδρὸς, ταπεινὸς, μέσος· ἁδρὸς μὲν οὖν ἐστιν[42] ἢ κομπηρὰς ἔχων λέξεις, νοῦν δὲ ταπεινὸν, ὡς ἔχει τὰ τοῦ Λυκόφρονος, ταπεινὸς δὲ[43] ὁ νοῦν μὲν ἔχων ὑψηλὸν, λέξεις δὲ ταπεινὰς, ὡς τὰ τοῦ θεολόγου, μέσος δὲ ὁ μήτε νοῦν ὑψηλὸν ἔχων, μήτε λέξεις κομπηρὰς, ἀλλ' ἀμφότερα μέτρια, οἷά ἐστιν[44] ὡς ἐπὶ τὸ πλεῖστον τὰ τοῦ Χρυσοστόμου. Χρῆται[45] τοί-

---

36 Taur. ἐπειδὴ μή. 37 Ambr. 2. μαθητικεύεται. Taur. μαθητεύεται. 38 Taur. Ambr. 2. διδάσκει ponunt post τὰ ἤδη. 39 τὸ Ambr. 2. et Taur. om. 40 φασὶ Taur. om. 41 τοῦ παρόντος βιβλίου. Χαρακτῆρες Ambr. 2. Taur. om., qui ita: ζητοῦσιν· εἰσὶ δὲ τρεῖς. 42 Ambr. 2. οὖν ἐστιν om. Taur. ἁδρὸς μὲν ὁ κομπηράς. 43 Taur. ταπεινόν. 44 Taur. εἰσὶν — — τὰ τοῦ Δίωνος τοῦ Χρυσοστόμου. 45 Par. 2. 3. et Ambr. 2. Χρῆται δὲ Ἀφθόνιος καὶ (Taur. καὶ om.) τοῖς τρισὶ, τῷ μὲν ἁδρῷ ἐν τῇ ἠθοποιΐᾳ, τῷ ἀνειμένῳ καὶ ταπεινῷ ἐν τῇ ἐκφρ. τῷ δὲ μέσῳ ἔν τισι τῶν ἄλλων. Sequitur in iisdem codd. Ὁ παρὼν τῶν προγυμνασμάτων λόγος οὔτε τὸν τῆς ῥητορικῆς ὅρον ἐπιζητεῖ· περίεργον γὰρ ἐν τοῖς ἀτελέσι τὸ τέλειον. καὶ γὰρ τὸν τοῖς εἰσαγομένοις περὶ τῶν μερῶν καὶ τῶν σμικροτάτων διαλεγόμενον οὐ καλῶς ἔχει περὶ τῆς τέχνης πάσης ὁρίζεσθαι· οὔτε τὴν περὶ τῶν εἰδῶν ἐπίσκεψιν ἐπιδέχεται· ἐκτραπῆναι γάρ ἐστι τῶν προκειμένων, ἐπεὶ καὶ τοῖς ἀγαπητῶς τὰ μέρη μανθάνουσιν ἀδύνατος ἡ περὶ τῶν ὅλων κατάληψις. Εἰ γὰρ ὥσπερ εἰπεῖν ἴχνη καὶ σκιὰς ἐν τούτοις φαντάζεσθαι τῶν ὑποθέσεων τοῖς γυμναζομένοις παρέχομεν, τοῦ μὲν δικανικοῦ, δι' ὧν κατασκευάζομεν, καὶ δι' ὧν ἐπὶ τὴν τιμωρίαν τοὺς δικάζοντας παροξύνομεν, τοῦ δὲ συμβου-

νυν ὁ Ἀφθόνιος οὐχ ἑνὶ μόνῳ χαρακτῆρι διόλου, ἀλλὰ καὶ τοῖς τρισί· πῇ μὲν γὰρ τῷ ἁδρῷ χρῆται, ὡς ἐν τῇ

λευτικοῦ, δι' ὧν τὰς θέσεις ἀνύομεν, τῶν μὲν αἱρεσιν, τῶν δὲ φυγὴν συμβουλεύοντες. Εὔδηλον δήπουθεν, ὡς οὐ προσῆκον ἐνταῦθα τὸν περὶ τῶν εἰδῶν καταμίγνυσθαι λόγον, οὐδὲ ταράττειν τῷ μεγέθει τῶν ἔργων τὸν ἀκροώμενον· συνιδεῖν δὲ πρῶτον τὴν φύσιν τῶν προγυμνασμάτων ὀφείλομεν, καθό φαμεν αἰτιᾶ τυγχάνειν ἀτελῆ. Ἀτελῆ δέ ἐστι, καθὸ τούτων οὐδὲν εἰς δικαστήριον ἢ ἐκκλησίαν εἰσάγεται· τῶν γὰρ τελείων ὑποθέσεων ἴδιον εἶναι τοῦτο συμβέβηκε, καὶ εἴτι δι' ἐπιχειρημάτων ὀλίγων καὶ μὴ διὰ τῶν τελικῶν κεφαλαίων προηγουμένως κατασκευάζεται, τοῦτο ἀτελές ἐστι καὶ μόριον ἑτέρου ποιεῖ. Ἔτι καὶ τέλειον ἔσμεν ὑπόθεσιν τὴν τοῖς τετράσι μέρεσι τεμνομένην τοῦ λόγου, προοιμίων, διηγήσεων, ἀγώνων, ἐπιλόγων, τῶν δὲ προγυμνασμάτων οὐδὲν εὑρίσκομεν ἐκ τούτων τῶν μερῶν τοῦ λόγου τεμνομένων· ἕκαστον δὲ μᾶλλον προγύμνασμα τῶν τοιούτων μερῶν τοῦ λόγου ὥσπερ εἰκόνα φέρει παρ' ἑαυτῷ καὶ σκιάν, ὡς τὸ διήγημα κατασταίσεως, ἀνασκευὴ δὲ καὶ κατασκευὴ τῶν ἀγώνων· ὁ κοινὸς δὲ τόπος ἴχνος ἐπιλόγων προτίθησι· προοιμίων δὲ αἱ προκαταρκτικαὶ πανταχοῦ τῶν ἐπιδεχομένων προγυμνασμάτων ἔννοιαι. Ὁ οὖν τῶν προγυμνασμάτων σκοπὸς διὰ τὸ τοὺς ἐν γραφῇ ἠσχολημένους πῇ μὲν κεχρῆσθαι γνώμαις, πῇ δὲ χρείαις, καὶ πῇ μὲν ἠθοποιΐαις, πῇ δὲ κοινοῖς τόποις. Δεῖ τοιγαροῦν τὸν ταῦτα μελετῶντα οὐχ ὡς τελείους λόγους, ὡς μέρη δὲ μᾶλλον κεχρῆσθαι λόγων. Ἰστέον δέ, ὅτι τὰ προγυμνάσματα μικρὰ ῥητορική ἐστι· καὶ καθὰ ἐπὶ τῶν βαναύσων τεχνῶν προηγεῖταί τινα τῆς καθόλου τέχνης, ὡς ἐπὶ τῶν χαλκέων τὸ ἀνάψαι ἀνθρακιάν, τὸ φυσῆσαι, ἐπὶ τῶν ὑποδηματοῥράφων τὸ ποιῆσαι σφήκωμα, οὕτω καὶ ἐπὶ τῶν τεχνῶν τούτων ἀπὸ τῶν εὐκολωτέρων πρῶτον ἀρκτέον. Τὸ δέ ἐστιν ὁ μῦθος, καὶ ὡς ἐν τοῖς ποιηταῖς μεθισταμένοις, ὧν εἰσιν οἱ μῦθοι γεννήματα, ἐπὶ τὴν ῥητορικὴν εὐθὺς τοῖς ἐγγυτάτοις προσομιλεῖν, νόμῳ τοῦτο διδασκαλίας χρωμένους, καὶ ὡς ἔτι νηπίοις ἡμῖν οὖσιν αἱ τίτθαι ἡμῶν καὶ οἱ παιδαγωγοὶ διὰ μύθων ψυχαγωγοῦσι καὶ ὑποτίθενται τὰ δέοντα, καὶ τρίτον τρόπον, ὅτι τῶν τῆς ῥητορικῆς εἰδῶν πρώτόν ἐστι τὸ συμβουλευτικὸν, καὶ φύσει, ὅτι βούλευσις ἐδέησε πρῶτον ἡμῖν, καὶ διὰ τοῦτο προετάγη ὁ μῦθος, ὡς τοῦ

ἠθοποιΐα· πῆ δὲ τῷ ἀνειμένῳ καὶ ταπεινῷ, ὡς ἐν τῇ ἐκφράσει· διὸ καὶ αὐτὸς ἐκεῖσε λέγει δεῖν τὸν χαρακτῆρα ἀνειμένον ἐκφέρειν· πῆ δὲ καὶ τῷ μέσῳ χρῆται, ὡς ἔν τισι τῶν ἄλλων. Ἕτεροι δὲ κἀκεῖνο ζητοῦσιν, οἷον μὲν δεῖ εἶναι τὸν ἐξηγούμενον τὸ παρὸν βιβλίον, οἷον δὲ καὶ τὸν ἀναγινώσκοντα· λέγεται οὖν δεῖν τὸν μὲν ἐξηγούμενον τελείαν τῆς ὕλης τέχνης ἔχειν κατάληψιν· πολλὰ γάρ εἰσιν ἐν τοῖς προγυμνάσμασι καὶ τῆς τῶν ἰδεῶν ἐχόμενα θεωρίας, ὡς τά τε ἄλλα, κἀκεῖνο δὲ ἐν τῷ διηγήματι· ἀρεταὶ δὲ διηγήματος σαφήνεια, πιθανότης, συντομία, καὶ ὁ τῶν ὀνομάτων ἑλληνισμός, ἔτι δὲ καὶ τῆς τῶν στάσεων, ὡς ἐν τῇ τοῦ νόμου εἰσφορᾷ ἐκεῖνο ἔχει· διαιρήσομεν δὲ αὐτὴν κεφαλαίοις, οἷς καὶ τὴν πραγματικήν. Δεῖ οὖν ἁπάντων τούτων εἰδήμονα εἶναι τὸν ἐξηγούμενον, ὥστε διασαφεῖν τῷ ἀναγινώσκοντι, καὶ μὴ ἐᾷν αὐτὸν τῇ ἀγνοίᾳ τῶν λεγομένων ταράττεσθαι· προσέτι γε μὴν καὶ τῶν ῥητορικῶν λόγων, ὅσοι τοῖς παλαιοῖς ἐπονήθησαν ῥήτορσιν, οἷον Ἀριστείδῃ, Θουκυδίδῃ, Δημοσθένει, ἀκριβῆ καὶ αὐτῶν ἔχειν τὴν εἴδησιν. καὶ τῶν ποιητικῶν δὲ οὐδὲν ἧττον, ὥστε γινώσκειν τὰς ἱστορίας καὶ τἄλλα· χρεία γάρ ἐστιν ἐνταῦθα καὶ τούτων, οἷον ὡς ἐν τῷ τοῦ Θουκυδίδου ἐγκωμίῳ· ἐν ἐκείνῳ γὰρ πολλὰς τῶν παρὰ [46] τῷ συγγραφεῖ ὁ σοφιστὴς παρέλαβεν ἱστοριῶν, καὶ πάλιν ἐν τῇ ἠθοποιΐᾳ λέγει, [47] ἐν τῷ ὑπὲρ τῶν τεσσάρων τὸν Ἀριστείδην ποιῆσαι εἰδωλοποιΐαν, καὶ τὸν Εὔπολιν ἐν δήμοις ποιῆσαι προσωποποιΐαν, καὶ ἐν τῇ ἐκφράσει δὲ λέγων τὸν Θουκυδίδην νυκτομαχίαν ἐκφράσαι, καὶ τὸν λιμένα τῶν Θεσπρωτῶν τὸν Χειμέριον, καὶ τοιαῦτά τινα. δεῖ οὖν τὸν ἐξηγούμενον ταῦτα, πάντα ταῦτα ἀκριβῶς εἰδότα

συμβουλευτικοῦ ὤν. Sequitur ex Comment. nr. IV. διατί ἐπενοήθη τὰ προγυμνάσματα usque ad ἑκάστου τῶν τριῶν εἰδῶν.

46 Laur. περί. 47 Laur. λέγων.

ἀνακαλύπτειν τοῖς τὸ παρὸν βιβλίον ἀναγινώσκουσιν. Ἀλλὰ τὸν μὲν ἐξηγούμενον τὸ παρὸν βιβλίον τοῦτο τοιοῦτον δεῖ εἶναι· τὸν δὲ ἀναγινώσκοντα χρὴ μὴ τῷ νοεῖν[48] τὰ ἐν αὐτῷ λεγόμενα ἀρκεῖσθαι, ἀλλὰ καὶ ἀκολούθους ταῖς παρὰ τοῦ τεχνικοῦ μεθόδοις καθ' ἑκάστην γυμνασίαν μελέτας ἐκτίθεσθαι· τοῦτο γάρ ἐστιν αὐτοῦ τέλος τὰ ἐθισθῆναι τοὺς νέους διὰ τῶν καθ' ἑκάστην γυμνασίαν μελετημάτων πρὸς τὰ τῆς ῥητορικῆς εἴδη καὶ μέρη, καὶ πρὸς τὰ τοῦ πολιτικοῦ λόγου μέρη, ὡς ὅ γε μὴ διὰ μελετημάτων τῶν καθ' ἑκάστην γυμνασίαν πρὸς ταῦτα ἐθισθείς, ἀλλ' ἁπλῶς ἀναγνοὺς τὸ βιβλίον, ἐν ὅσῳ ἔσται τῷ μηδὲ τὴν ἀρχὴν ἀναγνόντι αὐτό.

Ἀλλ' ἐπειδὴ περὶ προγυμνασμάτων ἡμῖν πρόκειται λέγειν, ζητήσωμεν τί ἐστι προγύμνασμα. Ἰστέον τοίνυν ὅτι[49] προγύμνασμα γενικόν ἐστιν ὄνομα, διαιρούμενον εἰς τὰ καθ' ἑκάστην ἐπιστήμην καὶ τέχνην προγυμνάσματα· οὐκοῦν πρῶτον τὸν ὅρον τοῦ καθολικοῦ προγυμνάσματος εἴπωμεν, εἶθ' οὕτω καὶ τὸ τῆς ῥητορικῆς προγύμνασμα ὁρισόμεθα. Ὁρίζονται τοίνυν τὸ μὲν καθολικὸν προγύμνασμα οὕτως. προγύμνασμά ἐστιν ἄσκησις μετρίων πρὸς μειζόνων πραγμάτων ἐπίρρωσιν· τὸ μὲν ἄσκησιν ὄνομα ἀντὶ γένους τιθέντες, τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν χωριζουσῶν τὸ καθόλου προγύμνασμα ἀπὸ τῶν λοιπῶν ἀσκήσεων τῶν μὴ ἐν γυμνάσμασιν. Ἴδωμεν δὲ καὶ τὸν τοῦ ῥητορικοῦ προγυμνάσματος ὅρον· ἔστι δὲ προγύμνασμα ῥητορικὸν εἰσαγωγικὴ τριβὴ διὰ λόγων τῶν κατὰ ῥητορικὴν εἰδῶν ἢ μερῶν χρήσιμά τινα προασκουμένη. εἴληπται οὖν κἀνταῦθα τὸ μὲν τριβὴ ὄνομα ἀντὶ γένους, τὰ δὲ λοιπὰ ἀντὶ συστατικῶν διαφορῶν· εἴδη δὲ ῥητορικῆς λέγοιτο ἂν ἐνταῦθα τὸ συμβουλευτικὸν, τὸ

48 Vind. *νοει.* 49 *προγύμνασμα· ἰστέον τοίνυν ὅτι* Vind. *om.* inserui ex Laur.

δικανικὸν, τὸ πανηγυρικόν· μέρη δὲ ἤτοι τὰ εἰς ἃ τῶν εἰδῶν τούτων ἕκαστον διαιρεῖται, ἢ τὰ τοῦ πολιτικοῦ λόγου. Τὸ δὲ χρήσιμά τινα εἶπε, διότι οὐκ εἰς πάντα προασκεῖ ἡμᾶς· ἦ γὰρ ἂν ἤρκει τὰ προγυμνάσματα μόνον μαθοῦσι τῶν κατὰ ῥητορικὴν πραγμάτων περὶ τὰς διαιρέσεις ἑκάστου εἴδους ἀπηλλάχθαι φιλοπονίας. Τὸ δὲ προασκουμένη ἀντὶ τοῦ προασκοῦσα.

Ζητεῖται, διὰ τί ἐπενοήθη τὰ ῥητορικὰ προγυμνάσματα· καί τινες μὲν λέγουσι διὰ τοῦτο αὐτὰ ἐπινοηθῆναι, διότι ἡ ῥητορικὴ φύσει μὲν ἀεὶ παρῆν κατάδηλος, ἦν δὲ δύσληπτος, καὶ οὐ ῥᾴδιαν αὐτῆς τὴν χρῆσιν παρεχομένη, διὸ οὐδὲ πᾶσιν ἦν κατάδηλος· ἕκαστος τοίνυν μέρος τι ταύτης τῆς τέχνης παραλαμβάνων τοῖς μετ' αὐτὸν παρεδίδου καὶ οὕτω κατὰ βραχὺ προῆλθεν εἰς διαιρέσεις τινὰς καὶ μεθόδους· τούτων δὲ οὕτως ἐξ ἀρχῆς καταληφθέντων, ἦν μὲν ἤδη σαφέστερα τὰ ἐκ τῆς ῥητορικῆς καλὰ, τοῖς δὲ νέοις ὅμως δυσμεταχείριστον τὸ πρᾶγμα ἐτύγχανεν· οὐ γὰρ εἶναι ῥᾴδιον ἐδόκει τοῖς αὐτοῦ ἁπτομένοις, πρῶτον εὐθὺς ἀθρόως τὰ ἐν αὐτῷ πάντα καθορᾶν, διὸ παρῆλθεν ἡ τῶν προγυμνασμάτων χρεία· οὐ γὰρ πρὸς τὸ ὅλον ἐν αὐτοῖς, ἀλλὰ πρὸς ἕκαστον τῶν μερῶν ἰδίᾳ γυμναζόμεθα· ἕτεροι δὲ πάλιν λέγουσι; διὰ τοῦτο τὰ προγυμνάσματα τῆς ῥητορικῆς ἐπινοηθῆναι, διὰ τὸ τοὺς ἐν γραφῇ ἠσχολημένους πῇ μὲν κεκτῆσθαι μύθους, πῇ δὲ γνώμας, πῇ δὲ χρείας, καὶ πῇ μὲν ἠθοποιΐας, πῇ δὲ κοινοὺς τόπους. ἀλλὰ τοίτων μὲν ἄλις. Ἐπὶ δὲ τὴν τοῦ κειμένου σαφήνειαν καιρὸς ἤδη λοιπὸν μεταβῆναι· καὶ πρῶτον τὸν μῦθον, εἰ δοκεῖ, θεωρήσομεν. Ζητεῖται τοίνυν διὰ τί ἐπινενόηται ὁ μῦθος τοῖς ῥήτορσιν· καί τινες λέγουσιν, ὅτι ἵνα μὴ μόνον διὰ φανερῶν πραγμάτων, ἅπερ ἐστὶ παραδείγματα, ἐν τοῖς λόγοις, ἀλλὰ καὶ δι' αἰνιγμάτων καὶ εἰκονικῶν πραγμάτων, ἤτοι παραδειγμάτων δυνώμεθα ὑφηγεῖσθαι καὶ προσάγεσθαι τὸν ἀκροα-

τὴν, ἐφ' ὃ βουλόμεθα· εἰώθασι γὰρ οἱ ἄνθρωποι οὐ τοσοῦτον τοῖς φανεροῖς πείθεσθαι πράγμασιν, ὅσον τοῖς μυθώδεσι καὶ τοῖς μεθ' ἡδονῆς λεγομένοις. Ἡμεῖς μέντοι φαμὲν διὰ τοῦτο τὸν μῦθον ἐπινοηθῆναι τοῖς ῥήτορσι, διὰ τὴν ἀπ' αὐτοῦ γενομένην παραίνεσιν· οὕτω γάρ φησι καὶ Ἀφθόνιος, ὅτι γεγένηται καὶ ῥητόρων κοινὸς ἐκ παραινέσεως, ἔτι γε μὴν καὶ διὰ τὸ γυμνάζειν ἡμᾶς πρός τε τὰ τῆς ῥητορικῆς εἴδη καὶ μέρη, καὶ πρὸς τὰ τοῦ πολιτικοῦ λόγου μέρη. Ἀλλὰ ζητήσωμεν, πρὸς ποῖα τῶν τῆς ῥητορικῆς εἰδῶν ὁ μῦθος ἡμᾶς γυμνάζει· ἔτι δὲ καὶ πρὸς ποῖα τῶν τοῦ πολιτικοῦ λόγου μερῶν· λέγεται δὴ καὶ πρὸς τὰ τρία μὲν τῆς ῥητορικῆς εἴδη γυμνάζειν ἡμᾶς τὸν μῦθον, καὶ γὰρ πρὸς τὸ δικανικὸν καὶ πανηγυρικὸν, καθὸ οὐ πάντοτε διὰ τῶν μύθων συμβουλεύομεν, οὐδὲ τὴν τοῦ συμφέροντος ὑπογράφομεν φύσιν ἢ τὴν ἀλήθειαν· οἷον εἰ διηγούμενοι περὶ τοῦ Κροίσου, ὅπως τῇ τοῦ Κύρου ἐπιθέμενος βασιλείᾳ καὶ τὴν οἰκείαν ἀρχὴν ἀπέβαλε, τούτῳ τῷ μύθῳ χρησόμεθα, ὅτι κάμηλος ἐπιθυμήσασα κεράτων καὶ τὰ ὦτα περιετμήθη, εἶτα ἐπενέγκωμεν τὸ κατὰ Κροῖσον διήγημα, ὅτι καὶ αὐτὸς τὰ ὅμοια πέπονθεν, ἐνταῦθα οὐ τὴν τοῦ συμφέροντος φύσιν ὑπογράφομεν, ὥστε συμβουλευτικοῦ εἴδους τὸν μῦθον εἶναι, ἀλλὰ τὴν τῆς ἀληθείας. Γυμνάζει δὲ ἡμᾶς ὁ μῦθος καὶ πρὸς τὸ συμβουλευτικὸν, ὅτε δι' αὐτοῦ συμβουλεύομέν τισι τόδε ποιεῖν· εἰ τάχα δὲ καὶ πρὸς τὰ τρία εἴδη γυμνάζειν ἡμᾶς λέγεται, ὅμως πρὸς τὸ συμβουλευτικὸν ὡς ἐπὶ τὸ πλεῖστον γυμνάζει, διὰ τὸ ὡς ἐπὶ τὸ πολὺ συμβουλῆς ἕνεκα τοὺς μύθους καὶ παραινέσεως πλάττεσθαι. Ἀλλ' ἐπεὶ καὶ τότε δοκεῖ ῥητορικὸς ὁ μῦθος εἶναι, ὅτε παραινέσεως ἕνεκα τέθειται, διὰ τοῦτο ὁ σοφιστὴς εἶπεν, ὅτι γεγένηται δὲ καὶ ῥητόρων κοινὸς ἐκ παραινέσεων· ὥσπερ δὲ ἐπὶ τῶν εἰδῶν οὐ πρὸς ἓν μόνον, ἀλλὰ πάντα γυμνάζειν, οὕτω καὶ ἐπὶ τῶν τοῦ λόγου με-

ρῶν· καὶ γὰρ προοιμίων ἡμᾶς τύπους διδάσκει καὶ διηγήσεων, ἤδη δὲ καὶ αὐτῶν τῶν ἀγώνων· προοιμίων μέν, καθότι προσεκτικοὺς ποιεῖ τοὺς ἀκροατὰς πρὸς τὴν παραίνεσιν· ἔστι δὲ τοῦτο αὐτὸ καὶ τῶν προοιμίων ἔργον, τὸ προσεκτικοὺς ποιεῖν τοὺς ἀκροατὰς πρὸς τὴν διήγησιν· τῶν δὲ διηγήσεων, καθὸ καὶ ὁ μῦθος μυθικόν ἐστιν ὥσπερεὶ διήγημα, αὐτίκα γὰρ εἰ τὸ ἐπιμύθιον ἐκβάλῃ τις, μυθικὸν καθαρῶς τὸ διήγημα τὸ λειπόμενον φαίνεται· καὶ πρὸς τοὺς ἀγῶνας δὲ γυμνάζει ἡμᾶς· ἔσθ' ὅτε γὰρ καὶ εἰς ἐργασίαν λόγου τὸν μῦθον παραλαμβάνομεν, ἥτις ἐστὶ τῶν ἀγώνων. Ἔτι ζητῆσαι ὀφείλομεν καὶ περὶ τῆς τάξεως τοῦ μύθου, διατὶ προετάγη τῶν ἄλλων· λέγεται τοίνυν διὰ τοῦτο προταγῆναι αὐτὸν, διότι πρὸς ψυχαγωγίαν ἐστὶ προχειρότατος, καὶ τῇ πλάσει καὶ τῇ ἀφελείᾳ τῆς λέξεως, καὶ τῇ συντομίᾳ τῆς ἐκθέσεως συντόμως τὸν νέον ἐπαγόμενος, ἢ ἐπεὶ ἡ τῶν προγυμνασμάτων τάξις ἀναβαθμοῖς τισιν ἔοικεν· ἀπὸ γὰρ τοῦ εὐχερεστέρου καὶ ἁπλουστέρου ὄντος ἀρχόμενοι καταντῶμεν [50] ἐπὶ τὰ τελεώτερα. δεῖ γὰρ ἀφελεῖ οὔσῃ τῇ τοῦ νέου ψυχῇ τροφὴν μαλακωτέραν τὴν ἀπὸ τοῦ μύθου εὐθὺς προσάγειν, ὥσπερ καὶ τὰ ἀρτίτοκα βρέφη μαλακὰ ὄντα τοῖς σώμασι γαλακτοτροφοῦμεν, εἶτα ἐπὶ τὰ τελεώτερα μετάγειν μαθήματα, καὶ ὥσπερ ἐν πίθῳ τὴν κεραμείαν μαθεῖν ἀνόητον· ἀπὸ γὰρ τῶν μικροτέρων ὀφείλει ἄρχεσθαι ὁ κεραμεὺς καὶ οὕτω πίθοις ἐπιχειρεῖν, οὐ μὴν ἀπὸ πίθων ἄρχεσθαι καὶ οὕτω μανθάνειν τὴν κεραμείαν, οὕτω καὶ ἐπὶ τῶν παρόντων προγυμνασμάτων ἀπὸ τοῦ εὐκολωτέρου καὶ ἁπλουστέρου πρῶτον ἀρκτέον τῷ γυμνασθησομένῳ, ὅπερ ἐστὶν ὁ μῦθος· εἶθ' οὕτως χωρητέον ἐπὶ τὰ τελεώτερα. Ἢ οὖν διὰ ταῦτα προτέτακται ὁ μῦθος, ἢ ὅτι τετραμεροῦς ὄντος τοῦ ῥητορικοῦ λόγου καὶ ἐν πρώ-

50 Vind. κατ' αὐτῷ μέν.

τοις μὲν ἐπιδεχομένου προοίμιον, μετὰ δὲ ταῦτα διηγήσεις, καὶ μετ' ἐκείνας ἀγῶνας, εἶθ' ὕστερον ἐπιλόγους, ὁ μῦθος τῷ πρώτῳ μέρει τοῦ λόγου μᾶλλον, τοῖς προοιμίοις δηλονότι, ἀναλογεῖ, ἢ ὅτι ἐκ ποιητικῶν μαθημάτων ἄρτι μεθισταμένους,[51] ὧν εἰσὶν οἱ μῦθοι γεννήματα, εὐθὺς δέον συγγενέσι τοῖς ποιητικοῖς μαθήμασι προσομιλεῖν· τὰ δέ εἰσιν οἱ μῦθοι, ἢ διότι ὥσπερ νηπίους ἡμᾶς ὄντας αἱ τῆθαι[52] διὰ μύθων ψυχαγωγοῦσιν, οὕτω καὶ τοῖς εἰσαγομένοις εἰς τὰ ῥητορικὰ μαθήματα διὰ μύθων χρὴ τὰ δέοντα ὑποτίθεσθαι· ἢ διότι ὁ μῦθος φύσει ψευδής, τὸ δὲ ψεῦδος ἀνυπόστατον, ἐκ δὲ τοῦ μὴ ὄντος τὸ ὂν γίνεται, διὰ τοῦτο ὁ μῦθος προτέτακται, ἢ διότι ὁ μὲν μῦθος καθάπαξ ἐστὶ ψευδής, τὰ δὲ λοιπὰ γυμνάσματα καὶ ἀληθείας ἐστὶν ἐχόμενα· τῶν γοῦν πραγμάτων κατ' ὀλίγον ἐπὶ τὸ κρεῖττον χωρούντων, εἰκότως ἀπὸ τοῦ μύθου ἀρχόμενοι καθάπαξ ὄντος ψευδοῦς, ἐπὶ τὰ λοιπὰ ὕστερον μεταβαίνομεν, ὡς ἔχοντά τι ἀληθείας μᾶλλον τοῦ μύθου· ἢ διότι δοκεῖ μᾶλλον τοῦ συμβουλευτικοῦ εἴδους εἶναι ὁ μῦθος· οἱ γὰρ ῥήτορες ἕνεκα παραινέσεως αὐτῷ φαίνονται χρώμενοι· τὸ δὲ συμβουλευτικὸν εἶδος πρῶτόν ἐστι τῶν ἄλλων εἰδῶν· τὸ γὰρ δικανικὸν δεύτερόν ἐστι καὶ τὸ πανηγυρικὸν τρίτον· διὰ τοῦτο τὸν μῦθον τάττει πρῶτον, ὡς τοῦ συμβουλευτικοῦ εἴδους ὄντα. Λείκνυται δὲ πρῶτον ὂν τὸ συμβουλευτικόν ἔκ τε τῆς ἀρχαιογονίας τοῦδε παντὸς, καὶ τῆς φυσικῆς πρὸς τούτοις ἀκολουθίας, καὶ τῆς δυνάμεως· ἐκ μὲν τῆς ἱστορίας, ὅτι βουλῆς πρῶτον ἡμῖν ἐδέησεν· ἱστορεῖται γὰρ, ὡς οἱ ἄνθρωποι πόλεις πρῶτον οὔπω οἰκοῦντες, γνώμῃ κοινοτέρᾳ χρησάμενοι ἐπὶ τὸ κατασκευάζειν πόλεις ἦλθον. εἶτα μετὰ τὸ τὰς πόλεις οἰκῆσαι, κτησάμενος ἄλλος ἄλ-

51 Vind. *μεθισταμένω*. 52 Vind. *αἰτεῖται*. scripseram *αἱ τίτθαι*. sed propius accedit Laur. lectio: *αἱ τῆθαι*.

λην πολιτείαν, τοὺς μὲν ἀγνοοῦντας τὸ συμφέρον ἐπαίδευον, τοὺς δὲ πονηρευομένους ἤλεγχον, ὅπερ ἐστὶ τοῦ δικανικοῦ· μετὰ δὲ ταῦτα καὶ πανηγύρεις σὺνεστήσαντο, τό τε θεῖον τιμῶντες καὶ τοὺς ἐπί τισιν εὐδοκιμοῦντας ἐπαινοῦντες, καὶ ἱερὰ προγόνων καὶ τάφους κοσμοῦντες, καὶ ἐπὶ τοῖς ὑπὲρ πατρίδος ἐν μάχαις ἀποθανοῦσιν ἐπιταφίους λέγοντες καὶ ἐπιθαλαμίους καὶ ἄλλα τινὰ εἴδη τῶν ἐπιδεικτικῶν· τοῦτο δὲ πάλιν ἐστὶ τοῦ πανηγυρικοῦ. Οὕτως οὖν ἀπεδείχθη πρῶτον μὲν εἶναι τὸ συμβουλευτικόν, δεύτερον δὲ τὸ δικανικόν, καὶ τρίτον τὸ πανηγυρικόν· ἔστι δὲ καὶ ἀφ' ἑτέρας ἱστορίας δεῖξαι πρῶτον τὸ συμβουλευτικὸν τῶν ἄλλων· λέγεται γὰρ καὶ Κόρακα, ὅστις τὰ τῆς ῥητορικῆς ἔργα εἰς φῶς προήγαγε τοῖς ἀνθρώποις, τῷ συμβουλευτικῷ εἴδει χρήσασθαι πρώτῳ, ὅτε τοὺς Συρακουσίους ἐπειρᾶτο πείθειν· καὶ οὕτω μὲν ἐκ τῆς ἱστορίας δείκνυται τὸ συμβουλευτικὸν πρῶτον τῶν ἄλλων· δείκνυται δὲ καὶ ἐκ τῆς τοῦ παντὸς ἀρχαιογονίας, καθὸ καὶ ὁ θεὸς πρῶτον συμβουλευσάμενος, θεοπρεπῶς δὲ τοῦτο νοητέον, ἐπὶ τὴν δημιουργίαν ἦλθεν, εἶθ' οὕτω καὶ ἐπὶ τοὺς τῶν δημιουργηθέντων ἐπαίνους, ἄλλως τε καὶ τὸν νόμον πρῶτον θέμενος, ὅ ἐστι τῆς κατὰ νόμου εἰσφορὰν πραγματικῆς ἴδιον, ἥ τις ὑπὸ τὸ συμβουλευτικὸν εἶδος ἀνάγεται, ὕστερον ἐπὶ τὴν τοῦ παρανομήσαντος ἦλθε δίκην· ὅπερ ἐστὶ τοῦ δικανικοῦ. Δείκνυται δὲ καὶ ἐκ τῆς φύσεως, καθὸ προηγεῖσθαι πάσης ἀνάγκη πράξεως τὴν βουλήν· ἐκ δὲ τῆς δυνάμεως δείκνυται, καθὸ ποικιλώτερόν ἐστι τῶν ἄλλων εἰδῶν· ἔτι δὲ καὶ δυσδιαιρετώτερον, ὡς ἐν τῷ περὶ τῶν στάσεων βιβλίῳ τὴν τῆς πραγματικῆς μετιόντες διαίρεσιν μαθησόμεθα· ἔτι δὲ καὶ τὰ τοῦ δικανικοῦ εἴδους καὶ τὰ τοῦ πανηγυρικοῦ σχεδὸν ὅλα ἐν αὐτῷ περιέχει, ἐν ᾧ μὲν τὸ δίκαιον ἐξετάζει, τὰς δικαιολογικὰς στάσεις περιλαμβάνον, ἐν ᾧ δὲ τὸ δυνατὸν καὶ ἔνδοξον, τὰ τοῦ πανηγυρικοῦ, τοὺς

ἐγκωμιαστικοὺς δὲ τόπους ἐν τούτοις ἐξετάζει, ἀφ' ὧν τά τε καλὰ καὶ μὴ, καὶ δυνατὰ καὶ ἀδύνατα τοῖς ἀγῶσιν ἀποδεικνύονται. Οὐκ ἐκ τούτων δὲ μόνον δείκνυται πρῶτον εἶναι τὸ συμβουλευτικὸν, ἀλλ' ἔτι καὶ ἐκ τοῦ πλείονα τὴν ὠφέλειαν ἔχειν τῶν ἄλλων. Ἐκ μὲν γὰρ τοῦ ἐπαίνου ἢ διαβολῆς τυχεῖν ἢ δίκην λαβεῖν ἢ μὴ οὐδὲν τοσοῦτον τοῖς ἀνθρώποις περιγίνεται κέρδος· ἐκ δὲ τοῦ τὰ συμφέροντα εἰρίσκειν αἵ τε πολιτεῖαι καὶ ὁ βίος συνίσταται, ἄλλως τε καὶ ὃν τρόπον προτιμοτέρα ἐστὶν ἡ γυμναστικὴ τῆς ἰατρικῆς, τῷ τὴν μὲν τοὺς νοσοῦντας ἰᾶσθαι, τὴν δὲ μηδὲ ἐᾷν τὴν ἀρχὴν νοσεῖν, οὕτω δὴ καὶ τὸ συμβουλευτικὸν προτιμηθείη ἂν τοῦ δικανικοῦ· τὸ μὲν γὰρ τοῦ συμφέροντος καὶ τοῦ δικαίου καὶ τοῦ πρέποντος ἀποτυχόντας κολάζει, τὸ δὲ οὐδὲ τὴν ἀρχὴν ἀποτυγχάνειν ἐᾷ. Ζητήσειε δ' ἄν τις, ὅτι εἰ πρὸς τὸ συμβουλευτικὸν εἶδος γυμνάζει ἡμᾶς ὁ μῦθος, τοῦτο δὲ τῶν ἄλλων εἰδῶν ποικιλώτερον, καὶ δυσδιαιρετώτερον, οὐκ ὤφειλε προταγῆναι τῶν ἄλλων, ἀπὸ γὰρ τῶν εὐκολωτέρων ἀρχομένους προσῆκε καταντᾶν ἐπὶ τὰ δυσκολώτερα· φήσομεν οὖν, ὅτι ἀλλ' ὁ μὲν μῦθος οὐ πρὸς τὴν τελείαν ἡμᾶς τοῦ συμβουλευτικοῦ γυμνάζει διαίρεσιν, τὸ μέντοι ἐγκώμιον, καθ' ὅλην σχεδὸν τὴν ὑπόθεσιν θεωρούμενον, ποικιλώτερον κατὰ πολὺ τοῦ μύθου καθέστηκεν. Ἀλλ' αἱ μὲν αἰτίαι τοῦ εἰκότως τὸν μῦθον τῶν λοιπῶν προταγῆναι προγυμνασμάτων αὗται. Τῶν μέντοι τοῦ προκειμένου βιβλίου ἐξηγητῶν τις μηδεμίαν τούτων τῶν αἰτιῶν τοσοῦτον ἀποδεχόμενος ἐκεῖνό φησι περὶ τῆς τάξεως τοῦ μύθου. ἰστέον ὅτι τὴν ἀρχὴν ἀπὸ τοῦ μύθου ποιούμεθα, οὔτε ψυχαγωγῆσαι τοὺς ἀκούοντας προαιρούμενοι, ὡς τινες εἶπον, οὔτε μὴν ἐπιδεῖξαι, ὡς ἐπὶ συγγενῆ τῶν ποιητικῶν μαθημάτων ὁ νέος ἀπήντηκεν, ἀλλὰ ἀπὸ τοῦ μύθου ποιούμεθα τὴν ἀρχὴν, διότι ἐπὶ τὸ μέγα τῆς ῥητορικῆς μυστήριον, λέγω δὴ τὸ πιθανὸν, τοὺς νέους εἰσά-

γομεν. Εἰ γὰρ ἐν τοῖς μύθοις διδάσκομεν ἐφαμίλλους τοῖς προσώποις πλάττειν τοὺς λόγους καὶ τὰ πράγματα, δῆλον ὅτι κἂν ταῖς ἄλλαις ὑποθέσεσι κατὰ τὴν ἀξίαν τῶν προσώπων τοὺς λόγους ποιούμενοι πιθανοὶ πρὸς τὸ ῥητορεύειν ἐσόμεθα, καὶ πρὸς τούτοις ἔμφασιν τῶν τριῶν εἰδῶν τῆς ῥητορικῆς ὁ μῦθος συνείληφε· τοῦ μὲν δικανικοῦ, δι' ὧν κατηγοροῦμεν τινῶν· τοῦ συμβουλευτικοῦ, δι' ὧν προτρέπομεν ἢ ἀποτρέπομεν· τοῦ δὲ πανηγυρικοῦ, δι' ὧν ψέγομεν ἢ ἀποδεχόμεθα· ὥστε πρῶτος ἐτάχθη ὁ μῦθος, ὡς σπέρματά τινα τῆς πάσης τέχνης συμπεριειλημμένος. Ὁ μέντοι Ἑρμογένης ἐν τοῖς φερομένοις αὐτοῦ συντάγμασιν τῶν γυμνασμάτων τάδε περὶ τῆς τάξεως τοῦ μύθου φησί· τὸν μῦθον πρῶτον ἀξιοῦσι προσάγειν τοῖς νέοις, διότι τὰς ψυχὰς αὐτῶν πρὸς τὸ βέλτιον ῥυθμίζειν δύναται· ἔτι οὖν ἁπαλοὺς ὄντας αὐτοὺς ἀξιοῦσι τάττειν· ἔτι, φησίν, ἁπαλαῖς οὔσαις ταῖς τῶν νέων ψυχαῖς ῥᾳδίως, ὥσπερ ἐν κηρίοις, ἡ τῶν μύθων ἐντυποῦται παραίνεσις, ἀνεξάλειπτον φυλάττουσα τὴν ὠφέλειαν. Ζητεῖται δὲ καὶ πόθεν παρωνόμασται μῦθος, καί φησιν, ἀπὸ τοῦ μυθεῖσθαι ὅ σημαίνει τὸ λέγειν, καὶ ὁ ἀληθὴς λόγος μῦθος ὀφείλει παρὰ τοῦτο λέγεσθαι, εἴγε κἀκείνῳ τὸ μυθεῖσθαι ἕπεται. λέγομεν οὖν, ὅτι ὁ μὲν μῦθος ψευδὴς ὢν κατὰ τὴν φύσιν, καὶ διὰ τοῦτο ἐν μόνῳ τῷ μυθεῖσθαι καὶ διαλέγεσθαι τὴν ὑπόστασιν ἔχων, εἰκότως ἐκ τούτου καὶ ὀνομάζεται· ὁ δὲ ἀληθὴς οὐκ ἐν τῷ μυθεῖσθαι μόνον ἔχων τὴν ὑπόστασιν, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων αὐτῶν βεβαιούμενος, εἰκότως οὐκ ἐντεῦθεν ἀλλ' ἑτέρωθεν ὠνόμασται· ἢ παρὰ τοῦτο λέγεται μῦθος, παρόσον τὸ πολιτικῶς λέγειν ἐν αὐτῷ πρώτῳ μανθάνομεν, ἢ ὅτι ὥσπερ πολλῶν οὐσῶν βοτανῶν τῶν εἰς τὸ ἄνω θεουσῶν μόνον τὸ ἄνηθον παρὰ τὸ ἄνω θεῖν καθ' Ὡρίωνα παρωνόμασται, οὕτω καὶ πολλῶν ὄντων τῶν λόγων τῶν λεγομένων, μόνος ὁ κατὰ φύσιν ψευδὴς ἀπὸ τοῦ

μυθεῖσθαι παρωνόμασται. Τινὲς δὲ [53] καὶ αἶνον αὐτὸν ὠνόμασαν ἀπὸ τῆς ἐν αὐτῷ παραινέσεως, ὡς Ἡσίοδος ἐν τῷ περὶ τῶν ἔργων καὶ ἡμερῶν βιβλίῳ [54] λέγων·

Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω [55] φρονέουσι καὶ αὐτοῖς.

ἔνιοι δὲ καὶ λόγον αὐτὸν ὀνομάζουσι· διὸ καὶ ὁ Αἴσωπος λογοποιὸς λέγεται, μύθων γὰρ πλάστης ὁ Αἴσωπος.

Τινὰ τῶν εἰωθότων ζητεῖσθαι περὶ τοῦ μύθου προεγράψησαν ὄπισθεν προσεχῶς, οἷον διὰ τί ἐπινενόηται ὁ μῦθος τοῖς ῥήτορσιν; ὅτι διὰ τὴν ἀπ' αὐτοῦ γινομένην παραίνεσιν· γεγένηται γάρ, φησὶ, καὶ ῥητόρων κοινὸς ἐκ παραινέσεως, καὶ ὅτι διὰ τὸ γυμνάζειν ἡμᾶς πρὸς τὰ τῆς ῥητορικῆς εἴδη καὶ μέρη, καὶ πρὸς τὰ τοῦ πολιτικοῦ λόγου μέρη· εἰ καί τινες προστιθέασιν, ὅτι δεῖ μὴ διὰ φανερῶν μόνον πραγμάτων ὑφηγεῖσθαι καὶ προσάγεσθαι τὸν ἀκροατὴν, ἐφ' ὃ βουλόμεθα, ἀλλὰ καὶ δι' αἰνιγμάτων καὶ εἰκονικῶν πραγμάτων· ἔτι κἀκεῖνο προεγράφη πρὸς ποῖα τῶν τῆς ῥητορικῆς εἰδῶν γυμνάζει ὁ μῦθος· ὅτι καὶ πρὸς τὰ τρία, εἰ καὶ πρὸς τὸ συμβουλευτικὸν μᾶλλον, καὶ πρὸς τὰ μέρη δὲ πάντα τοῦ λόγου· προσοχήν τε γὰρ ποιεῖ καὶ αὐτὸς ὡς τὰ προοίμια, καὶ διηγήσεων τόπων ἐπέχει, [56] εἰ ἀφέλῃς τὸ ἐπιμύθιον, τότε γὰρ μυθικὸν γίνεται τὸ διήγημα, καὶ πρὸς τοὺς ἀγῶνας δὲ· ἔστι γὰρ ὅτε εἰς ἐργασίας λόγου τὸν μῦθον παραλαμβάνομεν· ἔτι καὶ ἡ περὶ τῆς τάξεως αὐτοῦ ζήτησις προκατέστρωται, ὅτι διὰ τὴν πρόχειρον ψυχαγωγίαν τὴν διὰ τῆς πλάσεως καὶ τῆς ἀφελείας τῆς λέξεως, ἢ ὡς εὐχερέστερος καὶ ἁπλούστερος, ἐνάγων πρὸς τὰ τελεώτερα, ἢ ὅτι προοιμίῳ ἀναλογεῖ, ἢ διὰ τὴν συγγένειαν τῶν ποιητικῶν

---

53 Taur. τὸν μῦθόν τινες καὶ αἶνον ὠνόμασαν. 54 ἐν τῷ περὶ τῶν ἔ. κ. ἡ. βιβλίῳ λέγων Taur. om. 55 Taur. βασιλεῦσιν ἐρέω. Sq. φρονέουσι καὶ αὐτοῖς om. — Hos. Ἔργ. 201. 56 Vind. ἀπέχει. Laur. ἐπέχει.

μαθημάτων, ὧν εἰσιν οἱ μῦθοι γεννήματα· ἢ ὅτι ὡς αἱ τῆθαι διὰ μύθων ψυχαγωγοῦσι τοὺς νηπίους, οὕτω καὶ τοὺς νέους οἱ ῥήτορες, ἢ ὅτι τοῦ συμβουλευτικοῦ εἴδους ἐστὶ, πρῶτον δὲ τὸ συμβουλευτικὸν, ἢ ὅτι τὸ πιθανὸν ἡμᾶς διδάσκει, ὅπερ ἐστὶ τὸ μέγα καὶ τελεώτερον τῆς ῥητορικῆς μυστήριον. Ἔτι κἀκεῖνο προεκτέθειται, εἰ πρὸς τὸ συμβουλευτικὸν γυμνάζει ὁ μῦθος, τοῦτο δὲ δυσχερέστερον οὐκ ὤφειλε προταγῆναι τῶν ἄλλων, καὶ λέλυται, ὅτι οὐ πρὸς τὴν τελείαν[57] τοῦ συμβουλευτικοῦ διαίρεσιν ὁ μῦθος γυμνάζει· πλὴν ἰστέον ὅτι διὰ τοῦτο προτέτακται ὁ μῦθος, ἐπειδὴ ὡς σπέρματά τινα πάσης τῆς τέχνης δοκεῖ περιειληφέναι. Ὁ μέντοι Ἑρμογένης αἰτίαν ἀποδίδωσι τῆς τοῦ μύθου προταγῆς τὸ δύνασθαι αὐτὸν τὰς τῶν νέων ψυχὰς ῥυθμίζειν πρὸς τὸ βέλτιον, καὶ ὅτι ἀπαλαῖς οὔσαις ταῖς τῶν νέων ψυχαῖς ῥᾳδίως ὥσπερ κηρίοις ἐντυποῦται ἡ τῶν μύθων παραίνεσις. Ἔτι κἀκεῖνο προεγράφη, πόθεν παρωνόμασται μῦθος, ὅτι ἀπὸ τοῦ μυεῖσθαι· ἐν μόνῳ γὰρ τῷ λέγεσθαι ἔχει τὴν ὑπόστασιν. εἰ γὰρ καὶ ὁ ἀληθὴς οὕτως ὠνόμασται, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων βεβαιούμενος, εἰκότως καὶ ἑτέρωθεν ὠνόμασται, ἢ καὶ ὅτι πολλῶν ὄντων τῶν λόγων τῶν λεγομένων μόνος ὁ κατὰ φύσιν ψευδὴς ἀπὸ τοῦ μυεῖσθαι παρωνόμασται, ὥσπερ καὶ πολλῶν οὐσῶν βοτανῶν τῶν εἰς τὸ ἄνω θεουσῶν, μόνον τὸ ἄνηθον παρὰ τὸ ἄνω θεῖν καθ' Ὡρίωνα παρωνόμασται· καλεῖται δὲ καὶ αἶνος, ὡς Ἡσίοδος ἐν τῷ περὶ τῶν ἔργων καὶ ἡμερῶν βιβλίῳ λέγει,

Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω φρονέουσι καὶ αὐτοῖς.

ἔνιοι δὲ καὶ λόγον αὐτὸν ὀνομάζουσιν, ἐπεὶ καὶ ὁ Αἴσωπος λογοποιὸς λέγεται, μύθων γὰρ πλάστης ὁ Αἴσωπος.

ΑΦΘΟ-

57 Vind. *Θελείαν.*

ΑΦΘΟΝΙΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.

Cap. I.

ΠΕΡΙ ΜΥΘΟΥ.

ά. Ὁ μῦθος ποιητῶν μὲν προῆλθεν. Ζητοῦσί τινες διὰ τί τὰ μὲν ἄλλα γυμνάσματα ὁρίζεται ἐν προκαταρκτικοῖς, ἐπὶ δὲ τοῦ μύθου τοῦτο οὐ ποιεῖ, ἀλλὰ πρῶτον μὲν λέγει τὴν γένεσιν τοῦ μύθου, εἶθ' οὕτως ὁρίζεται αὐτόν· καὶ λέγομεν, ἐπειδή τινες ἔλεγον, μὴ δεῖν τοῖς γυμνάσμασι τὸν μῦθον συντάττεσθαι, ἅτε ὁμολογουμένως ψευδῆ ὄντα, διὰ τοῦτο πρῶτον μὲν θεραπεύει καὶ λέγει τὴν αἰτίαν δι' ἣν δεῖ ἡμᾶς αὐτὸν δέξασθαι, εἶθ' οὕτως ἐπιχειρεῖ τῇ περὶ αὐτοῦ διδασκαλίᾳ καὶ ὁρίζεται αὐτόν· τί γάρ φησιν, ὅτι τοῖς ποιηταῖς εὕρηται ὁ μῦθος· εἰ οὖν ἐκεῖνοι τῷ μύθῳ ἐχρήσαντο, πῶς αὐτῷ καὶ ἡμεῖς χρησόμεθα. καίτοι οἱ μὲν ποιηταὶ ψιλῆς ἕνεκα ψυχαγωγίας αὐτῷ ἐχρήσαντο· ἡμεῖς δὲ ἕνεκα παραινέσεως.

β'. Ζητεῖται διὰ τί ἐπὶ μὲν τῶν ἄλλων προγυμνασμάτων οὐ χρῆται ἐξ ἀρχῆς ἄρθροις, ἀλλὰ χωρὶς ἄρθρων λέγει· [1] διήγημά ἐστιν ἔκθεσις πράγματος· χρεία ἐστὶν ἀπομνημόνευμα σύντομον· γνώμη ἐστὶ λόγος ἐν ἀποφάνσεσιν, ἐν μόνῳ δὲ τῷ μύθῳ χρῆται προκαταρτικοῖς [2] ἄρθροις, λέγων, ὁ μῦθος ποιητῶν μὲν προῆλθε· καὶ λέγομεν, ὅτι τὰ ἄρθρα τῶν ἐγνωσμένων εἰώθασι πρα-

1 Laurent. *λέγων.* 2 Vind. priore vocis parte per lacunam omissa habet: *τικοῖς.* Hanc et sqq. lacunas in Laur. non exstitisse apparet, sed cadunt in locum atramenti macula vastatum, et ita consentiunt primae, quae legi possunt, litterae, ut Vindob. ex hoc ipso videatur descriptus.

γμάτων προτάττεσθαι [3] ἦλθε, δοκεῖ μοι ἀγνοεῖν ποία, ἐὰν δὲ σὺν τῷ ἄρθρῳ τεθῇ, εἰς γνῶσίν μοι παραλαμβάνεται ἡ ὑποκειμένη [4] οὐσία τοῦ πράγματος· εἰκότως οὖν ἐπὶ μὲν τῶν ἄλλων προγυμνασμάτων οὐ προτάττει τὰ ἄρθρα, ἀγνώστων τοῖς ἐκ ποιητικῆς ἄρτι ἐρχομένοις [5] ὄντων. ἐπὶ δὲ τοῦ μύθου προτάττει τὸ ὁ ἄρθρον, ἅτε δὴ γνωρίμου αὐτοῦ ὄντος τοῖς προενηνοχημένοις τοῖς ποιητικοῖς· ἢ ὅτι ἐπεὶ μὲν τῶν ἄλλων ἁπάντων προτίθεται [6] τὸν τοῦ προκειμένου προγυμνάσματος ὁρισμὸν οὐ κέχρηται ἄρθροις, ἅτε δὴ πρὸ τοῦ ὁρισμοῦ ἀγνοουμένου ὄντος τοῦ προκειμένου, ἐνταῦθα δὲ ὁριζόμενος τὸν μῦθον καὶ λέγων, ἔστι δὲ μῦθος λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν, τὸ αὐτὸ παρατηρεῖται, χωρὶς ἄρθρου προφέρων [7] τὸ λεγόμενον· τὴν δὲ γένεσιν αὐτοῦ λέγων χρῆται τῷ ἄρθρῳ, δι' ἣν εἴπομεν αἰτίαν· τὸ αὐτὸ δὲ ποιεῖ κἂν τῇ τοῦ νόμου εἰσφορᾷ. λέγει γὰρ ὧδί πως κἀκεῖ. καὶ τὴν εἰσφορὰν τοῦ νόμου τινὲς εἶναι δεδώκασι γύμνασμα. ἰδοὺ ἐχρήσατο τῷ ἄρθρῳ· ὁριζόμενος δὲ [8] αὐτὴν οὐ χρῆται τῷ ἄρθρῳ· λέγει γὰρ οὕτως. ἔστι δὲ νόμου εἰσφορὰ διπλῆ γυμνασία καὶ τὰ ἑξῆς. σκόπει δὲ πῶς ἐν ἑκάστῳ γυμνάσματι μετὰ τὸν ὁρισμὸν τοῖς ἄρθροις χρῆται λέγων· τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικὸν, τοῦ δὲ διηγήματος τὸ μὲν ἐστι δραματικὸν καὶ τὰ ἑξῆς· καὶ ἐν τοῖς ἄλλοις ὁμοίως ἅτε δηλουμένων [9] αὐτῶν ἡμῖν διὰ τῶν ὁριστικῶν λόγων.

---

3 προτάττεσθαι posui ad explendam lacunam, quae est in Vind. et Laur. sed exciderunt plura. 4 Vind. et Laur. ἡ ὑπο. reliquam vocis partem absorpsit lacuna. 5 Vind. ἐργασαμένοις. 6 in Vind. post προτίθεται lacuna est, quam Laurent. non habet. 7 in Laur. non liquet, sitne προφέρων, an προφέρει. Vind. προφέρει. 8 δὲ Vind. om. 9 Vind. δηλοῦμαι.

γ'. Ποιητῶν μὲν προῆλθε. ζητεῖται [10] διὰ τί ἀπὸ τῶν ποιητῶν εἶπε προεληλυθέναι τὸν μῦθον· καί τοι καὶ συγγραφέων αὐτῷ χρησαμένων, οἷον Ἡροδότου ἐν πολλοῖς καὶ Θουκυδίδου σπανίως, οἷον τῷ τῆς ἀηδόνος καὶ τινων ἄλλων· καί φαμεν, ὅτι ἐπειδὴ πρὸς νέους διελέγετο, ἐκ ποιητικῶν μαθημάτων πρὸς τὴν ῥητορικὴν ἄρτι ἀπηντηκότας [11] καὶ μηδέπω συγγραφεῦσιν ἐντετυχηκότας, ἀφ' ὧν ἠπίσταντο αὐτοὶ, ἀπ' ἐκείνων τὸν μῦθον ἔφη [12] προελθεῖν. Ὁ μέν τοι σοφώτατος Ἑρμογένης ἐν τοῖς φερομένοις αὐτοῦ γυμνάσμασιν οὐ τοῖς ποιηταῖς μόνοις τὸν μῦθον περιέκλεισεν, ἀλλὰ τῷ τῶν ἀρχαίων ὀνόματι καὶ συγγραφέας περιλαμβάνει καὶ ποιητάς· φησὶ γὰρ οὕτως· φαίνονται δὲ τῷ μύθῳ χρησάμενοι καὶ οἱ ἀρχαῖοι. Τρία δὲ ταῦτα κατορθοῖ καὶ ἀποδείκνυσιν ἐξ ἀρχῆς, ὅτι ἔστιν ὁ μῦθος, καὶ ὅθεν ἐστὶ, καὶ ὅπως ἔντιμος· ἐν γὰρ τῷ, ὅθεν ἐστὶ, δεῖξαι καὶ τὸ, ὅτι ἐστὶ, πάντως περιλαμβάνεται, καὶ οὕτως τῷ γένει καὶ τὴν ὕπαρξιν συμπαρέλαβεν, εἰπὼν ὅτι ποιητῶν μὲν προῆλθεν· οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ τὸ ἔνδοξον αὐτοῦ προσαπέδειξεν· ὃν γὰρ τρόπον ἐγκωμιάσαι βουλόμενοί τινα πρὸ τῶν κατ' αὐτὸν ἐπαίνων εἰς τοὺς πατέρας καὶ τοὺς προγόνους ἀναφερόμενοι ἐκεῖθεν αὐτοῦ τὸ εὐδόκιμον δείκνυμεν, οὕτω καὶ οὗτος [13] εἰς τοὺς ποιητὰς τὸ γένος ἀναφέρει τοῦ μύθου, ἐκ τῆς ἀρχαιότητος καὶ τῶν προσώπων τῆς ἐνδοξότητος πλέκων αὐτῷ τὸ ἐγκώ-

---

10 Par. 2. post majus, quod in nota subjunximus, lemma commentarium suum ita continuat. *Διατὶ τὸν μῦθον ἀπὸ ποιητῶν προελθεῖν εἶπε, καί τοι συγγραφέων αὐτῷ χρησαμένων, οἷον Ἡροδότου καὶ Θουκυδίδου καὶ ἄλλων*, etc. Par. 2. *διαλέγεται*. 11 Par. 2. *ἤδη ὡρμωμένους πρὸς ῥητορικήν*. 12 Par. 2. *λέγουσι προεληλυθέναι*. Sqq. Par. om. usque ad litt. δ. *τὸ προῆλθε*. 13 Vind. *οὕτω καὶ οὕτως*.

μιον· οὐχ ἃ δὲ [14] μόνον εἰρήκαμεν, τῷ Ἀφθονίῳ κατώρθωται, ἀλλ' ὅτι καὶ ὡς ἐπὶ συγγενεῖ μαθήματι τοὺς παῖδας προτρέπεται δείκνυσιν· οὐ γὰρ ἄηθές τι, φησὶ, προβαλλόμεθα, ἀλλ' αὐτὰ δὴ ταῦτα οἷς καὶ ὑμεῖς συνεἰθισθε καὶ παρὰ τοῖς ποιηταῖς ἐμφέρεται πανταχοῦ· εἰκότως δὲ τὸν μῦθον ἀπὸ τῶν ποιητῶν ἔφη προελθεῖν, ἐπεὶ καὶ ἀναγκαίως αὐτῷ χρῶνται οἱ ποιηταί· οὗτος γάρ ἐστιν ὁ χαρακτηρίζων τὴν ποίησιν· δεῖ γὰρ τὸν ποιητὴν τέτρασι πάντων τούτοις κοσμεῖσθαι, μέτρῳ, μύθῳ, ἱστορίᾳ, ποιᾷ λέξει· καὶ πᾶν τὸ μὴ μετέχον τῶν τεσσάρων ποίημα οὐκ ἔστι.

δ'. Τὸ προῆλθε σημαίνει πέντε· [15] τὸ ἐγεννήθη [16], ὡς ἔχει τὸ, ἐκ παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, καὶ τὸ εἰς ἐπίδοσιν ἦλθε· καὶ τὸ πρῶτος ἦλθε, καὶ τὸ ἐξῆλθεν· ὡς τὸ, ὅσοι κατηχούμενοι προήλθετε, καὶ τὸ, Θριάμβον ἤγουν προέλευσιν ἐποίησε· τὸ γοῦν προῆλθεν ἐνταῦθα ἢ ἀντὶ τοῦ ἐγεννήθη, εἰς φῶς ἦλθεν καὶ παρὰ τῶν ποιητῶν τὴν ἀρχὴν ἔλαβεν, ἢ ἀντὶ τοῦ ὢν καὶ πρὸ τῶν ποιητῶν, παρ' αὐτῶν τούτων ἐπηυξήθη καὶ προσεπέδωκεν.

ε'. Γεγένηται δὲ καὶ ῥητόρων κοινός. — Κοινωνίαν τινὰ καὶ διαφορὰν τῶν ποιητῶν καὶ ῥητόρων ἐνταῦθα ἐσήμανεν· ἐν μὲν γὰρ τῷ εἰπεῖν, ὅτι γεγένηται

---

14 ἃ δὲ Laur. ᾧ δὲ Vind. 15 Vind. σημαίνει καὶ τό. 16 Par. 2. πέντε· τὸ ἐγεννήθη, ὡς τὸ προελθὼν μετὰ τῆς προσλήψεως, τὸ προεγένετο, τὸ ηὐξήνθη καὶ ἐπέδωκε· λέγεται καὶ ἐπὶ τῆς προόδου, ὡς τὸ προῆλθεν ὁ δεῖνα εἰς τὴν ἐκκλησίαν· σημαίνει καὶ τὸ ἐξελθεῖν, ὡς τό· ὅσοι κατηχούμενοι, προέλθετε. Sq. τὸ προῆλθε δηλοῖ τὸ γεγένηται· quod est in Comment. nr. IV. litt. ιά· Lacuna in Par. 1. desinit in verbis: ὡς τὸ προελθὼν μετὰ τῆς προσλ. Deinceps prorsus consentit cum Par. 2.

δὲ καὶ ῥητόρων κοινὸς, τὴν κοινωνίαν ἐδήλωσεν· ἐν δὲ τῷ εἰπεῖν ἐκ παραινέσεως, τὴν διαφοράν· ἔδειξε γὰρ ὅτι εἰ καὶ κοινός ἐστι τῶν τε ποιητῶν καὶ ῥητόρων ὁ μῦθος, ὅμως οὐ διὰ τὴν αὐτὴν αἰτίαν αὐτῷ χρῶνται οἵ τε ποιηταὶ καὶ οἱ ῥήτορες· οἱ μὲν γὰρ ῥήτορες διὰ παραίνεσιν, οἱ δὲ ποιηταὶ ὡς ἐπὶ τὸ πλεῖστον διὰ τὸ μόνην ψυχαγωγίαν ἐμποιεῖν. Ὡς ἐπὶ τὸ πλεῖστον [17] δὲ εἶπον, διότι ἔσθ' ὅτε καὶ οἱ ποιηταὶ πρὸς παραίνεσιν αὐτῷ χρῶνται, ὡς ὁ τῆς ἀηδόνος ἔχει παρὰ τῷ Ἡσιόδῳ. [18]

ς'. Ποσαχῶς τὸ κοινὸς; τετραχῶς· ἢ γὰρ τὸ ἐξίσου μετεχόμενον, ὡς ἡ ὕλη καὶ τὸ γένος· ταύτης γὰρ τὰ ὁμογενῆ πάντα ἐπίσης μετέχουσιν, ὅ τε ἄνθρωπος καὶ ὁ βοῦς καὶ ὁ κύων, καὶ ὅσα ὑπὸ τὸ ζῷόν εἰσιν εἴδη, καὶ τοῦ ἀέρος δὲ πάντες ἐπίσης μετέχομεν, πάντες γὰρ ἐπίσης αὐτὸν ἀναπνέομεν, καὶ τῆς φωνῆς πάλιν τοῦ κήρυκος καὶ τῆς βροντῆς πάντες ἐπίσης μετέχομεν· ἢ οὖν τὸ ἢ τὸ ἐν χρήσει μὲν κοινῇ λαμβανόμενον, ἀδιαίρετον δὲ ὂν καὶ ἀνὰ μέρος δεσποζόμενον, ὡς εἷς δοῦλος, ἢ εἷς ἵππος δύο δεσποτῶν· οὐ γὰρ δὴ [19] καὶ κατὰ τὸν αὐτὸν χρόνον καὶ κατὰ τὸν αὐτὸν τρόπον καὶ παρὰ τῶν αὐτῶν τὰ τοιαῦτα δεσπόζεσθαι δυνατόν· ἢ τὸ τοῦ προλαβόντος γινόμενον ἴδιον, εἰς δὲ τὸ κοινὸν αὖθις ἀναπεμπόμενον, ὡς ὁ ἐν θεάτρῳ τόπος καὶ ὁ ἐν τῷ βαλανείῳ· τὸ δὲ τέταρτον, ὡς ἐπὶ τοῦ διαιρεῖσθαι δυναμένου, ὥσπερ ἐπὶ τῆς κοινῆς οὐσίας καὶ τῆς

---

17 διὰ τὸ μόνην ψυχαγωγίαν ἐμπ. Vind. h. l. repetit, omisi cum Laur. 18 Hes. Ἔργ. 201. Parr. 1. 2. inserunt: ῥήτωρ ἐκ τοῦ ῥῶ τὸ λίγω παράγεται· quae exstant in Comment. nr. IV. litt. ιδ'. Sqq. ποσαχῶς τὸ κοινὸς· usque ad: καὶ κατὰ φύσιν νοεῖσθαι integra sunt in Par. 1. et 2. 19 δὴ Laur. δεῖ Vind.

κληρουχουμένης γῆς· ἀμφότερα γὰρ διαιρεῖσθαι καὶ κατ' εἶδος ἢ ἀναλόγως τοῖς ἐπιβαλλομένοις προσώποις ἀναμερίζεσθαι δυνατόν. Τοσοίτων οὖν τῶν σημαινομένων τοῦ κοινὸς ὄντων, εἰ μὲν ἐπὶ τῶν ῥητόρων μόνων ἐνταῦθα τὸ κοινὸς ἐκλάβωμεν, ὡς δὴ πᾶσι κοινοῦ ὄντος τοῦ μύθου τοῖς τε συμβουλευομένοις καὶ δικαζομένοις καὶ πανηγυρίζουσι, κατὰ τὸ πρῶτον ἔσται σημαινόμενον, εἰ δὲ ἐπὶ τῶν ποιητῶν ὁμοῦ καὶ ῥητόρων κατὰ τὸ ἔσχατον· οὐ γὰρ ὁ αὐτὸς τοῖς ποιηταῖς τε καὶ τοῖς ῥήτορσιν ἁρμόζων ἐστὶν, ἀλλ' ὅσον μὲν τοῦ μύθου πρὸς τέρψιν ὁρᾷ μόνον, τοῖς ποιηταῖς ἀπονενέμηται, ὅσον δὲ πρὸς συμβουλὴν καὶ ὠφέλειαν, τοῖς ῥήτορσιν. Ἰστέον δὲ, ὅτι ἔνιοι καὶ ἕτερα δύο τοῖς τοῦ κοινὸς σημαινομένοις προστιθέασι· φασὶ γὰρ καὶ τὸ εὐτελὲς καὶ ἀπερρίμμενον κοινὸν λέγεσθαι, καὶ τὸ μεμιασμένον ὡσαύτως, ὡς ἔχει τὸ, οὐ γὰρ τὰ εἰσερχόμενα, ἀλλὰ τὰ ἐξερχόμενα κοινοῖ· καὶ τὸ, ἃ ὁ Θεὸς ἐκάθηρε σὺ μὴ κοίνου. Ζητεῖται δὲ καὶ, τίσι διαφέρει ὁ ῥητορικὸς μῦθος τοῦ ποιητικοῦ· καί φασι διαφέρειν τετράσι τούτοις· πρῶτον τῷ τὸν μὲν ψυχαγωγίας μόνης καὶ τέρψεως ἕνεκα τὸν ποιητικὸν πλάττεσθαι, τὸν δὲ ὠφελείας· δεύτερον τῷ τὸν μὲν καθ' ἑαυτὸν θεωρεῖσθαι, τὸν δὲ προσλαμβάνειν καὶ τὴν διαίρεσιν· τρίτον τῷ τὸν μὲν διὰ πολλῶν καὶ μακροτέρων ἐκφέρεσθαι, καὶ προσωποποιῶν καὶ διηγημάτων, τὸν δὲ μάλιστα συστέλλεσθαι· τέταρτον τῷ τὸν μὲν καὶ ἀλληγορεῖσθαι, τὸν δὲ ῥητορικὸν οὐδαμῶς, ἀλλ' οὕτως ὥσπερ λέγεται καὶ κατὰ φύσιν νοεῖσθαι.[20] Ἀλλ' ἐπειδὴ τῆς τῶν μύθων ἀλληγορίας ἐμνη-

---

20 Parr. 1. 2. post *νοεῖσθαι* addunt, quae Laur. et Vind. sub litt. δ'. referunt: *τρία δὲ ταῦτα κατορθοῖ — — — — συμπεριέλαβεν.* tum pergunt: *τὸ γοῦν προῆλθεν ἐνταῦθα ἢ ἀντὶ τοῦ ἐγεννήθη καὶ εἰς φῶς ἦλθε, καὶ παρὰ τῶν ποιητῶν τὴν ἀρχὴν ἔλα-*

μονεύσαμεν, φέρε ποσαχῶς ὁ μῦθος ἀλληγορεῖται εἴπωμεν. Ὡς ἐπὶ κεφαλαίων μὲν οὖν εἰπεῖν, τρισὶ τούτοις ὁ τῆς ἀλληγορίας τῶν μύθων περιωρίσθω τρόπος· ἢ γὰρ φυσικῶς αὐτοὺς ἀλληγοροῦμεν, ἢ ἠθικῶς ἢ θεολογικῶς· φυσικῶς μὲν, ὅτε πρὸς τὴν φύσιν αὐτοὺς ἀνάγομεν, ὡς ὅταν οἱ θεοὶ παρ' Ὁμήρῳ μάχωνται, τὸ γὰρ τῶν στοιχείων οἶμαι νεῖκος διὰ τούτων αὐτὸν αἰνίττεσθαι, καὶ ὁ Ζεὺς παρ' αὐτῷ Ἥρᾳ μίγνυται, τήν τε τοῦ αἰθέρος ἡμῖν κρᾶσιν καὶ τοῦ ἀέρος φιλοσοφοῦντι· ἠθικῶς δὲ, ὅταν περὶ ἤθους, τουτέστι τῆς ἐν ἡμῖν κακίας καὶ ἀρετῆς φιλοσοφῶμεν· ὥσπερ παρ' Ὁμήρῳ μάχεται μὲν ἡ Ἀθηνᾶ τῷ Ἄρει, καὶ ὁ Ἑρμῆς τῇ Λητοῖ· καὶ εἴ τις ἄλλη τῶν ἀρετῶν πρὸς τὴν κακίαν ἀντίστασις· θεολογικῶς δὲ, ὅταν περὶ τῆς ἀϊδιότητος ἢ τῆς θείας φύσεως φιλοσοφῶμεν, ὥσπερ Ὅμηρος τὴν Ἥβην τοῖς θεοῖς κιρνῶσαν εἰσάγει τὸ νέκταρ, ἢ καὶ τὸν Γανυμήδην οἰνοχοῦντα· ἐπεὶ γὰρ καὶ αὐτὸς τῆς θείας φύσεως δύο σύνοιδε, τὴν ἀθανασίαν λέγω καὶ τὴν σοφίαν, διὰ μὲν τῆς Ἥβης τὴν ἀθανασίαν ὡς ἀκμαίαν αὐτοῖς ἀεὶ καὶ ἀγήρω τὴν οὐσίαν παρεχομένης, διὰ τοῦ Γανυμήδους [21] δὲ τὴν σοφίαν ἐδήλωσε. Γανυμήδης γὰρ παρὰ τὸ γάννυσθαι τοῖς βουλεύμασιν.

ζ. Ἐκ παραινέσεως· οἱ μὲν ἀντὶ τοῦ ἕνεκα παραινέσεως, οἱ δὲ ἀντὶ τῆς διὰ, ἤτοι διὰ παραίνεσιν, ἵν' ᾖ πρόθεσις ἀντὶ προθέσεως. [22] Ἀττικὴν δέ φασιν εἶναι ταύτην τὴν φράσιν, παραινέσεως δὲ λέγει τῆς ἐν

βιν, ἢ ἀντὶ τοῦ ὧν καὶ πρὸ τῶν ποιητῶν, παρ' αὐτῶν τούτων προσεπηνέχθη καὶ προσεπίδωκεν. ἐπειδὴ ἐπὶ τὸ συμβουλευτικὸν τῆς ῥητορικῆς εἶδος ὁ μῦθος ἀνάγεται, τούτου δὲ τέλος τὸ συμφέρον, διὰ τοῦτο ὁ Ἀφθόνιος τὸ ἐκ παραινέσεως προσέθηκεν, ἕνεκεν γὰρ παραινέσεως τέτακται. 21 Laur. γαννυμίδους et γαννυμήδης. 22 Vind. ἀντὶ πρόθεσιν — Laur. προθέυεως.

τῷ ἐπιμυθίῳ· ὁ μέντοι Γεωμέτρης ἀκριβέστερον καὶ κατ᾽ αὐτὴν τὴν πρόθεσιν τὴν λέξιν ἑρμηνεύων φησίν· ὅτι εἰκότως ἔφη τὸ ἐκ παραινέσεως, οὐ γὰρ ἀναφόρως πρότερον καὶ ἀλόγως τὸν μῦθον ὁ ῥήτωρ πλάσας ὅμοιον αὐτῷ προσεπιπλάττει τὸ ἐπιμύθιον· πρότερον δὲ ἀφαιρῶν, [23] ὅπερ ἐστὶν ἡ παραίνεσις, καὶ ἀπ᾽ αὐτοῦ τὰς ἀφορμὰς δεχόμενος, οὕτω τὸν μῦθον εἰκότως αὐτῷ προσεπινοεῖ, ὥστε τὴν παραίνεσιν ὑστέραν μὲν εἶναι τῇ τάξει, προτέραν [24] δὲ τῇ φύσει καὶ τῇ δυνάμει. Ζητεῖται δὲ, τίνος χάριν τὸ ἐκ παραινέσεως προστέθειται· ἤρκει γὰρ, φησὶν, οὕτως εἰπεῖν· γεγένηται δὲ καὶ ῥητόρων κοινός· λέγομεν, ὅτι τοῦτο προτέθειται, ἢ διὰ τὸ τὴν διαφορὰν δειχθῆναι δι᾽ αὐτοῦ τοῦ ποιητικοῦ καὶ ῥητορικοῦ μύθου· ἐπεὶ γὰρ εἶπε κοινωνεῖν τοὺς ποιητὰς καὶ τοὺς ῥήτορας κατὰ τὴν τοῦ μύθου χρῆσιν, ἔδει πάντως καὶ διαφορὰν αὐτῶν κατ᾽ αὐτὸ τοῦτο ἐπενεγκεῖν. Ὅπου γὰρ κοινωνία, ἐκεῖ καὶ διαφορὰ ἡ διὰ τοῦτο· ἐπειδὴ γὰρ εἰκὸς ἦν τινα εἰπεῖν, ὅτι καὶ τίνος χάριν οἱ ῥήτορες μύθῳ χρῶνται, ὅπου καὶ οἱ ποιηταὶ τούτῳ χρώμενοι οὐδὲν τοὺς ἀκούοντας ὠφελοῦσι δι᾽ αὐτοῦ, τούτου χάριν εἶπεν, ἀλλ᾽ οὐχ ὥσπερ οἱ ποιηταὶ τῷ μύθῳ χρῶνται, οὕτω καὶ οἱ ῥήτορες· οἱ μὲν γὰρ ἁπλῶς καὶ πρὸς ψυχαγωγίαν, οἱ δὲ τὰ χρήσιμα δι᾽ αὐτοῦ συμβουλεύοντες· ἢ ἐπειδὴ τῆς ῥητορικῆς εἴδη τρία, τὸ δικανικὸν, τὸ συμβουλευτικὸν, τὸ πανηγυρικὸν, θέλων σημαῖναι, ὅτι τοῦ συμβουλευτικοῦ εἴδους ἐστὶν ὁ μῦθος, εἶπεν, ὅτι ἕνεκα παραινέσεως χρῶνται τῷ μύθῳ οἱ ῥήτορες· ἢ ἐπειδὴ πᾶσαι αἱ ῥητορικαὶ λογογραφίαι εἰς ἕν τι τῶν τριῶν εἰδῶν ἀνάγονται, διὰ τοῦτο εἶπε τὸ ἐκ παραινέσεως, δεικνὺς ὅτι οἰκειότατός ἐστι τῆς ῥητορικῆς ὁ μῦθος, εἴγε καὶ εἰς τὸ πρῶτον τῶν εἰδῶν ὁ μῦ-

---

23 Codd. ἀφηρῶν. 24 Vind. προτέρα.

θος ἀνάγεται, ἢ καὶ ἐγκωμιάσαι τὴν τέχνην βουλόμενος τοῦτο τέθεικεν· εἰ γὰρ τῆς ποιητικῆς πρὸς ψυχαγωγίαν αὐτῷ χρωμένης, αὕτη πρὸς τῷ ἡδεῖ καὶ ὠφέλειαν ἀπ' αὐτοῦ προξενεῖ, ἀξιέπαινός ἐστι δήπουθεν.

η. Ἔστι δὲ μῦθος λόγος ψευδής· μετὰ τὸ γένος τοῦ μύθου καὶ ἐπὶ τὸν ὁρισμὸν αὐτοῦ μέτεισι· ζητεῖται δὲ, διὰ ποίαν αἰτίαν προτάττει ὁ σοφιστὴς τοὺς τῶν προγυμνασμάτων ὁρισμοὺς τῶν διαιρέσεων, καί τοι φύσει τοῦ διαιρετικοῦ πρώτου ὄντος τρόπου· εἰ γὰρ μὴ διέλοι ὁ διαιρετικὸς, οὐκ ἂν ὁρίσαιτο ὁ ὁριστικός· οἷον, ἵνα καὶ ἐπὶ παραδείγματος γένηται φανερὸν, πρόκειταί μοι ὁρίσασθαι τὸν ἄνθρωπον· διαιρήσω τοίνυν τὴν οὐσίαν εἰς σῶμα καὶ εἰς ἀσώματον, καὶ τὸ σῶμα εἰς ἔμψυχον καὶ ἄψυχον, τὸ ἔμψυχον εἰς αἰσθητὸν καὶ ἀναίσθητον, τὸ αἰσθητὸν εἰς ζῶον καὶ [25] ζωόφυτον, τὸ ζῶον εἰς λογικὸν καὶ ἄλογον, τὸ λογικὸν εἰς θνητὸν καὶ ἀθάνατον, τὸ θνητὸν εἰς ἄνθρωπον καὶ [26] νύμφην. Εἶτα ἐπειδὴ πᾶς ὁρισμὸς ἐκ γένους καὶ συστατικῶν διαφορῶν λαμβάνεται, ἐστὶ γενικώτατον μὲν γένος ἐν τῇ παρούσῃ διαιρέσει ἡ οὐσία, ὑπάλληλον δὲ τὸ ζῶον, τὰ δὲ λοιπὰ διαφοραί· εἰ γὰρ κἀκεῖνα γένη καὶ εἴδη λέγεται, ὅμως τὸ ζῶον γένος, ὡς ἐν τῷ, τί ἐστι, κατηγορούμενον, τῶν γενῶν ἁπάντων ἐν τῷ, τί ἐστιν, ἀεὶ κατηγορουμένων· τὰ γὰρ λοιπὰ, οἷον τὸ σῶμα καὶ τὰ ἄλλα ἐν τῷ, ὁποῖόν τί ἐστι, κατηγορεῖται, ὅπερ ἴδιόν ἐστι τῆς διαφορᾶς. Ἐπεὶ οὖν ταῦθ' οὕτως, ὡς ἔφαμεν, ἔχει τὸ ζῶον λαβὼν ὡς πλησιέστερον ὂν καὶ γνησιέστερον τῷ ἀνθρώπῳ, ἥπερ τὸ γενικώτατον, ἔτι δὲ καὶ τὰς τοῦ ἑτέρου σκέλους διαφορὰς συμπεριειληφὼς ὁρίσομαι τὸν ἄνθρωπον οὕτως εἰπών· ἄνθρωπός ἐστι ζῶον λογικὸν

---

25 Codd. καὶ omittunt. 26 καὶ deest in Vind. et Laur.

Θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· ἢ καὶ αὐτὸ ὡς διαφορὰν, ὡς Πορφυρίῳ καὶ Σιμπλικίῳ δοκεῖ, ἢ ὡς ἴδιον, ὡς Δαβὶδ[27] τίθεται· καὶ γὰρ ἐκεῖνος ἴδιον εἶναι τοῦτο βούλεται, οὐχὶ διαφοράν· διότι τῆς διαφορᾶς κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ, ὁποῖόν τί ἐστιν, ὀφειλούσης κατηγορεῖσθαι, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν κατὰ πλειόνων μὲν κατηγορεῖται καὶ αὐτὸ, ἐν τῷ, ὁποῖόν τί ἐστιν, ἀλλ' οὐχὶ τῷ εἴδει, τῷ ἀριθμῷ δὲ μόνῳ διαφερόντων· τοῦτο δὲ τοῦ ἰδίου μᾶλλόν ἐστιν οὐχὶ τῆς διαφορᾶς, φημὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ, ὁποῖόν τί ἐστι, κατηγορεῖσθαι· ἐφεῖται γὰρ καὶ τοῦτο ποιεῖν, φημὶ δὲ τὸ παραλαμβάνεσθαι καὶ τὰ ἴδια ἐν τοῖς ὁρισμοῖς, ὅτε μὴ ἐξαρκοῦσιν αἱ διαφοραὶ εἰς παράστασιν τῆς τοῦ ὁριστοῦ ἰδιότητος· ὡς ἐπὶ τοῦ ἵππου· εἰ γὰρ ὁρίσεταί τις αὐτὸν ζῶον ἄλογον θνητὸν, ἐπεὶ καὶ ὁ βοῦς τοιοῦτόν ἐστι καὶ οὐ περιωρίσθησαν τῷ ὄρῳ αἱ τοῦ ἵππου ἰδιότητες, διὰ τοῦτο προσθετέον αὐτῷ τὸ ἴδιον τοῦ ἵππου· ἔστι δὲ τοῦτο τὸ χρεμετιστικόν· ὥστε εἶναι τὸν τοῦ ἵππου λόγον, ζῶον ἄλογον θνητὸν χρεμετιστικόν, καὶ ἐπὶ τοῦ ἀνθρώπου δὲ, μὴ ἐξαρκουσῶν τῆς τε τοῦ λογικοῦ καὶ θνητοῦ διαφορᾶς, παραστῆσαι τὴν αὐτοῦ ἰδιότητα· εἰσὶ γὰρ καὶ νύμφαι τοιαῦται, προστέθειται τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἴδιον ὂν καὶ ἔξωθεν τῆς τοῦ ζώου διαιρέσεως λειφθέν· καί τοι ὁ παλαιὸς ὁρισμὸς τοῦ ἀνθρώπου οὐκ εἶχε προσκείμενον τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν. ὕστερον γὰρ τὸ τοιοῦτον προσετέθη ὑπὸ τοῦ Πλάτωνος· ἐπειδὴ γὰρ ἱστορήθη δαίμων τεθνηκὼς ἐν Σάμῳ, διὰ τοῦτο αὐτὸς ὁ Πλάτων προσέθηκε τῷ ὁρισμῷ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν· διαφέρει δὲ τὸ τοιοῦτον τοῦ χρεμε-

27 Laur. Vind. δαδ quod alias est compendium scribendi pro Δαβίδ.

τιστικοῦ, καθὸ τὸ μὲν οὐσιῶδές ἐστι, καὶ παρὰ τοῦτο ὁρισμός ἐστιν ὁ ἐν ᾧ [28] ἔστιν αὐτὸς λόγος· ὁ γὰρ ὁρισμὸς ἐξ οὐσιωδῶν ἐστὶν, τὸ δὲ χρεμετιστικὸν ἐπουσιῶδές ἐστι, καὶ παρὰ τοῦτο ποιεῖ τὸν ἐν ᾧ τέθειται λόγον ὑπογραφικὸν ὁρισμόν· τούτῳ γὰρ διαφέρει ὁρισμὸς ὑπογραφικοῦ ὁρισμοῦ, ὅτι ὁ μὲν ὁρισμὸς ἐξ οὐσιωδῶν σύγκειται μόνων, ὁ δὲ ὑπογραφικὸς ὁρισμὸς καὶ ἐξ ἐπουσιωδῶν· παρὸ καὶ ὑπογραφικὸς λέγεται, τοῦ ὁρισμοῦ ἐξ οὐσιωδῶν συγκειμένου. Ἀλλ' ἵνα πρὸς τὸ ἐξ ἀρχῆς ἐπανέλθωμεν, ἐπεὶ πρωτεύει, ὡς δέδεικται, ὁ διαιρετικὸς τρόπος τοῦ ὁριστικοῦ, ζητεῖται πῶς ὁ Ἀφθόνιος πρῶτον ὁρίζεται τὸ καθέκαστον τῶν γυμνασμάτων, εἶθ' οὕτως διαιρεῖ εἰς τὰ ὑπ' αὐτῷ εἴδη. Λέγουσιν οὖν τινές, ὅτι ἐπειδὴ ὁ μὲν ὁρισμὸς ἀναλογεῖ τῇ μονάδι· τὰ γὰρ πολλὰ, οἷον τὸ λογικὸν, τὸ ζῶον, τὸ θνητὸν, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἀποτελεῖ ἕν τι τὸν ἄνθρωπον, ἡ δὲ διαίρεσις τοὐναντίον ποιεῖ, ἓν γάρ τι λαβοῦσα εἰς δύο τοὐλάχιστον διαιρεῖ, οἷον τὸ ζῶον ἕν τι ὂν λαβοῦσα διαιρεῖ εἰς λογικὸν καὶ ἄλογον· καὶ κατὰ τοῦτο ἀναλογεῖ τῷ πλήθει. Ἀλλὰ καὶ κατὰ τοῦτον τὸν λόγον ὤφειλεν ἀεὶ ὁ ὁριστικὸς τρόπος προτάττεσθαι τοῦ διαιρετικοῦ, ὅπερ οὐ γίνεται· μήπου τοίνυν ἄμεινον εἴη λέγειν, ὅτι ἐκεῖναι αἱ διαιρέσεις ὀφείλουσι προτάττεσθαι τῶν ὁρισμῶν, ἐξ ὧν διαιρέσεων γίνονται οἱ προκείμενοι ὁρισμοί· οἷον ἐπὶ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου, δέον πρῶτον διαιρῆσαι τὸ ζῶον εἰς λογικὸν καὶ ἄλογον, τὸ λογικὸν εἰς θνητὸν καὶ ἀθάνατον, καὶ οὕτως ὁρίσασθαι τὸν ἄνθρωπον. Ἐν γοῦν τοῖς γυμνάσμασιν, ἐπειδὴ ἡ τοῦ προκειμένου γυμνάσματος διαίρεσις εἰς οὐδὲν τῷ ὁρισμῷ συμβάλλεται αὐτοῦ, διὰ τοῦτο οὐδὲ προτάττεται αὐτοῦ. τινὲς δὲ πάλιν διὰ τοῦτό φασι τὸν Ἀφθόνιον προτάττειν

28 Laur. ᾧ. Vind. τῷ.

τοὺς ὁρισμοὺς τῆς διαιρέσεως, διότι πλέον δοκεῖ συμβάλλεσθαι αὐτῷ εἰς τὴν προκειμένην πραγματείαν ὁ ὁριστικὸς τρόπος τοῦ διαιρετικοῦ· παρόσον καὶ τῷ μὲν ἐν πᾶσι τοῖς γυμνάσμασι χρῆται, τῷ δὲ διαιρετικῷ οὐκ ἐν πᾶσιν· οὔτε γὰρ ἐν τῇ ἀνασκευῇ, οὔτε ἐν τῇ κατασκευῇ, ἀλλ' οὐδὲ ἐν τῷ κοινῷ τόπῳ. Εἰ γὰρ καὶ ἐπὶ τούτων διαιρέσει χρῆται, διαιρῶν ἑκάστην τῶν γυμνασιῶν τούτων εἰς τὰ ἐν αὐτῇ κεφάλαια, ἀλλ' οὐχὶ καὶ τῇ κυρίως, ἥτις[29] τὸ καθέκαστον τῶν γυμνασμάτων εἰς τὰ ὑπ' αὐτὸ εἴδη διαιρεῖ· ἀλλὰ τῇ ἑτέρᾳ τῇ ἀπὸ ὅλου εἰς μέρη ἀνομοιομερῆ, ἥτις οὐδὲ κυρίως ἂν εἴη διαίρεσις, διὰ τὸ τὰς διαιρέσεις ἀπὸ ὁμοίων εἰς ὅμοια ὀφείλειν γίνεσθαι. Σημείωσαι δὲ, ὅτι ἐπειδὴ ὁ μῦθος οὐχ ἕν τι μόνον ἐστὶν, ἀλλὰ πεπληθυσμένον τοῖς οἰκείοις μέρεσιν, ὡς μὲν ἑνὸς ὄντος αὐτοῦ ὁρισμὸς ἀποδίδοται· ὡς δὲ καὶ πεπληθυσμένου τοῖς οἰκείοις μέρεσι διαίρεσις. Ὁ μὲν γὰρ ὁρισμὸς μονάδι ἀναλογεῖ· ἡ δὲ διαίρεσις πλήθει. Ἔστι δὲ μῦθος λόγος ψευδής. ὁ μὲν Ἀφθόνιος ὁρίζεται τὸν μῦθον λόγον ψευδῆ ἀλήθειαν εἰκονίζοντα· ὁ δὲ Ἑρμογένης οὕτω λέγει περὶ αὐτοῦ· ὑπογραφὴν δέ τινα τοιαύτην αὐτοῦ ἀποδιδόασι· ψευδῆ μὲν αὐτὸν ἀξιοῦσιν εἶναι, πάντως δὲ χρήσιμον πρός τι τῶν ἐν τῷ βίῳ. Σώπατρος δὲ πάλιν οὕτως τὸν μῦθον ὁρίζεται· μῦθός ἐστι πλάσμα πιθανῶς πρὸς εἰκόνα τῶν τῇ ἀληθείᾳ συμβαινόντων πραγμάτων συγκείμενον, συμβουλήν τινα τοῖς ἀνθρώποις ἢ ὑπογραφήν τινα τῶν πραγμάτων ποιούμενον. Ἀλλ' ἐπειδὴ ὁ τοῦ Ἀφθονίου ταυῦν ἡμῖν πρὸς ἐξέτασιν πρόκειται, τοῦτον θεωρήσωμεν· ἴδωμεν οὖν τί φησιν ὁ ὁρισμός· ἔστι δὲ μῦθος λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν· παρείληπται τὸ μὲν λόγος ὄνομα ἀντὶ γένους, λέγεται γὰρ ὁ λόγος κατὰ πολ-

29 ἥτις Laur. ὁ τῆς Vind.

λῶν διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστιν, εἴγε λόγος λέγεται καὶ ὁ προφορικὸς, ὅστις ἀνάγεται ὑπὸ τὸ ποσὸν καὶ ὁ ἐνδιάθετος, ὅστις καὶ αὐτὸς ἀνάγεται ὑπὸ τὸ ποιεῖν καὶ τὸ πάσχειν, ὡς ὁ Πυρφύριος ἐν τῷ τῶν κατηγοριῶν αὐτοῦ διέξεισιν ὑπομνήματι, τῷ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν ἐν τῷ περὶ τοῦ ποσοῦ λόγῳ· εἰ δὲ καὶ εἰς διάφορα γένη τὰ τοῦ λόγου σημαινόμενα ἀνάγονται, καὶ πάντα εἰς τὸ αὐτὸ, οὐδὲ ὁμοιοειδῆ εἰσι, τὰ μὲν γὰρ ὁμογενῆ οὐκ ἀνάγκη ἑτεροειδῆ εἶναι· τὰ δὲ ἑτερογενῆ ἀνάγκη καὶ ἑτεροειδῆ εἶναι· ἔστιν οὖν, ὡς ἔφαμεν, τὸ μὲν λόγος ὄνομα ἀντὶ γένους, τὸ δὲ ψευδὴς διαφορὰ χωρίζουσα τὸν μῦθον ἀπὸ τῶν ἀληθινῶν λόγων· τὸ δὲ εἰκονίζειν ἀλήθειαν διαφορά ἐστι καὶ αὐτὸ χωρίζουσα τὸν μῦθον ἀπὸ τῶν ψευδῶν καὶ ἀπιθάνων λόγων, ἅτινα οὐδὲ μῦθοι κυρίως εἰσί· δεῖ γὰρ τὸν μῦθον πιθανὸν εἶναι πάντως. Ἔστι δὲ μῦθος λόγος ψευδὴς, εἰκονίζων ἀλήθειαν· τινὲς προστιθέασι τῷ πιθανῶς συγκεῖσθαι, ἵν' ᾖ οὕτως· μῦθός ἐστι λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν τῷ πιθανῶς συγκεῖσθαι· οὐ γὰρ ἂν, φασὶν, ἐργάσαιτο τὸ ἑαυτοῦ μὴ ἔχων ὁμοίωσιν πρὸς τὸ ἀληθές· ἡ καὶ ὁμοίωσις ἐκ τοῦ πιθανοῦ περὶ τὴν πλάσιν γίνεται. Μέμφονται δὲ πάλιν ἔνιοι τῷ ὅρῳ ὡς ταῖς μὲν λέξεσιν ἐλλείποντι, τοῖς δὲ πράγμασι πλεονάζοντι· οὐ γὰρ ὁ μῦθός φησι μόνος ἐνταῦθα, ἀλλὰ καὶ πᾶς ἕτερος λόγος ψευδόμενος, πιθανώτερον δὲ ὅμως συγκείμενος, τῷ ὅρῳ τούτῳ συμπεριέχεται· οἱ δὲ αὐτοὶ ὁρίζονται τὸν μῦθον οὕτως, λόγος κατὰ φύσιν ψευδὴς, μήποτε δὲ οὐδὲ οὗτος ἀκριβῶς ἔχει ὁ ὁρισμός· πρῶτον ὅτι περὶ ῥητορικοῦ μόνον μύθου τῆς διδασκαλίας οὔσης, ὁ τοιοῦτος ὁρισμὸς καὶ τῷ ποιητικῷ ἁρμόζει, ἄλλως τε καὶ

30 Codd. διαχωρίζουσα. lege διαφορὰ χωρίζουσα. Schol. Theon. p. 258, 3.

ἔδει τὸ εἰκονίζων ἀλήθειαν προστεθῆναι, ἵνα διαστείλῃ τὸν μῦθον ἀπὸ τῶν λόγων, οἱ ψευδεῖς μέν εἰσι κατὰ φύσιν, τῷ δὲ μὴ τὴν ἀλήθειαν εἰκονίζειν οὐκ εἰσὶ μῦθοι· οἷον ὡς ἵνα εἴπῃ τις, ἡλίου ὑπὸ γῆν ὄντος χθὲς ἡμέρα ἦν· τοῦτο γὰρ λόγος μέν ἐστι ψευδὴς καὶ κατὰ φύσιν ἔχων τὸ ἀδύνατον, οὐ μὴν ἤδη καὶ μῦθος τῷ μηδὲ ἀλήθειαν εἰκονίζειν· εἴη δ' ἂν καθ' ἡμᾶς τέλειος ὁρισμὸς τοῦ ῥητορικοῦ μύθου οἵτος· μῦθός ἐστι ῥητορικὸς λόγος κατὰ φύσιν μὲν ψευδής, τῷ δὲ πιθανῶς συγκεῖσθαι εἰκονίζων ἀλήθειαν παραινέσεως ἕνεκα καὶ ὠφελείας πλαττόμενος· ἵν' ᾖ ὁ μὲν μῦθος γένος, τὸ δὲ κατὰ φύσιν διαφορὰ χωρίζουσα τὸν μῦθον ἀπὸ τῶν λόγων, οἵ τινες μὴ κατὰ φύσιν ὄντες ψευδεῖς, ἀλλὰ κατ' ἐνέργειαν καὶ τὸ μὴ γεγενῆσθαι οὐκ εἰσὶ μῦθοι, ὡς ἵνα εἴπῃ τις τὸν Ἀγαμέμνονα ὁ Ἕκτωρ ἀπέκτεινε· τοῦτο γὰρ λόγος ἐστὶ ψευδὴς ἀλλ' οὐ κατὰ φύσιν, οὐ γὰρ ἀδύνατον ἦν τὸν Ἀγαμέμνονα ἀναιρεθῆναι ὑπὸ τοῦ Ἕκτορος, ἀλλὰ κατ' ἐνέργειαν· τὸ δὲ τῷ πιθανῶς συγκεῖσθαι εἰκονίζων ἀλήθειαν, καὶ αὐτὸ διαφορά ἐστι χωρίζουσα τὸν ῥητορικὸν μῦθον ἀπὸ τῶν ψευδῶν μὲν κατὰ φύσιν λόγων, μὴ ὄντων δὲ ὅμως μύθων· διὰ τὸ μὴ εἰκονίζειν ἀλήθειαν, ὡς ἔχει τό· ἡλίου ὑπὸ γῆν χθὲς ὄντος, ἡμέρα ἦν· τὸ δὲ παραινέσεως ἕνεκα καὶ ὠφελείας πλαττόμενος διαφορά ἐστι καὶ αὐτὸ ἀπὸ τῶν ποιητικῶν μύθων χωρίζουσα· ὁ γὰρ ποιητικὸς οὐχὶ παραινέσεως καὶ ὠφελείας, ἀλλὰ ψυχαγωγίας ἕνεκα πλάττεται. Ἀλλ' ἴσως ἄν τις εἴποι, μὴ πάντας τοὺς ῥητορικοὺς μύθους τῷ παρόντι ὁρισμῷ περιέχεσθαι, ἀλλὰ μόνους τοὺς εἰς τὸ συμβουλευτικὸν εἶδος ἀναγομένους· αὐτοὶ γὰρ καὶ μόνοι παραινέσεως καὶ ὠφελείας ἕνεκα πλάττονται, οὐ μὴν καὶ οἱ τὰς τῶν πραγμάτων φύσεις ἢ τὴν ἀλήθειαν ὑπογράφοντες· καί φαμεν ὅτι κἀκεῖνοι δυνάμει τὴν παραίνεσιν ἔχουσιν· ὁ γὰρ ὑπογράφων, φέρε εἰπεῖν, μῦθος τὴν τῆς ἀπληστίας ἢ τῆς

ἀδολεσχίας φύσιν καὶ δεικνύων αὐτὴν κακὴν, ἀποτρέπει τρόπον τινὰ ἡμᾶς τῶν τοιούτων, ὁ δὲ τοὐναντίον χρηστοῦ τινος πράγματος ὑπογράφων φύσιν ἀντέχεσθαι ἡμᾶς αὐτοῦ διανίστησιν.

θ'. *Λόγος ψευδής.* τὸ κατὰ φύσιν ἀλλ' οὐ τὸ κατ' ἐνέργειαν τὸ ψευδὲς ἔχειν τὸν μῦθον, τῷ Γεωμέτρῃ δοκεῖ· σὺ δὲ ἐπίστησον, εἰ μὴ πάντα μῦθον ἀνάγκη κατὰ φύσιν ἔχειν τὸ ψευδὲς, ἀλλὰ τινὰς καὶ κατ' ἐνέργειαν, ὡς ὁ[31] τῆς κυνὸς ἔχει, τῆς τὸ κρέας διὰ τοῦ ποταμοῦ φερούσης, καὶ ὁ τοῦ τὰς δύο γυναῖκας ἔχοντος, τὴν μίαν γραῖαν, τὴν δὲ ἑτέραν νέαν. Τῷ πιθανῶς συγκεῖσθαι πιθανῶς ἂν πλασθείη ὁ μῦθος, ἂν τὰ προσήκοντα πράγματα τοῖς προσώποις ἀποδιδῶμεν, τότε γὰρ γένοιτ' ἂν τὰ λεγόμενα πιθανὰ, ὅταν τὴν φύσιν τῶν ὑποκειμένων σημαίνει τὰ πράγματα, εἰ δὲ ταῦτα συνταράττοιμεν, ἀπίθανα γίνεται· εἰ γὰρ λέγομεν, ὅτι ἔλαφος προκαλεῖται τὸν λέοντα περὶ δυνάμεως πρὸς αὐτὴν ἀγωνίσασθαι, ὁ δ' ἀναίνεται τὴν ἅμιλλαν, ἀπίθανον τὸν λόγον ποιεῖ τὸ πρὸς τὰ πρόσωπα τῶν πραγμάτων ἀνοίκειον· ἔτι δὲ πιθανὸς ἂν γένοιτο ὁ μῦθος ἐκ τῶν τόπων, περὶ οὓς διατρίβειν εἴωθε τὰ ὑποκείμενα ζῶα, ἐκ λόγων τῶν τῇ φύσει ἁρμοζόντων, οἷον ἵνα ἡ μὲν ἀλώπηξ εἰ τύχοι ποικίλα φθεγγομένη εἰσάγηται, τὰ δὲ πρόβατα εὐήθη τε καὶ μωρά.

ί. *Εἰκονίζων ἀλήθειαν.* τουτέστιν οὐκ ἀληθεύων, ἀλλ' ἔμφασιν μόνον καὶ εἰκόνα ἀληθείας παρέχων. ὥσπερ γὰρ ἄλλο τί ἐστιν ἡ εἰκὼν, καὶ ἄλλο τὸ πρᾶγμα, οὗ τὸν τύπον ἡ εἰκὼν φέρει, οὕτως καὶ ἄλλο αὐτὴ ἡ ἀλήθεια, καὶ ἄλλο τὸ ἀληθεύειν, καὶ ἄλλο ἡ τῆς ἀληθείας εἰκὼν καὶ τὸ εἰκονίζειν ἀλήθειαν. Ζητεῖται καὶ, διὰ τί οὐκ εἶπεν ὁμοίωμα, ἀλλ' εἰκονίζων, καί φασι

---

31 ὁ Vind. om., Laur. habet.

διότι εἰκὼν καὶ ὁμοίωμα διαφέρει· ἡ μὲν εἰκὼν ἐπὶ τῶν ἑτεροουσίων, καὶ τὸ ἐκτύπωμα εἰκονίζειν τὸν ἄνθρωπόν φαμεν· τὸ δὲ ὁμοίωμα ἐπὶ τῶν ὁμοουσίων λαμβάνεται, ὡς ἄνθρωπος ἀνθρώπῳ ὁμοιοῖ· ἐπεὶ τοίνυν τὸ ψεῦδος ἐναντίον πάντη ἐστὶ τῇ ἀληθείᾳ, ὁ δὲ μῦθος λόγος ἐστὶ ψευδὴς, διὰ τοῦτο οὐκ εἶπεν ὁμοίωμα ἀλλ' εἰκονίζων. Ἀπορεῖται καὶ τοῦτο πῶς ὁ μῦθος πρὸς τὸ πιθανὸν λέγεται γυμνάζειν ἡμᾶς· εἰ γὰρ τὸ ὁμολογούμενον, φασὶ, ψεῦδος ἐναντίον ἐστὶ τῷ πιθανῷ, πιθανὸν γάρ ἐστι τὸ πεῖσαι δυνάμενον, καὶ πιθανὸν παρὰ τὸ πεῖσαι εἴρηται, τὸ ἐν τῷ μύθῳ κατὰ φύσιν ψευδὲς ἐναντίον τῷ πιθανῷ τῷ ἐν αὐτῷ γίνεται· τίνα γὰρ πείσει[32] ἀληθὲς εἶναι ὃ μὴ κατὰ φύσιν ὑφέστηκεν· οἷον λογικὸν εἶναι τὸν ἵππον ἢ τὴν ἀλώπεκα. Πρὸς τοῦτο δή τινες λέγουσιν, ὅτι ὥσπερ ἐν τοῖς καθ' ὑπόθεσιν τὴν πρότασιν οὖσαν ψευδῆ κατὰ συγχώρησιν διδόαμεν, οὕτω καὶ ἐν τοῖς μύθοις, ὥσπερ ἐν λήμματι κατὰ συγχώρησιν δίδοται τὸ τὰ ἄλογα ζῶα πράττειν ἢ λέγειν τινά· ὡς ἐὰν μὴ τοῦτο δοθῇ, τὴν ἀρχὴν οὐδὲ μῦθος γίνεται· τούτου δὲ συγχωρουμένου τὸ λοιπὸν ζητοῦμεν τὸ πιθανὸν, τουτέστιν εἰ τῇ ποιότητι τῶν προσώπων ἡ πλάσις συμβέβηκε, καὶ εἰ τὰ τῆς περιστάσεως τοῖς προσώποις συνήρμοσται· ἔτι κἀκεῖνο ἐπαπορεῖται, εἰ τὰ ὁμολογούμενα ψευδῆ τοῖς ῥήτορσιν εὔχρηστα· ῥητορεύειν γὰρ ἐν τούτοις ἀδύνατον· ὡμολόγηται δὲ ὁ μῦθος ψευδὴς, ἄχρηστον ἄρα τὸ ῥητορεύειν τῷ ῥήτορι· ἐπιλύεται δὲ καὶ ἡ τοιαύτη ἀπορία οὕτως· εἰ μὲν ῥητορεύειν ἐστὶ τὸ ἐνθυμήματι μόνον καὶ παραδείγματι κατασκευάζειν τὸν λόγον καλῶς, ἄχρηστος ὁ μῦθος πρὸς τὸ ῥητορεύειν ἐτύγχανεν· ἴδιον γὰρ ἡ πίστις τοῦ ῥήτορος· εἰ δὲ τῆς βουλῆς μόνης γινόμεθα, τὴν μὲν πλά-

32 πείσει Laur. ποιήσει Vind.

πλάσιν ἀφελῶς ἐκτιθέμενοι, τὸ δ' ἀπὸ τοῦ μύθου πιθανὸν διδασκόμενοι, οὐκ ἄχρηστος ἡ γυμνασία τοῖς νέοις εὑρίσκεται. Πάλιν λέγουσιν, ὧν αἱ ἀρχαὶ ἄχρηστοι, τούτων καὶ τὰ τέλη ἄχρηστα γίνεται· ἀρχὴ δὲ τῆς περὶ τὴν ῥητορικὴν γυμνασίας ὁ μῦθός ἐστιν, ὅστις τυγχάνει ψευδής· ἄχρηστον ἄρα καὶ τὸ τέλος ἐστίν· ἐπιλύεται δὲ καὶ τοῦτο ἄπορον οὕτως· ἀρχὴ μὲν τῆς ῥητορικῆς οἱ μῦθοι, καὶ τούτῳ τὸ ψεῦδος ἐπισυμβέβηκεν· οὐ δεῖ δὲ ἕνα τόπον ἐκλεξαμένους τὰ πλείονα καλὰ παρορᾶν, τήν τε τοῦ πιθανοῦ διδασκαλίαν καὶ τὴν τοῦ πλάττειν πιθανῶς τὰ ψευδῆ, ὃ ῥητορικῆς μέγιστον τυγχάνει κεφάλαιον· ἔτι δὲ καὶ τὴν ἀπὸ τοῦ μύθου παραίνεσιν καὶ τὴν τοῦ τρόπου διόρθωσιν· μετὰ ψυχαγωγίας γὰρ ὁ μῦθος τὰ μέγιστα τῶν πρὸς τὸν βίον ἡμῖν χαρίζεται, ὥστε οὐ διὰ τὸ ψεῦδος, ὅπερ ἐστὶν ὡς ὁμολογούμενον ἄχρηστον, τἆλλα παρορᾶν τοῦ μύθου δέον καλά. Ἔτι οὕτως ὁ Σώπατρος τὸν μῦθον ὁρίζεται· μῦθός ἐστι πλάσματι [33] πιθανῶς πρὸς εἰκόνα τῶν τῆς ἀληθείας συμβαινόντων πραγμάτων συγκείμενον, συμβουλήν τινα τοῖς ἀνθρώποις ἢ ὑπογραφὴν τῶν πραγμάτων ποιούμενον· πλάσμα μέν, διότι πρὸς τὸ δοκοῦν ἡμῖν πρᾶγμα πλάττεται· γίνεται δὲ πιθανός, ὅτε κατὰ φύσιν ἢ τὴν ἀξίαν ἑνὸς ἑκάστου ζώου τοὺς λόγους καὶ τὰ πράγματα πλάττομεν· τοῦ μὲν γὰρ λέοντος ὄντος βασιλικοῦ βασιλικὸν ἐπινοοῦμεν τὸ φρόνημα, τῆς δὲ ἀλώπεκος οὔσης κακούργου κακοῦργον [34] πλάττομεν τὴν διάνοιαν, δειλοῦ δὲ καὶ ἀναισθήτου τοῦ ἐλάφου κατὰ τὸν αὐτὸν τρόπον· ὡς εἴ τι τούτου παραλλάξαιμεν, ἀπίθανος ὁ λόγος γενήσεται, οἷον ὅτι ὁ μῦς περὶ βασιλείας τῶν ζώων βουλεύεται, ἢ ὅτι ὁ λέων ἐζωγρήθη ὑπὸ τυροῦ κνίσσης, καὶ ἄλλως δὲ πιθανῶς ὁ λόγος γίνεται

33 Vind. πλάσματι. 34 κακοῦργον Vind. om.

ἐκ τόπων, περὶ οὓς διατρίβειν εἴωθε τὰ ὑποκείμενα ζῶα, ἐκ λόγων τῶν τῇ φύσει ἑκάστου[35] ἁρμοζόντων, ἐκ πραγμάτων ἃ μὴ ὑπερβαίνει τὴν ἑκάστου ποιότητα,[36] κἂν λόγους τινὰς δεήσῃ περιθεῖναι, ἵνα ἡ μὲν ἀλώπηξ ποικίλα φθέγγηται, τὰ δὲ πρόβατα εὐήθη καὶ μετὰ ἀνοίας· καὶ ἵνα ὁ μὲν ἀετὸς ἁρπακτικὸς καὶ νεβρῶν καὶ ἀρνειῶν[37] εἰσάγηται, ὁ δὲ κολοιὸς μηδὲν τοιοῦτον ἐννοῶν· παράστασιν δὲ ἡ συμβουλὴν ἀποτελεῖ πραγμάτων, καθὸ πράττειν ἢ μὴ πράττειν προτρέπομεν ἢ παριστῶμεν· οἷα τοῖς ἀνθρώποις ἀποβαίνει τὰ πράγματα· οἷον ἐκ μὲν φήμης ψιλῆς ὡς πολλοὶ τῶν ἀνθρώπων ἠπάτηνται, ὡς ἐπὶ τοῦ ἰξευτοῦ τοῦ θηρῶντος τὸν τέττιγα· ἐκ δὲ τῶν ὑποκρινομένων τὸ φοβερόν τε καὶ ἀρχικόν, ὡς ἐπὶ τοῦ ὄνου τοῦ περιθέντος ἑαυτῷ τὴν λεοντῆν.

ιά. Καλεῖται δὲ Συβαριτικός. Συβαριτικὸς[38] μὲν καλεῖται, διότι οἱ Συβαρῖται τρυφηλοὶ ὄντες ἐφεῦρον τοὺς ἐκ μόνων λογικῶν ζώων μύθους, οἷα εἰκὸς τοὺς τρυφῶντας τέρψεως καὶ ἡδονῆς χάριν. Κίλιξ δὲ καὶ Κύπριος, διότι οἱ Κίλικες καὶ οἱ Κύπριοι ἐμπορευόμενοι καὶ τόπους ἀγνώστους διερχόμενοι ἀνεπλάσαντο τοὺς ἐξ ἀλόγων ζώων μύθους, ὡς ἑωρακότες ἐν τόποις τισὶ ξένην μορφὴν ἔχοντα ζῶα. Αἰσώπειος δὲ λέγεται διότι ὁ Αἴσωπος τοὺς ἐξ ἀλόγων καὶ λογικῶν μύθους ἀνεπλάσατο, βιωφελῆ τὴν παραίνεσιν, οἷα ῥήτωρ, διὰ μύθων ποιούμενος· διὸ καὶ ἐκνενίκηκε πάντας τοὺς μύθους καὶ Αἰσωπείους κεκλῆσθαι πεποίηκε. Καλεῖται δὲ Συβαριτικός. Ζητεῖται διὰ τί οὐκ εἶπεν, ἔστι δὲ Συβαριτικὸς καὶ Κίλιξ καὶ Κύπριος, ἀλλὰ καλεῖται Συβαριτικός· καὶ λέγομεν, ὅτι εἰ οὕτως εἶπεν, ἐψεύσατο ἄν, οὐ γὰρ

---

35 Vind. ἑκάστῳ. 36 Exemplis hoc illustratur in Scholiis in Theonem p. 258, 15 — 18. 37 Sch. Theonis ἀρνῶν. 38 cfr. Comment. nr. IV. litt. κ'.

ἀνάγκη, πάντα μῦθον Συβαριτικὸν ἢ Κίλικα ἢ Κύπριον εἶναι, πάντως γὰρ ἢ ἄλλοι τινὲς παρὰ τοὺς Συβαρίτας καὶ τοὺς Κίλικας καὶ τοὺς Κυπρίους ἐποίησαν μύθους· καὶ πάλιν ζητεῖται, καὶ μὴν κατὰ τοῦτο οὐδὲ καλεῖσθαι τὸν μῦθον Συβαριτικὸν ἐχρῆν καὶ Κιλίκιον καὶ Κύπριον· εἰ γὰρ οὐκ ἀνάγκη πάντα μῦθον Συβαριτικὸν ἢ Κύπριον ἢ Κίλικα εἶναι, οὐδὲ καλεῖσθαι πάντα μῦθον οὕτως προσῆκε· λέγεται τοίνυν καὶ πρὸς τοῦτο, ὅτι κἂν τις τοῖς μύθοις καὶ πρὸ τούτων, τῶν Συβαριτῶν φημὶ καὶ Κιλίκων καὶ Κυπρίων, ἐχρήσατο, καὶ μετὰ τούτους, ἀλλὰ τῷγε πλεονάσαι τοῖς μύθοις αὐτοὺς, διὰ τὴν ἀργίαν τε καὶ τὴν ἄλλην βλακείαν τε καὶ τρυφὴν ἅπαντας εἰς αὐτοὺς ἀναφέρομεν· καὶ γὰρ οἱ Συβαρῖται καὶ οἱ Κίλικες καὶ οἱ Κύπριοι τοσοῦτον τῇ τρυφῇ δεδώκασιν ἑαυτοὺς, ὥστε καὶ ἀπὸ ταύτης ἑάλωσαν. Σύβαρις μὲν γὰρ ὑπὸ Κρότωνος ἑάλω, αὐτῶν μὲν τῶν Συβαριτῶν εἰς τὸν κατ' αὐτῶν ἐξιόντων πόλεμον· τῶν δὲ περὶ Κρότωνα τὸ Διονυσιακὸν αὐλησάντων μέλος καὶ Λύδιον καὶ τῶν ἵππων εὐθὺς εἰς κινήσεις καὶ ὀρχήσεις ἀνακινηθέντων, διὰ τὸ τοιούτοις ἐνειθίσθαι, καὶ τοὺς ἀναβάτας ἀποσεισαμένων. Παραπλησίως δὲ καὶ οἱ Κίλικες καὶ οἱ Κύπριοι· αἰχμάλωται γὰρ καὶ αἰτοὶ τοῖς πολεμίοις γεγόνασι διὰ τὸ ταῖς ἡδοναῖς ἑαυτοὺς ἐκδιδόναι τῶν πολεμικῶν ἀμελοῦντες. Καλεῖται δὲ Συβαριτικός· καὶ μὴν οὐ πάντας Συβαριτικοὺς ἢ Κίλικας ἢ Κυπρίους ἐχρῆν καλεῖσθαι, ἀλλὰ μόνους τοὺς Συβαριτικοὺς, οὓς δὲ οἱ Κίλικες Κίλικας, καὶ οὓς οἱ Κύπριοι Κυπρίους· καὶ λέγομεν, ὅτι ἀλλ' ἐπειδὴ οὐκ ἔστι γνώριμον, ποίους μὲν οἱ Συβαρῖται μύθους ἐξεῦρον, ποίους δὲ οἱ Κίλικες, ποίους δὲ οἱ Κύπριοι, διὰ τοῦτο κοινῶς ἅπαντας καὶ Συβαριτικοὺς καὶ Κίλικας καὶ Κυπρίους ὀνομάζομεν, καὶ τὸ δὴ θαυμασιώτερον, ἐὰν ἕτεροι παρὰ τοὺς Συβαρίτας καὶ Κίλικας καὶ Κυπρίους μύθους ἀνέπλασαν, πάντως Συ-

βαρῖται ἢ Κίλικες ἢ Κύπριοι οἱ μῦθοι λέγονται, παρὰ τὸ τούτους πλέον πάντων γενέσθαι. Ἰστέον δέ, ὅτι εἰσί τινες, οἳ Συβαριτικοὺς μὲν μύθους λέγουσι τοὺς ἐκ μόνων λογικῶν ζώων· Αἰσωπείους δὲ τοὺς ἐξ ἀλόγων καὶ λογικῶν συγκειμένους, Λυδίους δὲ ἢ Φρυγίους καὶ Λιβυκοὺς τοὺς ἐκ μόνων ἀλόγων ζώων. Πρὸς τοὺς εὑρόντας μεταθεὶς τὰ ὀνόματα· ὁ μὲν Ἑρμογένης οὕτως λέγει, ὀνομάζονται δὲ ἀπὸ τῶν εὑρόντων, οἱ μὲν Κύπριοι, οἱ δὲ Λιβυκοὶ, οἱ δὲ Συβαριτικοί, πάντες δὲ κοινῶς Αἰσώπειοι λέγονται, διότι τοῖς μύθοις ἐχρήσατο ὁ Αἴσωπος πρὸς τὰς συνουσίας· καὶ ὁ ἀκριβέστερος δὲ τῶν ὑπομνηματισάντων τὸ παρὸν τοῦ Ἀφθονίου βιβλίον, ἐξηγούμενος τὸ, πρὸς τοὺς εὑρόντας μεταθεὶς τὰ ὀνόματα, τοῦτό φησιν, ἀπὸ τῶν εὑρόντων δηλονότι, φησὶν ὁ Ἀφθόνιος, ὀνομάζονται οἱ μῦθοι· δῆλον ὡς καὶ προθέσει τῇ πρὸς ἀντὶ τῆς ἀπὸ, καὶ πτώσει Ἀττικῇ τοὺς εὑρόντας ἀντὶ γενικῆς τῶν εὑρόντων κατὰ Ἀττικὴν συνήθειαν κέχρηται. τινὲς δὲ οὕτως ἐξηγοῦνται τὸ ῥητόν· εἰς τοὺς εὑρόντας θεὶς τὰ ὀνόματα· ἡ γὰρ μετὰ ἢ περισσὴ ἢ ὑστεροχρονίαν ἐνταῦθα δηλοῖ· διὰ δὲ τοῦ λέγειν τοῦτο σεμνύνει τὸν μῦθον· ὡς καὶ τοῦ ὀνόματος μεταδόντα τοῖς αὐτοῦ εὑρεταῖς.

ιγ'. „Νικᾷ δὲ μᾶλλον Αἰσώπειος λέγεσθαι". Αἰσώπειος δὲ λέγεται, διότι ὁ Αἴσωπος τοὺς ἐξ ἀλόγων καὶ λογικῶν μύθους ἀνεπλάσατο, βιωφελῆ τὴν παραίνεσιν οἷα ῥήτωρ διὰ μύθων ποιούμενος· διὸ καὶ ἐκνενίκηκε πάντας τοὺς μύθους καὶ Αἰσωπείους κεκλῆσθαι πεποίηκε. τινὲς δέ φασιν, τὸν Ἀφθόνιον ἐκεῖνον λέγειν τὸν μῦθον ὀνομάζεσθαι Αἰσώπειον, τὸν μὴ ἔχοντα προσθήκην σημαίνουσαν τὸ γένος αὐτοῦ, οἷον ὅτι Συβαριτικός ἐστιν ἢ Κίλιξ ἢ Κύπριος· ὡς εἴγε μετὰ προσθήκης ἐστὶ, φασὶν ἐξ ἐκείνης καὶ οὐκ Αἰσώπειος ὀνομασθήσεται· ἑτέροις δὲ πάλιν δοκεῖ λέγειν ὁ Ἀφθόνιος, ὡς ἰδι-

κῶς μὲν ἀπὸ τῶν εὑρόντων ὀνομάζονται οἱ μῦθοι, κοινὸν δὲ πάντες ὄνομα ἔχουσιν ἀπὸ τοῦ Αἰσώπου.

ιδ'. Τῷ τὸν Αἴσωπον ἄριστα πάντων τοὺς μύθους συγγράψασθαι. Τίνος, φησὶ, χάριν κοινὸν πᾶσι τοῖς μύθοις ὄνομα ἀπὸ τοῦ Αἰσώπου δέδοται; οὐκ ἐπειδὴ πρῶτος ἢ μόνος εὑρετὴς ἐγένετο μύθων, ἀλλ' ὅτι δεξιῶς αὐτοῖς καὶ χρησίμως ἐχρήσατο. Ζητεῖται δὲ, διὰ τί λέγεται ὁ Αἴσωπος τοῖς μύθοις ἄριστα χρήσασθαι· καὶ λέγομεν ὅτι, ἐπεὶ πρὸς παραίνεσιν αὐτοῖς οὗτος καὶ πρὸς ὠφέλειαν, ἀλλ' οὐ πρὸς χάριν μόνην ἐχρήσατο καὶ τέρψιν, ἢ ὅτι καὶ πᾶσιν, ὅσοις προσῆκον τοὺς μύθους κοσμεῖσθαι, πρῶτος πᾶσιν αὐτοῖς τούτους ἐκόσμησεν, ἢ ὅτι οἱ μὲν ἄλλοι ἢ λογικοὺς μόνον ἐποίουν τοὺς μύθους, ὥσπερ οἱ Συβαρῖται, ἢ ἠθικοὺς, ὡς οἱ Κίλικες καὶ οἱ Κύπριοι. ὁ δὲ Αἴσωπος μίξιν τινὰ τῶν δύο πεποίηκεν, ὅπερ ἐστὶ δυσμίμητον μᾶλλον τῶν ἄλλων καὶ πολλῷ δυσχερέστερον πρὸς τὴν πλάσιν ἐκείνων. Τῷ τὸν Αἴσωπον ἄριστα πάντων τοὺς μύθους συγγράψασθαι· τὸ ἄριστα ἐνταῦθα ἀντὶ τοῦ ἀρίστως τέθειται· ἰστέον δὲ, ὅτι ἡ Σύβαρις πόλις ἐστὶ τῆς Σικελίας, τὴν τῶν ἐδεσμάτων πολυτέλειαν σπουδάσασα, ὅθεν καὶ παροιμία, Συβαριτικὴ τράπεζα· καλοῦνται γοῦν οἱ μῦθοι καὶ Συβαριτικοὶ καὶ Λιβυστικοὶ καὶ Κιλίκιοι καὶ Κύπριοι καὶ Καρικοὶ καὶ Αἰγύπτιοι. Ἔτι εἰς τό· νικᾷ δὲ μᾶλλον· τούτων φησὶν ἁπάντων μία ἐστὶ πρὸς ἀλλήλους διαφορά· τὸ προκείμενον αὐτῶν ἴδιον γένος ἑκάστου· οἷον Αἴσωπος εἶπεν, ἢ Λίβυς ἀνὴρ, ἢ καὶ ναὶ[39] μὰ Δία Συβαρίτης· ἐὰν δὲ, φησὶ, μηδεμία προσθήκη ᾖ σημαίνουσα τὸ γένος, κοινότερον τὸν τοιοῦτον Αἰσώπειον καλοῦμεν. Αἰσώπειοι δὲ ὡς ἐπίπαν ὀνομάζονται οὐχ ὅτι Αἴσωπος πρῶτος εὑρετὴς τῶν μύθων ἐγένετο. Ὅμηρος

39 καὶ Vind. om. cfr. Theon. p. 235, 1.

γὰρ καὶ Ἡσίοδος [40] καὶ Ἀρχίλοχος καὶ ἄλλοι τινὲς, πρεσβύτεροι γεγονότες αὐτὸν [41] φαίνονται ἐπιστάμενοι· ἀλλ' ὅτι Αἴσωπος μᾶλλον κατακόρως καὶ δεξιῶς ἐχρήσατο· ὥσπερ καὶ Ἀριστοφανειόν τι μέτρον καὶ Σαπφικὸν καὶ Ἀλκαϊκὸν, οὐχ ὡς τούτων πρώτων ποιητῶν ἢ μόνων ἐξευρόντων τὰ μέτρα, ἀλλ' ὅτι αὐτοῖς ἐπὶ πλεῖστον ἐχρήσαντο.

ιέ. „Τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικὸν, τὸ δὲ ἠθικὸν, τὸ δὲ μικτόν". μεταβαίνει λοιπὸν καὶ ἐπὶ τὴν τοῦ μύθου ὁ σοφιστὴς ἤδη διαίρεσιν· ἀλλ' ἐπειδὴ τὴν διαίρεσιν ἐπταχῶς λέγουσι γενέσθαι, ἢ γὰρ ἀπὸ γένους εἰς εἴδη, καθ' ὃν τρόπον διαιρεῖται τὸ ζῶον γένος ὂν εἰς ἄνθρωπον καὶ ἵππον εἴδη ὄντα· ἢ ἀπὸ εἴδους εἰς ἄτομα, καθ' ὃν τρόπον ὁ ἄνθρωπος εἶδος ὢν διαιρεῖται εἰς Σωκράτην, Πλάτωνα, ἄτομα ὄντα, ἣν καὶ παραινεῖται διαίρεσιν ὁ Πλάτων, διὰ τὸ τῶν ἀτόμων ἀπείρων ὄντων μὴ δυνατὸν εἶναι γενέσθαι κατάληψιν, ἢ ἀπὸ ὅλων εἰς μέρη ἤτοι ὁμοιομερῆ ἢ ἀνομοιομερῆ, οἷον λίθος, ὁ δὲ μέγας εἰ τύχοι ὤν, διαιρεῖται εἰς πολλοὺς λίθους, καὶ πάντες οἱ διαιρεθέντες ἀπ' αὐτοῦ λίθοι κοινωνοῦσιν ἀλλήλοις καὶ κατὰ τὸν ὁριστικὸν λόγον τοῦ ὅλου καὶ κατὰ τὸ ὄνομα· ἀνομοιομερῆ δὲ οἷον ὁ Σωκράτης ὅλον ὢν διαιρεῖται εἰς κεφαλὴν, χεῖρας καὶ πόδας· ταῦτα δὲ οὔτε τὸ τοῦ ὅλου ὄνομα, οὔτε τὸν ὁρισμὸν δέχονται αὐτοῦ· οὔτε γὰρ ἡ χεὶρ καθ' ἑαυτὴν λέγεται Σωκράτης, οὔτε ὁ πούς· ἀλλ' οὐδὲ τὸν τοῦ Σωκράτους ὑπογραφικὸν λόγον δύνανται δέξασθαι· ἢ ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα, καὶ αὕτη διχῶς γίνεται, ἢ γὰρ εἴδη εἰσὶν εἰς ἃ γίνεται ἡ διαί-

---

40 Vind. Laur. αἴολος. scr. Ἡσίοδος ex Theone p. 173, 10. ubi Cod. Med. habet αἰόλος. 41 Theo p. 173, 11. αὐτοῦ.

ρεσις, οἷον ὁ κύων διαιρεῖται εἰς τὸν χερσαῖον κύνα, εἰς τὸν ἀστρῷον, εἰς τὸν θαλάσσιον, εἴδη ὄντα. ἢ ἄτομα, οἷον ἡ Αἴας [42] φωνὴ διαιρεῖται εἰς τὸν τοῦ Τελαμῶνος καὶ εἰς τὸν τοῦ Ὀϊλέως ἄτομα ὄντα· ἢ ἀπὸ οὐσίας εἰς συμβεβηκότα, οἷον ὁ Σωκράτης οὐσία ὢν, διαιρεθείη ἂν εἰς τὸ ἐν αὐτῷ φαλακρὸν καὶ φιλόσοφον· ἢ ἀπὸ συμβεβηκότων εἰς οὐσίας, ὡς εἰ τὸ λευκὸν διαιρεθείη εἰς κύκνον καὶ γάλα καὶ ψιμμύθιον· ἢ ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, ὥσπερ ἀπὸ τῆς ἰατρικῆς διαιρεῖται τὸ ἰατρικὸν βιβλίον καὶ τὸ ἰατρικὸν φλεβότομον, καὶ τὸ ἐργαλεῖον· καὶ γὰρ ταῦτα ἀπὸ ἑνός, τῆς ἰατρικῆς δηλονότι, γίνονται, καὶ πρὸς ἓν πάλιν ὁρᾶσι τέλος τὴν ὑγείαν· ἐπεὶ οὖν τοσαυταχῶς ἡ διαίρεσις, ζητεῖται, κατὰ ποῖον τρόπον διαιρεῖται τανῦν ὁ μῦθος εἰς λογικὸν, εἰς ἠθικὸν, εἰς μικτόν. Ἀπὸ οὐσίας μὲν, εἰς συμβεβηκότα οὐ γίνεται νῦν ἡ διαίρεσις, ἀλλ' οὐδὲ ἀπὸ συμβεβηκότος εἰς οὐσίας, διὰ τὸ μήτε τὸν ἁπλῶς μῦθον μήτε τὸν τοιόνδε οὐσίαν εἶναι, οὔτε ἀπὸ ὁμωνύμου φωνῆς εἰς διάφορα σημαινόμενα, διὰ τὸ τῆς ὁμωνύμου φωνῆς ὀνόματος μόνον μεταδιδούσης οὐ μὴν καὶ πράγματος, τὸν μῦθον καὶ ὀνόματος μεταδιδόναι τοῖς ὑπ' αὐτὸν καὶ πράγματος, ἀλλ' οὐδὲ ὡς ὅλον εἰς μέρη διαιρεῖται τανῦν ὁ μῦθος, οὔτε εἰς ὁμοιομερῆ οὔτε εἰς ἀνομοιομερῆ· δέον γὰρ ἐπὶ τῶν ὁμοιομερῶν οὐ μόνον τῇ τοῦ ὅλου προσηγορίᾳ προσονομάζεσθαι τὰ μέρη, ἀλλὰ καὶ τῇ ἑαυτοῦ ἑκάστου, οἷον τὰ διαιρεθέντα ξυλίφια ἀπὸ τοῦ ξύλου, καὶ ἀπὸ τοῦ λίθου λιθίδια, οὐ μόνον ξύλα καὶ λίθοι τῷ τοῦ ὅλου ὀνόματι προσαγορεύονται, ἀλλὰ καὶ κάρφη, εἰ τύχοι, ἢ ψηφῖδες ἤ τι τοιοῦτον. τὰ δὲ ὑπὸ τοῦ μύθου τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζονται· μῦθοι γὰρ πάντα λέγονται, οὐ μὴν καὶ τοῖς ἀλλήλων ὀνόμασιν· οὔτε γὰρ ὁ ἠθικὸς

42 Vind. μίας.

μῦθος λογικὸς λέγεται, οὔτε ὁ λογικὸς μικτός· ἐπὶ δὲ τῶν ἀνομοιομερῶν δέον ὂν τὰ μέρη μήτε τὸ ὄνομα τοῦ ὅλου μήτε τὸν ὁρισμὸν δέχεσθαι· οὗτοι καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ εἰσὶ δεκτικοὶ, ἀλλ' οὐδὲ ὡς εἶδος εἰς ἄτομα διαιρεῖται νῦν ὁ μῦθος· δέον γὰρ τὰ ἄτομα ἄπειρά τε εἶναι καὶ ἀριθμῷ μόνα ἀλλήλων διαφέρειν, τὰ εἰς ἃ ἐνταῦθα γίνεται ἡ διαίρεσις καὶ πεπερασμένα εἰσί. τρία γάρ εἰσι τὸν ἀριθμὸν καὶ οὐ μόνον τῷ ἀριθμῷ, ἀλλὰ καὶ τῷ εἴδει διαφέρουσιν ἀλλήλων· ἄλλο γὰρ ὁ λογικὸς μῦθος πρὸς τὸν ἠθικὸν καὶ πρὸς τὸν μικτὸν, καὶ οὐχ ἁπλῶς ἄλλοῖον, ἀλλ' οὐδὲ ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν ἡ διαίρεσις ἡ παροῦσα· δέον γὰρ πάλιν τὰ κατὰ τὴν αὐτὴν διαίρεσιν διαιρούμενα μήτε πάντη τὸ αὐτὸ ὄνομα, ἀφ' οὗ διαιροῦνται, δέχεσθαι, ἀλλ' ἀπ' αὐτοῦ παρωνύμως λέγεσθαι μόνον, ὥσπερ ἀπὸ τῆς ἰατρικῆς τὸ ἰατρικὸν βιβλίον διαιρούμενον οὐ λέγεται καὶ αὐτὴ ἰατρικὴ ὁμωνύμως, ἀλλὰ παρωνύμως ἰατρικόν· μήτε τὸν αὐτὸν ὁρισμὸν ἀπαραλλάκτως, ἀλλὰ κατά τι διαφέροντα ἐνταῦθα τὸ λογικὸν καὶ ἠθικὸν καὶ μικτὸν ἀπὸ τοῦ μύθου διαιρούμενα, οὐ παρωνύμως ἀπ' αὐτοῦ λέγονται, οἷον μυθικὰ ἤ πως ἑτέρως, ἀλλὰ συνωνύμως, καὶ τὸ αὐτὸ γὰρ ὄνομα τῷ μύθῳ, καὶ τὸν αὐτὸν ὁρισμὸν ἀπαραλλάκτως δέχονται· λείπεται τοίνυν ἀπὸ γένους εἰς εἴδη τὴν διαίρεσιν εἶναι· ἀλλ' ἴσως ἄν τινες καὶ πρὸς τοῦτο ἐνσταῖεν, διὰ τὸ δέον ὂν τὰ γένη εἰς τὰ εἴδη διὰ μέσων τῶν διαφορῶν τέμνεσθαι ἐνταῦθα, μεταξὺ τοῦ μύθου καὶ τῶν ὑπ' αὐτὸν μὴ εἶναι διαφορὰς, ἄλλως τε δὲ καὶ δύο εἰδῶν εἰς ἑνὸς [43] εἴδους γένεσιν μὴ συνερχομένων, ὡς ἐν τῷ τῶν πέντε φωνῶν συγγράμματι διδασκόμεθα, ἐνταῦθα τὸ λογικὸν εἶδος τοῦ μύθου καὶ τὸ ἠθικὸν συνερχόμενον ἀποτελοῦσι τὸ μικτόν· ἡμεῖς δέ φαμεν πρὸς

43 Laur. et Vind. ἕν.

μὲν τὸ πρῶτον αὐτῶν ἐπιχείρημα, ὅτι ἔστιν ὅτε τὰ γένη ἀμέσως καὶ δίχα διαφορῶν διαιροῦνται εἰς τὰ ὑπ' αὐτὰ εἴδη, ὥσπερ καὶ ἐν τῇ μεθόδῳ τῶν στάσεων εὑρίσκομεν τὴν ἀντίθεσιν γένος οὖσαν ἀμέσως εἰς τὰ ὑπ' αὐτὴν εἴδη, τήν τε ἀντίστασιν καὶ τὴν μετάστασιν καὶ τὸ ἀντέγκλημα καὶ τὴν συγγνώμην διαιρουμένην· πρὸς δὲ τὸ δεύτερον ἐπιχείρημα πάλιν λέγωμεν, ὅτι τὰ εἴδη, εἰ μὲν οὐσίαι εἰσὶν, οὐ δύνανται συνελθεῖν εἰς ἑνὸς εἴδους γένεσιν. εἰ μέντοι συμβεβηκότα εἰσὶ, συνέρχονται, ὥσπερ τὸ λευκὸν καὶ τὸ μέλαν εἴδη ὄντα τοῦ χρώματος συνερχόμενα ἀποτελοῦσι τὸ φαιόν· εἰ δὲ καὶ πρὸς τοῦτο ὡς οὐχ ἁπλῶς λευκὸν, οὐδὲ ἁπλῶς μέλαν συνερχόμενα ἀποτελοῦσι τὸ φαιὸν, ἀλλὰ τόδε λευκὸν καὶ τόδε τὸ μέλαν, καὶ ἡμεῖς τῷ τούτων ἑπόμενοι λόγῳ λέγομεν· ἀλλ' οὐδὲ τὸ καθόλου λογικὸν εἶδος τοῦ μύθου τῷ καθόλου λογικῷ συνερχόμενον, ἀποτελεῖται τὸ μικτόν· ἦ γὰρ ἂν πάντες οἱ μῦθοι μικτοὶ κατὰ τοῦτον τὸν λόγον ἄφειλον εἶναι, ἀλλὰ ὅδε ὁ λογικὸς μῦθος τῷδε τῷ ἠθικῷ συνερχόμενος ἀποτελεῖ τὸ μικτὸν, ὥσπερ καὶ ὁ τὶς ὄνος συνερχόμενος τῷ τινὶ ἵππῳ ἀποτελεῖ τὴν ἡμίονον, οὐ μὴν ὁ καθόλου ἵππος καὶ ὁ καθόλου ὄνος συνερχόμενος τοῦτο ποιοῦσιν, ὡς ἐν τῇ τῶν πέντε φωνῶν πραγματείᾳ μανθάνομεν. Ἐπειδὴ δὲ πάλιν τινὲς οὐχὶ διαίρεσιν εἶναι τὴν τοῦ μύθου εἰς τὸ λογικὸν καὶ ἠθικὸν καὶ μικτὸν τομὴν νομίζουσιν, ἀλλ' ἀπαρίθμησιν, λέγομεν καὶ πρὸς αὐτοὺς, ὅτι ἐν τῇ ἀπαριθμήσει τὸ πρῶτον καὶ δεύτερον τίθεται, ὡς ἔχει παρὰ τῷ ῥήτορι ἐν τῷ τῆς παραπρεσβείας λόγῳ τό· πρῶτον μὲν, ὧν [44] ἀπήγγειλε, δεύτερον δὲ, ὧν ἔπεισε, τρίτον δὲ, ὧν προσετάξατε [45] αὐτῷ"· ἐνταῦθα δὲ τοῦτο οὐ κεῖται, ὥστε οὐκ ἔστιν ἀπαρίθμησις, ἀλλὰ διαίρεσις, καὶ διαίρεσις ἀπὸ γένους εἰς εἴδη.

---

44 Laur. ὧν. Vind. ὡς. — de fals. leg. p. 342. 45 Vind. προσετάξατο.

ις'. Τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικόν. Ζητεῖται διατὶ τὸ μὲν λογικὸν πρῶτον ἔταξε, τὸ δὲ ἠθικὸν δεύτερον, τὸ δὲ μικτὸν ἔσχατον· καί τινές φασιν, ὅτι τὸ λογικὸν προτέτακται, ὁμοίως δὲ καὶ τὸ ἠθικὸν τοῦ μικτοῦ, διὰ τὸ τὰ μὲν εἶναι ἁπλᾶ, τὸ δὲ σύνθετον· δέον ὂν τῶν συνθέτων τὰ ἁπλᾶ προεπινοεῖσθαι καὶ προεπιγινώσκεσθαι, εἴγε καὶ ἀδύνατόν ἐστι μαθεῖν, τίνα· ὅτι ἐστὶν ἐκ λευκοῦ καὶ μέλανος φαιόν. μὴ μαθόντα πρῶτον τὴν τοῦ λευκοῦ καὶ μέλανος φύσιν· τὸ δὲ λογικὸν πάλιν φασὶ προτετάχθαι τοῦ ἠθικοῦ, διὰ τὸ καὶ τοὺς λογικοὺς ἀνθρώπους κρείττονας τῶν ἀλόγων ζώων εἶναι· ἡμεῖς δέ φαμεν ἀδιαφόρως ταῦτα τετάχθαι· ἐν γὰρ ταῖς ἀπὸ γένους εἰς εἴδη διαιρέσεσιν οὐκ ἔστι τὸ πρῶτον καὶ δεύτερον διὰ τὸ ὁμοτίμως τὰ εἴδη καὶ ἐπίσης μετέχειν τοῦ γένους, τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικὸν, καὶ τὸ ἠθικὸν καὶ τὸ μικτὸν εἴδη τοῦ μύθου λέγεται εἶναι, καὶ διαίρεσις ἀπὸ γένους εἰς εἴδη ἡ εἰς ταῦτα τομὴ τοῦ μύθου· τὸ δὲ Συβαριτικὸς καὶ Κίλιξ καὶ Κύπριος οὔτε εἴδη τοῦ μύθου λέγεται, οὔτε διαίρεσις ἡ εἰς αὐτὰ τοῦ μύθου τομή· καί φαμεν, ἐπειδὴ τὸ μὲν λογικὸν καὶ τὸ ἠθικὸν καὶ τὸ μικτὸν φύσει διαφέρουσι, τὸ δὲ Κίλιξ ἢ Κύπριος ἢ Συβαριτικὸς ὀνόματα μόνον εἰσὶν ἐκ τόπων διοριζόμενα, καὶ οὐκ ἀνάγκη τοὺς δεκτικοὺς τῶν τοιούτων μύθους τῇ φύσει διαφέρειν· τὸ μὲν γὰρ λογικὸν οὐκ ἄν ποτε καὶ ἠθικὸν ὀνομασθείη διὰ τὸ τῇ φύσει διαφέρειν, εἷς δὲ καὶ αὐτὸς μῦθος ὀνομασθείη ἂν καὶ Συβαριτικὸς καὶ Κίλιξ καὶ Κύπριος. Τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικὸν, τὸ δὲ ἠθικόν. Ἀπορεῖται, εἰ ὁ τὰ τῶν ἀλόγων ἤθη ἀπομιμούμενος μῦθος λέγεται ἠθικὸς, διὰ τὸ τὰ τῶν ἀλόγων ἤθη ἀπομιμεῖσθαι, ὤφειλε καὶ ὁ τὰ τῶν ἀνθρώπων ἤθη ἀπομιμούμενος καὶ αὐτὸς ἠθικὸς λέγεσθαι καὶ λογικός· ἀλλ' αὐτὸς μὲν πρὸς τῷ κοινῷ τούτῳ ὀνόματι ἔχων καὶ ἰδικὸν ὄνομα τῷ ἰδικῷ ὀνομάζεται, ὁ

δὲ ἠθικὸς ὡς μὴ ἔχων ἰδικὸν ὄνομα, ὀνομάζεται τῷ κοινῷ ἠθικός, ἴσως δέ τις εἴπῃ· ἀλλ' ὤφειλε καὶ αὐτὸς ὀνομάζεσθαι ἄλογος, εἴγε τὰ τῶν ἀλόγων ἤθη ἀπομιμεῖται, ὥσπερ καὶ ὁ ἕτερος διὰ τὸ τὰ τῶν λογικῶν ἤθη ἀπομιμεῖσθαι λέγεται λογικός· καὶ λέγομεν, ὅτι ἔστιν ὅτε καὶ οὗτος ὀνομάζεται, ὡς παρὰ τῷ Ἀφθονίῳ λέγοντι, μικτὸν δὲ τὸ ἐξ ἀμφοτέρων, ἀλόγου καὶ λογικοῦ, ἀλλὰ διὰ τὸ μὴ εἶναι τὸ ὄνομα εὔφημον, σπανίως οὕτως ὀνομάζεται· τινὲς δὲ λέγουσιν, ὅτι φυσικὸς μᾶλλον ὤφειλε καλεῖσθαι ὁ τὰς τῶν ἀλόγων φύσεις ἀπομιμούμενος μῦθος, οὐκ ἠθικός· τὰς γὰρ φύσεις, φασὶν,[46] ἐν αὐτῷ τῶν ἀλόγων ζώων ἀπομιμούμενοι τὰς πλάσεις ποιούμεθα· λίχνον μὲν γὰρ τὴν τῶν μυῶν εὑρίσκοντες φύσιν, πλάττομεν μῦν ὑπὸ κνίσσης τυροῦ ἁλωθῆναι· εὐήθη δὲ τὴν τῶν προβάτων φύσιν, λόγους αὐτοῖς ἀναπλάττομεν ἠλιθίους· πρὸς δὲ τοὺς τὰ τοιαῦτα λέγοντας ἔστιν εἰπεῖν, ὅτι τέσσαρα ταῦτα παράκειται ἀλλήλοις, πάθος, διάθεσις, ὅ τινες καὶ ἕξιν λέγουσι, φύσις· τούτων τὸ μὲν πάθος ῥᾳδίως λύεται, καὶ ταχὺ ἀποκαθίσταται, πρόσκαιρον ὂν ψυχῆς κατάστημα καὶ οὐ μόνιμον· ὡς εἴ τινα συμβῇ πρὸς μικρὸν κατά τινα περίστασιν ὀργισθῆναι· ἡ γὰρ ἐπισυμβᾶσα αὐτῷ ὀργὴ πάθος κατονομάζεται· τοῦτο οὖν τὸ πάθος πρός τινα ἐπίδοσιν ἐλθὸν κατὰ φύσιν ἢ γνώμην[47] καὶ διάθεσις γίνεται· αὕτη δὲ πάλιν ἡ διάθεσις δευτέραν τινὰ ἐπίδοσιν λαβοῦσα εἰς ἦθος ἀποκαθίσταται, ὅπερ χρονία τις ἂν εἴη ἕξις[48] καὶ δυσκατάλυτος· φυσικὸν δέ ἐστι πᾶν ὅπερ ἐκ γενετῆς ἔχομεν, οὐκ ἐκ προαιρέσεως ἢ γνώμης, ἀλλ' ἢ τῆς τῶν στοιχείων κράσεως, ἢ τῶν σωμάτων, ὡς τὸ τῶν ἠλιθίων πρὸς τὰς συνουσίας ἀκίνητον, ἢ ἐκ τοῦ ἀναγκαίως τῷ εἴδει, ὑφ' ὃ τετάγμεθα, ἕπεσθαι· οὕτω γὰρ τὸ λογικὸν καὶ τὸ θνη-

46 Codd. φησίν. 47 Vind. ἤγνωμεν. 48 Vind. ἥξις.

τὸν φυσικῶς ἔχειν λεγόμεθα, ἔτι δὲ τὸ γελαστικόν, διὰ τὸ τῇ φύσει τῶν ἀνθρώπων ἕπεσθαι· ὃ γοῦν ἐπὶ τῶν ἀνθρώπων φύσις, τοῦτο καὶ ἐπὶ τῶν ἀλόγων ἦθος τοῖς σοφοῖς καλεῖν φίλον· οὕτω γὰρ καὶ ἠθικὰς ἀρετὰς ἐπὶ τῶν ἀλόγων καλοῦσιν, ἅσπερ ἐκ φύσεως τὰ ἄλογα ἔχουσι, καὶ ἠθικὸν εἶδος τοῦ μύθου, ἐν ᾧ τὰς τῶν ἀλόγων φύσεις ἀποσκοποῦντες τὰ προσήκοντα ταύταις ἀναπλαττόμεθα.

ιζ. Καὶ λογικὸν μέν, ἐν ᾧ τι ποιῶν ἄνθρωπος πέπλασται· τὸ πέπλασται ἀντὶ τοῦ πλάττεται τέθειται, καὶ τὸ ποιῶν ἀντὶ τοῦ ποιήσας. παράδειγμα δὲ τοῦ λογικοῦ, οἷον γέρων ἀτυχῶν καὶ τὸν θάνατον αἱρούμενος ἐνστάντος πάλιν ἀπηύχετο· τοῦτο ἂν ῥηθείη πρός τινα ἀρχὴν ἐγκεχειρισμένον καὶ παραιτούμενον αὐτήν· γέρων τις δύο γυναῖκας ἔχων, τὴν μὲν νέαν, τὴν δὲ γραῦν, παρὰ μὲν τῆς νέας τὰς πολιὰς ἐτίλλετο, παρὰ δὲ τῆς γηραιοτέρας[49] τὰς νέας, καὶ οὕτω ψιλωθῆναι συνέβη αὐτόν.

ιή. Ἠθικὸν δὲ τὸ τῶν ἀλόγων ἦθος ἀπομιμούμενον· οἷόν ἐστιν ἐκεῖνο· ὄνος ἐζήτει τὸν ἰασόμενον, ἐμπαρέντος αὐτοῦ τῷ[50] ποδὶ σκόλοπος· κατοκνούντων δὲ τῶν πολλῶν, μόνος ὁ λύκος ὑπίσχνεῖτο τὴν ἴασιν, ὁ δὲ τῷ σωθέντι ποδὶ τὸν ἰασάμενον[51] πλήττει· τὸ ἐπιμύθιον, οὕτως οἱ πονηροὶ χάριτος ἀμοιβὰς ἀντεισφέρονται βλάβας. Ἕτερος. Ὄνος ἐπεθύμει λέων εἶναι δοκεῖν, καὶ μεταθεῖναι τὴν φύσιν οὐκ ἔχων ἐπὶ τοῦ σχήματος ἀνεπλήρου τὸν πόθον, καὶ λεοντῆν περικείμενος, οἷα λέων, τοὺς τῶν γεωργῶν ἐλυμαίνετο πόνους· καὶ πνεύσας βιαιότερον ἄνεμος γυμνοῖ μὲν αὐτὸν τοῦ προκαλύματος, φανέντα δὲ ὄνον ροπάλοις ἀνῄρουν οἱ γεωργοί,

---

49 Laur. γηραιοτέρας. Vind. γεραιοτέρας. 50 τό ποδὶ Vind. 51 Codd. τὸν ἰσάμενον.

τοὺς πόνους αὐτῶν κατεσθίοντα. Τὸ ἐπιμύθιον· κόσμος ἐπείσακτος τοῖς χρωμένοις γίνεται κίνδυνος. Ἕτερος. Ἡ μήτηρ πρὸς τὸν καρκῖνον, τί δὴ λοξὸν, ὦ παῖ, βαδίζεις, ὁδὸν ὀρθὴν ἰέναι προσῆκον; ὁ δὲ πρὸς αὐτὴν, ἡγοῦ τῶν ὁδῶν, ὦ μῆτερ, καὶ αὐτὸς βαδίζειν πειράσομαι· τῆς δὲ βαδίζειν ἀπορούσης, ὀρθῶς κατήγορος ὁ παῖς τῆς παρανόμου ἐγίνετο· ἐπιμύθιον· ῥᾷον παραινεῖν, ἃ ποιεῖν ὑπῆρξεν ἀδύνατον.

ιθ'. Τὸ τῶν ἀλόγων ἦθος ἀπομιμούμενον· ἦθος ἐνταῦθα τὴν φύσιν λέγει, μικτὸν δὲ τὸ ἐξ ἀμφοτέρων, ἀλόγου καὶ λογικοῦ, οἷός ἐστιν ὁ τοῦ ἵππου τοῦ μυλωροῦ.

κ'. Τὴν δὲ παραίνεσιν, δι' ἣν ὁ μῦθος τέτακται, προτάττων μὲν ὀνομάσεις προμύθιον. Πέντε παρέπονται τῇ μεθόδῳ τοῦ μύθου· γένος, ὅρος, κλῆσις, εἶδος, διαφορά· γένος ἐν τῷ· ὁ μῦθος ποιητῶν μὲν προῆλθεν· ὅρος ἐν τῷ· ἔστι δὲ μῦθος ψευδὴς· κλῆσις ἐν τῷ· καλεῖται δὲ Συβαριτικός· εἶδος ἐν τῷ· τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικὸν,[52] τὸ δὲ ἠθικὸν, τὸ δὲ μικτόν· διαφορὰ ἐν τῷ· τὴν δὲ παραίνεσιν, δι' ἣν ὁ μῦθος τέτακται. Πότε μὲν οὖν δεῖ τὴν παραίνεσιν, δι' ἣν ὁ μῦθος τέτακται,[53] προτάττοντας ὀνομάζειν προμύθιον, καὶ πότε ἐπιμύθιον, διδάσκει ἡμᾶς ὁ Ἀφθόνιος· πότερον δὲ ἄμεινον, ἢ οὕτως ἢ ἐκείνως[54] ποιεῖν, τουτέστι προτάττειν τὴν παραίνεσιν ἢ ὑποτάττειν, οὐ δείκνυσι. Τινὲς μέντοι τῶν τὸ παρὸν βιβλίον ἐξηγουμένων φασὶ, μὴ καλῶς ἔχειν προτάττεσθαι τὴν παραίνεσιν· εἰ γὰρ τὸν μῦθον, φασὶ, πλάττομεν, θηρᾶσαι τὸν νέον ἐκ ψυχαγωγίας βουλόμενοι,[55] ἵν' οὕτως ὥσπερ δελεασθέν-

---

52 Vind. λογιστόν. 53 πότε μὲν οὖν δεῖ — τέτακται Vind. om. 54 Vind. ἐκεῖνος. 55 Vind. βουλόμενος.

τες τῷ πλάσματι πρὸς πειθὼ χρησώμεθα,[56] δῆλον ὡς ἐὰν τὴν παραίνεσιν τοῦ μύθου προτάξωμεν, περιττὸν ὁ μῦθος λοιπὸν εὑρίσκεται· εἰ γὰρ προσίεται, φασὶ,[57] παρ' ἡμῶν ὁ νέος τὴν συμβουλὴν, ποῖος καιρὸς ἔτι τοῦ πλάσματος; τῷ δὲ Γεωμέτρῃ δοκεῖ, μὴ ἁπλῶς τὴν παραίνεσιν ὑποτάττεσθαι, μὴ μέντοιγε καὶ προτάττεσθαι· τίνος οὖν χάριν, εἶπεν ὁ Ἀφθόνιος, ὅτι προτάττων μὲν τὴν παραίνεσιν ὀνομάσεις προμύθιον; φησὶ τοίνυν καὶ αὐτὸς, ὅτι, ὅτε μὲν κατ' αὐτὸν ὁ μῦθος καὶ αὐτόθι ἄρχεται, τὸ ἐπιμύθιον δηλαδὴ ὑποταχθήσεται, ὡς μηδὲν ἡμῶν προειπόντων, μηδὲ καταδεχομένου τοῦ ἀκροατοῦ τὴν παραίνεσιν· εἰ δ' ἀναμεταξὺ τοῦ λόγου τεθήσεται, ἀνάγκη καὶ διὰ πολλῶν ἄλλων περαινόντων τὴν παραίνεσιν εἰς ἀπόδειξιν ἔστιν ὅτε καὶ τὸν μῦθον παραλαβεῖν εἶτα συστρέψαντα πάλιν ἀναμαθεῖν καὶ τὸ ἐπιμύθιον.

κά. Ἐπιμύθιον δὲ τελευταῖον ἐπενεγκών· τὸ ἐπιμύθιον εἶναι βούλονται λόγον πρὸς τὸν μῦθον φερόμενον, καὶ δηλοῦντα τὸ ἐν αὐτῷ χρήσιμον, τοῦτο δὲ διαφόροις οἱ σοφισταὶ ὀνόμασιν ὀνομάζουσι. Καὶ γὰρ οὐκ αὐτὸ τοῦτο μόνον παρ' αὐτοῖς ἐπιμύθιον ὀνομάζεται, ἀλλὰ καὶ ἐπίλογος καὶ ἐπιφώνημα καὶ περίοδος καὶ περιοδικὴ γνώμη· καὶ ἐπιμύθιον μὲν λέγεται, ὡς μετὰ τὸν μῦθον τιθέμενον· ἐπίλογος δὲ δι' αὐτὸ τοῦτο καὶ μετὰ τὸν λόγον, τὸν μῦθον δηλαδὴ, τιθέμενον· λέγεται γὰρ ὁ μῦθος καὶ λόγος, δι' ὃν καὶ τὸν Αἴσωπον λογοποιόν τινες ὀνομάζουσιν· ἐπιφώνημα δὲ, ὡς ἔξωθεν ἐπὶ τῷ μύθῳ παρ' ἡμῶν λεγόμενον, περίοδος δὲ, διότι ἔσθ' ὅτε τὸν ὅλον σκοπὸν τοῦ μύθου ἐν τούτῳ συγκλείομεν, ἐπεὶ[58] καὶ περίοδος τοῦτό ἐστιν ἡ τοῦ ὅλου ἐπιχειρήματος ἀναγκαστικὴ σύνοδος καὶ κλεὶς τρόπον τινά· περιο-

56 Laur. χρησώμεθα. Vind. χρησόμεθα. 57 Vind. φησί.
58 Vind. ἐπί. Laur. ἐπεί.

δικὴ δὲ λέγεται, διότι ἔστιν ὅτε πάλιν οὐχ ὅλον τὸν τοῦ μύθου σκοπὸν ἀλλὰ μέρος τι τούτου ἐν τῷ ἐπιμυθίῳ παραλαμβάνομεν· καὶ γαρ τούτῳ διαφέρει περίοδος τοῦ περιοδικῶς λέγειν, ὅτι ἡ μὲν τὸ ὅλον ἐπιχείρημα συνάγει, τὸ δὲ οὐχ ὅλον, ἀλλὰ μέρη αὐτοῦ· περὶ δὲ τούτων πλατύτερον ἐν τῷ τετάρτῳ τόμῳ τοῦ περὶ εὑρέσεων βιβλίου μανθάνομεν. Ἀποροῦσι δέ τινες, λέγοντες, ὅτι εἰ τὰ προγυμνάσματα συμβάλλονται τῇ ῥητορικῇ καὶ τρόπον τινὰ μέρη αὐτῆς εἰσι, διατὶ οὐχ ὁρίζεται τὴν ῥητορικὴν ἐν αὐτοῖς ὁ Ἀφθόνιος; καὶ λέγομεν, ὅτι ἐπειδὴ ὁ μὲν ὅρος τέλειός ἐστιν, ὁλοκλήρως γὰρ ὀφείλει δεικνύειν τὸ πρᾶγμα τὸ ὁριστικὸν, καὶ οὐχὶ μερικῶς, τοῦτο γὰρ κακία ἐστὶν ὅρου, τὸ μὴ ὅλον τὸ πρᾶγμα δεικνύειν, ἀλλὰ μέρος αὐτοῦ· οἷον ὡς ἵνα τὸν ἄνθρωπον ὁριζόμενος εἴπω αὐτόν· ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν, γραμματικόν· ἰδοὺ γὰρ οὐ [59] συμπεριέλαβε πάντας τοὺς ἀνθρώπους διὰ τοῦ ὁρισμοῦ, ἀλλὰ μόνους τοὺς γραμματικοὺς, καὶ διὰ τοῦτο ὑπαχθήσεται ὁ τοιοῦτος κακίᾳ δικαίως. Ἐπεὶ τοίνυν ὁ μὲν ὁρισμὸς τέλειός ἐστι, τὰ δὲ προγυμνάσματα ἀτελῆ, περίεργον δὲ τὸ ἐν τοῖς ἀτελέσι περὶ τελείων διαλαμβάνειν, τούτου χάριν οὐχ ὡρίσατο αὐτήν· ὅτι δὲ ἀτελῆ τὰ προγυμνάσματα, δῆλον ἐκ τοῦ τὸ καθ' ἕκαστον αὐτῶν μέρει τινὶ λόγου, καὶ μὴ ὅλῳ λόγῳ ἀναλογεῖν, δι' ἣν αἰτίαν οὐδὲ εἰς δικαστήριόν τι τούτων εἰσάγεται· ἢ διὰ τοῦτο οὐχ ὡρίσατο ἐν τοῖς παροῦσι τὴν ῥητορικήν, διότι τῶν ὁρισμῶν φιλοσόφοις ἁρμοζόντων, οὐ ῥήτορσιν, αὐτὸς ῥητορικὰς γράφων μεθόδους περιττὸν ἡγήσατο περὶ ὁρισμοὺς καταγίνεσθαι. Ἰστέον δὲ, ὅτι ὁ μὲν Ἀφθόνιος περὶ τῆς συστολῆς ἢ τῆς ἐκτάσεως τοῦ μύθου οὐδὲν ἡμᾶς διδάσκει, ἀλλ' οὐδὲ περὶ τῆς ἄλλης αὐτοῦ ἑρμηνείας. Ὁ μέντοι Ἑρμογένης ἐν τῷ

59 οὐ Vind. non habet.

περὶ τῶν προγυμνασμάτων αὐτοῦ βιβλίῳ καὶ περὶ τούτου διαλαμβάνει· περὶ μὲν τοῦ μήκους λέγων, ὅτι ποτὲ μὲν δέον αὐτὸν συστέλλεσθαι, ποτὲ δὲ ἀνίεσθαι· πῶς δ' ἂν, φησὶ, γένηται τοῦτο; εἰ νῦν μὲν ψιλὸν αὐτὸν κατὰ ἀφήγησιν λέγομεν, νῦν δὲ λόγους πλάττομεν τῶν ὑποκειμένων προσώπων, οἷον ὡς ἐπὶ παραδείγματος· οἱ πίθηκοι συνελθόντες ἐβουλεύσαντο περὶ τοῦ χρῆναι πόλιν οἰκίζειν, καὶ ἐπειδὴ ἔδοξεν αὐτοῖς, ἔμελλον ἅπτεσθαι τοῦ ἔργου. γέρων οὖν πίθηκος ἐπέσχεν αὐτοὺς εἰπών, ὅτι ῥᾷον ἂν ἁλώσονται περιβόλων ἐντὸς ἀπληφθέντες· οὕτως ἂν συντέμοις· εἰ δὲ ἐκτείνειν βούλοιο, ταύτῃ πρόαγε· οἱ πίθηκοι συνελθόντες ἐβουλεύσαντο περὶ πόλεως οἰκισμοῦ, καὶ δή τις παρελθὼν ἐδημηγόρησεν, ὅτι χρὴ καὶ αὐτοὺς πόλιν ἔχειν· ὁρᾶτε γὰρ, φησὶν, ὡς εὐδαίμονες διὰ τοῦτο οἱ ἄνθρωποι, καὶ οἶκον ἔχει ἕκαστος αὐτῶν, καὶ εἰς ἐκκλησίαν οἱ σύμπαντες καὶ εἰς θέατρον ἀναβαίνουσι, τέρποντες τὰς ψυχὰς αὐτῶν θεάμασί τε καὶ ἀκούσμασι παντοδαποῖς. καὶ οὕτω πρός γε λέγων, ὅτι καὶ τὸ ψήφισμα ἐγέγραπτο, καὶ λόγον πλάττει περὶ τοῦ γέροντος τοῦ πιθήκου. Ταῦτα περὶ τοῦ ἐν τῷ μύθῳ μήκους εἰπὼν ὁ λογιώτατος Ἑρμογένης λέγει καὶ περὶ τῆς ἐν αὐτῷ φράσεως τάδε· τὴν δὲ ἀπαγγελίαν βούλονται περιόδων ἀλλοτρίαν εἶναι γλυκύτητος ἐγγύς. Ἔτι οἱ ἄλλοι τεχνογράφοι ἀρετὰς εἶναι μύθου λέγουσι τέσσαρας· σαφήνειαν, συντομίαν, πιθανότητα, ἡδονήν· ὁ δέ γε Ἀφθόνιος οὐδὲ τούτων μνημονεύει· ὁ δὲ Γεωμέτρης τάδε καὶ αὐτὸς περὶ τῆς τοῦ μύθου φράσεως λέγει. „Περὶ δὲ τῆς τοῦ μύθου φράσεως ἐκεῖνο πᾶσιν ἔστω κατάδηλον, ὡς ὁ μῦθος αὐτὸ τοῦτο πρῶτον καθ' ἑαυτὸν γλυκεῖαν ἔχει τὴν ἔννοιαν· ἔστιν οὖν ἡ μὲν ἔννοια τῆς γλυκύτητος, ἀκόλουθος δὲ ταύτῃ πάντως καὶ ἡ λοιπὴ φράσις, ἀφελὴς καὶ σαφής. Ἀφελὴς δὲ καὶ σαφὴς ἡ ταῖς κυρίως καθαραῖς χρωμένη τῶν λέξεων, ἤγουν ταῖς ἐπιθέτοις,

καὶ

καὶ ὅσαι τῶν ποιητικῶν, ἀλλὰ μὴ ἀσυνήθεις, μηδὲ τραχεῖαι· ἀπέστω δὴ ταύτης καὶ πᾶσα περιβολὴ καὶ πλοκὴ καὶ περίοδος, καὶ μάλιστα ὅταν δι' ἀλόγων σύγκειται ζώων· ἀφελεστέρως γὰρ δεῖ τότε πλάττειν τοὺς λόγους, καὶ σχεδὸν τοῖς ἀλογωτέροις εἰκότως ἤθεσι· σχῆμα δὲ μάλιστα μὲν τὸ κατ' ὀρθὸν, οὕτω γὰρ καὶ σαφέστερος ὁ μῦθος ἔσται, καὶ κατὰ κῶλον ἢ κόμμα βραχὺ τὴν ἀνάπαυσιν ποιησόμεθα· οὐκ ἀμελητέον οὐδὲ τοῦ κάλλους, ἀλλὰ καὶ τούτῳ προσχρησόμεθα μετρίως, ἐπεὶ καὶ τοῦτο βοηθὸν τῆς ἡδονῆς· ὡς εἰπεῖν δὲ συντόμως, ἑπτὰ τῶν τοῦ λόγου οὐσῶν ἰδεῶν, τῇ σαφηνείᾳ πρὸ πάντων ἐνταῦθα μάλιστα καὶ τῇ ἀφελείᾳ καὶ τῇ γλυκύτητι πλεονάσομεν.

κβ'. *Μῦθος ὁ τῶν μυρμήκων καὶ τῶν τεττίγων, προτρέπων τοὺς νέους ἐπὶ πόνους.* Λέγουσί τινες, ὅτι ὤφειλε μὴ οὕτως ἐπιγράψαι, προτρέπων τοὺς νέους ἐπὶ πόνους, ἀλλ' ἀποτρέπων τοὺς νέους τῆς ῥᾳθυμίας· ἀλλ' εἰ μὲν ἐνυπῆρχε τοῖς νέοις καὶ τοῖς εἰσαγομένοις ἀμέλεια τῆς περὶ τὴν ῥητορικὴν φιλοπονίας, εἰκότως ἂν οὕτως ἐπέγραψε· προτρέπει γάρ τίς τινα εἰς ἃ οὔπω ἐπικεχείρηκεν, ἀποτρέπει δὲ ἐκείνων, ἐν οἷς ἤδη ἐστὶ, καὶ ἃ νῦν πράττει· ἐπεὶ δὲ οὔπω ἐνεχείρησαν ἔτι τῇ τέχνῃ, ὥστε φανῆναι, εἰ ἀμελῶς περὶ αὐτὴν διάκεινται, πῶς εἶχεν ἀποτρέψαι αὐτοὺς τῆς περὶ αὐτὴν ῥᾳθυμίας;

κγ'. *Θέρους ἦν ἀκμή.* Ἐν τῇ μεθόδῳ τοῦ μύθου διδάξας ἡμᾶς, ὅθεν ὁ μῦθος ἔσχε τὴν γένεσιν, καί τί ἐστιν ὁ μῦθος, δείξας δι' ὁρισμοῦ, καὶ τίνα ἔχει ἰδικὰ ὀνόματα, καὶ ποῖον κοινὸν παραδοὺς ἔτι, καὶ πόσα εἴδη τοῦ μύθου διηλώσας, νυνὶ μῦθον πλάσας προτίθησιν εἰς παράδειγμα. Τοῦτο δὲ ποιεῖ, σαφηνείας ὅτι μάλιστα φροντίδα ποιούμενος· φῶς γάρ εἰσι τῶν λεγομένων τὰ παραδείγματα, καὶ διὰ τούτων πάντα σαφῆ γίνεται·

ἡμεῖς δὲ πρὸ τοῦ τῇ κατὰ λέξιν τοῦ ἐδαφίου ἐξηγήσει ἐπιχειρῆσαι εἴπωμεν, κατὰ πόσους τρόπους δέον ἐξηγεῖσθαι τὸν τὰ ῥητορικὰ μαθήματα ἐξηγούμενον. ἐξηγητέον τοίνυν γενικῶς κατὰ τρία ταῦτα· κατὰ νοῦν, κατὰ λέξιν, κατὰ τέχνην· διαιρεῖται δὲ ὁ μὲν νοῦς εἰς τὸ κατὰ διάνοιαν, καὶ τὸ κατὰ ἀλληγορίαν, καὶ τὸ κατὰ προθεωρίαν, καὶ τὸ καθ' ἱστορίαν· λέγω δὲ διάνοιαν μὲν τὸν νοῦν τοῦ προτεθέντος ἡμῖν ἐνθυμήματος· ἀλληγορίαν δὲ τὸ ἄλλο μέν τι πολλάκις εἶναι τὸ κατὰ λέξιν ἀγορευόμενον, ἄλλο δὲ τὸ νοούμενον· ἐπεὶ καὶ ἀλληγορία λέγεται παρὰ τὸ ἄλλο τι παρὰ τὸ φαινόμενον ἀγορεύειν, προθεωρία δὲ, ὅτε προεκτιθέμενοι καὶ συνοπτικῶς προλαμβάνοντες συντομώτερον ὁμοῦ καὶ σαφέστερον τοὺς σκοποὺς ἐκδιδάσκομεν· ἱστορίαν δὲ, ὅτε τὰ τῶν παλαιῶν διὰ τὸ ἀρχαιότερον ἀγνοούμενα ἀναπτύσσομεν, τόπον τε καὶ καιρὸν καὶ πρόσωπον καὶ τὰ ἐπὶ τούτοις ἐκδιηγούμενοι· συμπαραληπτέον δὲ τῇ ἱστορίᾳ καὶ τὴν μυθολογίαν, τούτῳ μόνῳ διαφέρουσαν, τῷ δυνατῷ καὶ τῷ ἀδυνάτῳ, καὶ κατὰ νοῦν μὲν οὕτως, κατὰ δὲ λέξιν εἰς τὸ καθ' ὁμωνυμίαν, εἰς τὸ κατὰ γλῶσσαν, εἰς τὸ κατὰ μεταφοράν· τὸ μὲν ὅταν τὰς ὁμωνυμίας διαστελλώμεθα, καὶ τὰ διάφορα σημαινόμενα τοῖς νέοις ὑποδεικνύωμεν, ὡς μὴ πλανᾶσθαι περὶ τὸ σημαινόμενον· τὸ δὲ ὅταν τὰ ἴδια μιᾶς ἑκάστης διαλέκτου προσδιοριζώμεθα, καὶ ποία μὲν αὐτῶν ἡ μετρία, ποία δὲ ἡ σκληρά τε καὶ ἐπικίνδυνος. οὕτω καὶ κατὰ λέξιν. κατὰ δὲ τέχνην ὅταν τὸ μὲν πρῶτον, ποίου τῆς ῥητορικῆς εἴδους ἡ πᾶσα ὑπόθεσις, προδιδάσκωμεν, τοῦ δικανικοῦ, ἢ συμβουλευτικοῦ ἢ πανηγυρικοῦ, καὶ πάλιν τὸ μὲν δικανικὸν ἢ συμβουλευτικὸν, ποίας στάσεως ἢ ποίου μερικωτέρου τῆς πραγματικῆς εἴδους· τὸ δὲ πανηγυρικὸν, ποίου τῶν ἐγκωμίων ἢ τῶν ἐπιταφίων, ἢ τινῶν τῶν τούτων ὁμοίων. τρίτον ὅταν καὶ τὰ ἐπὶ τούτοις κεφάλαια προσδιαιρῶμεν, καὶ τέταρτον

τὰ κατὰ μέρος ἐπιχειρήματα· καὶ τὴν λοιπὴν πᾶσαν τῶν κεφαλαίων εὕρεσιν· πέμπτον ὃ καὶ ἐπὶ πᾶσιν, ὅταν καὶ κατὰ τὴν ἰδέαν τὸν λόγον χαρακτηρίζωμεν· οἷον ὅτι τόδε λαμπρότητος τυχόν ἐστιν ἢ γοργότητος ἢ κάλλους ἢ δεινότητος· καὶ τίνος μὲν ἰδέας ἡ ἔννοια, τίνος δὲ ἡ μέθοδος, καὶ τὰ λοιπὰ τῶν ἐν ταῖς ἰδέαις ἡμῖν παραδοθησομένων. Ἡμεῖς τοίνυν κατά τε νοῦν τὴν προκειμένην μελέτην τοῦ μύθου ἐξηγησόμεθα, τὸν νοῦν τοῦ μύθου καὶ τὴν προθεωρίαν τοῦ μύθου λέγοντες, καὶ κατὰ λέξιν τὰ σημαινόμενα τῶν ὁμωνύμων ἀπαριθμούμενοι λέξεων· προσέτι γε μὴν καὶ ὅσαι τῶν λέξεων ἴδιαί εἰσι μεθόδων τινῶν, ταύτας ἀνακαλύπτοντες, πρὸς τούτοις δὲ κατὰ τέχνην ἐξηγησόμεθα τὴν ἰδέαν τοῦ μύθου χαρακτηρίζοντες. Ῥητέον δὲ τὴν προθεωρίαν καὶ τὸν σκοπὸν τοῦ προκειμένου μύθου, ὅς ἐστι τοιοῦτος· ἐπειδὴ πρόθεσιν εἶχεν ὁ διδάσκαλος διερεθίσαι τοὺς εἰσαγομένους εἰς τὴν περιττὴν γνώσεως σπουδὴν καὶ ἐπιμέλειαν, ὑπέθετο μύρμηκας καὶ τέττιγας, τοὺς μὲν πονήσαντας θέρους περὶ τὴν τῶν καρπῶν συλλογήν, τοὺς μύρμηκας, καὶ διὰ τοῦτο χειμῶνος τῶν πρὸς τροφὴν εὐπορήσαντας· τοὺς δὲ τέττιγας κατὰ μὲν τὸ θέρος τερπομένους ᾠδαῖς, κατὰ δὲ τὸν χειμῶνα λιμῷ τελευτήσαντας· καὶ ὁ μὲν σκοπὸς τοῦ μύθου τοιοῦτος· αἱ δὲ πρὸς αὐτὸν φερόμεναι ἀπορίαι τοιαῦται. Ζητοῦσι γάρ τινες, διατὶ οὐκ ἔπλασεν ὁ σοφιστὴς λογικὸν μῦθον ἢ μικτόν, ἀλλ' ἠθικόν· καὶ λέγομεν, ὅτι ἀδιαφόρως τοῦτο ἐποίησεν· αὐτίκα γὰρ καὶ εἰ ἐκείνων τινὰ ὑπέθετο, ζητεῖν εἴχομεν διατὶ αὐτὸν καὶ οὐχ ἕτερον ἔπλασεν· ἢ ἐπειδὴ σκοπὸν εἶχε διερεθίσαι τοὺς νέους πρὸς πόνον, ἣν εὗρισκε πλάσιν οἰκείαν καὶ προσφυῆ τῷ σκοπῷ τούτῳ, ταύτην ἐξέθετο· ἢ ὅτι πάντων τῶν μύθων ἡδονὴν ποιούντων γλυκύτεροι μᾶλλον τῶν ἄλλων οἱ ἠθικοὶ εἶναι δοκοῦσιν. Ἔτι κακεῖνο ἐπαποροῦσιν· εἰ σκοπῶν ὁ διδάσκαλος διεγεῖραι τοὺς εἰσαγομένους εἰς τοὺς

περὶ τὴν γνῶσιν πόνους διὰ τοῦ παρόντος μύθου ὤφειλε πάντως ἢ [60] τέττιγας μόνους ὑποθεῖναι οὕτως εἰπών· Θέρους ἦν ἀκμὴ, καὶ οἱ [61] τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον· χειμῶνος δὲ ἐπιγεγονότος ἐτελεύτα αὐτοῖς ἡ τέρψις πρὸς ἔνδειαν· εἶτα καὶ τὸ ἐπιμύθιον [62] ἐπενεγκεῖν· οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας κακοπραγεῖ· ἢ καὶ τοὺς μύρμηκας ὑποθεῖναι, φασὶν, ὤφειλε χωρὶς τῶν τεττίγων, ὅτι Θέρους ὄντος ἐπόνουν περὶ τὴν συλλογὴν τῶν καρπῶν, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος τραφήσεσθαι· οὐκοῦν καὶ τοῦ χειμῶνος ἐνστάντος, οἷς ἐπόνησαν Θέρους ἐτρέφοντο· εἶτα τὸ ἐπιμύθιον· οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας κακοπραγεῖ· ἢ οὖν τοὺς μύρμηκας μόνον, ὡς εἴπομεν, ὤφειλε, φασὶν, ὑποθεῖναι, ἢ τοὺς τέττιγας· καὶ λέγομεν, ὅτι ἀλλ' ἐὰν οὕτως ἐποίησεν, ἐδείκνυε μόνον, ὅτι τὸ ἐν τῇ νεότητι τυχὸν ἀμελεῖν βλάπτει, οἷον ὡς εἰ τοὺς μύρμηκας μόνους ὑπέθετο, ἢ ὅτι τὸ μὴ κοπιᾷν ἐν νεότητι βλάπτει· οὐ μὴν δὲ τὸ κοπιᾷν ὠφελεῖ, ὡς εἰ τοὺς τέττιγας πάλιν ὑπέθετο, νυνὶ δὲ ἀμφότερα δείκνυσιν· ὅτι τε ἡ περὶ τὴν νεότητα ῥᾳστώνη βλαβερωτάτη, καὶ ὅτι οἱ περὶ αὐτὴν πόνοι λυσιτελέστεροι, καὶ ἔστι κατ' αὐτὸ τοῦτο ἰσχυρὸς πεῖσαι τοὺς εἰσαγομένους ὁ μῦθος τῆς παραινέσεως ἔχεσθαι, παρόσον οὐ μόνον τὸ παραινούμενον αὐτοῖς τοὺς πόνους δηλονότι δείκνυσιν ἀγαθὸν, ἀλλὰ καὶ τὸ ἐναντίον τούτου κακόν· μεγίστη δέ ἐστι πράγματος αὕτη, ὥς φασι, σύστασις, τὸ τὸ ἐναντίον αὐτῷ φαῦλον δοκεῖν εἶναι· ἐπεὶ καὶ πολλὰ τῶν πραγμάτων αὐτὰ μέν εἰσιν ἀγαθά· τὰ δὲ ἐναντία αὐτῶν οὐκ εἰσὶ φαῦλα, οἷον τὸ νομοθετεῖν ἀγαθὸν, οὐ μὴν [63] τὸ μὴ νομοθετεῖν φαῦλον· ἀλλ' ἴσως φήσει τις, ὅτι καὶ οὕτως τὸ ἓν

60 Vind. εἰ. 61 Vind. ἡ. Laur. οἱ. 62 Vind. ἐπιθύμιον. 63 Vind. μέν.

δείκνυται· τὸ γὰρ ἐπιμύθιον, τὸ μὴ πονεῖν μὲν περὶ τὴν νεότητα δείκνυσι φαῦλον, οὐ μὴν τὸ πονεῖν ἀγαθον· ἔχει γὰρ ὧδε τὸ ἐπιμύθιον· οὕτω νεύτης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας κακοπραγεῖ· ἢ καὶ τὸ ἕτερον, φημὶ δὴ τὸ πονεῖν δὲ ἐθέλουσα παρὰ τὸ γῆρας εὐπραγεῖ, καὶ αὐτὸ δυνάμει ἐν τῷ μύθῳ ἐμφαίνεται.

κδ'. Θέρους ἦν ἀκμή. Ἀκμὴ σημαίνει μὲν καὶ τὴν ὀξύτητα τοῦ σιδήρου, καὶ τὸ μεσαίτατον παντὸς πράγματος· ἀκμὴ οὖν θέρους ἐνταῦθα τὸ μεσαίτατον τοῦ θέρους λέγει. οὐκ εἶπε δὲ, ὅτι θέρος ἦν ἁπλῶς, ἀλλ' ὅτι θέρους ἀκμή, ἵν' ὡς ἐκ τούτου ὁ μῦθος γίνηται πιθανώτερος· ἐν γὰρ τῷ μέσῳ τοῦ θέρους οἱ τέττιγες μᾶλλον ᾄδουσι, καὶ οἱ μύρμηκες συλλέγουσι τοὺς καρπούς.

κέ. Θέρους ἦν ἀκμή. Ἡ ἰδέα τοῦ λόγου γενικῶς μὲν ἠθικὴ, εἰδικῶς δὲ γλυκεῖα, ἥ τε γὰρ ἔννοια γλυκύτητός ἐστι μυθικὴ οὖσα, καὶ ἡ μέθοδος ὁμοίως· ἀφηγηματικῶς γὰρ εἰσῆκται ὁ λόγος, ὅπερ ἐστὶν ἴδιον μὲν καὶ τῆς καθαρότητος καὶ ἄλλων ἰδεῶν, πρὸς δὲ ταύταις καὶ γλυκύτητός ἐστιν, κοινὸν γὰρ ἔχει καὶ τὸ κατ' ὀρθὸν σχῆμα τῇ καθαρότητι καὶ σεμνότητι ἡ γλυκύτης. Ἰστέον μέντοι, ὅτι τινὲς τῶν πρὸ ἡμῶν καθαρὰν εἶναι τὴν ἰδέαν τοῦ παρόντος μύθου ὑπειλήφασι πλανηθέντες, οἶμαι, ἀπό τε τῆς μεθόδου καὶ τοῦ σχήματος, καὶ μὴ συμβαλόντες, πρῶτον μὲν, ὅτι ἡ ἔννοια ἐνταῦθα μυθική ἐστιν, ἥτις οὐ καθαρότητι, γλυκύτητι δὲ μᾶλλον παρὰ τῶν τεχνογράφων ἀπονενέμηται· ἔπειτα δὲ ὅτι καὶ αὐτὰ ταῦτα, δι' ἃ [64] καθαρὰν εἶναι τὴν ἰδέαν ἀποφαίνονται, οὐ μόνον τῆς καθαρότητος ἀλλὰ καὶ τῆς γλυκύτητός ἐστιν ἴδια. Θέρους ἦν ἀκμή. Ζητεῖται, εἰ τῷ κατ' εὐθεῖαν ἀεὶ σχήματι ἐν τοῖς μύθοις

64 Vind. διά. Laur. δι' ἅ.

χρησόμεθα, ἢ καὶ ἄλλῳ τινὶ εἴθ' ὅτε, καὶ λέγουσιν, ὅτι ὅτε μὲν ἀφ' ἑαυτῶν τοὺς μύθους εἰσάγομεν, τῷ κατ' εὐθεῖαν χρησόμεθα, ὅταν δὲ περί τινος ἀγωνιζόμενοι πρὸς πίστιν, μύθῳ τινὶ βουλόμεθα χρήσασθαι, δεδοικότες, μὴ μυθολογεῖν ἀφ' ἑαυτῶν δόξωμεν, εἰς ἕτερόν τι πρόσωπον τοῦτο ἀνάξωμεν καὶ κατ' αἰτιατικὴν προενέγκωμεν.

κϛ'. Καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον. Τὸ ἀναβάλλομαι σημαίνει καὶ τὸ ἐνδύομαι, ὡς τὸ ἀναβαλλόμενος φῶς, ὡς ἱμάτιον, καὶ τὸ ὑπερτίθεμαι, ὡς τό· μὴ ἀναβάλλου ἐς αὔριον ἔς τ' ἔννηφι· καὶ τὸ προοιμιάζομαι, ὡς τὸ, ὁ δ' ἀνεβάλλετο καλὸν ἀείδειν,[65] καὶ τὸ ἀνακρούομαι καὶ ἀναπέμπω, ὡς ἐνταῦθα. Τὸ δὲ σύντονον ἀντὶ τοῦ ἐπιτεταμένην· τοιοῦτον γὰρ τὸ σύντονον μέλος τῆς μουσικῆς· τρία δέ φασι καὶ ταύτης τὰ εἴδη, τὸ σύντονον, τὸ ἀνειμένον, τὸ μέσον, ὥσπερ καὶ τῆς ῥητορικῆς τρία εἰσὶ τὰ εἴδη, τὸ δικανικόν, τὸ συμβουλευτικὸν καὶ τὸ πανηγυρικόν· ἰστέον δέ, ὅτι ἕκαστον τῶν τῆς ῥητορικῆς εἰδῶν ἐνὶ πάντως τῶν[66] τῆς μουσικῆς εἰδῶν χρῆται, οἷον τὸ μὲν δικανικὸν τῷ συντόνῳ, τὸ δὲ πανηγυρικὸν τῷ ἀνειμένῳ, τὸ δὲ συμβουλευτικὸν τῷ μέσῳ· διά τοι τοῦτο καὶ τρεῖς φασιν εἶναι τοὺς τρόπους τῶν ῥητορικῶν ἀναγνώσεων, τὸν σύντονον, ὃν καὶ μάλιστα τοῖς δικάζουσιν ἁρμόζειν φησὶν μετὰ σφοδροῦ τοῦ πνεύματος καὶ συντόνου τῆς προθυμίας διεγειρόμενον· ὑπὸ λαύρου τοῦ πνεύματος τραχύτερον ἡμῶν τῆς ἀρτηρίας ἐγειρομένης, καὶ ὥσπερ ὑπὸ πλήκτρου τινὸς ὑποκτυπουμένης τὸν ἀνειμένον, ὃς καὶ ἥμερός τις εἶναι δοκεῖ καὶ ἐπιεικὴς, ἐν ᾧ καὶ τὸ πνεῦμα μελίῤῥουν, καὶ ἡδείᾳ τις φωνὴ κατὰ τὴν τοῦ Ὁμηρικοῦ Νέστορος,[67]

Οὗ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

---

65 Od. α, 155. 66 τῶν inserui de meo. 67 Il. α, 249.

οὗτος τῷ ἀφελεῖ λόγῳ πρέπων καὶ τάχα ταῖς ἱστορίαις μάλιστα καὶ ταῖς πανηγύρεσι, καὶ ἐν οἷς ἂν μυθοποιΐας τινὸς δεώμεθα· τὸν μέσον, ὅστις καὶ ἐξ ἀμφοτέρων κεκρᾶσθαι δοκεῖ, πρὸς μὲν τὸν ἀνειμένον συντονώτερον μᾶλλον, πρὸς δὲ τὸν σύντονον ὑφεκτικώτερον· τοῦτον καὶ συμβουλευτικὸν καὶ ἐπιστολιμαῖόν τινες τῶν παλαιῶν ὀνομάζουσι.

κζ'. Τοῖς μύρμηξι δὲ πονεῖν ἐπήει. Οὐκ εἶπεν, ἐπόνουν οἱ μύρμηκες, ἀλλ' ἐπήει τοῖς μύρμηξι πονεῖν· ἵνα γὰρ μή τις εἴπῃ, ὅτι οἱ μύρμηκες φυσικὴν ἔχουσι τὴν ἐπιμέλειαν, καὶ χάρις τῇ φύσει ταύτην αὐτοῖς δωρησαμένῃ, οὐ μὴν δὲ οἱ φυσικὸν, [68] ἀλλ' ἐκ προαιρέσεως τὸ τοιοῦτον ἀγαθόν. διὰ τοῦτό φησι [69] τὸ πονεῖν ἐπήει, μονονουχὶ λέγων, ὅτι οὐ φυσικῶς, ἀλλ' ἐκ προαιρέσεως αὐτοῖς ἐπεγίνετο· εἰ δέ τις ἄτοπον εἶναι καὶ παντελῶς ἀδύνατον λέγοι τὸ ἐκ διανοίας τε καὶ βουλεύσεως τὰ ἄλογα ζῶά τι ποιεῖν, ἐροῦμεν, ὅτι τοῦτό ἐστι μᾶλλον μῦθον τὸν λόγον ποιοῦν· διὰ γὰρ τὸ ἀδύνατόν τι ὑποθεῖναι ἐν αὐτῷ τοὺς μύρμηκας δυναμένους καὶ βουλευομένους περὶ τῆς τῶν καρπῶν συλλογῆς μῦθος ἐγένετο. Θέρους ἦν ἀκμὴ καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο· ὥρα τὴν βραχυκωλίαν ὡς σαφηνείας ἐργαστικήν. [70] Θέρους ἦν ἀκμὴ, καὶ τὸ κατ' ὀρθὸν σχῆμα τῆς καθαρότητος, καὶ τὸ βεβηκὸς τῶν ποδῶν, ἐξ ἰάμβου τε τοῦ θέρους, καὶ σπονδείου τοῦ ἀκμή· καὶ τὸ ἀναμεταξὺ ῥῆμά τι μονοσύλλαβον, τὸ ἦν, ὅπερ τοῦ κάλλους, καὶ μάλιστα διὰ τὸν τόπον τῷ μέσον τεθεῖσθαι καὶ ἅμα μεταβολήν τε ποιεῖσθαι, καὶ τοῖς δισυλλάβοις περιλαμβάνεσθαι, καὶ τὸ ἀκμὴ δὲ γλυκύ τε ὁμοῦ καὶ σεμνὸν, μεταφορικὸν ὄν· κυρίως μὲν γὰρ ἐπὶ τοῦ ξίφους ἀκμὴ, παρὰ τὴν ἀκίδα· μεταφορικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλων

68 Vind. φυσικήν. 69 Vind. φασι. 70 Vind. ἐργαστικήν.

πανταχοῦ δηλοῦν αὐτὸ τὸ ὀξύτατον· καὶ τὸ ἀνεβάλλετο· μεταφορικὸν γὰρ καὶ αὐτὸ, ἀπὸ γὰρ τοῦ ἀναβάλλομαι προῆκται, ὅπερ σημαίνει τὸ προοιμιάζομαι, καί τι τοῦ μέλλοντος προανακρούομαι.

κή. Οἷς ἐπόνουν, ἐτρέφοντο. Ἔνιοι μὲν προστιθεάσι τὸ ἐκείνοις, ἵν' ᾖ, οἷς ἐπόνουν, ἐκείνοις ἐτρέφοντο· ἕτεροι δὲ τὸ οἷς ἀντὶ τοῦ ἐξ ὧν ἔφασαν τεθεῖσθαι· οἱ δὲ καὶ ἀντὶ τοῦ διότι· τὸ δὲ ἐπόνουν ἀντὶ τοῦ ἐπόνησαν κεῖται, καὶ ἔστιν Ἀττικόν.

κθ'. Τοῖς δὲ ἡ τέρψις ἐτελεύτα πρὸς ἔνδειαν· ἡ τέρψις ποία; ἡ τῆς μελῳδίας δηλονότι.

λ'. Οὕτω ἡ νεότης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας κακοπράγεῖ· τοῦτό ἐστι τὸ ἐπιμύθιον· καὶ ἔστι παραδειγματικόν· ἐκφέρεσθαι δέ φασι πᾶν ἐπιμύθιον τριχῶς· ἢ γὰρ παραδειγματικῶς, ὡς τὸ παρὸν ἐξενήνεκται, καὶ εἰ μὴ οὕτως ἐξηνέχθη, ἀλλ' ἐκείνως παραδειγματικῶς ἂν ἐξηνέχθη, τὸν αὐτὸν τρόπον καὶ νεότης πονεῖν οὐκ ἐθέλουσα περὶ τὸ γῆρας κακοπραγεῖ· ἢ οὖν παραδειγματικῶς[71] ἐκφέρεται τὸ ἐπιμύθιον ἢ προσφωνητικῶς, ὡς ὅτε πρὸς τὸν ἀκροατὴν ἢ καὶ πρὸς τὰ ἔξωθεν ἐμφαινόμενα πρόσωπα ἀποστρεφόμενοι λέγομεν· προστακτικῶς ὡς ἐπὶ τὸ πλεῖστον τὸν λόγον προάγοντες, πρὸς μὲν τὸν ἀκροατὴν, οἷον, πόνει οὖν καὶ σὺ ἐν νεότητι, ἵνα μὴ παρὰ τὸ γῆρας κακοπραγήσῃς· πρὸς δὲ τοὺς ἔξωθεν, οἷον, πονείτωσαν οὖν ἅπαντες ἐν νεότητι, ἵνα μὴ παρὰ τὸ γῆρας κακοπραγήσωσιν· ἔστι δὲ καὶ ἐνθυμηματικὸν ἦγουν συλλογιστικὸν ποιεῖν τὸ ἐπιμύθιον,[72] ὡς ὅταν διά τινος τῶν συλλογιστικῶν συνδέσμων τὸν λόγον προφέρωμεν· οἷον διὰ τοῦ ἄρα ἢ ὥστε· οἷον οὐκ ἄρα οὖν νεότης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας εὐπραγήσει, τούτων δὲ ἑκάστῳ οὐχ ὅτε βουλόμεθα πάντως,

71 Laur. περιδειγματικῶς. 72 Vind. ποιοῦμεν τὸ ἐπιθύμιον.

ἀλλ' ὅτε δέον, χρησόμεθα· τοῦ γὰρ συμβουλευτικοῦ διαιρουμένου εἵς τε τὸ παραινετικὸν καὶ εἰς τὸ ὁμώνυμον τῷ γένει συμβουλευτικὸν, εἰ δεῖ ὅλως ὁμώνυμον εἶδος τῷ γένει λέγειν, καὶ ἑκατέρου πάλιν εἰς προτροπὴν ὑποδιαιρουμένου καὶ ἀποτροπὴν, καὶ τοῦ μὲν παραινετικοῦ ἀστασιάστου καὶ ἀναντιρρήτου τυγχάνοντος, ὡς ὅτε συμβουλεύει τις ἀντέχεσθαι μὲν ἀρετῆς, ἀπέχεσθαι δὲ κακίας, τοῦ δὲ συμβουλευτικοῦ στασιαζομένου, ὡς ὅτε τις συμβουλεύει, δόξης ἢ πλούτου ἤ τινος τῶν τοιούτων ἀντέχεσθαι· τῷ μὲν γὰρ παραινοῦντι τῆς ἀρετῆς ἀντέχεσθαι, τῆς δὲ κακίας ἀπέχεσθαι, οὐδεὶς ἀντιποιεῖται· παρὸ καὶ ἀστασίαστος ἡ τούτου παραίνεσις λέγεται, τῷ δὲ τοῦ πλούτου καὶ τῆς δόξης ὀρέγεσθαι συμβουλεύοντι ἀντιποιεῖταί τις, καὶ παρὰ τοῦτο ἡ συμβουλὴ στασιασθήσεται· ὅτε μὲν ἐπὶ τοῦ παραινετικοῦ τοῦ ὁμολογουμένου καὶ ἀστασιάστου ὄντος τὸ ἐπιμύθιον λαμβάνεται, ἁρμόδιον τὸ προσφωνηματικὸν καὶ παραδειγματικὸν, πεποιθότως ἡμῶν τὸν λόγον διὰ τὸ τῆς παραινέσεως ἔνδοξον προαγόντων· ὅτε δὲ ἐπὶ τοῦ συμβουλευτικοῦ ὅπερ καὶ στασιάζεται τῷ ἐνθυμήματι· καὶ τοσούτοις μὲν οἱ παλαιοὶ τῶν ἐξηγητῶν τὸ ἐπιμύθιον σχήμασι σχηματίζεσθαι βούλονται· οἱ δὲ μεταγενέστεροι οὐ τούτοις μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις πᾶσιν, ὅσα τοῦ λόγου εἰσὶ σχήματα· καὶ γὰρ τῷ εὐκτικῷ καὶ τῷ ἐρωτηματικῷ καὶ τῷ ἐλεγκτικῷ, καὶ τοῖς ἄλλοις ἅπασι· καὶ τῷ μὲν εὐκτικῷ, φασὶ,[73] χρησόμεθα, ὅτε πρὸς ὑπάρχον πρόσωπον ποιούμεθα τὴν παραίνεσιν λέγοντες· εἴης μοι οὖν πονῶν καὶ σὺ ἐν νεότητι, ἵνα παρὰ τὸ γῆρας εὐπραγήσῃς· τῷ δὲ ἐρωτηματικῷ καὶ τῷ ἐλεγκτικῷ, ὅταν οὐ συμβουλεύωμεν μᾶλλον ἢ παραινῶμεν· οἷον τί οὖν πονήσομεν ἐν νεότητι, ἢ ταῖς ἡδοναῖς ἑαυτοὺς ἐνδώσωμεν; τοῦτό ἐστιν ἐρωτηματικόν·

73 Vind. φησί.

ἐλεγκτικὸν δὲ ἐκεῖνο· οὐ πονήσομεν οὖν ἐν νεότητι, οὐκ ἐν αὐτῇ τὰ πρὸς τὸ γῆρας προαποθώμεθα χρήσιμα. Ζητεῖται περὶ τοῦ παρόντος ἐπιμυθίου, πότερον παραινετικόν ἐστι, καὶ διὰ τοῦτο ἀστασίαστον, ἢ συμβουλευτικόν ἐστι καὶ στασιαζόμενον· καὶ εἰ τοῦτο, πῶς παραδειγματικῶς τῷ σοφιστῇ ἐξενήνεκται; ὅπου ἐπὶ τῶν στασιαζομένων ἡμεῖς οὐ παραδειγματικῶς οὔτε μὴν προσφωνηματικῶς, ἀλλ' ἐνθυμηματικῶς ἤ γουν συλλογιστικῶς εἴπομεν αὐτὸ δεῖν [74] προφέρεσθαι, καὶ λέγομεν, ὅτι ὅσον μὲν πρὸς τὴν ἀλήθειαν παραινετικόν ἐστι καὶ ἀστασίαστον, καὶ παρὰ τοῦτο καὶ παραδειγματικῶς τῷ σοφιστῇ προῆκται, ὅσον δὲ πρὸς τοὺς πάντα ἀνατρέπειν ἐθέλοντας, καὶ αὐτὸ στασιάζεται· αὐτίκα τινές φασι μηδὲν συμφέρειν τοῖς νέοις τὴν παραίνεσιν ταύτην, μᾶλλον μὲν οὖν καὶ βλάπτειν, τῶν μουσικῶν πείθουσαν αὐτοὺς ἀποστῆναι πόνων (ταῦτα γὰρ διὰ τῆς τῶν τεττίγων ᾠδῆς εὑρίσκεται παραινοῦσα), τῶν δὲ χειρωνακτικῶν καὶ βαναύσων ἐπιμελεῖσθαι τεχνῶν καὶ ἐπιστημῶν, τοῦτο γὰρ διὰ τῆς τῶν μυρμήκων ἐργασίας εὑρίσκεται, συμβουλευούσης ὥστε καὶ ἡμᾶς τοῦ ᾄδειν ὥσπερ καὶ οἱ τέττιγες ἀμελεῖν, ἔτι δὲ περὶ τὸ σύντονον τῆς μουσικῆς ῥᾳθυμεῖν, τῆς ἀνελευθέρου δὲ παντάπασιν ἔχεσθαι ἀγωγῆς· ἡμεῖς δὲ λέγομεν, ὅτι ἀργίας καὶ ῥᾳθυμίας ἀπέχεσθαι δεῖν λέγει τὸ ἐπιμύθιον, οὐ τῆς περὶ τὴν μουσικὴν σπουδῆς καὶ φιλοπονίας· οὐ γὰρ εἶπεν, οὕτω νεότης περὶ τὴν μουσικὴν ἀσχολουμένη παρὰ τὸ γῆρας κακοπραγεῖ, ἀλλ' ἁπλῶς, οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα· ἕτεροι δὲ πάλιν λέγουσιν, ὅτι οὐκ ἐχρῆν ἀνόμοιον τῷ μύθῳ ἐπενεχθῆναι τὸ ἐπιμύθιον, ἐν ἐκείνῳ μὲν γὰρ ἄλογα ζῶα, οἵ τε μύρμηκες ὑπόκεινται καὶ οἱ τέττιγες, ἐν δὲ τῷ ἐπιμυθίῳ πρὸς τοὺς ἀνθρώπους τοὺς λογικοὺς ἡ παραίνεσις· ἔστι

74 Vind. δεῖ.

δὲ τοῦτο κομιδῇ ἀνόητον καὶ μωρὸν τὸ ἀπόρημα, οὐ γὰρ τοῦτον μόνον ἐνταῦθα τὸν μῦθόν τε καὶ τὸ ἐπιμύθιον διαγράφειν ἐπιχειροῦσιν οἱ ταῦτα λέγοντες, ἀλλὰ καὶ πάντας [75] σχεδὸν τοὺς ἄλλους μύθους καὶ τὰ ἐπιμύθια· οἱ γὰρ πλείονες τούτων ἐξ ἀλόγων σύγκεινται ζώων, τὰ δὲ ἐπιμύθια οὐχὶ πρὸς τὰ ἄλογα, οὐδὲ τῶν ἀλόγων ἕνεκα, ἀλλὰ πρὸς τοὺς ἀνθρώπους ἀεὶ καὶ ἕνεκα τῶν ἀνθρώπων· ὃ καὶ αὐτὸ συνιδὼν ὁ παρὼν οὑτοσὶ σοφιστὴς, γεγένηται δὲ καὶ ῥητόρων, φησὶ, κοινὸς ἐκ παραινέσεως· ἡ δὲ παραίνεσις οὔτε πρὸς τὰ ἄλογα, οὔτε τῶν ἀλόγων ἂν ἕνεκα γένηται· ἰστέον δὲ ὅτι, ὅτε παραινετικὸν καὶ ἀστασίαστόν ἐστι τὸ ἐπιμύθιον, εἰ μὲν πάντη ἐστὶν ἀστασίαστον, προσφωνητικῶς ἐξενεκτέον αὐτὸ, διὰ τὸ θαῤῥεῖν ἡμᾶς τῷ ἐνδόξῳ τῆς παραινέσεως, εἰ καὶ μὴ τοιοῦτον παραδειγματικῶς· παῤῥησιαστικώτερον γὰρ τὸ προσφωνητικὸν τοῦ παραδειγματικοῦ, ὅπερ οὖν καὶ Ἀφθόνιος εἰδὼς καὶ τὰς πρὸς τὸ παρὸν ἐπιμύθιον ἀντιθέσεις οὐκ ἀγνοῶν, εἰ καὶ σαθραί εἰσι καὶ εὔλυτοι, τὸ προσφωνηματικὸν ὅμως ἀφεὶς παραδειγματικῶς αὐτὸ παρήγαγεν· ἀλλ' ἐπειδὴ τοὺς πλείους τῶν μύθων ἐξ ἀλόγων συνέβη πεπλάσθαι, ὡς ἀνωτέρω ἔφημεν, σκοπητέον, μήπως τῇ συνηθείᾳ ἑλκόμενοι καὶ τὰ τῇ φύσει μὲν δυνατὰ, ἐξ ἀλόγων δὲ ὅμως συγκείμενα, μύθους ὑπολῃψόμεθα· οὐδὲ γὰρ μύθους πάντα τὰ ἐξ ἀλόγων λαμβανόμενα ἁπλῶς ὑποληπτέον, οὐ γὰρ τὰ ἀληθῆ, ἀλλ' ὅσα κατὰ φύσιν ἀδύνατα· ἀδύνατον γὰρ τὸ τοὺς τέττιγας ὑέρους μὲν δι' εὐπάθειαν ᾄδειν, χειμῶνος δὲ δι' ἀπορίαν τροφῆς τελευτᾷν· τοὐναντίον γὰρ ἔδει μᾶλλον ἐν τῷ χειμῶνι αὐτοὺς εὐπαθεῖν, ἅτε καὶ πλείονος τῆς τροφῆς εὐπορούντας· δρύσῳ γὰρ οὗτοι τρέφονται, οὐκοῦν οὔτε ὑέρους δι' εὐπάθειαν ᾄδουσιν, οὔτε χειμῶνος ἀπο-

75 Vind. πάντα.

ρίᾳ τροφῆς ἀποθνήσκουσιν· ἀλλὰ ψυχροὶ τὴν φύσιν ὄντες θέρους μὲν ὑποθερμαίνονται ὑπὸ τοῦ ἡλίου, καὶ εὔλαλοι γίνονται, χειμῶνος δὲ ἀπονεκροῦνται διὰ τὸ πλέον ψύχεσθαι· ἃ μέν τοι μὴ τοιαῦτα ἀλλὰ ἀληθῆ ὑπάρχουσιν, οὐ μᾶλλον μῦθοι, ἀλλ' ἕτερόν τι, οἷον ἐργασίαι ἀπὸ παραβολῆς ἤ τι τοιοῦτον ἔσονται, ὡς ἔχει καὶ παρὰ τῷ ἁγίῳ Βασιλείῳ ἐν τῷ εἰς τὸ βάπτισμα προτρεπτικῷ τό· „εἶδον ἐγὼ πανουργίαν ὄρνιθος εὐμηχάνου· εὐαλώτων γὰρ αὐτῇ τῶν νεοττῶν ὑπαρχόντων δι' ἀπαλότητα, ἑαυτὴν προβαλλομένη, ὡς ἕτοιμον θήραμα, καὶ ταῖς χερσὶ τῶν ἀγρευόντων ἐνστρεφομένη, οὔτε ἁλώσιμος ἦν ἐκ τοῦ προχείρου τοῖς θηραταῖς, οὔτε ἀπόγνωσιν αὐτοῖς ἐνεποίει τῆς ἄγρας, ἀλλὰ καὶ ταῖς ἐλπίσιν αὐτοὺς ποικίλους παρακατέχουσα τῇ περὶ αὐτῆς ἀσχολίᾳ τοῖς νεοσσοῖς τὴν ἄδειαν τῆς φυγῆς προεξένησεν· εἶτα καὶ αὐτὴ συναπέπτη·" τοῦτο γὰρ ἐργασία ἐστὶ καθαρῶς ἐκ παραβολῆς, οὐ μῦθος, καὶ τοῦτο κατάδηλον ἔστω σοι, εἰ μεταμείψας τὸ σχῆμα οὕτω προαγάγῃς τὸν λόγον, καθάπερ καὶ οἱ τῶν ὀρνίθων εὐμήχανοι τῶν νεοττῶν αὐτοῖς ἁπαλῶν ἔτι τυγχανόντων, καὶ τὰ ἑξῆς· ἰστέον δὲ, ὅτι τὸ πιθανὸν ἔχει ὁ τῷ Ἀφθονίῳ ἐκτεθεὶς μῦθος, ἔκ τε τοῦ καιροῦ καὶ ἐκ τῶν πραγμάτων δὲ τῇ διαφορᾷ τῶν ὑποκειμένων ζώων ἀκολούθως· ἔτι δὲ ἰστέον, ὅτι τῶν ῥητορικῶν μύθων οἱ μέν εἰσιν ἱστορικοὶ, οἱ δὲ πλασματικοί· καὶ πλασματικοὶ μέν εἰσιν οἱ τῆς ἐν αὐτοῖς πλάσεως πολλὴν τὴν αἴσθησιν παρεχόμενοι, καὶ ἐν οἷς εὐθὺς νοοῦμεν ψευδῆ τὰ λεγόμενα, οἷοί εἰσιν οἱ τοῖς ἀλόγοις ζώοις λόγους περιτιθέντες, ἱστορικοὶ δέ εἰσιν οἱ ὁμολογούμενον μὲν καὶ αὐτοὶ τὸ ψεῦδος ἔχοντες, τῇ φύσει δὲ ὅμως τῆς ὕλης τοῖς πολλοῖς ἀγνοούμενον· ὡς ὁ τῆς κυνὸς [76] ἔχει τῆς τὸ κρέας φερούσης ἐπὶ τὸν

76 Vind. κοινός.

ποταμὸν καὶ οἱ κατ' αὐτόν· ὁ γοῦν παρὼν μῦθος ἱστορικὸς ὢν, καὶ τῇ φύσει τῆς ὕλης τὸ ἐν αὐτῷ ψευδὲς ἀποκρύπτων δοκεῖ τοῖς ἁπλουστέροις ἀληθὴς, παρόσον καὶ ὁ τέττιξ θέρους ᾄδων ὑπείληπται τοῦτο δι' εὐπάθειαν ποιεῖν, χειμῶνος δὲ πανόμενος τῆς ᾠδῆς νομίζεται τροφῆς ἀπορίᾳ τοῦτο ποιεῖν· καὶ ὁ μύρμηξ δὲ θέρους μὲν ποιῶν ὑπείληπται, λογισμῷ τινι καὶ διανοίᾳ σπεύδειν περὶ τὴν τῶν καρπῶν συλλογὴν, χειμῶνος δὲ μὴ φαινόμενος δοκεῖ πρὸς ἀπόλαυσιν τῶν οἰκείων πόνων σχολάζειν, οὐ μὴν ἀληθῶς ἔχει ταῦτα· οὔτε γὰρ οἱ τέττιγες κατὰ τὸν καιρὸν τοῦ θέρους δι' εὐπάθειαν ᾄδουσιν, ἀλλ', ὡς καὶ ἀνωτέρω εἴρηται, ψυχροὶ τὴν φύσιν ὄντες, θερμαινόμενοι τότε ὑπὸ τοῦ ἡλίου εὔλαλοι γίνονται, οὔτε κατὰ τὸν καιρὸν τοῦ χειμῶνος διὰ τὸ ἀπορεῖν τροφῆς παύονται τῆς ᾠδῆς (δρόσῳ γὰρ τρεφόμενοι ἐν ἀφθόνοις τότε μᾶλλόν εἰσι ταύτης), ἀλλὰ διότι ψυχροὶ ὄντες τότε πλέον ψύχονται καὶ ἀπονεκροῦνται τὴν φύσιν· ἀλλ' οὐδὲ οἱ μύρμηκες λογισμῷ καὶ διανοίᾳ περὶ τὴν τῶν καρπῶν συλλογὴν σπεύδουσιν, ἀλλὰ φυσική τις αὐτοῖς ὁρμὴ ἐπιγίνεται· ἀλλ', οὐδὲ κατὰ τὸν χειμῶνα τῶν καρπῶν τῶν συλλεχθέντων αὐτοῖς ἀπολαύουσιν· ἀπαναρκῶσι γὰρ καὶ αὐτοὶ τηνικαῦτα παραπλησίως τοῖς σκώληξι καὶ τοῖς λοιποῖς ἑρπετοῖς· ἐπειδὴ δὲ καὶ τῶν προσώπων τῶν ἐν τοῖς πολιτικοῖς λόγοις ἐμπιπτόντων εἰσὶ διαφοραὶ, ὡς ἐν τῷ περὶ τῶν στάσεων βιβλίῳ μανθάνομεν, τὰ μὲν γάρ εἰσιν αὐτῶν ἀόριστα καὶ διὰ τοῦτο ἀνεξέταστα, οἷον τὸ τίς, τὰ δὲ ἐξεταζόμενα, ἃ καὶ εἰς ἑπτὰ ποιότητας ἀνάγονται, ζητεῖται, ὁποῖα ἄρα πρόσωπα ἔν τε τοῖς λογικοῖς τῶν μύθων καὶ τοῖς μικτοῖς ἐμποιεῖται, οὐδεὶς γὰρ μῦθος ἐξ ὡρισμένων καὶ κυρίων προσώπων γίνεται· τὰ ἀόριστα οἷον τὸ τίς, ποτὲ μὲν καθ' ἑαυτὰ τίθεται, καὶ τῶν ἄλλων χωρὶς, ὡς ὅτε λέγομεν, δύο ἔχων τις γυναῖκας, τὴν μὲν γηραιὰν, τὴν δὲ νέαν·

ποτὲ δὲ καὶ τοῖς ἄλλοις παραπλέκεται· τοῖς μὲν πρός τι, ὡς εἰ λέγοιμεν, πατήρ τις ἔχων υἱόν· τοῖς δὲ διαβεβλημένοις, ὡς εἰ οὕτως εἴπωμεν, ἄσωτός τις καὶ ἐπὶ τῶν ὁμοίων.

Cap. II.

ΠΕΡΙ ΔΙΗΓΗΜΑΤΟΣ.

Μετὰ τὸν μῦθον ἔρχεται καὶ ἐπὶ τὸ διήγημα, ὡς συγγενειάσον[1] τῷ μύθῳ· εἰσὶ γὰρ καὶ μυθικὰ διηγήματα· ἢ ὅτι ὥσπερ τὸν μῦθον ἔταξε πρῶτον διὰ τὸ τῶν ἄλλων προγυμνασμάτων εἶναι ἁπλούστερον, οὐδὲ γὰρ ἐν αὐτῷ κεφαλαίων τινῶν δεόμεθα πρὸς κατασκευήν, ὥσπερ ἐπὶ τῶν λοιπῶν, ἀλλ' ἁπλῶς οὕτως αὐτὸν ἐκτιθέμεθα, οὕτω καὶ τὸ διήγημα, ὡς τοῦ μύθου μὲν τελεώτερον, καθὸ οἱονεί τινα κεφάλαια ἔχει τὰ περιτατικὰ, τῶν δὲ λοιπῶν ἁπλούστερον, τῷ μὲν μύθῳ ὑπέταξε, τῶν δὲ λοιπῶν προέταξεν, ἢ ὅτι ὥσπερ ὁ μῦθος προτέτακται αὐτοῦ διὰ τὸ τοῖς ποιητικοῖς συγγενειάζειν μαθήμασι· δέον οὖν διὰ τοῦτο τοῖς ἐκ ποιητικῶν μαθημάτων αὐτῷ πρώτῳ ἐντυγχάνειν, οὕτω καὶ τὸ διήγημα[2] μετὰ τὸν μῦθον ἔταξεν ὡς συγγενειάζον αὐτὸ τοῖς ποιητικοῖς· πολλὰ γάρ εἰσι διηγήματα παρὰ τοῖς ποιηταῖς, καὶ μάλιστα τὰ δραματικὰ, ἢ ὅτι ὥσπερ ὁ μῦθος πρῶτος ἐτάχθη διὰ τὸ εἶναι ψευδὴς, καὶ διὰ τοῦτο ἀνυπόστατος, τὸ γὰρ ψεῦδος ἀνυπόστατον, ἐκ δὲ τοῦ μὴ ὄντος τὸ ὂν γίνεται, οὕτω καὶ τὸ διήγημα προτέτακται τῶν λοιπῶν, ὡς καὶ αὐτὸ πῇ μὲν ψευδὲς ὂν, ὡς τὰ δραματικὰ διηγήματα, πῇ δὲ καὶ ἀληθὲς, ὡς τὰ ἱστο-

---

1 Vind. συγγενιάζον. 2 Vind. διάστημα. scr. διήγημα.

ρικά, οὐδὲ γὰρ ἡδυνάμεθα μετὰ τὸ καθάπαξ ψευδὲς, ὅπερ ὁ μῦθος, ἐπὶ τὸ καθάπαξ ἀληθὲς χωρῆσαι· αἱ γὰρ ἀπ' ἄκρων εἰς ἄκρα μεταβολαὶ σφαλεραί· ἢ ὅτι ὥσπερ ὁ μῦθος διὰ τοῦτο προτέτακται, διότι τῷ πρώτῳ μέρει τοῦ λόγου μᾶλλον ἀναλογεῖ, οὕτω καὶ τὸ διήγημα ἐτάχθη μετὰ τὸν μῦθον, ὡς τῷ δευτέρῳ μέρει τοῦ λόγου, τῇ διηγήσει δηλονότι, ἀναλογοῦν· ἢ ὅτι ὥσπερ ὁ μῦθος ἐτάχθη πρῶτος, διὰ τὸ εἰς τὸ πρῶτον εἶδος τῆς ῥητορικῆς ὡς ἐπὶ τὸ πλεῖστον γυμνάζειν ἡμᾶς, οὕτω καὶ τὸ διήγημα, ὡς τοῦ δευτέρου εἴδους ὂν τοῦ δικανικοῦ δηλονότι, ἐτάχθη καὶ αὐτὸ δεύτερον. Ὅτι δὲ τοῦ δικανικοῦ εἴδους ἐστὶ τὸ διήγημα, δῆλον ἐκ τοῦ ὁρισμοῦ αὐτοῦ· ἔστι γὰρ διήγημα ἔκθεσις πράγματος οὐχὶ γενησομένου, ὅπερ ἐστὶ μέλλοντος χρόνου, οὐδὲ γενομένου [3], ὅπερ ἐστὶν ἐνεστῶτος, ἀλλὰ γεγονότος, ὅπερ ἐστὶ παρεληλυθότος· ὁ δὲ παρεληλυθὼς χρόνος τῷ δικανικῷ εἴδει ἀπονενέμηται, ὥσπερ ὁ μέλλων τῷ συμβουλευτικῷ, καὶ ὁ ἐνεστὼς τῷ πανηγυρικῷ· ὁ δὲ Θέων διὰ τοῦτό φησι μετὰ τὸν μῦθον τετάχθαι τὸ διήγημα, ἐπειδὴ ἔσθ' ὅτε συμπλέκονται ταῦτα· „ἐκθέμενοι γὰρ“ [4], φησὶ, „μῦθον ἐπιφέρομεν διήγημα ἢ ἀνάπαλιν, τὸ μὲν διήγημα πρότερον, ὕστερον δὲ τὸν μῦθον, οἷον πεπλασμένον, ὅτι κάμηλος ἐπιθυμήσασα κεράτων καὶ τὰ ὦτα περιετμήθη· τοῦτο προειπόντες ἐποίσομεν τὸ διήγημα, παραπλήσιόν τι δοκεῖ μοι παθεῖν τῇ καμήλῳ ταύτῃ καὶ Κροῖσος ὁ Λυδὸς, καὶ ὅλον ἐφεξῆς τὸ διήγημα.“ ἀλλ' οὗτος ὁ λόγος οὐ μᾶλλον τὸν μῦθον δείκνυσι τοῦ διηγήματος προταττόμενον, ἢ τὸ διήγημα τοῦ μύθου· τινὲς δὲ καὶ πάλιν φασὶν, διὰ τοῦτο μετὰ τὸν μῦθον τετάχθαι τὸ διήγημα, διότι ὁ μὲν μῦθος, εἰ καὶ ἐν τοῖς ἀγῶσιν ἔστιν ὅτε παραλαμβάνεται,

3 Vind. γενομένου. scr. γινομένου. 4 p. 177. nostr. ed.

καὶ ἐν τοῖς ἐπιλόγοις, καὶ ὅποι ποτ' ἂν αὐτοῦ γένηται χρεία, ἀλλὰ καὶ προσιμίου τάξιν πολλάκις ἀναπληροῖ, καὶ γὰρ καὶ μῦθον ἔσθ' ὅτε προθέντες ἐπιφέρομεν τὸ διήγημα· τὸ δὲ διήγημα τῆς δευτέρας ἀεὶ τάξεως· ἀλλ' ἔστιν εἰπεῖν καὶ πρὸς τοῦτο, ὅτι οὐ πάντοτε τὴν δευτέραν τάξιν εἴληχε τὸ διήγημα, ἀλλ' ἔστιν ὅτε καὶ προτίθεται τῶν ἄλλων λόγων, ὡς ὅτε διηγηματικῶς τοῦ λόγου ἀρχόμεθα μὴ ποιοῦντες προοίμιον, ὡς ἔχει τὸ [5], „ἀδελφὰς ἔχομεν γυναῖκας, ἐγώ τε καὶ Σπουδίας οὑτοσί", καὶ τὸ " [6], „κοινωνός εἰμι τοῦ δανείσματος", καὶ ἄλλα μυρία, ἄλλως τε δὲ καὶ ὥσπερ τὸν μῦθον προτιθέντες ἐπιφέρομεν τὸ διήγημα, οὕτω κατ' αὐτὸν φάναι τὸν Θέωνα καὶ τὸ διήγημα προθέντες [7] ἐπενεγκεῖν τὸν μῦθον. Ἕτεροι δὲ πάλιν μετὰ τὸν μῦθον τὴν χρείαν ἔταξαν, διὰ τὸ εὐκολωτέραν ταύτην ἡγεῖσθαι τοῦ διηγήματος, ἐπεί μηδὲ κατ' ἐκεῖνα τὰ κεφάλαια ἐβούλοντο αὐτὴν διαιρεῖν, καθὰ τὰ νῦν παρ' ἡμῶν διαιρεῖται, ἀλλὰ κατὰ πάσας ὁμοῦ τὰς πτώσεις, ὅπερ πολὺ δήπουθεν εὐκολώτερον ἦν τοῦ ἐκθέσθαι διήγημα. πῶς γὰρ οὐ πάντη τοῖς βουλομένοις εὐμεταχείριστον τὸ κατὰ πτώσεις διαιρεῖν τὴν χρείαν· κατ' εὐθεῖαν μέν, οἷον Διογένης ἐρωτηθείς, πῶς ἄν τις ἔνδοξος γένηται, ἀπεκρίνετο, ὡς ἥκιστα δόξης φροντίζων· κατὰ γενικὴν δέ, οἷον Διογένους ἐρωτηθέντος, πῶς ἄν τις ἔνδοξος γένοιτο, λόγος ἀπομνημονεύεται, ὡς ἥκιστα δόξης φροντίζων· κατὰ δὲ δοτικήν, οἷον Διογένει ἐρωτηθέντι, πῶς ἄν τις ἔνδοξος γένοιτο, ὑπῆλθεν [8] εἰπεῖν, ὡς ἥκιστα δόξης φροντίζων· κατὰ δὲ αἰτιατικήν, οἷον Διογένην ἐρωτηθέντα, πῶς ἄν

5 Dem. in Spud. init. 6 Dem. in Dionysodor. init. 7 Vind. προσθέντες et θέονα. Corrigit Laur. Theon. c. 3. p. 177, 10. 8 Fort. ἐπῆλθεν coll. Theon. p. 211, 28.

ἂν τις ἔνδοξος γένοιτο, φασὶν εἰπεῖν, ὡς ἥκιστα δόξης φροντίζων· κατὰ δὲ κλητικὴν, οἷον, σὺ, ὦ Διόγενες, ἐρωτηθεὶς, πῶς ἄν τις ἔνδοξος γένοιτο, ἔφης, ὡς ἥκιστα δόξης φροντίζων· οὕτω καὶ οἱ παλαιοὶ κατὰ τὰς πτώσεις τὰς χρείας ἠξίουν διαιρεῖν, οἰόμενοι τοῖς νέοις ἄρτι ποιητικῶν ἀφισταμένοις καὶ ἐπὶ τὴν ῥητορικὴν ἰοῦσιν ἀρκεῖν τὸ οὕτως αὐτὴν διαιρεῖν πρὸς τὴν τοῦ πολιτικοῦ λόγου μελέτην. Ὀφείλομεν λοιπὸν ζητῆσαι, καὶ πρὸς ποῖον μὲν τῶν τῆς ῥητορικῆς εἰδῶν, πρὸς ποῖον δὲ καὶ τοῦ πολιτικοῦ λόγου μερῶν γυμνάζει ἡμᾶς τὸ διήγημα· λέγεται τοίνυν καὶ πρὸς τὰ τρία μέρη γυμνάζειν ἡμᾶς, διὰ τὸ καὶ ἐν δικανικαῖς καὶ συμβουλευτικαῖς καὶ πανηγυρικαῖς ὑποθέσεσιν ἐμπίπτειν διηγήματα, πρὸς δὲ τὰ τοῦ λόγου μέρη προηγουμένως μὲν πρὸς τὴν διήγησιν, ἑπομένως δὲ καὶ πρὸς τὰς παρεκβάσεις, αἵτινες ἐν τοῖς ἐπιλόγοις εὑρίσκονται, τὰ προβαλλόμενα τοῦ πράγματος ἢ τοῦ προσώπου ἢ καὶ τὰ μέλλοντα διηγουμένων ἡμῶν· μετρίως δὲ καὶ πρὸς τὰ προοίμια· εὑρίσκονται γάρ τινα καὶ διηγηματικὰ προοίμια, ἀπ' αὐτῆς ἡμῶν ἀρχομένων τῆς ὑποθέσεως.

β'. Διήγημά ἐστιν ἔκθεσις πράγματος. Ἐνὶ παρατηρήματι ἐν ἅπασι χρῆται τοῖς γυμνάσμασιν ὁ Ἀφθόνιος, τῷ ὁρίζεσθαι τὸ προκείμενον γύμνασμα· ἔστι δέ τι καὶ δεύτερον καὶ τρίτον αὐτῷ παρατήρημα· ἤδη δὲ καὶ τέταρτον καὶ πέμπτον, ἐξ ὧν τῷ μὲν ἑνὶ, ἔστι δὲ τοῦτο τὸ διαιρεῖν τὸ προκείμενον γύμνασμα εἰς τὰ ἐν αὐτῷ εἴδη[9], ἐν ἅπασι τοῖς ἄλλοις γυμνάσμασι χρῆται, πλὴν τῆς ἀνασκευῆς καὶ κατασκευῆς καὶ τοῦ κοινοῦ τόπου· εἰ γὰρ καὶ ἐπὶ τούτων διαιρέσει χρῆται ὁ σοφιστὴς, ἀλλ' οὐχὶ τοιαύτῃ, οἵᾳ καὶ ἐπὶ τῶν ἄλλων,

9 Post εἴδη Codd. habent δέ. In Laur. punctum impositum haud scio an jubeat delere.

ἀλλ' ἑτέρᾳ τῇ εἰς τὰ κεφάλαια, τῷ δὲ ἑτέρῳ, ὅπερ ἐστὶ τὸ τὰ κεφάλαια τοῦ προκειμένου γυμνάσματος ἀποδιδόναι, ἐν μὲν τοῖς λοιποῖς καὶ αὐτῷ γυμνάσματι χρῆται, τῷ δὲ τετάρτῳ, ἔστι δὲ τοῦτο ἡ διαφορὰ τοῦδε πρὸς τόδε, ἐν μὲν τῷ μύθῳ χρῆται λέγων τὴν διαφορὰν τοῦ προμυθίου καὶ τοῦ ἐπιμυθίου, καὶ ἐν τῷ διηγήματι δεικνὺς, τίνι διαφέρει διήγημα καὶ διήγησις, καὶ ἐν τῇ γνώμῃ, τίνι διαφέρει χρεία γνώμης, διδάσκων, καὶ ἐν τῷ ἐγκωμίῳ, τί διαφέρει τὸ ἐγκώμιον ὕμνου καὶ ἐπαίνου παραδιδοὺς, καὶ ἐν τῷ ψόγῳ, τί διαφέρει ὁ ψόγος τοῦ κοινοῦ τόπου διδάσκων, καὶ ἐν τῇ θέσει, τί διαφέρει τῆς ὑποθέσεως λέγων, καὶ ἐν τῇ τοῦ νόμου εἰσφορᾷ, τί διαφέρει ἡ τοῦ νόμου εἰσφορὰ τῆς θέσεως καὶ ὑποθέσεως δεικνὺς, ἐν [10] τῇ χρείᾳ καὶ τῇ ἀνασκευῇ καὶ τῷ κοινῷ τόπῳ καὶ ἐν τῇ συγκρίσει οὐ χρῆται. Τῷ δὲ πέμπτῳ· ἔστι δὲ τοῦτο ἡ αἰτία τῆς ὀνομασίας, ἐν μὲν τῇ χρείᾳ κέχρηται λέγων, χρειώδης δὲ οὖσα προσαγορεύεται χρεία, καὶ ἐν τῷ κοινῷ τόπῳ λέγων· εἴρηται δὲ οὕτως, ἀπὸ τοῦ κοινῇ πᾶσιν ἁρμόττειν τοῖς μετασχοῦσι τοῦ πράγματος· καὶ ἐν τῷ ἐγκωμίῳ λέγων· εἴρηται δὲ οὕτως ἀπὸ τοῦ ἐν κώμαις ᾄδειν τὸ παλαιὸν, ἐν δὲ τοῖς λοιποῖς οὐδαμῶς, ἔξωθεν δὲ τούτων παρατηρεῖταί τινα καὶ ἰδικῶς ἔν τισι τῶν γυμνασμάτων, οἷον ἐν μὲν τῷ μύθῳ τὴν γένεσιν τοῦ μύθου καὶ τὴν κλῆσιν δεικνὺς, ἐν δὲ τῷ διηγήματι τὰς ἀρετὰς τοῦ διηγήματος. Διήγημά ἐστιν ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος. ἐπειδὴ τῶν διηγημάτων τὰ μέν εἰσιν ἀληθῆ ὡς τὰ ἱστορικὰ, τὰ δὲ ἀμφίδοξα ἢ ψευδῆ ὡς τὰ δραματικὰ καὶ τὰ πολιτικά· καὶ γὰρ τὰ μὲν δραματικὰ, εἰ καὶ τῶν μύθων διαλλάττουσιν ἔστιν ὅτε, ἀλλὰ διά γε τὴν ὑπερβολὴν καὶ τὴν πα-

---

10 Vind. *ἐνί* scr. *ἐν*.

λαιότητα τοῖς μυθικοῖς πλησιάζουσι, τὰ δὲ πολιτικὰ τοῖς μὲν ἀληθῆ δοκεῖ, τοῖς δὲ ψευδῆ, τὸ μὲν γεγονότος εἶπε διὰ τὰ ἀληθῆ, τὸ δὲ ὡς γεγονότος διὰ τὰ ψευδῆ καὶ ἀμφίδοξα, οὐκ εἶπε δὲ μὴ γεγονότος, ἀλλ' ὡς γεγονότος, δεικνὺς ὡς κἂν τοῖς δραματικοῖς καὶ τοῖς πολιτικοῖς δέον φυλάττεσθαι πιθανότητα, ἥτις ἐστὶν ἀρετὴ διηγήματος, ὡς ἂν εἰ καὶ μὴ γεγόνασι τὰ ἐν τῷ διηγήματι λεγόμενα, ὅμως εἰκονίζουσι τὴν ἀλήθειαν· παρείληπται οὖν κἀνταῦθα τὸ μὲν ἔκθεσις ὡς γένος, τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν· ἰστέον δὲ ὅτι οὐκ ἔχει ἀκριβῶς ὁ παρὼν ὁρισμὸς τοῦ διηγήματος, διὰ τὸν διαζευκτικὸν σύνδεσμον· οὐ γὰρ δέον ἐν τοῖς ὁρισμοῖς τοὺς διαζευκτικοὺς συνδέσμους τίθεσθαι, διὰ τὸ πάντων ὁμοῦ τῶν ἐν τῷ ὁρισμῷ προσήκειν πάντα τὰ ὁριστὰ μετέχειν, καὶ μὴ τὸ μὲν τοῦδε, τὸ δὲ ἑτέρου· ἴσως οὖν ὑπογραφήν τις εἴπῃ τὸν παρόντα λόγον τοῦ διηγήματος, καὶ οὐχ ὁρισμὸν κατὰ τοῦτο· ἐν γὰρ ταῖς ὑπογραφαῖς τοῦτο γίνεται, ὡς ἔχει καὶ ἡ τοῦ ὄντος ὑπογραφή· λέγεται γὰρ τὸ ὂν ἢ πρᾶγμα αὐθύπαρκτον, μηδενὸς δεόμενον πρὸς σύστασιν, ἢ ὅπερ ἐν ἑαυτῷ μὲν οὐκ ἔστιν, ἐν ἑτέρῳ δὲ ἔχει τὴν ὕπαρξιν· τοῦτο γὰρ ὑπογραφή ἐστι τοῦ ὄντος, οὐχ ὁρισμός, καθὸ τοῦ ὁρισμοῦ ἐκ γένους καὶ συστατικῶν διαφορῶν συνεστῶτος, ἐνταῦθα οὐκ ἔστιν εὑρεῖν γένος τοῦ ὁριστικοῦ, διὰ τὸ μηδὲν εἶναι τοῦ ὄντος ἀνωτέρω, καὶ οὐδ' ἐν πάσαις ταῖς ὑπογραφαῖς τοῦτο γίνεται, φημὶ δὴ τὸ διαζευκτικοὺς ἐν αὐταῖς κεῖσθαι συνδέσμους· αὐτίκα γὰρ ἡ τῆς οὐσίας ὑπογραφὴ οὐδὲν τοιοῦτον ἔχει· ὑπογράφουσι γὰρ τὴν οὐσίαν πρᾶγμα αὐθύπαρκτον μηδενὸς δεόμενον πρὸς σύστασιν· πλὴν τοῦτο σημειωτέον, ὅτι τῶν ὑπογραφῶν ὅσαι μὲν οὐκ ἔχουσι διαζευκτικοὺς συνδέσμους ἁρμόζουσι πᾶσι τοῖς ὑποτεταγμένοις ὑπ' ἐκείνῃ οὗ ἐστιν ὑπογραφή, ὥσπερ ἡ τῆς οὐσίας ἄνευ συνδέσμων οὖσα πᾶσι τοῖς ὑπὸ τὴν οὐσίαν ἁρμόζει· αἱ μέν-

τοι διαζευκτικοὺς ἔχουσαι συνδέσμους οὐδαμῶς, ὥσπερ καὶ ἡ τοῦ ὄντος ἔχει· οὐδενὶ γὰρ αὕτη τῶν ὑπὸ τὸ ὂν τεταγμένων τελείως ἁρμόζει· καὶ ἡ τοῦ διηγήματος· οὐδὲν γὰρ τῶν ὑπὸ τὸ διήγημα τελείως αὐτὴν δέχεται, ὡς μετ' ὀλίγον δειχθήσεται. Ἰστέον δὲ, ὅτι ὁ παρὼν λόγος τοῦ διηγήματος οὐκ ἔστι τοῦ Ἀφθονίου, ἀλλὰ τῶν πρὸ αὐτοῦ τεχνογράφων, καὶ ὁ Ἑρμογένης γὰρ λέγει ἐν τοῖς αὐτοῦ γυμνάσμασιν[11] οὕτως, „τὸ διήγημα βούλονται εἶναι ἔκθεσιν πράγματος γεγονότος ἢ ὡς γεγονότος."

Ἔκθεσις πράγματος γεγονότος. Ζητεῖται τίνος χάριν προέταξε τὴν ἔκθεσιν τῶν ἑξῆς λέξεων τῶν ἐν τῷ ὁρισμῷ, καί τοι δυνάμενος καὶ οὕτως εἰπεῖν, διήγημά ἐστι πράγματος γεγονότος ἔκθεσις· καὶ φαμὲν ὅτι παντὸς ὁρισμοῦ ἐκ γένους καὶ συστατικῶν διαφορῶν συγκειμένου ὀφείλει τὸ γένος προτάττεσθαι τῶν διαφορῶν, ἐπειδὴ[12] καὶ πρῶτόν ἐστι φύσει τὸ γένος τῶν[13] ὑπ' αὐτῷ διαφορῶν, ἢ ἐπεὶ ὁ ὁρισμὸς ἐν τῷ τί ἐστι κατηγορεῖται, τῶν δὲ ἐν τῷ ὁρισμῷ λέξεων ἡ μὲν ἀντὶ γένους κειμένη ἐν τῷ τί ἐστιν, αἱ δὲ ἀντὶ διαφορῶν ἐν τῷ ὁποῖόν τί ἐστιν, εἰκότως πρὸς τὴν τοῦ τί ἐστιν ἐρώτησιν ἐκείνη τῶν ἐν τῷ ὁρισμῷ προβέβληται λέξεων, ἥτις καὶ πρὸς αὐτὴν οἰκείως δίδοται, ἄλλως τε δὲ τὸ μὲν γένος τῶν πόρρω χωρίζει τὸ ὁριστὸν, οἷον τῶν ἑτερογενῶν, αἱ δὲ διαφοραὶ τῶν ἐγγὺς, ἤγουν τῶν ὁμογενῶν, ὥσπερ καὶ τὸ πῦρ τὰ μέταλλα διακρῖνον πρῶτον διακρίνει τὰ πόρρω καὶ ὕστερον τὰ ἐγγὺς, οἷον χρυσοῦ ὄντος καὶ ἀργύρου καὶ ξύλων πρῶτον διακρίνει τὰ ξύλα, ὕστερον δὲ τὸν χρυσὸν ἐκ τοῦ ἀργύρου· οὕτω γοῦν καὶ ἐν τῷ τοῦ ἀνθρώπου ὁρισμῷ, γένους μὲν ὄντος τοῦ

11 p. 16. 12 Vind. ἐπεὶ δέ. 13 Vind. τοῦ ὑπ' αὐτό.

ζώου, διαφορῶν δὲ τῶν ἑξῆς, προτάττεται τὸ γένος τῶν διαφορῶν. Εἰσὶ δέ τινες ὁρισμοὶ, ἐν οἷς τὸ γένος οὐ προτέτακται τῶν διαφορῶν, ἀλλὰ τοὐναντίον ὑποτέτακται αὐταῖς, ὥσπερ ἔχει καὶ ὁ τῆς κατασκευῆς παρὰ τῷ Ἀφθονίῳ, κατασκευή ἐστι προκειμένου τινὸς βεβαίωσις πράγματος, καὶ ὁ τῆς[14] ἀναγνώσεως ἐν τῇ τοῦ Διονυσίου γραμματικῇ τέχνῃ, λέγων „ἀνάγνωσίς ἐστι ποιημάτων ἢ συγγραμμάτων ἀδιάπτωτος προφορά“, καὶ γὰρ ἐν αὐτῷ τῆς μὲν προφορᾶς ἀντὶ γένους κειμένης, τῶν δὲ λοιπῶν λέξεων ἀντὶ διαφορῶν, καὶ κατ' αὐτὸ τοῦτο παρά τινων ὁ τοιοῦτος λόγος τῆς ἀναγνώσεως κακίζεται.[15] Γεγονότος· καὶ τοῦτο ζητεῖται, εἰ τὸ διήγημα πρὸς τὴν διήγησιν λέγεται γυμνάζειν ἡμᾶς, εὑρίσκονται δὲ διηγήματα κατὰ τοὺς τρεῖς χρόνους, τόν τε παρεληλυθότα καὶ τὸν ἐνεστῶτα καὶ τὸν μέλλοντα, πῶς ὁ σοφιστὴς ὁριζόμενος τὸ διήγημα ἔκθεσιν αὐτὸ γεγονότος ἢ ὡς γεγονότος πράγματος εἶπεν; ἐν γὰρ τῷ οὕτως εἰπεῖν τὰ κατὰ τὸν παρεληλυθότα μόνον χρόνον ἐσήμανε διηγήματα· καὶ λέγομεν, ὅτι εἰκότως οὕτως εἶπε· τὰ γὰρ πρὸς γυμνασίαν ἐκτιθέμενα διηγήματα παρεληλυθότος μόνον χρόνου εἰσὶν ἅπαντα διηγήματα σχεδὸν, ὅπου γε καὶ ἐν αὐταῖς ταῖς ἐν τοῖς πολιτικοῖς τιθεμέναις διηγήσεσιν, εἰ καὶ κατὰ τοὺς λοιποὺς χρόνους ἔσθ' ὅτε εὑρίσκονται, διηγήσεις ὅμως αἱ ἐκ τῶν παρελθόντων γινόμεναι πλεονάζουσι· τίνος δὲ χάριν τὰ κατὰ γυμνασίαν διηγήματα μόνα τὴν κατὰ τὸν παρεληλυθότα χρόνον ἔχουσιν ἔκθεσιν; διότι τῶν μὲν κατὰ τὸν ἐνεστῶτα χρόνον πραγμάτων τὰ μὲν ἤδη γεγόνασι, τὰ δὲ μέλλουσι, διά τοι τοῦτο καὶ ὁ ἐνεστὼς αὐτὸς ἀνυπόστατος εἶναι νομίζεται, ὡς τὸ μὲν αὐτοῦ τῷ παρεληλυθότι ἀπονέμων χρόνῳ, τὸ δὲ τῷ μέλλοντι· τὰ δὲ

14 Laur. ὁ τῆς. Vind. ὅταν. 15 Vind. κακίζηται.

κατὰ τὸν μέλλοντα πάλιν δυσχερῆ τὴν ἔκθεσιν ἔχουσιν, ἅτε μήπω ἔτι ὑποστάντα μηδὲ φανερὰ γεγονότα καὶ κρείττονος διὰ τοῦτο καὶ τελεωτέρας ἕξεως ἢ κατ' εἰσαγωγὴν δεόμενα· τινὲς δὲ καὶ τοῦτο λέγουσιν, ὅτι τῶν ἐνεστώτων ὡς ἐνεστώτων οὐκ ἔστι διήγησις, ἀλλὰ μᾶλλον ἔνδειξις, ὥσπερ ποιεῖ ὁ παρ' Εὐριπίδῃ δεικνὺς τῇ Ἀντιγόνῃ τοὺς ἥρωας [16], ὁμοίως οὐδὲ τῶν μελλόντων ἐστὶ διήγησις, ἀλλὰ μᾶλλον πρόρρησις, ὡς εἴ τις μάντις προλέγει τὰ μέλλοντα. Γεγονότος ἢ ὡς γεγονότος· Ζητεῖται διατί μὴ προέταξε τὸ ὡς γεγονότος, ὥστε εἶναι τὸν λόγον τοιοῦτον· διήγημά ἐστιν ἔκθεσις πράγματος ὡς γεγονότος ἢ γεγονότος· καὶ λέγομεν, ὅτι ἐπεὶ τὸ ὡς γεγονὸς εἰκονίζει τὸ γεγονὸς, καὶ ὁμοιότητά τινα πρὸς αὐτὸ ἐπείγεται ἔχειν, τὸ δὲ εἰκονιζόμενον κρεῖττον ἀεὶ τῆς εἰκόνος καὶ τιμιώτερον, διὰ τοῦτο τὸ γεγονὸς τοῦ ὡς γεγονότος προτέτακται ὡς τιμιώτερον καὶ αἰδεσιμώτερον. Διενήνοχε δὲ διήγημα διηγήσεως, ὡς ποιήσεως ποίημα. μετὰ τὸ κοινότατον παρατήρημα, ὅπερ ἦν ὡσανεὶ ὁρισμὸς, ἔρχεται καὶ ἐπὶ ἕτερον, ᾧπερ ἐν ἅπασι καὶ αὐτῷ τοῖς γυμνάσμασιν χρῆται, πλὴν τῆς χρείας καὶ τῆς ἀνασκευῆς καὶ τοῦ κοινοῦ τόπου καὶ τῆς συγκρίσεως· καὶ ὁ μὲν Ἀφθόνιος διαφέρειν λέγει τῆς διηγήσεως τὸ διήγημα, καθὸ τὸ μὲν διήγημα μερικώτερόν ἐστιν, ἡ δὲ διήγησις καθολικώτερον καὶ πολλῶν διηγημάτων περιληπτικὴ, ἀκόλουθα λέγων καὶ κατὰ τοῦτο τῷ Ἑρμογένει· ἕτεροι δὲ διαφέρειν αὐτὰ ἔφασαν, καὶ τὸ μὲν διήγημά φασι [17] τῶν ἱστορουμένων ἐστὶ καὶ γεγονότων ἀπαγγελία, ἡ δὲ διήγησις τῶν ἐν τοῖς δικαστηρίοις ἀμφισβητήσεων ἔκθεσις πρὸς τὸ τοῦ λέγοντος συμφέρον· ἕτεροι δὲ διήγησιν μὲν τὴν τῶν ἀληθῶν πραγμάτων ἐκάλεσαν ἔκθεσιν,

16 Phoen. 120 sqq. 17 Vind. φησὶ.

διήγημα [18] τὴν τῶν ὡς γεγονότων, ὡς καὶ Νικόλαος ἐν τῇ περὶ τῶν προγυμνασμάτων αὐτοῦ πραγματείᾳ διέξεισι, καί τις τῶν τὰ Ἀφθονίου ἐξηγησαμένων. Τοῦ δὲ διηγήματος τὸ μέν ἐστι δραματικόν, τὸ δὲ ἱστορικόν, τὸ δὲ πολιτικόν· μετὰ τὰ ἀνωτέρω παρατηρήματα ἔρχεται πάλιν ἐπὶ κοινὸν παρατήρημα, ἀλλ' οὐχ οὕτω κοινόν, ὥσπερ ἦν καὶ τὸ πρῶτον, ἐκείνῳ μὲν γὰρ ἐν ἁπάσαις ταῖς τῶν γυμνασιῶν χρῆται μεθόδοις, τούτῳ δὲ ἐν ταῖς πλείοσι μὲν, οὐκ ἐν ἁπάσαις δὲ ὅμως. Τοῦ δὲ διηγήματος τὸ μέν ἐστι δραματικόν, τὸ δὲ ἱστορικόν, τὸ δὲ πολιτικόν. Ὁ μὲν Ἑρμογένης εἰς τέσσαρα διαιρεῖ τὸ διήγημα, εἰς μυθικόν, εἰς πλασματικόν, εἰς ἱστορικόν, εἰς πολιτικόν, μυθικὸν μὲν λέγων τὸ παρὰ τὴν φύσιν συγκείμενον καὶ πρὸς τὴν τῶν μύθων ἀπιστίαν ἐκπίπτον, οἷόν ἐστι τὸ κατὰ τὸν Περσέα, τὸ κατὰ τὸν Τριπτόλεμον, τὸ κατὰ τὸν φωνήεντα ἵππον τοῦ Ἀχιλλέως· [19] πλασματικὸν δὲ τὰ ἀμφίδοξα καὶ ἐνδεχόμενα, ἱστορικὰ δὲ τὰ ἀληθῆ, πολιτικὰ δὲ τὰ ἐν τοῖς πολιτικοῖς ἀγῶσιν εἰς χρείαν τοῖς ῥήτορσιν ἥκοντα· ὁ μέντοι Ἀφθόνιος διὰ τοῦ δραματικοῦ καὶ τὸ μυθικὸν καὶ τὸ πλασματικὸν συμπεριλαβὼν εἰς τρία φαίνεται διαιρῶν τὸ διήγημα· δραματικὰ [20] δὲ λέγονται τὰ τοιαῦτα διηγήματα ὡς τοῖς ποιητικοῖς ἁρμόζοντα δράμασι μάλιστα, ὥσπερ καὶ πολιτικὰ λέγονται τὰ τοῖς πολιτικοῖς λόγοις ἁρμόζοντα. Τὸ δὲ ἱστορικόν· διὰ τοῦ ἱστορικοῦ καὶ τὰ κατὰ συγγραφὴν δηλοῖ διηγήματα· διαφέρει δὲ συγγραφὴ ἱστορίας τῷ χρόνῳ· ὁ μὲν γὰρ τὰ πρὸ αὐτοῦ γενόμενα διηγούμενος ἱστορίαν ποιεῖ, ὁ δὲ τὰ κατὰ τοὺς ἑαυτοῦ χρόνους συμβάντα συγγραφήν, ὡς ὁ Θουκυδίδης· ἔστι δ' ὅτε ἀδιαφόρως καὶ πάντας τοὺς πεζολόγους συγ-

18 Vind. iterum διήγησιν. 19 Vind. Ἀχιλέως. 20 Vind. δραματικόν.

γραφεῖς καλοῦσιν, ὡς ὁ Διονύσιος ὁ Θρᾷξ ἐν τῇ γραμματικῇ αὐτοῦ τέχνῃ λέγει· „γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων", συγγραφεῖς λέγων κοινῶς πάντας τοὺς πεζολόγους· ἔστι δὲ ὅτε πάλιν καὶ ἱστορικά φασι τὰ ἀληθῆ πάντα διηγήματα, ὡς ὁ Ἀφθόνιος νῦν. Τοῦ δὲ διηγήματος τὸ μέν ἐστι δραματικόν. Ζητεῖται, διὰ τί προέταξε τὸ δραματικὸν τῶν ἄλλων· καί τινες μὲν λέγουσιν, ὅτι διὰ τοῦτο προέταξεν αὐτὸ ὡς συγγερειάζον τῷ προηγησαμένῳ γυμνάσματι, φημὶ δὴ τῷ μύθῳ· τὸ ἱστορικὸν δὲ προτάττει τοῦ πολιτικοῦ, διότι τὸ μὲν ἱστορικὸν παλαιόν ἐστι, τὸ δὲ πολιτικὸν πρόσφατον, ἢ ὡς χρησιμώτερον ὂν τοῖς νέοις πρὸς γυμνασίαν, ἤπερ τὸ πολιτικόν, διὸ καὶ οἱ γυμναζόμενοι ἱστορικὸν μὲν καὶ δραματικὸν ἀπαιτοῦνται διήγημα, πολιτικὸν δὲ οὐ τοσοῦτον, καὶ ταῦτα μὲν ἕτεροι· ἡμεῖς δὲ λέγομεν, ὅτι ἀδιαφόρως καὶ ταῦτα τέτακται διὰ τὴν τῶν εἰδῶν ὁμοτιμίαν, ὥσπερ καὶ τὸ λογικὸν εἶδος τοῦ μύθου καὶ τὸ ἠθικὸν καὶ τὸ μικτὸν ἀδιαφόρως κατ' αὐτὸν τοῦτον τὸν λόγον ἐλέγομεν τετάχθαι. Ἀλλ' ἴσως ἄν τις εἴποι, ἀπ' ἐκείνων μὲν καλῶς τοῦτο λέγεται, ἦν γὰρ ἀπὸ γένους εἰς εἴδη ἡ διαίρεσις, ἐνταῦθα δὲ οὐχ οὕτως· οὐ γὰρ ἀπὸ γένους εἰς εἴδη ἡ διαίρεσις, ἀλλ' ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· ἐπεὶ οὐχ ὡς γένος εἰς εἴδη διαιρεῖται τὸ διήγημα τὸ δραματικὸν καὶ ἱστορικὸν καὶ πολιτικόν, ἦ γὰρ ἂν καὶ ὀνόματα αὐτοῖς μετεδίδου, καὶ ὁρισμοῦ καὶ συνωνύμων αὐτῶν κατηγορεῖτο· νῦν δὲ οὐ μεταδίδωσιν αὐτοῖς ὁρισμοῦ· καὶ γὰρ ὁ τοῦ διηγήματος ὁρισμός, ὃς φησιν εἶναι τὸ διήγημα ἔκθεσιν πράγματος γεγονότος ἢ ὡς γεγονότος, οὐκ ἂν αὐτὸς ἀπαραλλάκτως καὶ ἐπὶ τοῦ δραματικοῦ διηγήματος ῥηθείη, ἐπεὶ μηδέ ἐστι τὸ δραματικὸν ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος,

ἀλλ' ὡς γεγονότος μόνον, ὥστε ὁ μὲν τοῦ ἁπλῶς διηγήματος λόγος εἴη ἂν ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος, ὁ δὲ τοῦ δραματικοῦ ἔκθεσις πράγματος ὡς γεγονότος, ἀλλ' οὐδὲ κατὰ τὰ ὀνόματα κοινωνοῦσι ταῦτα· τὸ μὲν γὰρ δραματικὸν διήγημα λέγεται, τὸ δὲ ἱστορικὸν οὐ διήγημα, ἀλλὰ διήγησις· εἰ καὶ μὴ ὁ Ἀφθόνιος τοῦτο παρεσημήνατο, ἐπεί φησι καὶ διαφέρειν διήγημα διηγήσεως, οὐ τῷ καθολικωτέρῳ καὶ μερικωτέρῳ, ὡς τῷ Ἀφθονίῳ δοκεῖ, ἀλλὰ τῷ ψευδεῖ καὶ ἀληθεῖ· τὰ μὲν γὰρ ψευδῆ, οἷα τὰ δραματικὰ λέγοιτ' ἂν διηγήματα, τὰ δὲ ἀληθῆ οἷον τὰ ἱστορικά, διηγήσεις· ἡμεῖς δέ φαμεν καὶ πρὸς τοῦτο, εἰ μὲν ἀπὸ γένους εἰς εἴδη ἐστὶν ἡ διαίρεσις, ἀδιαφόρως λέγομεν τὸ δραματικὸν καὶ τὸ ἱστορικὸν καὶ τὸ πολιτικὸν τετάχθαι, ἐπεὶ μή ἐστιν ἐν τῇ τοιαύτῃ διαιρέσει τὸ πρῶτον καὶ δεύτερον· εἰ δὲ ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἓν διῃρέθη τὸ διήγημα εἰς αὐτά, ἔνθα τὸ πρῶτόν ἐστι καὶ τὸ δεύτερον, ἔστωσαν δεδειγμέναι αἱ ἀνωτέρω ῥηθεῖσαι αἰτίαι τῆς τούτων τάξεως. *Τὸ μέν ἐστι δραματικὸν, τὸ δὲ ἱστορικὸν, τὸ δὲ πολιτικόν·* τὸ μὲν δραματικὸν οὕτως ὠνόμασται ἀπὸ τοῦ τοῖς ποιητικοῖς ἁρμόζειν μάλιστα δράμασι· τὸ δὲ ἱστορικὸν τὸ τῆς ἱστορίας ἔχει ὄνομα, ἀλλ' οὐχ ὡς τῶν ἄλλων εἰδῶν τοῦ διηγήματος μὴ φερομένων ἐν ταῖς ἱστορίαις, ἀλλ' ὅτι τὰ μὲν ἀπὸ τῆς ἰδέας αὐτῶν ἔχει τὸ ὄνομα· τοῦτο δὲ ἱστορικὸν ἐκλήθη κατ' ἐξαίρετον ὡς ἀληθὲς, τὸ δὲ πολιτικὸν, τουτέστιν ἐν πολιτείαις συμβαῖνον, καὶ ᾧ κεχρήμεθα πολιτευόμενοι, τουτέστι δικάζοντες ἢ βουλεύοντες ἢ πανηγυρίζοντες· τὸ δὲ αὐτὸ καλεῖται καὶ πιθανὸν καὶ βιωτικὸν καὶ πραγματικὸν καὶ ἰδιωτικὸν καὶ δικανικόν· πιθανὸν μὲν, ὡς πειθοῦς ἀντεχόμενον, πραγματικὸν δὲ, ὡς περὶ διάφορα πράγματα καθεκάστην καταγινόμενον, ἰδιωτικὸν ὡς καὶ τοῖς ἰδιώταις ἤγουν τοῖς ἀπραγμονοῦσι πολλάκις συμπίπτον καὶ

συμβαῖνον κατά τινα τύχην καὶ περιπέτειαν. δικανικὸν δὲ ὡς ἐν τοῖς πολιτικοῖς ἀγῶσι καὶ τοῖς δικαστηρίοις λεγόμενον, καὶ πολλάκις μετὰ τῆς ἀληθείας καὶ οἰκονομίαν τινὰ καὶ τάξιν καὶ δεινότητα ἔχον, ὅτε καὶ κατάστασις οὐ διήγημα προσαγορεύεται. Καὶ δραματικὸν μὲν τὸ πεπλασμένον· οἷόν ἐστιν ἐκεῖνο· Φαέθων ἡλίου παῖς γεγονὼς πατρῴων ἁρμάτων ἐπιβῆναι προῄρητο, καὶ ὁ μὲν πόθος παράλογος ἔδοξε, τιμῶν δὲ τὴν φύσιν ὁ πατὴρ συνεχώρησε, καὶ παραλαβὼν τὸν δίφρον ὁ παῖς ἄπειρος ὢν τῆς τέχνης τὰ πλείονα κατέφλεξε καὶ πεσόντα μὲν αὐτὸν Ἠριδανὸς ὑποδέχεται, δακρύουσαι δὲ τὸ πάθος αἱ ἀδελφαὶ αἰγείρων ἀντηλλάξαντο φύσιν, καὶ τὸ παρ' αὐτῶν δάκρυον εἶναι τῶν Ἠλιάδων νομίζεται. Ἕτερον. Οἰνεὺς Δηϊάνειραν ἔτεκε, καὶ διπλοῦν τῷ βίῳ τὸν πόθον ἐκόμισεν, Ἡρακλεῖ τῷ Διὸς καὶ Ἀχελῴῳ τῷ ποταμῷ, καὶ πρὸς ἔριν ἀρθέντες ἀγῶνι μὲν τὴν ἔριν κρίνουσι, γάμῳ δὲ τῆς παιδὸς τιμῶσι τὴν νίκην, ἡ δὲ τὸν ἀγῶνα ποιησάντων γέρας τοῦ κρατοῦντος ἐγίνετο. Καὶ προσπεσὼν Ἡρακλῆς τοῦ μὲν Ἀχελῴου τὸ κέρας ὑφείλετο, τὸ δὲ καταῤῥύὲν αἷμα τοῦ τραύματος Σειρῆνας ἀναδίδωσιν. Ἕτερον. Ἔπαθε Πασιφάη περὶ τὸν ταῦρον ἐρωτιαῖον,[20*] καὶ πάθος ὑποστᾶσα παράλογον ἐζήτει τὸν ἰασόμενον, καὶ Δαιδάλῳ μὲν ἀναγγέλλει τὸ πάθος· ὁ δὲ ξυλίνην βοῦν μηχανησάμενος καὶ περιβαλὼν ταύρου δορὰν τὸ μηχάνημα παρ' αὐτὴν τὴν ἀγέλην προσήγαγεν, ὁ ταῦρος δὲ ἀγνοῶν ἐπιβαίνει τὴν ἄνθρωπον, ἣν ἡ φύσις ἐγνώρισε, καὶ τὴν ὁμιλίαν οὐ κατέλιπεν ἄπιστον, πάντα γὰρ εἶχεν ὡς ἐξ ἀμφοῖν γεγονώς, ἐφ' ἑνὸς σώματος ὁ παῖς τοὺς τεκόντας ἐδήλου, ταῦρος γὰρ ὢν μέχρι τῆς κεφαλῆς τὸ λοιπὸν ἦν ἄνθρωπος. Ἱστορικὸν δὲ τὸ παλαιὰν ἔχον ἀφήγησιν, ὡς ἔχει παρὰ τῷ Θουκυδίδῃ τὸ

20* Vind. ἐρωταῖον.

κατὰ Κύλωνα [21] καὶ τὸ κατὰ Παυσανίαν καὶ ἄλλα πλείονα, ταῦτα γὰρ διηγεῖται ὁ συγγραφεὺς ὡς πρὸ αὐτοῦ γεγονότα· ζητεῖται δὲ ἀνθ' ὅτου οὐκ εἶπεν ἱστορικὸν εἶναι τὸ ἀληθὲς, ἀλλὰ τὸ παλαιὰν ἔχον ἀφήγησιν· Καί τινες εἶπον, ἵνα μὴ διαστείλῃ τὸ ἱστορικὸν ἀπὸ τῆς συγγραφῆς κατὰ τὸ ἀληθὲς, ἀλλὰ κατὰ τὸ παλαιὸν καὶ τὸ νέον· καί τοι ἡμεῖς ἀνωτέρω ἐλέγομεν διὰ τοῦ ἱστορικοῦ καὶ τὰ κατὰ συγγραφὴν αὐτὸν συμπεριλαμβάνεσθαι διηγήματα καὶ ἴσως οὐ κακῶς. Πολιτικὸν δὲ ᾧ παρὰ τοὺς ἀγῶνας οἱ ῥήτορες κέχρηνται, ὡς ἔχει παρὰ τῷ Δημοσθένει ἐν τῷ κατὰ Ὀλυμπιοδώρου βλάβης [22] τὸ, „ἦν ἄνδρες Κόνων Ἀλαιεὺς, οἰκεῖος ἡμέτερος," καὶ τὸ, [23] „ἀδελφὰς ἔχομεν γυναῖκας," καὶ ἄλλα πλείονα. Καὶ δραματικὸν μέν ἐστι τὸ πεπλασμένον· τινὲς δραματικὸν ἔφασαν τὸ μὴ ἀπὸ τῶν συντιθέντων αὐτὰ, ἀπὸ δὲ τῶν ὑποκειμένων προσώπων λεγόμενα, καίτοι τὸ κατὰ ῥόδον διήγημα δραματικὸν μέν ἐστιν, οὐκ ἀπὸ τῶν ὑποκειμένων δὲ προσώπων λέγεται, ἀλλ' ἀπ' αὐτοῦ τοῦ συντιθέντος· ἄμεινον τοίνυν λέγειν, ὅτι δραματικὰ διηγήματα ἰδίᾳ μὲν καθ' ἑαυτὰ λεγόμενα ἀπὸ τοῦ συντιθέντος προσώπου λέγονται, ὡς ἔχει καὶ τὸ παρὸν, ἐν δράμασι δὲ κείμενα οὐκ ἀπὸ τῶν συντιθέντων αὐτὰ, ἀλλὰ ἀπὸ τῶν ὑποκειμένων προσώπων ἀπαγγέλλονται. Ἱστορικὸν δὲ τὸ παλαιὰν ἔχον ἀφήγησιν· τινὲς πάλιν ἱστορικὸν ἔφασαν εἶναι διήγημα τὸ πῇ μὲν ἐκ τοῦ ἀπαγγέλλοντος ἐκφερόμενον, πῇ δὲ ἐκ τοῖ συντιθέντος προσώπου, ὡς τὰ παρὰ τῷ Θουκυδίδῃ διηγήματα· ἡνίκα μὲν γὰρ λέγει τὸ περὶ τῆς Ἐπιδάμνου εἰ τύχῃ, ὡς ἀφ' ἑαυτοῦ λέγει, ἡνίκα δὲ τὴν παρὰ τῶν Κερκυραίων πρὸς Ἀθηναίους δημηγορίαν, ὡς ἀπὸ τῶν ὑποκειμένων προσώπων, μήποτε οὖν καὶ αὐτὰ

21 Thuc. I. 126. et de Pausania I. 128. 22 p. 1168.
23 in Spud. init.

ἀπὸ μόνου τοῦ συντιθέντος ἐκφέρονται· οὐ γὰρ ἐπάγει τοὺς Κερκυραίους λέγοντας τὰ λεγόμενα, ὡς παρ' Εὐριπίδῃ καὶ Σοφοκλεῖ γίνεται, ἀλλ' αὐτὸς λέγει, ὅτι εἶπον οἱ Κερκυραῖοι πρὸς Ἀθηναίους τοιάδε, οἱ δὲ αὐτοὶ καὶ πολιτικὰ λέγουσιν εἶναι τὰ ἀπὸ μόνου τοῦ συντιθέντος ἐκφερόμενα. καίτοι ὥσπερ ἐν τοῖς ἱστορικοῖς πολλάκις λέγει ὁ συντιθεὶς περὶ τῶν ὑποκειμένων προσώπων, ὅτι εἶπον τοιάδε, οὕτω κἀν τοῖς πολιτικοῖς γίνεται· ἐχρῆν οὖν αὐτοὺς, ὥσπερ τὰ πολιτικὰ ἀπὸ μόνου τοῦ συντιθέντος εἶπον ἐκφέρεσθαι, οὕτω καὶ περὶ τῶν ἱστορικῶν ἀποφήνασθαι. Τοῦ δὲ διηγήματος τὸ μέν ἐστι δραματικόν. Ζητεῖται περὶ τῶν δραματικῶν διηγημάτων, τί διαφέρει τῶν μυθικῶν διηγημάτων, καὶ λέγομεν, ὅτι διαφέρει, καθὸ τὰ μὲν δραματικὰ καὶ γενέσθαι δύνανται τάχα, τὰ δὲ μυθικὰ παντελῶς ἀδύνατα, καὶ ὅτι τὰ μὲν δραματικὰ τὰς ἀρχὰς ἀπὸ τῆς ἀληθείας ἔχουσιν, οἷον τὸ Πολυξένης ἀπὸ τῆς ἁλώσεως τοῦ Ἰλίου, [24] καὶ τὰ τοῦ Λοκροῦ ἀπὸ τοῦ ἐν θαλάσσῃ θανάτου, τὰ δὲ μυθικὰ καὶ τὴν ἀρχὴν ἀνυπόστατον ἔχουσιν· ἔτι καὶ τούτῳ διαφέρει, τῷ τὰ μὲν μυθικὰ μήτε ἀνασκευάζεσθαι μήτε κατασκευάζεσθαι· τὰ δὲ δραματικὰ καὶ ἀμφότερα ὑφίστασθαι· δέον γὰρ ὂν μήτε τὰ λίαν σαφῆ μήτε τὰ πάντη [25] ἀδύνατα κατασκευάζειν ἢ ἀνασκευάζειν, τὰ μὲν μυθικὰ διὰ τὸ παντελῶς ἀδύνατα εἶναι οὔτε ἀνασκευασθήσεται οὔτε κατασκευασθήσεται· τὰ μέντοι δραματικὰ καθὸ γενέσθαι δύναται καὶ ἀνασκευασθήσεται καὶ κατασκευασθήσεται· τινὲς δὲ καὶ περὶ τῶν μυθικῶν φασιν, ὡς καὶ αὐτὰ ἀνασκευασθήσεται καὶ κατασκευασθήσεται, ἀμφίδοξα ὄντα· καθὸ μὲν γὰρ ἱστορεῖται παρ' ἐνδόξων προσώπων γινόμενα, ὡς ἀληθῆ λαμβάνεται, καθὸ δὲ τῇ φύσει ἀδύνατά εἰσι, ψευδῆ. Ζητεῖται δὲ καὶ

24 Vind. ἡλίου. 25 Vind. πάντα.

περὶ τῶν μυθικῶν διηγημάτων, τί διαφέρει τῶν μύθων αὐτῶν, καὶ λέγουσι διαφέρειν, καθὸ οἱ μὲν μῦθοι ὁμολογουμένως ψευδεῖς εἰσι, καὶ πάντη πεπλασμένοι, τὰ δὲ μυθικὰ διηγήματα καὶ παρ᾽ ἄλλων ὡς γεγονότα ἱστόρηται, εἰ καὶ ὁμολογουμένως εἰσὶ ψευδῆ, καὶ μὴ τῶν ἐνδεχομένων γενέσθαι καὶ μή. Ἔτι δὲ καθὸ μὲν μῦθος πρότασιν κατασκευάζει, τὰ δὲ μυθικὰ διηγήματα οὐδέν, ἀλλ᾽ ὑφ᾽ ἑτέρου μᾶλλον κατασκευάζονται· καὶ δραματικὸν μέν ἐστι τὸ πεπλασμένον, καὶ μὴν καὶ τὸ μυθικὸν τοιοῦτόν ἐστι· πεπλασμένον γὰρ καὶ αὐτό, ὥστε οὐ μᾶλλον τὸ δραματικὸν κατὰ τοῦτο ἤπερ τὸ μυθικὸν δηλοῖ· ἀλλ᾽ ἔστιν εἰπεῖν, ὅτι ἀμφότερα δι᾽ ἑνὸς ἠβουλήθη σημᾶναι ὀνόματα αὐτό τε τὸ δραματικὸν καὶ τὸ μυθικόν. Πολιτικὸν δὲ, ᾧ παρὰ τοὺς ἀγῶνας οἱ ῥήτορες κέχρηνται· καὶ μὴν τεσσάρων ὄντων μερῶν τοῦ πολιτικοῦ λόγου, προοιμίων, διηγήσεων, ἀγώνων, ἐπιλόγων, τοῖς διηγήμασιν οἱ ῥήτορες ὡς ἐπὶ τὸ πλεῖστον μὲν καὶ κυρίως ἐν τοῖς μετὰ τὰ προοίμια χρῶνται τόποις, ἐν δὲ τοῖς ἀγῶσιν εἰ καὶ χρῶνται τούτοις ἐν ταῖς ἀπὸ παραδείγματος ἐργασίαις, διὰ τὸ διηγηματικῶς ταῦτα ἐνφέρεσθαι, ἀλλ᾽ ἐπὶ τοσοῦτον· πῶς οὖν εἶπε περὶ τῶν ῥητόρων, ὅτι [26] τοῖς διηγήμασι παρὰ τοὺς ἀγῶνας οἱ ῥήτορος κέχρηνται· παρὰ τοὺς ἀγῶνας εἰπὼν οὐ τὸ ἀγωνιστικὸν μέρος, ὅπερ τρίτην ἐν πολιτικῷ λόγῳ τάξιν ἔχει, ἐβουλήθη σημᾶναι, ἀλλ᾽ αὐτὸν ὅλον τὸν λόγον τὸν ἀγωνιστικόν, ὥστε τὸ παρὰ τοὺς ἀγῶνας τοῦτο βούλεται σημαίνειν ἐνταῦθα τὸ παρὰ τοὺς πολιτικοὺς λόγους, οἵτινες ὁμολογουμένως εἰσὶν ἐναγώνιοι· εἰ δέ τις εἴποι, καὶ τί γὰρ τῷ τοῦ μέρους ὀνόματι τὸ ὅλον ἐσήμανε, φήσομεν, ὅτι ὥσπερ τῷ τοῦ ὅλου ὀνόματι [27] τὰ κάλλιστα τῶν μερῶν ὀνομάζειν εἰώθαμεν, οὕτω γὰρ ὅρου μὲν τῆς ῥη-

26 Vind. οἱ. Laur. ὅτι. 27 Vind. ὀνόματος.

τορικῆς στάσεως οὔσης, μερῶν δὲ τῶν ὑπ᾽ αὐτὴν κεφαλαίων, τὸ κεφάλαιον τὸν ὅρον τῷ τοῦ ὅλου ὀνόματι ὀνομάζομεν, ὡς τῶν λοιπῶν κάλλιστον, παρόσον καὶ τοῖτό ἐστι μᾶλλον τὸ τὴν στάσιν χαρακτηρίζον, οὕτω δὴ καὶ τῷ τοῦ καλλίστου τῶν μερῶν ὀνόματι τὸ ὅλον ἔσθ᾽ ὅτε ὀνομάζομεν· οἷον ὅλου μὲν ὄντος τοῦ Σωκράτους, μερῶν δὲ τῆς ἐν αὐτῷ κεφαλῆς καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν, ἐπειδὴ τιμιωτέρα ἐστὶ τῶν ἄλλων ἡ κεφαλή, ἀπὸ ταύτης, εἰ βουλοίμεθα, τοῦτον κατονομάσομεν, ὥσπερ Ὅμηρος ἐποίησεν ἐν τῷ „Τεῦκρε, φίλη κεφαλή“· [28] ἐπειδὴ τοίνυν τοῦθ᾽ οὕτως ἔχει, ἔστι δὲ ὁ μὲν πολιτικὸς λόγος ὅλον, τὰ δὲ προοίμια καὶ αἱ διηγήσεις καὶ οἱ ἀγῶνες καὶ οἱ ἐπίλογοι μέρη, τιμιώτερον δὲ τούτων ἁπάντων τὸ τῶν ἀγώνων μέρος, παρόσον καὶ τὰ λοιπά, οἷον τὰ προοίμια, αἱ διηγήσεις, οἱ ἐπίλογοι ἕνεκεν τούτων παραλαμβάνονται, εἰκότως τὸ ὅλον, τουτέστι τὸν πολιτικὸν λόγον ἀπ᾽ αὐτοῦ τούτου ὠνόμασαν. Τοῦ δὲ διηγήματος τὸ μέν ἐστι δραματικόν· οἱ μὲν παλαιοὶ τῶν ἐξηγητῶν τὰ δραματικὰ εἶναι ἀμφίδοξα εἶπον, ὁ δὲ Γεωμέτρης τὰ πολιτικά, διότι τοῖς μὲν ταῦτα ἀληθῆ δοκεῖ, τοῖς δὲ ψευδῆ· περὶ δὲ τῶν δραματικῶν λέγει, ὅτι εἰ καὶ τῶν μύθων διαλλάττουσιν ἔστιν ὅτε, ἀλλά γε διὰ τὴν ὑπερβολὴν καὶ τὸν ὄγκον καὶ ἅμα τοῦ χρόνου τὴν παλαιότητα τοῖς μυθικοῖς πλησιάζουσιν. ἡμεῖς δὲ λέγομεν, ὅτι πάντα ὅσα δυνατὸν ἀνασκευασθῆναι καὶ κατασκευασθῆναι, ταῦτα καὶ ἀμφίδοξά ἐστιν, ὡς καὶ ἀληθείας δόξαν παρέχοντα, διὸ καὶ κατασκευάζονται καὶ ἀνασκευάζονται. Εἰ οὖν καὶ τὰ δραματικὰ καὶ τὰ πολιτικὰ διηγήματα ταύτην τὴν ἐφ᾽ ἑκάτερα δέχονται μεταχείρισιν, [29] εὔδηλον ὡς ἀμφίδοξά εἰσι καὶ ὀνομάζονται. Ζητεῖται, διατί τῶν διηγημάτων καὶ κατὰ πρόσωπα διαφερόντων καὶ κατὰ πρά-

28 Il. ϑ, 281. 29 Vind. μεταχείρησιν constanter.

γματα, κατὰ μὲν τὰ πρόσωπα, ὅτι τὰ μὲν αὐτῶν ἀφηγηματικά εἰσιν, ὅσα ἀπὸ μόνου τοῦ συντιθέντος προσώπου ἀπαγγέλλονται, τὰ δὲ δραματικά, ὅσα οὐκ ἀπὸ τοῦ συντιθέντος, ἀλλ' ἀπὸ τῶν ὑποκειμένων· τὰ δὲ μικτά, ὅσα ἀπ' ἀμφοτέρων, τοῦ τε συντιθέντος καὶ τῶν ὑποκειμένων· κατὰ δὲ τὰ πράγματα, ὅτι τὰ μὲν αὐτῶν ἀληθῆ εἰσι, τὰ δὲ ψευδῆ, τὰ δὲ ἀμφίδοξα, ὁ σοφιστὴς τῆς κατὰ τὰ πρόσωπα διαφορᾶς μηδεμίαν ποιησόμενος μνήμην, τὴν κατὰ τῶν πραγμάτων μόνην παρείληφεν. ἔτι δὲ κἀκεῖνο ζητεῖται, διατί τῶν πολιτικῶν διηγημάτων κατὰ τὴν ἐν τῷ λόγῳ τάξιν διαφερόντων ἀλλήλων (τὰ μὲν γὰρ αὐτῶν προηγουμένων, ὅσα κατὰ πρωτολογίαν, καὶ ἕνεκεν τῶν ὑποθέσεων αὐτῶν ἀναγκαίως καὶ παρ' ἀμφοτέρων τῶν μερῶν τοῦ τε κατηγοροῦντος καὶ τοῦ ἀπολογουμένου λαμβάνεται διδασκαλίας ἕνεκα τῶν συμβάντων, ἢ καὶ αὐξήσεως, τὰ δὲ ἐμπίπτοντα, ὅσα κατὰ παρέκβασιν, ἢ κατὰ παράδειγμα, κατὰ παρέκβασιν μὲν ἔν τε τοῖς κοινοῖς τόποις καὶ ἐπιλόγοις, κατὰ παράδειγμα δὲ ἐν τοῖς ἀγῶσι), ζητεῖται τοίνυν, διατί τῶν τοιούτων διηγημάτων κατὰ τὴν τάξιν, ὡς ἐδείχθη, διαφερόντων, οὐδὲ τῆς τοιαύτης διαφορᾶς ὁ σοφιστὴς ἐμνήσθη· φασὶν οὖν τινες, ἐπειδὴ ποικιλωτέρας καὶ τελεωτέρας ἢ κατ' εἰσαγωγὴν ἐδέοντο διδασκαλίας, διὰ τοῦτο ταύτας παρῆκεν· ἡ αὐτὴ δὲ αἰτία τοῦ καὶ τοὺς τρόπους αὐτὸν τῆς διηγήσεως παραλιπεῖν. τίνες δὲ οὗτοι καὶ πόσοι, ἐν τῷ δευτέρῳ τόμῳ τοῦ περὶ εὑρέσεων βιβλίου μανθάνομεν. Τοῦ δὲ διηγήματος τὸ μέν ἐστι δραματικόν. Τινὲς δὲ λέγουσι περὶ τῶν μυθικῶν καὶ τῶν δραματικῶν διηγημάτων, ὅτι οὐδὲν συντελοῦσιν πρὸς τὴν ῥητορικήν· φασὶ γάρ, ὅτι εἰ ἄχρηστα τῷ ῥήτορι τὰ ψευδῆ, τὰ δὲ μυθικὰ διηγήματα φύσει τυγχάνει ψευδῆ, ἄχρηστα ἄρα καὶ ταῦτα τῷ ῥήτορι, οὐδὲ γὰρ πείθει τὸν ἀκροώμενον· λέγεται δὲ πρὸς τούτους, ὅτι τὰ ἔνδοξα

ὕλη τυγχάνει τῷ ῥήτορι, καὶ δέχεται ταῦτα ὡς ἀληθῆ, τοῦτο γὰρ στοιχεῖον τῆς τέχνης καὶ οὐ περιεργάζεται τὰς φύσεις ὁ ῥήτωρ, τοῦτο γὰρ φιλοσοφίας ἴδιον· εἰ καὶ τοῦτο ποιήσει, σαφῶς τὴν αὐτοῦ τέχνην ὑπερβήσεται· οὕτω γοῦν τὰ δραματικὰ καὶ τὰ μυθικὰ διηγήματα ἀνασκευάζομεν καὶ κατασκευάζομεν ὡς εἰς ἑκάτερον διδόντα τὴν ἐπιχείρησιν τῷ τυγχάνειν ἀμφίδοξα· τῇ μὲν γὰρ φύσει τῆς ὕλης ψευδῆ εἰσι, τῇ δὲ δόξῃ τῶν εἰπόντων ὡς ἀληθῆ παρὰ τῶν λεγόντων καὶ ἀκουόντων λαμβάνεται· καὶ εἰ μὲν πρόκειται ἡμῖν ταῦτα ἀνασκευάσαι, ἡ μεταχείρισις τῶν λόγων κατὰ φύσιν γενήσεται, εἰ δὲ κατασκευάσαι, κατὰ τὴν δόξαν τῶν φησάντων καὶ τὴν ἀλληγορίαν προαχθήσεται· καὶ ὁ ῥήτωρ δὲ κρίνει τὸ ἀληθὲς, οὐ πρὸς τὴν φύσιν μόνον τῶν πραγμάτων ἀφορῶν, ἀλλὰ καὶ πρὸς τὸ τῶν εἰπόντων ἔνδοξον πρόσωπον· καὶ τὸ ὁμολογούμενον ἀληθὲς ἐν δυσὶ θεωρεῖται, ἢ ὅταν πᾶσι δοκῇ οὕτως ἔχειν, ἢ ὅταν τοῖς ἐνδόξοις τῶν παλαιῶν φιλοσόφων, ἢ ποιηταῖς οὕτως ἀρέσκῃ, ὅθεν καὶ τὰ μυθικὰ διηγήματα ὡς ἀληθῆ τιμᾶται παρὰ τοῖς ῥήτορσι διὰ τοὺς μνημονεύοντας αὐτῶν ἐνδόξους. *Παρέπεται δὲ τῷ διηγήματι ἔξ.* ταῦτα οἱονεὶ κεφάλαιά εἰσι τοῦ διηγήματος· διαφέρει δὲ ὅμως τῶν κεφαλαίων, ὅτι ἐκεῖνα μὲν ὡρισμένον τὸν τόπον ἔχουσι καὶ τὴν τάξιν, οἷον ὡς ἐπὶ τῶν τῆς χρείας κεφαλαίων, καὶ γὰρ ἐν ἐκείνοις τὸ ἐγκωμιαστικὸν κεφάλαιον φανερόν ἐστιν, ὅτι πρὸ τῶν ἄλλων ἁπάντων τίθεται, καὶ ὅτι μετὰ τὸ τελειωθῆναι τὸν περὶ αὐτοῦ λόγον ἐπάγεται ἕτερον, καὶ ἐφεξῆς ὁμοίως· ἐπὶ δὲ τοῦ διηγήματος οὐχ οὕτως ἔχει, οὔτε γὰρ τόπον αὐτὰ ὡρισμένον ἔχει, ἀλλὰ ποτὲ μὲν τὸ πρόσωπον, ποτὲ δὲ τὸ πρᾶγμα, ἔσθ' ὅτε δὲ καὶ τῶν ἄλλων τι προτίθεται, οὔτε δὲ τελειουμένου τοῦ περὶ τοῦ προσώπου λόγου εὐθὺς τὸ πρᾶγμα τίθεται, καὶ οὐκέτι τοῦ προσώπου μνείαν ποιοῦμεν, ὡς ἐν τῇ χρείᾳ ἅπαξ τὸ ἐγκωμιαστικὸν θέντες,

καὶ

καὶ τῷ περὶ ἐκείνου ἐνδιατρίψαντες λόγῳ, οὐκέτι μνείαν αὐτοῦ ἀναμεταξὺ τῶν λοιπῶν κεφαλαίων ποιοῦμεν, ἀλλὰ πολλάκις προθέντες τὸ πρόσωπον, εἶτα ἐπαγαγόντες πρᾶγμα ἐπιφέρομεν πάλιν καὶ ἕτερον πρόσωπον καὶ ἕτερον πρᾶγμα, οἷον ἥρα ἡ Ἀφροδίτη τοῦ Ἀδώνιδος· ἰδοὺ τὸ μὲν ἥρα πρᾶγμα, ἡ δὲ Ἀφροδίτη καὶ ὁ Ἄδωνις πρόσωπα. ἀντήρα δὲ καὶ ὁ Ἄρης αὐτῆς, ἰδοὺ καὶ ἕτερον πρᾶγμα πάλιν, καὶ ἕτερον πρόσωπον. Παρέπεται δὲ εἶπε, καὶ οὐχὶ ἕπεται, ἐπειδὴ τὸ μὲν ἕπεται ἐπὶ τῶν ἀναγκαίων λέγεται, ὡς ὅταν λέγωμεν τὸ ζῶον ἕπεσθαι τῷ ἀνθρώπῳ, ἢ τὸ ἔμψυχον τῷ ζώῳ, ἐξ ἀνάγκης γὰρ τό τε ἔμψυχον τῷ ζώῳ, καὶ τὸ ζῶον ἕπεται τῷ ἀνθρώπῳ, τὸ δὲ παρέπεται ἐπὶ τῶν ἐνδεχομένων· ἢ διὰ τοῦτο εἶπε τὸ παρέπεται, ἐπειδὴ οὐκ ἀνάγκη, πάντα τὰ περίστατα ἐμπίπτειν τοῖς διηγήμασιν· ἐκλείπουσι γὰρ ἔσθ' ὅτε τινά· καὶ ταῦτα μὲν ἕτεροι· ὁ μέντοι Γεωμέτρης ἐξηγούμενος τὴν λέξιν φησὶν οὐχ ἁπλῶς, ἀλλὰ πολλαχῶς ἡμῖν ἡ τοῦ παρεπομένου φαίνεται παραλαμβανομένη φύσις· παρέπεται μὲν γὰρ καὶ ὅσα τῆς ἑκάστου παραστατικὰ 29* οὐσίας, οἷον τὰ στοιχεῖα τῷ ἀνθρώπῳ, καὶ τῷδε τῷ παντὶ τὰ τούτων ἁπλούστερα, καὶ ἁπλῶς τῷ ζώῳ τὸ ζῶον εἶναι, καὶ τῷ λίθῳ τὸ σῶμα, παρέπεται δὲ καὶ ὅσα ἡμῖν ἐπιθεωρεῖται· τούτων δὲ τῶν ἔξωθεν τὰ μὲν ἀναγκαῖά ἐστιν, οἷον τῷ σώματι ἡ σκιὰ, ἀναγκαῖον γὰρ ἡλίου ὄντος τοῖς σώμασι καὶ αὕτη παρακολούθημα, τὰ δὲ οὐκ ἀναγκαῖα, ἀλλ' ἐνδεχόμενα, οἷον ταῖς εὐπραξίαις αἱ ὑπερηφανίαι, καὶ τοῖς πλουτοῦσιν αἱ ἡδοναὶ, καὶ ταῖς πενίαις αἱ ταπεινοφροσύναι, οὐ γὰρ ἀεὶ ταῦτα· ἐνταῦθα οὖν τὸ παρέπεται ἐπὶ τῶν οὐσιωδῶς καὶ ἀναγκαίως παρεπομένων ἀκούσομεν, ταῦτα γὰρ τοῦ διηγήματος τὰ στοιχεῖα, καθάπερ ἄν τις εἴποι καὶ τοῦ ἀνθρώπου τό τε θνητὸν καὶ τὸ λογικὸν, καὶ τὰ ἐπὶ τούτοις, ἢ τὰ

29* Codd. καὶ ante οὐσίας inserunt.

στοιχεῖα, ἐξ ὧν συνίσταται. Ζητεῖται, διατί τὸ πρόσωπον καὶ τὸ πρᾶγμα τῶν ἄλλων προτέτακται, καὶ πάλιν διατί τὸ πρόσωπον καὶ αὐτοῦ τοῦ πράγματος προετέθη, καὶ λέγουσιν, ὅτι τὸ μὲν πρόσωπον καὶ τὸ πρᾶγμα προτέτακται τῶν λοιπῶν, ὡς ἀναγκαίως ἐν παντὶ ἐμπίπτοντι διηγήματι, τῶν γὰρ ἄλλων τινὰ ἔν τισι τῶν διηγημάτων ἐκλείπουσι, τὸ δὲ πρόσωπον πάλιν προτέτακται καὶ αὐτοῦ τοῦ πράγματος, ὡς τῇ φύσει πρῶτον ὑπάρχον· δεῖ γὰρ προϋποκεῖσθαι τὸ πρᾶξαν πρόσωπον, ἵν' οὕτω τὸ πρᾶγμα γένηται. ἔτι δὲ καὶ ὅτι ἐν αὐτῇ τῇ τῶν διηγημάτων ἐκθέσει σαφηνείας, ἥτις ἐστὶν ἀρετὴ διηγήματος, ὅτι μάλιστά ἐστιν ἐργαστικὸν [30] τὸ προτίθεσθαι πάντων τὸ πρόσωπον, ὡς ἔχει καὶ τὸ, Φαέθων ἡλίου παῖς γεγονὼς πατρῴων ἁρμάτων ἐπιβῆναι προῄρητο· [31] καὶ τὸ, Οἰνεὺς Δηϊάνειραν ἔτεκε, καὶ τὸ, Χρύσης ἱερεὺς Ἀπόλλωνος, καὶ τὰ πλείω σχεδὸν τῶν διηγημάτων. Ζητεῖται καὶ περὶ τῆς αἰτίας, διὰ τί τῶν ἄλλων ἐτάχθη ἐσχάτη, καί τοι τῇ φύσει πρώτη οὖσα τοῦ τε χρόνου καὶ τοῦ τρόπου καὶ τοῦ τόπου· διὰ ταύτην γὰρ πρῶτον ὁρμῶμεν ἐπὶ τὴν πρᾶξιν, εἶθ' οὕτως ζητοῦμεν τόπον, ἐν ᾧ τὸ πρᾶγμα πραχθήσεται, καὶ χρόνον, καθ' ὃν, καὶ τρόπον ὅπως, ἄλλως τε καὶ ἰσχυροτέρα ἐστὶ τῶν ἄλλων, εἴγε πάντων αὕτη ἐστὶ κατασκευαστική, καὶ λέγουσιν, ὅτι δυνατωτέρα τῶν ἄλλων τελευταία ἐτηρήθη, ἵνα δι' αὐτῆς καὶ τἆλλα ἐπισφραγίζηται καὶ πιστεύηται, ἢ προέταξε μὲν τὸ πρόσωπον καὶ τὸ πρᾶγμα, ὡς ἀεὶ ἐμπίπτοντα ἐν τοῖς διηγήμασιν· ἐτήρησε δὲ τὴν αἰτίαν ἐσχάτην ὡς δυνατωτέραν ἁπάντων τῶν περιστατικῶν, τὰ δ' ἄλλα ἐς μέσον τέθεικε, τὸ Ὁμηρικὸν πληρῶν, κακοὺς δ' εἰς μέσον ἤλασε. [32] Τὸ πρᾶξαν πρόσωπον. Πῶς εἶπεν ἐνικῶς τὸ πρᾶξαν πρόσωπον, ὅπουγε ὡς ἐπὶ τὸ

30 Vind. ἐργατικόν. 31 Vind. προείρητο. 32 Il. δ, 299.

πλεῖστον οὐχ ἓν ἐμπίπτει ἐν τοῖς διηγήμασιν, ἀλλὰ πλείονα, ὥσπερ ἐν τῷ κατὰ τὸ ῥόδον, ἥ τε Ἀφροδίτη καὶ ὁ Ἄρης καὶ ὁ Ἄδωνις· καὶ λέγομεν ὅτι ἔθος ἐστὶ τοῖς τεχνογράφοις τὰ ἑνικὰ πληθυντικῷ ἀριθμῷ ἐκφέρειν, καὶ τὰ πληθυντικὰ ἑνικῷ, ὥσπερ καὶ ὁ Πορφύριος ἐν τῇ τῶν πέντε φωνῶν πραγματείᾳ ποιεῖ λέγων· „καθ' ἑκάστην κατηγορίαν ἐστί τινα γενικώτατα, καίτοι ἔνεστιν ἐν ἑκάστῃ κατηγορίᾳ τὸ γενικώτατον, οὐχὶ πολλὰ", καὶ ὁ Ἑρμογένης ἐν ταῖς στάσεσιν, [32*] ἐν τῇ διαιρέσει τοῦ ἁπλοῦ τελείου στοχασμοῦ· [33] „ὁ στοχασμὸς τοίνυν διαιρεῖται, ὅτι καὶ πρόσωπα ἔχει καὶ πράγματα κρινόμενα," καίτοι ὁ ἁπλοῦς τέλειος στοχασμὸς ἓν ἔχει πρόσωπον καὶ ἓν πρᾶγμα. Ἔτι ζητεῖται, πῶς εἶπε, παρέπεται τοῖς διηγήμασι τὸ πρᾶξαν πρόσωπον μόνον, ὅπου οὐκ αὐτὸ μόνον ἔσθ' ὅτε παρέπεται, ἀλλὰ καὶ τὸ παθὸν, καὶ δι' ὃ ἡ πρᾶξις, οἷον ὡς εἴ τις εἴπῃ, οἱ δὲ Ἕλληνες ἐπολέμησαν τοῖς Τρωσὶ διὰ τὴν Ἑλένην, ἰδοῦ γὰρ, οἱ μὲν Ἕλληνες τὸ πρᾶξαν πρόσωπον, οἱ δὲ Τρῶες τὸ παθὸν, ἡ δὲ Ἑλένη τὸ δι' ὃ [33*] ἡ πρᾶξις· ἔστιν οὖν εἰπεῖν, ὅτι ἐπεὶ τὸ μὲν πρᾶξαν πρόσωπον ἀεὶ ἐμπίπτει, τὸ δὲ παθὸν καὶ τὸ δι' ὃ ἡ πρᾶξις οὐκ ἀεὶ, διὰ τοῦτο παρεὶς, ἐκείνου μόνου ἐμνήσθη· κἀκεῖνο δὲ ζητεῖται, διατί ἐπὶ μόνου τοῦ διηγήματος μνείαν ἐποιήσατο τῶν περιστατικῶν ὁ Ἀφθόνιος, καί τοι καὶ τοῖς ἄλλοις τῶν τοιούτων παρεπομένων γυμνάσμασιν, καὶ μάλιστα τῷ μύθῳ, διηγηματικὸς γὰρ κἀκεῖνος εὑρίσκεται· ἐρρήθη [34] δὲ πρὸς τοῦτο, ὅτι τοῦ μύθου διδάσκων τὰ ἴδια ταῦτα παρῆκεν, ὡς κοινῶς καὶ δι' ἀμφοτέρων διδαχθησομένων, ἢ ὅτι εἰ καὶ ἐπὶ τῶν μύθων ταῦτα εὑρίσκεται, ἀλλ' οὐχὶ καὶ ἐν ἐκείνοις κατὰ τὴν φύσιν τοῦ διηγήματος, οὐδὲν γὰρ ἕτερον ὁ μῦθος ἢ διήγημα σύντομον καὶ ψευδὲς ἕνεκα παραινέσεως παραλαμβανόμενον,

32* Codd. περιστάσεσιν. 33 p. 17. nostr. ed. 33* Codd. δι' οὗ. 34 Vind. ἐρέθη.

καὶ ταῦτα μὲν περὶ τοῦ μύθου. Περὶ δὲ τῶν λοιπῶν ἐκεῖνο λέγω, ὅτι πλαστικώτερον τὰ περιστατικὰ [35] κατὰ τὰ διηγήματα θεωρεῖται, καὶ ὅσα ἐν διηγήματος τάξει παραλαμβάνεται, οἷον ἐν τοῖς ἐγκωμίοις ἢ ψόγοις ἢ κοινοῖς τόποις ἢ ταῖς ἐκφράσεσι· ταῦτα γὰρ καὶ πολλῶν περιληπτικὰ διηγημάτων, καὶ ἀναγκαίως ἐκ τῶν περιστατικῶν συμπεπλήρωται, μᾶλλον δὲ καὶ συνέστηκεν· αἱ χρεῖαι δὲ καὶ αἱ γνῶμαι καὶ ὅσαι τῶν ἀγωνιστικῶν ἀντιρρήσεις καὶ ἀνασκευαὶ εἰ καὶ ταῦτα ὁμοίως λαμβάνονται ἐκ τῶν περιστατικῶν, καὶ ἀεὶ περὶ ταῦτα στρέφονται, ἀλλ' οὐκ ἀθρόως ταῦτα παραλαμβάνουσιν, ὥσπερ ἐπὶ τοῦ διηγήματος, ἀλλὰ καθ' ἓν μεριζόμενα τὰς ἐκ τούτων συστάσεις ἢ ἀναλύσεις ἔχουσι. Ζητοῦσι δέ τινες καὶ τοῦτο, διὰ τί παρῆκεν ὁ σοφιστὴς τὴν ὕλην ἐνταῦθα, καὶ οὐκ ἀπηριθμήσατο καὶ ταύτην· καὶ φαμὲν ὅτι, ἐπεὶ οὐκ ἔστι ῥητόρων τὸ διαιρεῖν τὴν ὕλην ἀπὸ τῶν περιστατικῶν, καὶ ἰδίᾳ αὐτὴν τῶν ἄλλων τιθέναι, ἀλλὰ φιλοσόφων. ὁ γὰρ ῥήτωρ ἐπιμερίζει αὐτὴν τοῖς ἄλλοις περιστατικοῖς. οὕτω γάρ φησι περὶ αὐτῆς καὶ ὁ Ἑρμογένης ἐν τῷ τρίτῳ τόμῳ τοῦ περὶ εὑρέσεων βιβλίου· „προστιθέασι [36] δὲ οἱ φιλόσοφοι καὶ ἕβδομόν τι τὴν ὕλην, ἣν οὐκ ἰδίᾳ χωρίσας ἔχει ὁ ῥήτωρ, πιθανῶς δὲ ἐπιμερίζει ἑκάστῳ τῶν ἄλλων, ὅτῳ ἂν καὶ δύνηται". ἀλλ' εἴπωμεν εἰ δοκεῖ, τίς ἐστιν ἣν φασιν ὕλην. εἶτα καὶ πῶς ἐπιμερίζει αὐτὴν τοῖς ἄλλοις περιστατικοῖς, καὶ διατί οὐκ ἰδίᾳ καὶ αὐτὴν τίθησιν, ὥσπερ καὶ ὁ φιλόσοφος. Ὕλη μὲν οὖν, φασὶν, τὰ παρακολουθοῦντα ἑκάστῳ τῶν περιστατικῶν, οἷον τοῦ μὲν προσώπου ὕλη τὰ ἐγκωμιαστικά, παρέπεται γὰρ τῷ προσώπῳ γένος, φύσις, ἀναγωγὴ, [37] τύχη, διάθεσις, ἡλικία, πρᾶξις, λόγος, θάνατος, καὶ τὰ

35 Vind. πλατικώτ. τὰ παραστατικά. 36 Vind. προτιθέασι. de Invent. III. 5. p. 111. 37 ἀγωγὴ Theo p. 182, 12.

μετὰ τὸν θάνατον· τοῦ δὲ πράγματος πάλιν ὕλη, τὰ αὐτῷ παρεπόμενα, παρέπεται δὲ αὐτῷ τὸ μέγα ἢ μικρὸν, ἀκίνδυνον ἢ κινδυνῶδες, ῥᾴδιον [38] ἢ χαλεπὸν, ἀναγκαῖον ἢ οὐκ ἀναγκαῖον, συμφέρον ἢ ἀσύμφορον, ἔνδοξον ἢ ἄδοξον, ἔννομον ἢ ἄνομον, δίκαιον ἢ ἄδικον, σύνηθες ἢ ἀσύνηθες δυνατὸν ἢ ἀδύνατον, πικρὸν ἢ ἐπίπονον, ἢ λίαν ἡδύ τε καὶ χάριεν, τοῦ δὲ χρόνου ὕλη τὰ εἰς ἃ διαιρεῖται ὁ χρόνος· διαιρεῖται δὲ ὁ χρόνος παχυμερέστερον μὲν εἰς τὰ μεγάλα τοῦ χρόνου τμήματα, οἷον τὸ παρελληλυθὸς, τὸ ἐνεστὼς καὶ τὸ μέλλον· ἢ γὰρ κατὰ τὸν παρελληλυθότα ἐπράχθη τὸ πρᾶγμα, ἢ πράττεται κατὰ τὸν ἐνεστῶτα νῦν, ἢ πραχθήσεται κατὰ τὸν μέλλοντα· μερικώτερον δὲ καὶ εἰς τὰ λοιπὰ τμήματα διαιρεῖται, οἷον εἴς τε τοὺς καιροὺς ἔαρος ἢ θέρους ἢ χειμῶνος ἢ μετοπώρου, καὶ εἰς τὰ ἐλάττω τούτων νυκτὸς ἢ ἡμέρας, καὶ αὖ τούτων πάλιν εἰς τὰς ἐν αὐταῖς ὥρας, καὶ εἰς τὰς ἐπισυμβαινούσας δὲ περιστάσεις ἔξωθεν, οἷον εἰ πολέμου ὄντος καὶ εἰρήνης ἢ πένθους ἢ ἑορτῆς ἢ ἄλλης τοιαύτης παντοδαπῆς περιστάσεως. ὁ δὲ τόπος διαιρεῖται κεφαλαιωδῶς εἴς τε ποιότητα καὶ ποσότητα, μερικῶς δὲ κατὰ τὴν ποσότητα εἰς τὸ μέγεθος καὶ διάστημα, εἰ πολὺς ἢ βραχὺς, εἰ ἐγγὺς ἢ μακρόθεν· κατὰ δὲ ποιότητα ἀπέραντος ἡ διαίρεσις, ἢ γὰρ ἐνάλιος ἢ παράλιος ἢ μεσόγαιος, καὶ ὅσα παραπλήσια· εἰσὶν οὖν ὕλαι καὶ τούτῳ ταῦτα· τοῦ δὲ τρόπου ὕλαι τό τε ἑκούσιον καὶ ἀκούσιον, ὧν ἑκάτερον [39] γίνεται τριχῶς· τὸ μὲν γὰρ ἀκούσιον ἢ κατὰ ἄγνοιάν ἐστιν, ἢ κατὰ ἀνάγκην, ἢ κατὰ τύχην. κατὰ ἄγνοιαν μὲν, οἷον εἴ τις ἐν σκοτομήνῃ τὸν φίλον πλήξειεν ὑπολαμβάνων ἐχθρὸν, κατὰ ἀνάγκην, ὡς εἴτις βιαζόμενος τῶν ἀκαθάρτων γεύσαιτο, κατὰ δὲ τύχην, ὥσπερ ἡ ἱστορία φησὶν, [40] ὅτι περιστάντων τὸν ὗν ποτε

38 Vind. ῥᾷον. scr. ῥάδιον ex Theone p. 182. 15. 39 Vind. ἑκάτερα. scr. ἑκάτερον. 40 Herod. I. 43.

τῶν κυνηγετῶν ὁ ξένος Ἄδραστος τὸν τοῦ ξενοδόχου καὶ βασιλέως υἱὸν κατὰ τύχην βαλὼν ἀνεῖλε, καὶ οὕτω μὲν γίνεται τὸ ἀκούσιον· τὸ δὲ ἑκούσιον καὶ αὐτὸ τριχῶς γίνεται, ἢ γὰρ βίᾳ, ἢ λάθρα ἢ ἀπάτῃ· καθ' ἕνα γὰρ τούτων τῶν τρόπων ἀδικεῖ ὁ ἀδικῶν ἑκουσίως· ἢ γὰρ βιαζόμενος ὡς ὁ Λοκρὸς τὴν Κασσάνδραν, [41] καὶ ὁ Πολυμήστωρ [42] βίᾳ τὸν Πολύδωρον ἀνελὼν, ἢ ἀπατῶν ὡς τὸν Κύκλωπα ὁ Ὀδυσσεὺς, ἢ καὶ λάθρα ἐπιτιθέμενος, ὡς ἡ Κλυταιμνήστρα τῷ Ἀγαμέμνονι· τῆς δὲ αἰτίας ὕλη τό τε προκαταρκτικὸν καὶ τὸ τελικόν· καλῶ δὲ προκαταρκτικὴν μὲν αἰτίαν τὴν πρὸ τοῦ πράγματος, τελικὴν δὲ τὴν μετὰ τὸ πρᾶγμα, καὶ αὗται μὲν αἱ παρακολουθοῦσαι τοῖς περιστατικοῖς ὕλαι. Ὁ τοίνυν φιλόσοφος ὡς τὰς φύσεις τῶν πραγμάτων σκοπῶν ἄλλο τίθεται εἶναι τὸ πρόσωπον, καὶ ἄλλο τὴν ὕλην αὐτοῦ, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· τινὲς μέντοι λέγουσιν, ὕλην εἶναι οὐχὶ ταύτην, ἀλλὰ τὰ ὄργανα, δι' ὧν πράττομέν τι, οἷον λίθῳ ἢ ξύλῳ ἢ πυρὶ, ἅτινα καὶ τῷ τρόπῳ μόνῳ ἀπονέμουσιν· ἡμεῖς δὲ λέγομεν πρῶτον μὲν, ὅτι καὶ διὰ ταῦτα μόνα λέγοιτ' ἂν ὕλη· ἔπειτα εἰ καὶ τοῦτ' οὕτως ἔχει, πῶς εἶπεν ὁ Ἑρμογένης, ὅτι ἦν ὁ ῥήτωρ οὐκ ἰδίᾳ χωρίσας ἔχει, ἀλλὰ τῷ τρόπῳ προσνέμει. Παρέπεται δὲ τῷ διηγήματι ἔξ. Ἰστέον, ὅτι ταῦτα, ἃ παρέπεσθαι λέγει τῷ διηγήματι, λέγεται καὶ περιστατικὰ [43] στοιχεῖα· καὶ στοιχεῖα μὲν λέγεται, διότι ἀρχαί εἰσι πάντων τῶν ἐν ἡμῖν, ὥσπερ στοιχεῖα λέγονται καὶ τὰ ἐξ ὧν πάντα τὰ ἐν τῷ κόσμῳ, οἷον γῆ, ὕδωρ, πῦρ, ἀήρ· οὕτω καὶ Ἑρμογένης ὡρίσατο αὐτὰ ἐν τῷ τρίτῳ τόμῳ τοῦ περὶ εὑρέσεων βιβλίου· [44] „περίστασις δέ ἐστι τὸ πᾶν ἐν ἡμῖν καὶ λόγοις

41 Vind. *κασάνδραν*. Vid. Herm. ad Eurip. Hec. v. 86.
42 Vind. *πολυμέστωρ*. Cfr. Nicephori Progymn. p. 441. Anonym. Prog. p. 600.
43 Vind. *περισταὶ καί*. scr. *περιστατικά*.
44 p. 111.

καὶ πράξεσι καὶ βίῳ καὶ δίκαις καὶ ὑποθέσεων περιστάσεσι." Λέγω τὰ ἓξ ταῦτα περιστατικὰ στοιχεῖα. περιστατικὰ δὲ λέγονται ἢ [45] ἓξ, διότι ἐν αὐτοῖς πᾶσα πρᾶξις περιΐσταται καὶ ὑπόθεσις, ἢ τὰ πέντε μόνα χωρὶς τοῦ πράγματος, διότι εἰς ταῦτα τὰ πέντε περιΐσταται τὸ πρᾶγμα· ἀνάγκη γὰρ πᾶν πρᾶγμα ὑπό τινος πραχθῆναι κατὰ τόνδε τὸν χρόνον, ἐν τῷδε τῷ τόπῳ, τρόπῳ τοιῷδε, διὰ τήνδε τὴν αἰτίαν. Ἀρεταὶ δὲ διηγήματος τέσσαρες· πέντε τινὰ ἔχων διδάξαι περὶ τοῦ διηγήματος, ὅρον τοῦ διηγήματος, διαφοράν, ἣν ἔχει πρὸς τὴν διήγησιν, εἴδη παρεπόμενα, ἀρετάς, περὶ τῶν τεσσάρων διαλαβὼν τὸ λοιπὸν καὶ ἐπὶ τὸ πέμπτον μετέρχεται· καὶ γὰρ περὶ μὲν τοῦ ὅρου διέλαβεν, ἡνίκα ἔλεγε τὸ διήγημα εἶναι ἔκθεσιν πράγματος γεγονότος ἢ ὡς γεγονότος, περὶ δὲ τῆς διαφορᾶς, ἡνίκα διαφέρειν ἔλεγε διήγημα διηγήσεως, ὡς ποιήσεως ποίημα, περὶ δὲ τῶν εἰδῶν, ὅτε τὸ διήγημα διῄρει εἰς τὸ δραματικὸν καὶ εἰς τὸ ἱστορικὸν καὶ εἰς τὸ πολιτικόν, περὶ δὲ τῶν παρεπομένων, ἡνίκα τῷ διηγήματι παρεπόμενα παρεδίδου λέγων· παρέπεται δὲ τῷ διηγήματι ἓξ· τὸ πρᾶξαν πρόσωπον, τὸ πραχθὲν πρᾶγμα καὶ τὰ ἑξῆς. Σαφήνεια. Ζητεῖται, διὰ τί τὴν σαφήνειαν καὶ τὰ ἄλλα ἀρετὰς ὀνομάζει τοῦ διηγήματος· καὶ φαμέν, ὅτι ἐπειδὴ κανών ἐστιν ὁ λέγων διαλεκτικὸς, εἰ τῷ ἐναντίῳ τὸ ἐναντίον, καὶ τῷ ἐναντίῳ τὸ ἐναντίον, οἷον ὑποκείσθω ἐναντία δύο, ἀνδρία καὶ δειλία, καὶ ἕτερα ἐναντία δύο, ἀρετὴ καὶ κακία· εἰ οὖν, ἡ [46] ἀρετὴ ἐνυπάρχει τῇ ἀνδρίᾳ καὶ ἡ κακία δηλονότι ἔνεστι τῇ δειλίᾳ· διὰ τοῦτο ἐπειδὴ ἐναντία ἡ κακία καὶ ἡ ἀρετὴ, καὶ ἡ σαφήνεια καὶ ἡ ἀσάφεια, λέγεται δὲ ἡ ἀσάφεια κακία λόγου, λέγεται καὶ ἡ σαφήνεια ἀρετὴ αὐτοῦ· [47] ὡσαύτως καὶ ἐπὶ τῶν ἄλλων·

---

45 Vind. ἢ τὴν καὶ τὴν ἓξ. Laur. ἢ ἓξ. 46 ἡ recepi ex Laur. 47 Vind. αὐτοῦ.

ἰστέον δὲ, ὅτι ὁ Ἑρμογένης περὶ μὲν ἀρετῶν διηγήματος οὐ διαλαμβάνει, ὥσπερ ὁ Ἀφθόνιος, περὶ μέντοι σχημάτων τινῶν ἁρμοζόντων τοῖς διηγήμασι διαλέγεται. Λέγει γὰρ οὕτως·[48] „σχήματα δὲ διηγημάτων εἰσὶν, ὀρθὸν ,ἀποφαντικὸν, ἀποφαντικὸν[49] ἐγκεκλιμένον,[49*] ἀσύνθετον, ,συγκριτικόν. ὀρθὸν μὲν οὖν ἀποφαντικὸν, οἷον Μήδεια ,ἡ Αἰήτου θυγάτηρ· αὕτη προὔδωκε τὸ χρυσόμαλλον ,δέρας· ὀρθὸν δὲ καλεῖται, διότι παρ' ὅλον τὸν λόγον ἡ ,τὸν πλείω τηρεῖ τὴν πτῶσιν τὴν ὀνομαστικὴν, ἤγουν τὴν ,ὀρθὴν κατ' εὐθεῖαν· ἀποφαντικὸν δὲ ἐγκεκλιμένον, οἷον ,Μήδειαν τὴν Αἰήτου θυγατέρα λόγος ἐρασθεῖσαν Ἰάσο,νος καὶ τὰ ἑξῆς· ἐγκεκλιμένον δὲ λέγεται, διότι καὶ τὰς ,ἄλλας πτώσεις προσίεται· ἐλεγκτικὸν δέ ἐστι σχῆμα τόδε, ,οἷον, τί γὰρ οὐκ ἔδρασε Μήδεια δεινόν; οὐκ ἠράσθη Ἰά,σονος; οὐ προὔδωκε τὸ χρυσοῦν δέρας; ἀπέκτεινε δὲ τὸν ,ἀδελφὸν Ἄψυρτον; καὶ τὰ ἑξῆς· ἀσύνδετον δὲ γίνεται ,ὧδε. Μήδεια ἡ Αἰήτου θυγάτηρ προὔδωκε τὸ χρυσό,μαλλον δέρας, Ἄψυρτον ἐφόνευσε, καὶ τὰ ἑξῆς· συγκρι,τικὸν δέ ἐστι τὸ τοιοῦτον. Μήδεια ἡ Αἰήτου θυγάτηρ ,ἀντὶ μὲν τοῦ σωφρονεῖν ἠράσθη, ἀντὶ δὲ τοῦ σώζειν τὸν ,ἀδελφὸν ἐφόνευσεν, ἀντὶ δὲ τοῦ φυλάττειν τὸ χρυσό,μαλλον δέρας προὔδωκε.“ τοσαῦτα περὶ τῶν ἐν τοῖς διηγήμασι σχημάτων εἰπὼν ἔρχεται πάλιν καὶ λέγει, ὅτι τὸ μὲν ὀρθὸν ἱστορίαις πρέπει, σαφέστερον γὰρ, τὸ δὲ ἐγκεκλιμένον μᾶλλον ἀγῶσι, τὸ δὲ ἐλεγκτικὸν τοῖς ἐλέγχοις, τὸ δὲ ἀσύνδετον τοῖς ἐπιλόγοις. Σαφήνεια. Περὶ σαφηνείας ὁ μὲν Ἑρμογένης ἐν τῷ περὶ ἰδεῶν διδάσκων φησὶ συνίστασθαι αὐτὴν ἐκ καθαρότητος καὶ εὐκρινείας· ἑκατέραν δὲ πάλιν τούτων ἐξ ὀκτώ τινων γίνεσθαι, ἐννοίας, μεθόδου, λέξεως, σχήματος, κώλου, συνθήκης,

48 Progymn. p. 17. nonnulli Hermogenis.

49 Vind. ἀποφατικὸν ut Codd.

49* ἐλεγκτικὸν addendum post ἐγκεκλιμένον ex Hermogene.

ἀναπαύσεως καὶ ῥυθμοῦ. βούλεται δὲ τὴν μὲν τῆς καθαρότητος ἔννοιαν εἶναι τοῖς πολλοῖς σαφῆ καὶ πάντη γνώριμον, οἷον ἵνα λέγωμεν δηλονότι περὶ πραγμάτων κοινῶν καὶ εἰς ἔννοιαν πᾶσιν ἡκόντων ὡς ἔχει τὸ, „ἦν, ὦ ἄνδρες, Κόνων Ἀλαιεὺς,[50] οἰκεῖος ἡμέτερος, ὃς ἐτελεύτησεν ἄπαις.“ αὕτη γὰρ ἡ ἔννοια σαφὴς ἐστι τοῖς πολλοῖς καὶ γνώριμος πάντῃ, καὶ οὐ σοφοῖς μόνον, ἀλλὰ καὶ τοῖς τυχοῦσιν ἀνθρώποις εἰς νοῦν δυναμένη ἐλθεῖν· ἔνθεν τοι καὶ πάντας τοὺς μηδεμίαν πεῖραν ἐσχηκότας λόγων ὁρῶμεν καθ' ἑκάστην περὶ τοιούτων ἔν τε τοῖς δικαστηρίοις καὶ πανταχοῦ διαλεγομένους, ὥστε ἐννοίας μὲν καθαρὰς, ὡς ἔφαμεν,[51] τὰς τοιαύτας ὁ Ἑρμογένης βούλεται εἶναι οὐ μὴν τὰς περὶ μεγάλων πραγμάτων, οἷον περὶ θεοῦ, ὡς ἔχει τὸ, θεὸς μὲν ἦν ἀεὶ καὶ ἔστι καὶ ἔσται, οὐδὲ τὰς περὶ τῶν θείων πραγμάτων, οἷον ὡρῶν, αἰῶνος, ὡς ἐκεῖνο, αἰὼν γὰρ οὔτε χρόνος οὔτε χρόνου τι μέρος, οὐδὲ γὰρ μετρητὸν, ἢ περὶ ψυχῆς ἢ περὶ ἀρετῶν καὶ τῶν τοιούτων· αὗται γὰρ μόγις ἂν καὶ αὐτοῖς τοῖς ἐν τῷ λέγειν δεινοῖς μήτοι γε ἀμαθέσι καὶ λόγων ἀπείροις ἀνθρώποις εἰς νοῦν ποτε ἔλθοιεν. Μέθοδον καθαρὰν βούλεται εἶναι τὸ ἀπ' αὐτοῦ τοῦ πράγματος ἄρχεσθαι, καὶ μηδὲν ἔξωθεν συνεφέλκεσθαι, ὡς ἔχει τὸ,[52] „ἀδελφὰς ἔχομεν γυναῖκας, ἐγώ τε καὶ Σπουδίας οὑτοσί.“ Λέξεις δὲ καθαρὰς βούλεται εἶναι τὰς κοινὰς καὶ πᾶσι γνωρίμους· οὐκ αὐτὸ δὲ τοῦτο μόνον ἀρκεῖ πρὸς τὸ καθαρὰς εἶναι τὰς λέξεις, ἀλλὰ πρὸς τούτοις δέον μήτε τροπικὰς αὐτὰς εἶναι, ἃς δὴ καὶ μεταφορικὰς οἱ γραμματικοὶ καλοῦσιν, ἀλλὰ μηδὲ δυσεκφωνήτους διὰ τῆς τῶν συμφώνων ἐπαλληλίας· ὡς ἔχει τὸ, Ἀτρεὺς σκῆπτρον κροΐει, καὶ τὸ μάρπτω καὶ τὸ ἀταρ-

50 Vind. ἁλιεύς. — Dem. in Olympiod. p. 1168. 51 Vind. ἔφη μήν. 52 Dem. in Spud. init.

πός. Σχῆμα δὲ πάλιν καθαρὸν βούλεται εἶναι τὸ κατ᾽ ὀρθὴν εἰσαγόμενον πτῶσιν, ὡς ἔχει τὸ, „ἀδελφὰς ἔχομεν γυναῖκας·“ κῶλα δὲ τὰ μικρὰ καὶ καθ᾽ ἑαυτὰ διάνοιαν ἀπαρτίζοντα, συνθήκας τὰς μηδὲν φροντιζούσας τῆς τῶν φωνηέντων συγκρούσεως, πλεοναζούσας δὲ τοῖς ἰάμβοις καὶ τοῖς τροχαίοις, ἀναπαύσεις ἰαμβικὰς ἢ τροχαϊκὰς, ῥυθμοὺς οἵους ἂν αἱ τοιαῦται συνθῆκαι καὶ ἀναπαύσεις ἀποτελῶσιν. εὐκρινείας ἐννοίας μὲν βούλεται εἶναι τὰς ἀπαγγελτικὰς καὶ εἰς ἀρχὴν ἀναγούσας τοὺς λόγους, ὡς ἔχει ἐκεῖνο, ὃ δὲ μάλιστά μοι θαυμάζειν τῶν ἐκείνου ἄξιον, τοῦτο ἤδη δώσω τῷ λόγῳ· τοιοῦτόν ἐστι καὶ τὸ, „ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους τὴν τῆς Ἀφροδίτης λογιζέσθω πληγήν·“ [53] ἔτι καὶ τὰς συμπληρωτικὰς, αἱ τὰ μὲν παρελθόντα ἀναπαύουσι, τῶν δὲ ῥηθησομένων ἀρχὰς ἔχουσιν, ὡς ἔχει τὸ „ἓν μὲν δὴ τοῦτο τῆς ἐμῆς ἔστω φιλοσοφίας εἴτε εὐηθείας, [54] καὶ πρῶτον·“ δεύτερον δὲ ὃ καὶ μέγιστον, καὶ ἐννοίας μὲν εὐκρινεῖς ταύτας βούλεται εἶναι· μεθόδους δὲ τὸ κατὰ φύσιν τιθέναι τὰ πράγματα, καὶ τὰ μὲν πρῶτα λέγειν πρῶτον, τὰ δὲ δεύτερα δεύτερα, ὥσπερ ἐποίησεν ὁ Θεολόγος ἐν τῷ ἀπολογητικῷ τῆς εἰς τὸν Πόντον φυγῆς καὶ περὶ τῆς ἐκεῖθεν ἐπανόδου, καὶ πρῶτον εἴτε περὶ αὐτῆς· λέξεις [55] δὲ τὰς τῆς καθαρότητος, σχήματα δὲ τὸ κατ᾽ ἄθροισιν, ὡς ἔχει τὸ „τρεῖς αἱ ἀνωτάτω δόξαι περὶ θεοῦ, ἀναρχία, μοναρχία καὶ πολυαρχία·“ τὸν μερισμὸν, ὡς ἔχει τὸ „ἤρα μὲν γὰρ ἡ θεὸς τοῦ Ἀδώνιδος, ἀντήρα δὲ καὶ ὁ Ἄρης αὐτῆς,“ καὶ τὸ κατὰ ἀπαρίθμησιν, ὡς ἐκεῖνο παρὰ τῷ ἀποστόλῳ, [56] „καὶ οὓς μὲν ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους,“ κῶλα δὲ καὶ συνθήκας καὶ ἀναπαύσεις καὶ

53 Vind. πηγήν. 54 Vind. εὐθείας. 55 Vind. λέξις.
56 I Cor. 12, 28.

ῥυθμοὺς τὰ αὐτὰ τῇ καθαρότητι· καὶ ὁ μὲν Ἑρμογένης ἐκ τούτων λέγει γίνεσθαι τὴν σαφήνειαν· τῶν μέντοι τοῦ παρόντος βιβλίου ἐξηγητῶν οἱ μὲν παλαιότεροι τάδε περὶ σαφηνείας φασίν· ἐπειδὴ περὶ σαφηνείας πρόκειται λέγειν, ῥητέον περὶ ἀσαφείας· δυνησόμεθα γὰρ τοὺς ἐκείνης φυγόντες τόπους, σαφῆ ποιῆσαι τὸν λόγον. ἀσάφεια τοίνυν ὡς μὲν καθόλου διττῶς γίνεται, ἢ γὰρ ἐν λέξεσίν ἐστι τὸ ἀμφισβητούμενον ἀσαφὲς, ἢ ἐν πράγμασιν, ὡς δὲ κατὰ μέρος πολλαχῶς· τὸ μὲν οὖν ἐκ πραγμάτων ἀσαφὲς οὕτω γίνεται, ὅταν τὰ πράγματα λεγόμενα τὴν κοινὴν ἐκφεύγει γνῶσιν [57] οἷον τὰ ἐν τῇ διαλεκτικῇ καὶ τῇ γεωμετρίᾳ, καὶ ὅταν συγχέωμεν τὴν τάξιν τῶν λεγομένων, ὡς τὰ μὲν πρῶτα τελευταῖα εἶναι, τὰ δὲ τελευταῖα προτετάχθαι, δυσπαρακολούθητος γὰρ οὕτω καὶ ἀσαφὴς γίνεται ὁ λόγος· ποιεῖ δὲ ἀσάφειαν καὶ τὸ τῶν αὐτῶν πολλάκις μεμνῆσθαι, μακρὸν γὰρ τοῦτο καὶ ὀχληρὸν, εἰ μὴ ἄρα ταῖς ἐργασίαις αὐτὸ μεταχειρισόμεθα, καὶ νῦν μὲν ὡς γινώσκοντες λέγομεν, αὖθις δὲ ὡς κεφαλαιούμενοι, ἑτέρωθι δὲ ὡς ἀναμιμνήσκοντες. [58] τὸ δὲ ὀχληρὸν οὕτως ἐκφεύξῃ. [59] τέταρτον καὶ ὅτε παραλείψομέν τι τῶν πραγμάτων, πέμπτον ὅταν ἐπεισαγάγωμεν ἔξωθεν μακρὰ καὶ ἀπηρτημένα τοῦ πράγματος. τὸ δὲ ἐκ τῶν λέξεων ἀσαφὲς οὕτως, ὅταν ξένοις καὶ τροπικοῖς καὶ ἀμφιβόλοις καὶ γλωσσηματικοῖς ὀνόμασί τις χρῷτο, καὶ τῇ συνθέσει μὴ ἁπλῇ καὶ κατὰ φύσιν, ἀλλὰ δι' ὑπερβατῶν καὶ μήκους περιόδων καὶ ἀλληγορίας. ποιεῖ δὲ καὶ ὀνοματοποιΐα ἀσάφειαν, ὡς τὸ σίζεν ὀφθαλμὸς [60] παρ' Ὁμήρῳ, καὶ τὸ κελαρύζει [61] καὶ τὰ ὅμοια· ποιήσεις δὲ ἀσάφειαν καὶ ἐὰν τὰς ἀκολουθίας διαλύσῃς ἀλό-

57 Cfr. Theonem p. 184, 12. 58 Vind. λέγομεν repetit. Laur. om. 59 Laur. τὸ γὰρ ὀχλ. οὕτως ἐκφεύξῃ. Vind. τὸ δὲ ὀχληρ. οὕ. ἐκφράξῃ. 60 Od. ι, 394. 61 Il. φ, 261.

γοις διηγήμασιν, καὶ τὰ μὲν ὑπερβαίνῃς, τὰ δὲ παρὰ τάξιν τιθῇς, οὕτω καὶ αὐτά τις ποιήσει τὸν δικαστὴν ἀπατῆσαι βουλόμενος τῇ ἀκολουθίᾳ. Καὶ τὴν μὲν ἀσάφειαν ταῦτα ποιεῖ· σαφήνεια δέ ἐστιν ἡ ἐναργὴς τῶν πραγμάτων διδασκαλία, μηδὲν ἐξ ἑρμηνείας ἀμφίβολον ἔχουσα. καὶ ταῦτα μὲν ἐκεῖνοι περὶ σαφηνείας· ὁ δὲ Γεωμέτρης τάδε καὶ αὐτὸς περὶ ταύτης φησίν· σαφήνεια παντὸς μὲν ἡγεμὼν ἀγαθὴ λόγου, μάλιστα δὲ διηγήματος· ἐργαστέον δὲ ταύτην διχόθεν ἀπό τε τῶν πραγμάτων καὶ τῶν ὀνομάτων· προσθετέον δὲ καὶ τρίτον καὶ σχήματα· πολλὴ γὰρ ἡ σαφήνεια καὶ ἐκ[62] τούτων καὶ ὅσα τοῖς σχήμασιν ἀκολουθεῖ, τὰ κῶλα καὶ αἱ συνθῆκαι, ἃ καὶ[63] κατὰ μέρος ἕκαστα λέξομεν. ὅθεν οὖν καὶ ἀπὸ τρόπων πόσων ἡ σαφήνεια γίνεται, τελεωτέρως[64] ἐν τῷ περὶ ἰδεῶν λεχθήσεται· ὅσα γὰρ τῆς καθαρότητος καὶ τῆς εὐκρινείας ποιητικά, ταῦτα δηλαδὴ καὶ τῆς σαφηνείας, ἀλλὰ πρό γε τούτων πρὸς γυμνασίαν τινὰ φαυλότερα[65] κἀνταῦθα περὶ τούτων παραλειφθήσεται[66] καὶ ῥητέον, ὅσα τῆς ἀσαφείας ποιητικά· ἡ γὰρ φυλακὴ τῆς ἀσαφείας ἐργαστικὴ τῆς σαφηνείας ἡμῖν γενήσεται πάντως· ἐκ μὲν οὖν τῶν ἀπαγγελλομένων πραγμάτων σαφὴς ἡμῖν ὁ λόγος ἀπεργασθήσεται πρῶτον, ἐὰν μὴ πολλὰ ὁμοῦ διηγώμεθα, ἀλλὰ καθ' ἓν ἕκαστον αὐτῶν εἰς τέλος προάγωμεν, εἶτα πάλιν ἕτερόν τι δεύτερον ἐπαναλαμβάνωμεν· τοῦτο γοῦν καὶ τὸν Θουκυδίδην τινὲς αἰτιῶνται καὶ τῶν πρὸ ἡμῶν, ὅτι κατὰ θέρος καὶ τὸν χειμῶνα καὶ τῶν καιρῶν τοὺς λοιποὺς τὰ πράγματα διελὼν πολλὰ ὁμοῦ κατὰ ταὐτὸν διηγεῖσθαι καὶ ἱστορεῖν ἀναγκάζεται, ὥστε καὶ εἰς πολλὰ διηγήματα τὸν ἀκροατὴν μεριζόμε-

62 Vind. ἐν. Laur. ἐκ. 63 Vind. καὶ τὰ μέρος correxi ex Laur. 64 Vind. τελειωτέρως. 65 Laur. τινὰ φαυλότερα τινά. Vind. τινὰ φαυλοτέρα. 66 Vind. παραληφθήσεται.

νον συγχέεσθαι τὴν διάνοιαν. καὶ οὐ τοῦτο μόνον τῆς ἀσαφείας ποιητικὸν, ἀλλ' ὅτι καὶ μήπω πολλάκις τῶν πραγμάτων ἐκπερανθέντων ὑφ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν ἀρχόμενος ἑτέρου καιροῦ πάλιν καὶ τῶν αὐτῶν πραγμάτων δεύτερον ἅπτεται, ὥστε καὶ δυσμνημόνευτα τῷ ἀκροατῇ γίνεσθαι, καὶ διὰ τὸ πολλὰ ὁμοῦ καὶ διὰ τὸ πρὸ πολλοῦ εἰρῆσθαι. ἀλλ' οὕτω μὲν μετὰ πρῶτον λόγον ἐκκλίνομεν τὴν ἀσάφειαν, δεύτερον, ὅταν μὴ συγχέωμεν τοὺς χρόνους, ἢ τὴν τάξιν τῶν πραγμάτων, λέγω δὲ χρόνους μὲν τὴν ἐκ περιστάσεως τοῖς πράγμασιν τάξιν, καθάπερ ἐπράχθησαν· τάξιν δὲ τὴν φύσιν αὐτὴν τὴν ἐν τοῖς πράγμασιν, ὥστε πολλαχῇ καὶ ἀμφότερα ἑαυτοῖς συμβαίνειν, τήν τε κατὰ φύσιν λέγω καὶ τὴν κατὰ χρόνον τάξιν· ἔστι δ' ὅτε καὶ διαφέρει, οὐ μὴν ἀλλ' ὅ γε ῥήτωρ τοῦ ἀναγκαιοτέρου μᾶλλον ἐπιμεληθήσεται, καὶ εἴτε καθώσπερ ἐπράχθησαν διηγήσεται, εἴτε καθὼς ἔχουσι φύσεως· τρίτον, ὅταν μηδὲ παρεκβάσεσι μακραῖς καὶ ἀπηρτημέναις χρώμεθα, οὐδὲ γὰρ πᾶσαν ἀποδοκιμαστέον παρέκβασιν, ἀναγκαία γὰρ οὐ τοῖς ἀγωνιζομένοις μόνον, ἀλλὰ καὶ τοῖς ἱστοροῦσιν εἴτε πανηγυρίζουσιν· ἐν μὲν γὰρ τοῖς πολιτικοῖς ὠφέλιμος ἡ παρέκβασις· πῇ μὲν καὶ ἐν τοῖς ἀγῶσιν αὐτοῖς, ἐν οἷς πολλάκις παραδείγμασι χρώμεθα, ἢ τισι περὶ αὐτῆς τῆς διηγήσεως ἐμπίπτουσι διηγήμασιν, ὥσπερ καὶ ὁ Δημοσθένης·[67] „τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου οὐ δι' ἐμέ·" πῇ δὲ καὶ μάλιστα ἐν τοῖς ἐπιλόγοις, ἐν οἷς τοῦ προλαβόντος ἐξέτασιν ποιούμεθα βίου, εἴτε τοῦ ἡμετέρου εἴτε καὶ τοῦ ἀντιτιθεμένου· τοῖς δὲ πανηγυρίζουσιν ἀναγκαία μὲν καὶ διδασκαλία τινὸς πράγματος, τοῖς δὲ ἱστοροῦσιν οὐδὲν ἧττον καὶ αὐτοῖς χρειώδης, οὐ διὰ τὴν διδασκαλίαν μόνην τῶν πραγμάτων καὶ τὴν σαφήνειαν, ἀλλ' ὅτι προσκορὲς τὸ μο-

67 pro cor. p. 230.

νοειδὲς, καὶ δεῖ καταποικίλλειν τὸν λόγον τοῖς διηγήμασιν καὶ μεταβαίνειν ἐξ ἑτέρων εἰς ἕτερα, καὶ ἀνίησι δὲ πολλάκις τὸν ἀκροατὴν ἀπὸ τῶν σκυθρωποτέρων καὶ ἐναγωνιωτέρων διηγημάτων ἐπὶ τὰ τερπνότερα καὶ χαριέστατα μετάγων τὸν λόγον, ἢ καὶ ὠφελιμώτερον· ἐκείνην οὖν μόνην φυλακτέον τὴν εἰς οὐδὲν δέον καὶ τὴν ἀπαρτῶσαν πάντα τὸν λόγον, ὡς ἀσαφῆ διὰ τοῦτο τῷ ἀκροατῇ τὴν ἱστορίαν γίνεσθαι. Τέταρτον, ὅταν μηδὲ μεταξυλογίαις ὁμοῦ πολλαῖς καὶ μακραῖς χρησώμεθα· διαφέρει δὲ μεταξυλογίας ἡ παρέκβασις· ἡ μὲν γὰρ παρέκβασις ἔξω πάντη τοῦ προκειμένου γίνεται, συντείνουσα δὲ ὅμως τῷ προκειμένῳ, ἡ δὲ μεταξυλογία διὰ μεσότητος τοῦ λόγου καὶ περιουσίαν περιβολῆς δείκνυται, πολλὴν τὴν αὔξησιν ἀναμεταξὺ ποιουμένων ἡμῶν ἢ ἀπόδειξιν, ἥτις ὅπως καὶ γίνεται ἐν τοῖς περὶ τῆς περιβολῆς δειχθήσεται. συγγενὲς δ' ἂν εἴη τούτοις καὶ τὸ ἐπεισόδιον· διαφέρει γοῦν καὶ τοῦτο τούτων τῷ τοῦτο μὲν ἐν ἀρχῇ καὶ πρὸ τοῦ διηγήματος ἕτερόν τι σχεδὸν ὑπάρχειν διήγημα, λυσιτελοῦν τῷ παρόντι ἢ καὶ προκαλούμενον, τὴν δὲ μεταξυλογίαν καὶ τὴν παρέκβασιν καὶ ἀναμεταξὺ τοῦ λόγου καὶ ἐπὶ τέλους. πέμπτον, ὅταν μηδὲ τὰ ὑπερβατὰ πολλά τε ὁμοῦ καὶ μακρὰ λαμβάνωμεν, ἀλλὰ καὶ βραχέα καὶ σύντομα· ἕκτον ὅταν μηδέ τινα τῶν ἀναγκαίων παραληφθῆναι πρὸς διδασκαλίαν τοῦ διηγήματος παραλιμπάνωμεν, ἀλλὰ μήτε ἐλλείπωμεν μήτε πλεονάζωμεν. τὸ μὲν γὰρ ἀσαφείας, τὸ δὲ μακρολογίας πρόξενον. ἕβδομον καὶ ὅτε μὴ ταῖς ἀποκεκρυμμέναις ἀλληγορίαις φαινόμεθα χρώμενοι, γρίφα γὰρ τὰ τοιαῦτα σχεδὸν καὶ αἰνιγματώδη εἰς λεπτὸν ἄγαν καὶ κρύφιον καταβαίνοντα. ὄγδοον, ὅταν μηδὲ τὰ τεχνικὰ ἢ καὶ ἐπιστημονικὰ θεωρήματα παραλαμβάνωμεν,[68] οἷον διαλεκτικὰ ἢ ἀριθμητι-

68 Laur. Vind. παραλαμβάνομεν.

κἢ ἢ ἁρμονικὰ καὶ τὰ τούτοις παραπλήσια. ἐκ τοσούτων ἡμῖν τρόπων παρά γε τοῦ πράγματος γίνεται ἡ σαφήνεια· ἐκ δὲ τῶν λέξεων τοῦ μὴ ποιητικὰ, τοῦ μὴ πεποιημένα, τοῦ μὴ τροπικὰ, τοῦ μὴ ἀρχαῖα, τοῦ μὴ ξένα, τοῦ μὴ ὁμώνυμα, τοῦ μὴ γλωσσηματικὰ [69] τιθέναι τῷ λόγῳ, καὶ διὰ τούτων τῶν ὀνομάτων φράζει τὰ πράγματα. εἰσὶ δὲ ποιητικὰ μὲν ὅσα τοῖς ποιηταῖς ἁρμόδια, λέγω δὲ οὐ τὰ διῃρημένα μόνον καὶ ἀσυναίρετα, ἀλλὰ καὶ τὰ τραχύτερα καὶ σκληρότερα, τὸ μάρνασθαι, τὸ ἀτραπὸς, τὸ κρήγυον, καὶ εἴτι τοιοῦτον, πεποιημένα δὲ παρὰ [70] τὰς τῶν ἤχων ἰδιότητας, οἷον τὸ κέλαδος, τὸ κόναβος, τὸ λίγξε, τὸ ἠπύει, καὶ τὰ τοιαῦτα· τροπικὰ δὲ τὰ ἀπὸ τῶν μεταφορῶν. οὐ πᾶσαν δὲ τὴν τροπὴν ἐκβλητέον, ἀλλ' ὅση σκληρά τε καὶ τραχυτέρα· εὐγενεστέρα γὰρ ἡ τροπὴ τῆς κοινῆς τε καὶ τετριμμένης· ταῦτα δὲ τῇ συνηθείᾳ κρίνεται. ἀρχαῖα δὲ τὰ πάλαι μὲν τοῖς ἀρχαιοτέροις συνήθη, νῦν δ' ἐκλελοιπότα, ὥσπερ τὰ ἄποινα τοῖς μὲν παλαιοῖς ἐπὶ μόνων χρημάτων εἴθιστο λέγειν, τοῖς δὲ νεωτέροις ἐπὶ μόνων τῶν ὑπὲρ φόνων τοῖς ἐγκαλοῦσιν ἀπολογουμένων· τούτῳ καὶ Δημοσθένης ἐν τῷ [71] κατὰ Ἀριστοκράτους περὶ τοῦ Δράκοντος νόμου κέχρηται. ξένα δὲ, ἃ δὴ καὶ γλώσσας, ὡς ἐγῷμαι, κλητέον, τὰ τοῖς ἄλλοις μὲν ἐπιχώρια, ἄλλοις δὲ ἀνεπίγνωστα, ὥσπερ ἀγορὰν λέγουσι μὲν Θετταλοὶ τὸν λιμένα, ἄϊταν [71*] δὲ τὸν ἐρώμενον· φυλακτέον δὲ καὶ τὴν ὁμωνυμίαν οὐ πᾶσαν, ἀλλ' ἥ τις εὐηθεστέρα τοῖς πολλοῖς καὶ ἀπόκρυφος, οἷον ὁ παῖς· δύναται γὰρ καὶ τὸν καθ' ἡλικίαν δηλοῦν

69 Laur. et Vind. γλοσσημαντικά. 70 Vind. περί. Scr. παρά. 71 Vind. ἐν τῷ ὑπὲρ τοῦ δράκοντος φόνῳ. restitui ex Theone p. 186, 8. 71* Hesych. ἄϊταν, ἑταῖρον. Cfr. quos laudat O. Mueller. Doriens. II. p. 290. Observandum est, totam hanc commentarii partem ex Theone p. 186 sqq. paucis immutatis huc translatam esse.

παῖδα, καὶ τὸν υἱὸν καὶ τὸν δοῦλον. οὐ παρὰ τὰ πράγματα δὲ μόνον, οὐδὲ παρὰ τὰς λέξεις, ἀλλὰ καὶ παρὰ τὰς τοῦ λόγου συντάξεις τὴν ἀσάφειαν ἔσθ' ὅτε γινομένην εὑρίσκομεν, καὶ πρῶτον, ἣν φασιν περὶ τὴν κοινὴν τοῦ διῃρημένου τε καὶ ἀδιαιρέτου, ὡς τὸ Ἡρακλέα χρυσοῦν ῥόπαλον ἔχοντα, καὶ αὐλητρὶς παῖς οὖσα δημοσία ἔστω, καὶ

Ἐγώ σ' [72] ἔθηκα δοῦλον ὄντ' ἐλεύθερον,

καὶ ὅσα ποτὲ μὲν ὑφ' ἓν ἀναγινωσκόμενα, ποτὲ δὲ διῃρημένως ἑτέραν καὶ ἑτέραν διάνοιαν παριστῶσιν. ἕτερον γάρ ἐστι τὸ ὑφ' ἓν, αὐλητρὶς παῖς οὖσα δημοσία ἔστω, καὶ πάλιν ἕτερον, οὕτω στιζόντων ἡμῶν, Ἡρακλέα χρυσοῦν, ῥόπαλον ἔχοντα· τὸ δὲ αὐτὸ καὶ τὸ,

Ἐγώ σ' ἔθηκα δοῦλον ὄντ' ἐλεύθερον,

ἢ δοῦλον ὄντα, ὅπερ καὶ ἀληθὲς, ἐλεύθερον. Καὶ σχεδὸν ὅσα τῆς ἀμφιβολίας ἡ προσῳδία πολλάκις ἢ καὶ ὀρθογραφία λύει καὶ τὸ ἀμφίβολον· ἐπὶ δὲ τῆς ἀσαφείας οὐδὲν τοιοῦτον· εἰ γὰρ ἡ προσῳδία ἢ ἡ γραφὴ τὸ ἀμφίβολόν ἐστι λύουσα, οὐκέτι τῇ κακίᾳ τῆς ἀσαφείας ὁ λέγων ἁλίσκεται. γίνεται οὖν ἡ ἀσάφεια καὶ ὅτε τι μόριον ἄδηλον ᾖ, μετὰ τίνος συντέτακται, οἷόν ἐστι καὶ τὸ, οὐ Κενταύροις ὁ Ἡρακλῆς μάχεται· ἄδηλον γάρ, εἴτε οὐχὶ τοῖς Κενταύροις ὁ Ἡρακλῆς μάχεται· εἴτε οὐχὶ ἐν τοῖς ταύροις· καὶ ἔτι, ὅταν τι μόριον σημαινόμενον πάλιν τι ἄδηλον, εἰ μετά τινος συντέτακται, οἷον, [73]

Οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασαν.

ἀμφίβολον γάρ, πότερον [74] ἐπὶ τῷ Θερσίτῃ ἀχνύμενοι ἢ ἐπὶ τῇ καθολικῇ [75] τῶν νεῶν μᾶλλον, ὅπερ καὶ ὁ ποιητὴς λέγειν ἠβούλετο. παρατηρητέον δὲ καὶ τὸ παραλλήλους

---

72 Vind. σε ἔθ. δ. ὄντα ἐλ. h. l. et v. 14.
73 Il. β, 270.
74 Vind. πρότερον. Laur. πρότερον, πρότερον.
75 Vind. καθολικῆ. Laur. καθολκῆ.

λους τιθέναι πτώσεις· οὐ μόνον ἐπὶ διαφόρων προσώπων, ἀλλὰ καὶ τῶν πραγμάτων, καὶ μάλιστα τὴν αἰτιατικήν· εὐέμπτωτος γὰρ, εἴπερ τις ἄλλη, αὕτη πρὸς τὰ τοιαῦτα. καὶ τούτῳ μάρτυς ὁ Δημοσθένης, μάλιστα καὶ διὰ παντὸς τοῦ λόγου φυλαξάμενος τὴν ἀσάφειαν· ἐν δὲ τῷ κατὰ Μειδίου πρὸς ταίτην μετενεχθεὶς, „ἴσασι τὸν Εὐαίωνα πολλὰ τὸν Λαοδάμαντος ἀδελφὸν ἀποκτείναντα τὸν Βοιωτὸν ἐν δείπνῳ· πότερον γὰρ Εὐαίων τὸν Βοιωτὸν ἀπέκτεινεν, ἢ τὸν Εὐαίωνα Βοιωτὸς, καὶ ὁ Λαοδάμαντος ἀδελφὸς πότερον [76] Εὐαίων ἢ Βοιωτὸς ἦν.“ ταῦτα δὲ φανερὰ καὶ σαφῆ γίνεται, τῇ ἀκολουθίᾳ δηλαδὴ τῆς ἐννοίας προσεχόντων ἡμῶν, ἢ τῇ παραδεδομένῃ περὶ αὐτῶν ἱστορίᾳ, ἢ καὶ τῇ ἐπὶ τῆς ἀληθείας γνώσει τῶν παρόντων, ὥσπερ κἀνταῦθα. τὸ γὰρ ἴσασι πᾶσαν ἡμῶν τὴν ἀπορίαν διέλυσεν· ὡς γὰρ πρὸς ἀκριβῶς ἐγνωκότας λέγων, οὐδὲν διηνέχθη [77] πρὸς τὴν σύνταξιν, εἰ καὶ ἀσαφέστερον ἐξήνεγκε ταῦτα. τοιαύτην γοῦν παραμυθίαν καὶ ἐπὶ πάντων τῶν ἄλλων τῶν ἀρχαιοτέρων καὶ παλαιοτέρων ἔστιν εὑρέσθαι. ἡμεῖς δὲ πάλιν τῆς ἀκολουθίας ἐχόμενοι λέγομεν, ὅτι μὴ κατὰ τὴν αἰτιατικὴν μόνον, ἀλλὰ καὶ κατὰ τὰς ἄλλας πτώσεις τὸ τοιοῦτον τῆς ἀσαφείας εἶδος εὑρίσκεται· καὶ κατὰ τὴν εὐθεῖαν οὖν, ὥσπερ Ἡρόδοτος· [78] „εἰσὶν οὖν Αἰγύπτιοι Κόλχοι·“ ἄδηλον γὰρ, πότερον οἱ Αἰγύπτιοι Κόλχοι, ἢ οἱ Κόλχοι Αἰγύπτιοι. δύναιτο δ' ἂν καὶ ἐπὶ τῆς γενικῆς, εἴτις οὕτως ἐρεῖ· „Κόλχων δὲ ὄντων Αἰγυπτίων,“ καὶ ἐπὶ τῆς δοτικῆς, „Κόλχοις δὲ οὖσιν Αἰγυπτίοις,“ καὶ ἐπ' αὐτῆς δὲ τῆς κλητικῆς, ὃ καὶ παράδοξον, εἴτις οὕτως σχηματίσει τὸν λόγον· „ὑμεῖς δὲ ἄρα Κόλχοι Αἰγύπτιοι·“ καὶ ἐπὶ τοίτων μέν ἐστι καὶ βραχείᾳ προσθήκῃ τὸ πάθος ἰάσασθαι, τὸ ἄρ-

76 Laur. et Vind. πρότερον. — in Mid. p. 537. 77 Vind. διενέχθη. 78 II, 104.

θρον προσθέντας· „εἰσὶ δὲ οἱ Αἰγύπτιοι Κόλχοι." καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. παρὰ ταύτας φασὶ τὰς αἰτίας καὶ τὰ Ἡρακλείτεια σκοτεινότατα πεφυκέναι, καὶ τήν γε παροιμίαν καιριώτατα κατ' αὐτοῦ πρῶτον διὰ ταῦτα ἐξενεχθῆναι, βαθέος[79] αὐτοῦ τὰ συγγράμματα δεῖσθαι κολυμβητοῦ. Παραφυλακτέον καὶ τὸ μῆκος τῶν περιόδων καὶ τὰ αἰνίγματα καὶ τὸν[80] γρίφον, καὶ ἁπλῶς ὅσα τῆς ἀσαφείας ἐκκλίνοντες οὕτω τῆς σαφηνείας ἐπιτευξόμεθα· οὐ πᾶσα δὲ ἀσάφεια ἤδη καὶ κακία τοῦ λόγου· τοὐναντίον μὲν οὖν πολλάκις καὶ ἀρετή. Πότε δὲ ταύτῃ καὶ ὅπως χρησόμεθα, ἀκριβέστερον εἰσόμεθα μετ' ὀλίγον· νυνὶ δὲ τοσοῦτον διαληψόμεθα, ὅτι καιρὸν ἔχει μάλιστα ταῦτα ἐν ταῖς κατὰ σχῆμα προαγομέναις τῶν ὑποθέσεων, καὶ ἐν ταῖς κατ' ἔμφασιν δὲ ὁμοίως, καὶ ὅτε κατά τινων ὑπερσχόντων ἢ οἰκείων προσώπων διηγούμεθά τι ἢ ἀγωνιζόμεθα, καὶ διασύρομεν καὶ εἰρωνευόμεθα καὶ τοιαῦτά τινα ποιοῦμεν. κἀκεῖνο προσεπισκεπτέον, ὅτι οὐ παρὰ τὴν ἕξιν τῶν ἀκουόντων, ἀλλὰ παρὰ τὴν τοῦ λόγου φύσιν τὸ ἀσαφὲς ἡμῖν ἢ σαφὲς διακρίνεται· οὐ γὰρ ὅσα ἂν ὑπερπίπτει τὴν τῶν ἀκροωμένων δύναμιν, ἤδη καὶ εἰς τὴν τῆς ἀσαφείας ἐμπεσεῖται τάξιν, ἀλλ' ὅσα τῆς τέχνης ἐκπεσεῖται τοῦ λόγου, καὶ δι' ἀμαθίαν ἢ μικροφυΐαν πλημμεληθῇ τῷ λέγοντι. Ταῦτα μὲν καὶ ὁ Γεωμέτρης λέγει περὶ σαφηνείας. σημείωσαι δέ, ὅτι ὁ μὲν Ἑρμογένης αὐτὴν ἡμᾶς τῆν σαφήνειαν διδάσκει πῶς γίνεται, οἱ δὲ τοῦ παρόντος βιβλίου ἐξηγηταὶ τὴν ἀσάφειαν, ἵνα, φασὶν, ἐκκλίναντες τὴν ἀσάφειαν σαφήνειαν ἐργασώμεθα. ἡμεῖς δὲ λέγομεν πρὸς αὐτούς, ὅτι εἰ μὲν τῶν ἀμέσων ἐναντίων ἦσαν, ἥ τε σαφήνεια, καὶ ἡ ἀσάφεια,[81] καλῶς ἂν ἐποιεῖτε· θατέρᾳ γὰρ μὴ χρωμένων ἡμῶν αὐτῶν, ἀνάγκη

79 Diog. Laërt. vit. Heracl. X. 7. habet *Δηλίου*. 80 Vind. *τό*. 81 *καὶ ἡ ἀσάφεια* Vind. pm.

ἦν τὴν λοιπὴν ἐμπίπτειν· νῦν δὲ τῶν ἐμμέσων εἰσί· δῆλον δὲ ἐκ τοῦ μὴ μόνην τὴν σαφήνειαν ἰδίαν εἶναι λόγου, ἵν' ἢ αὐτὴ πάντως ἐμπίπτῃ τῷ λόγῳ, ἢ ἡ ἐναντία αὐτῇ ἡ ἀσάφεια, ἀλλὰ καὶ ἄλλας πλείους, ὥστε καὶ λαμβάνειν τὴν ἀσάφειαν, φυλαττομένους ἡμᾶς οὐδὲν ἧττον τῆς σαφηνείας ἀποτυγχάνειν, καὶ διὰ τὸ ἄλλαις ἴσως τοῦ λόγου χρῆσθαι ἰδέαις. ἔδει οὖν περὶ σαφηνείας μᾶλλον διαλαβεῖν, ἵνα ταύτῃ χρώμεθα, καὶ μὴ περὶ τῆς ἀσαφείας, ὡς ἂν ταύτην ἐκκλίνοντες τοῦ σαφοῦς οὐδὲν ἧττον ἀποτυγχάνωμεν. ἀλλ' ἴσως τῷ διαλεκτικῷ κανόνι πειθόμενοι τοῦτο πεποιήκασιν, τῷ τῶν ἐναντίων, λέγοντες μίαν εἶναι τὴν ἐπιστήμην· ὁ γὰρ γινώσκων, φησίν, ὅτι λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως, οὐδὲν ἧττον οἶδεν, ὅτι καὶ τὸ μέλαν χρῶμα συγκριτικὸν ὄψεως.

Συντομία. περὶ τῆς συντομίας πάλιν ὁ μὲν Ἑρμογένης ἐν τῷ περὶ τῶν ἰδεῶν διδάσκων ἐν τῷ περὶ γοργότητος λόγῳ φησὶν, ἰδίας μὲν αὐτὴν οὐκ ἔχειν ἰδέας, μεθόδους δὲ, τὸ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ βραχείαις ταῖς τε ἀντιθέσεσιν, ὡσαύτως ὡς ἔχει ἐκεῖνο ἐν τῇ μελέτῃ τῆς ἀνασκευῆς, „τῶν φαύλων ὁ γάμος, καὶ πῶς ἡ γῆ μήτηρ ἐγίνετο; ἀλλὰ τῶν ἀγαθῶν, καὶ τίς τὴν παῖδα τῶν καλῶν ἀπεστέρησε;“ λέξεις τὰς βραχείας καὶ ὀλιγοσυλλάβους, σχήματα τὴν ἐξ ἐπιβουλῆς ἐπιστροφὴν, ὡς ἔχει τὸ, „ἔμελλεν ἄρα πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος (καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις, ὡς οὔπω τοῖς ἑαυτοῦ τῶν ἁπάντων οὐδείς), ἑαυτὸν νῦν ἡμῖν προθήσειν[82] ὑπόθεσιν ἀγώνων μεγίστην·“ τὸ ἐπιτρέχον, ὡς ἔχει τὸ, „ἐπεὶ δὴ ἀνεκάθηρα μὲν τῷ λόγῳ τὸν Θεολόγον“ καὶ τὰ ἑξῆς· τὸ ἀσύνδετον κομματικὸν, ὡς ἔχει τὸ [83]

82 Vind. προτίθησιν. Greg. Naz. Epitaph. in Basil. M. init. 83 Od. κ, 251 sq.

Ἤιομεν, ὡς ἐκέλευες, ἀνὰ δρυμά, φαίδιμ' Ὀδυσσεῦ·
Εὕρομεν ἐν βήσσῃσι τετυγμένα δώματα Κίρκης.

τὰς ταχείας καὶ δι' ἐλαχίστου συμπλοκὰς, ὡς ἔχει τὸ, „χθὲς ὁ ἀμνὸς ἐσφάζετο, καὶ ἐχρίοντο αἱ φλιαὶ, καὶ ἐθρήνησεν Αἴγυπτος τὰ πρωτότοκα, καὶ ἡμᾶς παρῆλθεν ὁ ὀλοθρεύων·“ τοὺς δ' ἐλαχίστου μερισμοὺς, ὡς ἔχει τὸ, „τὸ μὲν ἐθέωσε, τὸ δὲ ἐθεώθη·“ κῶλα τὰ βραχέα, οἷον „προσῆλθε τῇ βουλῇ, προβούλευμα ἐγράφη·“[84] συνθήκην τὴν μὲν σύγκρουσιν ἔχουσαν φωνηέντων καὶ πλεονάζουσαν τοῖς τροχαίοις, ἀνάπαυσιν τὴν εἰς τροχαίους καταλήγουσαν· οὕτω μὲν ὁ Ἑρμογένης τὴν γοργότητα ἤγουν τὴν συντομίαν· τῶν δὲ ἐξηγητῶν τοῦ παρόντος βιβλίου ἔνιοι μὲν τάδε περὶ συντομίας λέγουσιν· „ἡ συντομία γίνεται καὶ αὐτὴ διχῶς, ἔν τε γὰρ λέξεσι καὶ πράγμασιν· ἐκ μὲν οὖν τῶν πραγμάτων σύντομον ποιήσεις τὴν διήγησιν, ἐὰν μήτε πόρρωθεν ἄρχῃ, καθάπερ ἐν τοῖς πολλοῖς πεποίηκεν Εὐριπίδης, μήτε εἰς τὰ[85] παρέλκοντα χρόνον καταναλώσῃς, ὡς οἱ μετὰ τὰ πράγματα εἰωθότες διηγεῖσθαι· συντομίαν ποιήσεις καὶ ἐὰν τὰ λυποῦντα τοὺς ἀκροατὰς, καὶ οἷα μὴ ὠφελεῖν τὸν ἀγῶνα οἷά τέ ἐστι καὶ ἐν ἑτέροις δύναται ῥηθῆναι, ἀφέλῃς τῆς διηγήσεως, καὶ ἐὰν μήτε παρεκβάσει χρῷο μήτ' ἐπεισοδίοις, μήθ' ὅλως ἀπὸ τοῦ πράγματος πλανῷο· ἔτι δὲ καὶ τὴν ταυτολογίαν εἰ παραιτοῖο, καὶ μακρὰ δι' ὀλίγων ἑρμηνεύοις· ἐν δὲ ταῖς λέξεσι γίνεται συντομία, ἐὰν μὴ συνωνυμίαις χρῷο, οἷον πυκνοὶ καὶ θαμέες[86], τούτων γὰρ ἕκαστον καθ' ἑαυτὸ πρὸς δήλωσιν ἀρκεῖ·[87] ἀρκεῖ δὲ καὶ ἐὰν τῶν συνωνύμων τὰς βραχυλογίας ἐκλέγῃ, οἷον ἀντὶ μαχαίρας ξίφος λέγων, καὶ

---

84 Dem. in Timocr. p. 703. 85 Vind. τόν. Theo p. 189, 21. εἰς τὰ παρέλκοντα τὸν λόγον καταν. 86 Od. μ, 92. 87 ἀρκεῖ. Vind. om.

ἐὰν μὴ τοῖς κυρίοις προστιθῇς τὰ ἐπίθετα, ὡς ὁ ποιητὴς, ὑγρὸν ἔλαιον[88], καὶ ἐὰν τὰς περιφράσεις φύγῃς, οἷον βίη Ἡρακλείη, καὶ ἐὰν μὴ λόγον ἀντὶ ὀνόματος ποιῇς, οἷον ἀντὶ τοῦ ἀπέθανε, τὸν βίον ἐξέλιπε. καὶ ἡ λεγομένη δὲ ἔλλειψις συντομίαν ἐργάζεται, οἷον „σὺ τοῦτον φιλεῖς καὶ οὗτος σέ·“ συνυπακούεται γὰρ τὸ φιλεῖ· ποιεῖ δὲ καὶ τὸ ἀσύνδετον συντομίαν, „ἀλλ᾽ ἐπειδὴ τὰ πλοῖα σεσύληται, χερρόννησος ἐπορθεῖτο“ καὶ τὰ ἑξῆς, καὶ τοιαῦτα ἕτερα περὶ συντομίας. Ὁ δὲ Γεωμέτρης τάδε καὶ αὐτὸς περὶ ταύτης φησί· „μετὰ τὸν περὶ σαφηνείας καὶ ὁ περὶ συντομίας ἡμῖν εἰσαγέσθω λόγος κατὰ τὸν αὐτὸν τρόπον καὶ αὐτὸς γινόμενος ἔκ τε πραγμάτων, εἴτ᾽ οὖν νοημάτων καὶ τῶν περὶ ταῦτα λέξεων, καὶ ἔτι τῶν τοῦ λόγου σχημάτων, ὅταν μὴ πολλὰ πράγματα παραλαβόντες ὁμοῦ διηγώμεθα καὶ ὅταν μὴ περιβάλλωμεν[88*] ἀναμεταξὺ τούτων ἕτερα, καὶ μάλιστα τὰ ἀπηρτημένα· ταῦτα γὰρ οὐ μόνον, ὡς προέφημεν, ἀσαφείας, ἀλλὰ καὶ μακρολογίας, ὅπερ πολλοὶ τῶν ἱστορικῶν ποιοῦσι, τὸ μὲν συνεχὲς τῆς ἱστορίας ἀπολιμπάνοντες, περὶ δὲ τῶν Ἰνδῶν μυρμήκων[89] ἢ τῶν ἐν Βαβυλῶνι τειχῶν[90] ἢ περὶ τῶν ἐν Αἰγύπτῳ πυραμίδων[91] διαλεγόμενοι, καὶ τῶν τραγῳδῶν[92] τινὲς δὲ μακρὰ φιλοσοφοῦντες καὶ γνωμολογοῦντες παρὰ καιρόν· καὶ ὅταν μὴ πόρρωθεν ἀρχώμεθα· τοῦτο μὲν γὰρ τάχα τοῖς ἱστορικοῖς πρεπωδέστερον, ἀλλότριον δὲ τῶν ἀγωνιζομένων ἢ ἄλλως πολιτικοὺς λόγους συγγραφομένων. οἱ μὲν γὰρ καὶ τὰ γένη πολλάκις τῶν ὑποκειμένων αὐτοῖς προσώπων καὶ τὰ ἤθη, τὰς ἀνατροφὰς καὶ τοὺς πολέμους καὶ τὰς νίκας καὶ πάσας σχεδὸν τὰς τοιαύτας καταλέγουσι πρά-

88 Il. ψ, 281. 88* Malim *ἐπιμβάλλομεν*. 89 Herod. III, 102. 90 Ibid. I, 178. sqq. 91 Ibid. II, 8. 124. 127. et passim. 92 Theop. 149, 2. Euripidem in Hecuba nominat.

ξεις· οἱ δὲ πρὸς τὸν σκοπὸν μόνον ἀφορῶντες τοῦ λόγου μόνα τὰ συντείνοντα πρὸς τοῦτον παραλαμβάνουσι· καὶ ὅταν δὲ μὴ μετὰ τὸ τέλος τοῦ πράγματος ἕτερά τινα ἐπιδιηγώμεθα, ὥσπερ εἰώθασί τινες μετὰ τὰ πράγματα διηγεῖσθαι· καὶ ὅταν δὲ παραλιμπάνωμεν[1] ὅσα συνυπακούεσθαι δοκεῖ, ὡς τὸ ἐπανῆλθεν ἐξ ἀγροῦ, δηλονότι καὶ ἐξῆλθε πρότερον· τοιοῦτον καὶ τὸ[2] „κατέβην χθὲς εἰς τὸν Πειραιᾶ·“ δηλοῦντος γὰρ ἦν, ὅτι καὶ ἐν τῇ πόλει ἦν. Ἐναντίον τῇ συντομίᾳ πρὸς τοῖς ἄλλοις καὶ ἡ ταυτολογία· αὕτη δὲ οὐ συντομίᾳ μόνον, ἀλλὰ καὶ σαφηνείᾳ πολλάκις ἐναντιοῦται· τρισὶ γὰρ ταύταις κακίαις τὴν ταυτολογίαν ὑποβαλλομένην ἔγνωμεν, ἀσαφείᾳ, περιττολογίᾳ καὶ ἀηδίᾳ· ἀσάφεια μὲν γὰρ συγχέει τὸν ἀκροατήν, τὰ αὐτὰ μὲν ἀκούοντα, περὶ ἄλλων δὲ καὶ ἄλλων δοκοῦντα· περιττολογία περὶ τὰ αὐτὰ στρεφομένη· ἀηδία δὲ καὶ ὡς κοποῦσα τὸν ἀκροατὴν καὶ εἰς οὐδὲν δέον προσερριμμένη· ἔτι δὲ[3] καὶ τὰ μὲν λυπήσοντα συντόμως διηγητέον ὡς Ὅμηρος[4], „κεῖται Πάτροκλος·“ καὶ Δημοσθένης ἐν τῷ περὶ Χαιρώνειάν φησιν ἀτυχήματι· τοῖς δ' εὐφραίνουσιν ἐνδιατριπτέον· οὕτω γοῦν καὶ Ὀδυσσεὺς ἐν τῇ μυθολογίᾳ τῇ πρὸς τοὺς Φαίακας μακρολογῶν φαίνεται, φιλήδονον καὶ φιλόμυθον ἔθνος δι' αὐτῶν κατακηλῶν καὶ ὑποποιούμενος. Ἡ μὲν οὖν ἐκ τῶν πραγμάτων συντομία διὰ τοσούτων περιεγράφθω τῶν τρόπων· ἢ κατὰ λέξιν, ὅταν τῷ καθόλου ἀλλὰ μὴ τοῖς κατὰ μέρος χρώμεθα, ὅταν μὴ συνωνύμοις, ὅταν καὶ τῶν συνωνύμων αὐτῶν τοῖς βραχυτέροις, ὅταν μὴ συνθέτοις, μὴ ἐπενθέτοις, μὴ μακροῖς,

1 Vind. παραλαμβάνωμεν. Theo p. 189, 20. παραλείπωμεν· Scr. παραλιμπάνωμεν. 2 Plato de Rep. 1. init. 3 Theo p. 184, 4. 4 Il. 18, 20. 5 pro cor. p. 297. 6 Vind. τοῖς μή. Scr. μὴ τοῖς.

μὴ ἐπιμονᾶις, μὴ περιφράσεσι, μὴ τροπαῖς, μὴ ἐπαναδιπλώσεσι, μὴ τοῖς ἐκ παραλλήλου· παραλείπωμεν[7] δὲ καὶ ὅσα συνυπακούεσθαι δοκεῖ· ἔτι καὶ ὅταν μὴ λόγον ἀντὶ ὀνόματος ποιῶμεν, μὴ ὅρον ἀντὶ προσηγορίας. Ὅ τι δὲ τούτων ἕκαστόν ἐστιν, ἀναλαβόντες ἐροῦμεν· καθόλου μὲν οὖν ἐστιν ὅτε τῷ γενικῷ ἢ τῷ περιληπτικῷ χρώμενοι μόνῳ ὀνόματι τὰ κατὰ μέρος ἢ κατ' εἶδος λαμβάνωμεν, ὡς τὸ[8] ὦ Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι, ταῦτα γὰρ κατ' εἶδος εἴτ' οὖν κατὰ μέρος, τὸ δὲ ἄνδρες σύμμαχοι ἐπιτετμημένον· συνώνυμον δὲ τὸ ἐν διαφόροις ὀνόμασιν, ὥσπερ ἐμάθομεν, τὸ αὐτὸ δηλοῦν, ὡς Ὅμηρος[9] πυκνοὶ καὶ θαμέες, καὶ Δημοσθένης,[10] „δαιμονίᾳ τινὶ καὶ θείᾳ παντάπασιν ἔοικεν εὐεργεσίᾳ", εἴγουν μόνον τὸ δαιμονίᾳ παρέλειψεν, οὐ μόνον τὴν συντομίαν εἰργάσατο, ἀλλὰ καὶ τὸ θείᾳ παραλαβὼν τὴν βραχυτέραν παρέλαβε· σύνθετος δὲ λέγεται πᾶσα ἡ διθυραμβώδης καὶ συνηθεστέρα τοῖς ποιηταῖς, ὡς τὸ ἀκεσώδυνον, ἡ κυνόμυια, καὶ τὰ τοιαῦτα, ἐπίθετα δὲ ὥσπερ ὁ Ἀλκιδάμας ὑγρὸν ἱδρῶτα φησὶ, καὶ Ὅμηρος γάλα λευκὸν,[11] καὶ ἵππους μώνυχας·[12] ἤρκει γὰρ ἐπὶ τούτων καὶ τὸ κύριον μόνον, ἃ ποιητικῆς μὲν ἴδια, ὡς ἐναργῆ τε καὶ ἡδέα καὶ εὐμεγέθη, τοῖς ῥήτορσι δὲ ἀλλότρια. Ὁ γοῦν Ὅμηρος καὶ πολλοῖς πολλάκις τῶν ἐπιθέτων ἐν τῷ αὐτῷ συνάμα καὶ τῷ κυρίῳ φαίνεται χρώμενος· διογενὲς λέγων[13] Λαέρτιάδη, πολυμήχαν' Ὀδυσσεῦ, καί,[14]

Ὦ μάκαρ Ἀτρείδη, μοιρηγενές, ὀλβιόδαιμον,

καὶ ἄλλα τοιαῦτα. μὴ μακροῖς, ὅταν μὴ καὶ μάχαιραν, ἀλλὰ ξίφος, μὴ θάνατον, ἀλλὰ τέλος καὶ τὰ τοιαῦτα

---

7 Theo. p. 190, 19 sqq. 8 Il. λ, 286. ο, 425. 9 Od. μ, 92. 10 Olynth. II. p. 18. Cfr. Theonem p. 190, 16. 11 Il. δ, 434. ε, 902. 12 Il. ε, 256. 581. 13 Il. ι, 308. 14 Il. γ, 182.

λέγωμεν· ἐπιμονὴ δὲ ὡς τό· τί ἐροῦμεν καὶ τί φήσομεν; καὶ πάλιν αἰτίας καὶ σκώμματα καὶ λοιδορίας· οὐ τὴν ῥητορικὴν δὲ διαγράφοντες ταῦτα ἐμβάλλομεν· ἔντεχνα γὰρ ταῦτα, ἀλλ' ὅτι τῇ συντομίᾳ ἐναντία εἰσί, λέγομεν· ἡ δὲ περίφρασις, ὡς τὸ, βίῃ Ἡρακλείῃ, καὶ ἀνέμοιο ἴις· τροπὴν δὲ οὐχὶ πᾶσαν, ἀλλ' ἥτις ἐστὶν ἐπεξηγήσεως[14*] δεομένη, „ὡς τὸ ἐκνενευρισμένοι,[15] περιῃρημένοι χρήματα, συμμάχους," ἐπεξηγήσεως δεομένη, ἥτις σκληρά τε καὶ ἀσυνήθης, ὡς ἦγε συνήθης καὶ μεταφορικὴ μᾶλλον ἐπιτέμνει, καὶ δι' ὀλίγων πολλὰ περιΐστησιν· ὁ γοῦν Δημοσθένης εἰπὼν,[16] „μικρὰ πρόφασις καὶ τὸ μικρὸν πταῖσμα ἅπαντα ἀνεχαίτισε," διὰ μιᾶς λέξεως καὶ πᾶσαν ἡμῖν τὴν παραβολὴν παρέστησε· καὶ τοῖς ἀπειθοῦσιν ἵπποις παρέβαλε τοὺς βίᾳ κατεχομένους καὶ ἐν καιρῷ πάλιν ἀφισταμένους συμμάχους· ἡ δὲ ἐπαναδίπλωσις εὔκαιρος μὲν πολλάκις καὶ παραστατικὴ τοῦ ἤθους ἢ τοῦ πράγματος, ἐναντία δὲ καὶ αὕτη τοῦ παρόντος πράγματος, ὡς ἡ παρὰ Δημοσθένει[17], „πόλεμον εἰσάγεις εἰς τὴν Ἀττικὴν, ὦ Αἰσχίνη, καὶ πόλεμον Ἀμφικτυονικὸν", καὶ ὁ ποιητής[18];

> Τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
> Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ·

τὰ δ' ἐκ παραλλήλου περιττὰ μὲν, σπουδῆς δὲ ὅτι μάλιστα ἐμφαντικά εἰσι· τὸ γοῦν βάσκ' ἴθι, πλεονάσαν τῇ λέξει, τὸ πρᾶγμα κατέσπευσε· τὴν γὰρ σπουδὴν τῷ ἐπιτάττοντι παρεδήλωσε· παράλειψις[19] δὲ, ὅτε τὰ ἔξωθεν ὑπακούεσθαι δυνάμενα καταλίπωμεν, οἷον αὐτὸς ὁ ταμίας, αὐτὸς ὁ τῶν πραγμάτων κύριος· ὑπακούεται γὰρ τὸ ἔστιν ἢ ἦν· καὶ ὁ ποιητὴς,

---

14* Codd. ἀπεξηγήσεως. 15 Olynth. III. p. 37. 16 Olynth. II. p. 20. 17 Pro cor. p. 275. 18 Il. υ, 371 sq. 19 Vind. παράληψις.

Οἶνον δὲ[20] μελίφρονα οἰνίζεσθε,
Σῖτά τε ἐκ μεγάρων, ἐπὶ δὲ ξύλα πολλὰ λέγεσθε·

παραλέλειπται γὰρ τὸ ἄγετε[21] ἤ τι τοιοῦτον. ἀντὶ[22] ὀνομάτων δὲ λόγον ποιοῦμεν, εἴγε ἀντὶ τοῦ εἰπεῖν ἀπέθανεν, εἴπωμεν, τὸν βίον ἐξέλιπεν, ἢ ἐξ ἀνθρώπων γέγονε· καὶ ἀντὶ τοῦ ἀπέσφακται τὸ βιαίως τὴν ψυχὴν ἐξέρρηξεν· ὅρους δὲ ἀντὶ προσηγορικῶν ποιοῦμεν, εἴγε ἀντὶ τοῦ εἰπεῖν ἀρετὴν ἐπιστήμην φαμὲν τοῦ καλοῦ καὶ τῆς ἀληθείας· δεῖ οὖν παραιτεῖσθαι καὶ τὰ τοιαῦτα. ἐπὶ δὲ τούτοις καὶ ἐκ τῶν σχημάτων συντομία γίνεται· σχήματα γοῦν πολλὰ μὲν καὶ ἄλλα συντομίας ἐργαστικὰ γίνεται, μάλιστα δὲ καὶ τὸ ἀπὸ τοῦ κοινοῦ καὶ τὸ ἐπεζευγμένον, οἷον „Βυζαντίους μὲν συγγενεῖς ὄντας, Ῥοδίους δὲ εὐηργετηκότας, Τενεδίους δὲ ἰσοπολιτείαν πεποιημένους, Ἠλείους δὲ συμμάχους ὄντας εὐηργέτησα·“ καὶ τὸ ἀσύνδετον δὲ τοιοῦτον, ὡς τὸ κατὰ κόμμα, ὥσπερ καὶ Δημοσθένης·[23] „Μεθώνην, Πύδναν, τἄλλα, ἵνα μὴ καθ' ἕκαστον λέγων διατρίβω·“ ὅπουγε καὶ δυσὶ καὶ τρισὶν οὗτος εἴδεσι τῆς συντομίας ἐχρήσατο, τῷ τε ἀσυνδέτῳ καὶ τῷ κατ' ὄνομα, καὶ τῷ τὰ πλείω παραλιπεῖν· διὸ καὶ ἐπεσημήνατο, „ἵνα μὴ καθ' ἕκαστον λέγων διατρίβω·“ Θαυμαστότερον δὲ καὶ ἕτερον εἶδος τοῖς παλαιοτέροις ἐπινενόηται, ὅπερ τινὲς μὲν ἀλληγορίαν ὠνόμασαν, οὐκ ἔστι δὲ, ἀλλὰ μᾶλλον ὁμοίωσις· ἔστι δὲ τοιοῦτον, ὅταν αἰνίγματι μόνῳ τινὶ καὶ παραδείγματι χρώμενοι, τὰ λοιπὰ παραλίπωμεν, οἷον Λακεδαιμόνιοι[24] Φιλίππῳ, Διονύσιος ἐν Κορίνθῳ, καὶ πάλιν, οὐκ ὤνησεν οὐδὲ Κροῖσον·[25] ταῦτα καὶ περὶ τῆς συντομίας τῷ Γεωμέτρῃ εἴρηται.

8

20 δὲ Vind. om. — Il. Θ, 506. 21 Vind. ἄγεται. 22 Theo p. 190, 18. 23 Ol. I. p. 11. 24 Plut. de garrul. p. 511. a. 25 Alexandri apophthegma apud Theonem p. 208, 13.

Πιθανότης. Περὶ πιθανότητος πάλιν τῷ μὲν Ἑρμογένει ἐν τῷ περὶ ἤθους διὰ πλατέων εἴρηται λόγῳ, τῶν δὲ ἐξηγητῶν τοῖς μὲν παλαιοτέροις ταῦτα· πιθανὴ διήγησις γίνεται, [26] *εἰ πάντα ὅσα λέγεται, ἐξομοιοῦν πειρᾶται τοῖς ἀληθέσι· τοῦτο δὲ γένοιτο, ἂν μὴ ψιλὰ τὰ πράγματα διδῶμεν,* [27] *ἀλλὰ καὶ τὰ μορία αὐτὰ προσλαμβάνωμεν, ἀφ' ὧν ἡ διήγησις πληροῦται· μόρια δὲ διηγήσεως πρόσωπον, πρᾶγμα, τόπος, τρόπος, χρόνος, αἰτία, ὄργανον· πρόσωπον μὲν ὁ δράσας, ὁ παθών· πρᾶγμα ὕβρις, πληγαί· τόπος, ὡς Δημοσθένης ἐν τῷ Θεάτρῳ πληγῆναί φησι· τρόπος, οἷον πείσας, ἐξαπατήσας, βιασάμενος· χρόνος, οἷον νύξ, ἡμέρα, ἑορταί· αἰτία, ἔχθρα, φιλία, κέρδος· ὄργανον, οἷον λίθῳ, ξύλῳ· ταῦτα δὲ καὶ μόρια λέγεται διηγήσεως καὶ ἀφορμαί. πρὸς τοὺτοις εἰ ἀλλήλοις ὁμολογεῖ τὰ γενόμενα, καὶ μὴ διαφωνεῖ ἢ μάχεται· ἔπειτα ἂν μὴ ψιλὰ τιθῶμεν τὰ μόρια, ἀλλ' ἀκριβῶς ἕκαστον διηγώμεθα, ὥσπερ ἐν τῷ κατὰ Μειδίου, ἰσχυρὸς, μέγας, ἐφ' ἅπασι δὲ τούτοις τὴν αἰτίαν προσθετέον, ἐπακτικώτερον γὰρ πρὸς πειθὼ αὕτη· ποιεῖ δὲ πιθανότητα καὶ τὸ τοῦ λέγοντος ἦθος καὶ πάθος· τὸ μὲν ἦθος, εἰ ἁπλαστον φαίνοιτο· τὸ δὲ πάθος οὐ μόνον πείθει, ἀλλὰ καὶ ἐξίστησι· ποιεῖ δὲ πιθανότητα καὶ τὸ περὶ αὑτοῦ* [28] *μὲν εἰπεῖν μικρὸν κακὸν, περὶ δὲ τοῦ ἀντιδίκου ἀγαθὸν ὁμολογούμενον, ὡς Αἰσχίνης·* [29] *„τούτῳ πατὴρ μὲν ἦν ἐλεύθερος, οὐ γὰρ δεῖ ψεύδεσθαι·“ ποιεῖ δὲ πειθὼ καὶ λέξις ἀνεπιτήδευτος καὶ τὸ αὐτοσχέδιον ἐμφαίνουσα· ποιεῖ δὲ πιθανότητα, καὶ ἐὰν μὴ* [30] *πάντα βεβαιῶν λέγῃς, ἀλλὰ προστιθῇς τὸ οἶμαι καὶ τὸ ἴσως καὶ τὸ τάχα. Ταῦτα καὶ περὶ τῆς πιθανότητος τοῖς ἄλλοις*

---

26 Schol. Theon. p. 261, 25. 27 Schol. Theon. *τιθῶμεν*. 28 Vind. *αὐτοῦ*. Schol. Theon. p. 261, 31. *ἑαυτοῦ*. 29 In Ctesiph. p. 440. Bekk. 30 Vind. *μὲν* scripsi *μή*.

ἐξηγηταῖς εἴρηται· ὁ δὲ Γεωμέτρης τάδε καὶ αὐτὸς περὶ ταύτης λέγει· ὁ πιθανὸς λόγος γίνεται καὶ αὐτὸς κατά τε λέξιν καὶ πράγματα· κατὰ μὲν πράγματα, ὅτε πάντα τὰ μόρια τῆς διηγήσεως, ὡς οἱόντε, παραλαμβάνομεν, πρόσωπα λέγω [31] καὶ χρόνον καὶ τόπον καὶ τὰ λοιπά· τὸ γὰρ διὰ πάντων ἐπεξιέναι δόξαν ἡμῖν παρέχει τοῦ καὶ αὐτοῖς παρεῖναι τοῖς πράγμασι, καὶ ἀληθῆ λέγειν παρίστησιν· ἔπειτα ὅταν καὶ ἀμφίβολα καὶ μαχόμενα ᾖ τὰ ἐν αὐτῷ, ἀλλὰ καὶ ὁμολογούμενα καὶ ἀλλήλοις πρέποντα, ἀλλὰ καὶ μετὰ ἀκριβείας ἕκαστα· οὐ γὰρ ἀρκεῖ τὸ οὕτως μόνον παρῆν εἰπεῖν, ἀλλὰ καὶ τὸ τοιῶσδε ἢ τοιῶσδε. καὶ τὸ ἦθος δὲ τοῦ λέγοντος καὶ τὸ πάθος πιθανότητος μᾶλλον ποιητικόν· μάλιστα δὲ τῇ αἰτίᾳ προσεκτέον ἡμᾶς, ἵνα μὴ μόνον αἰτίας ἀλλὰ καὶ τὸ εὔλογον τοῖς πράγμασιν ἐπικομίζωμεν· πολλὴ γὰρ ἡ αἰτία πρὸς πίστιν, διὸ καὶ τἄλλα παρέντες πολλάκις ἐπὶ ταύτην μόνην ὁρῶμεν, τὸ διατί ζητοῦντες· οὐ τὴν καθόλου δὲ μόνον αἰτίαν τοῦ πράγματος δεῖ προσάπτειν, ἀλλὰ καὶ τὴν κατὰ μέρος· ὅπου γὰρ ἂν δεώμεθα πίστεως ἐπὶ τοῦ διηγήματος, αἰτίας καὶ ταύτας βραχείας δεῖ προτιθέναι, καὶ τὸ ἀπίστως δοκοῦν λέγεσθαι διὰ τούτων ἐν βραχεῖ πιστοῦσθαι. καὶ ἡ ἐνάργεια δὲ πιθανή, καθάπερ ὑπ' ὄψιν ἄγουσα τὸ δηλούμενον· οὕτω γοῦν καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους, „ἀλλὰ πορεύεται διὰ τῆς ἀγορᾶς ὥσπερ ἔχις ἢ σκορπίος, τὸ κέντρον ἠρκώς, ἅττων [32] ὅτου κἀκεῖσε“· πολλάκις δὲ καὶ τὸ μὴ ἀκριβῶς τιθέναι τὰ πράγματα, ἀλλ' ἐνδοιάζειν πιθανώτερον ποιεῖται τὸν λόγον, ὡς μὴ περὶ ὧν ἀκριβῶς γινώσκομεν, οὐκ ἰσχυριζομένους· τοιαύτη μὲν ἡ ἀπὸ τῶν πραγμάτων πειθώ· ἡ δὲ ἀπὸ τῶν λέξεων, ὅταν προσφυεῖς καὶ ἁρμοδίους λέξεις τιθῶμεν τοῖς πράγμασιν·

31 Vind. λέγων. 32 Vind. ἥττων. Natus error ex scriptura Laurentiani minus facili. Dem. p. 786. ἅττων.

εἶτα ὅτε μὴ τολμηραῖς, ἀλλ' ἀσφαλέσι σφόδρα· μάλιστα δὲ ποιήσει τὴν πιθανότητα καὶ λέξις ἀνεπιτήδευτος ἢ αὐτοσχέδιος· δόξαν γὰρ τῆς ἀκριβείας καὶ φαντασίαν παρέχει τῆς ἀληθείας, ὡς ἀπερίσκεπτος καὶ τὴν ἀλήθειαν μιμουμένη.[33] Τοσαῦτα καὶ περὶ ταύτης τῷ Γεωμέτρῃ εἴρηται. Ζητήσειε[34] δ' ἄν τις καὶ εἰκότως, πῶς ὁ Ἀφθόνιος πρὸς ἄρτι εἰσαγομένους τὸ παρὸν γράφων βιβλίον καὶ ἀμυήτους πάντη τῶν ἰδεῶν ἀπαιτεῖ αὐτοὺς ἐν τῇ προκειμένῃ γυμνασίᾳ ἰδέας τινὰς φυλάττειν· μήπω γὰρ ἰδέας μεμαθηκότες πῶς ἂν καὶ δυνηθεῖεν ὅλως ταύτας μεταχειρίσασθαι· ὥστε καὶ συμβαίνει πάντα τὰ παρὰ τῶν εἰσαγομένων ἐκτιθέμενα διηγήματα μὲν ὀρθῶς ἔχειν, εἰ μηδὲ κοσμοῦνται ταῖς ἰδέαις, ἃς αὐτὸς ἀρετὰς ἐκάλεσε διηγήματος.[35] φαμὲν οὖν πρὸς τοῦτο· οὐ πάντας ἀπαιτεῖ ὁ διδάσκαλος τοὺς εἰσαγομένους ἀκριβεῖ τῇ σαφηνείᾳ χρήσασθαι, οὐδὲ τοιαύτῃ, οἵαν ὁ Ἑρμογένης ἐν τῇ περὶ τῶν ἰδεῶν πραγματείᾳ διδάσκει εἶναι τὴν σαφήνειαν, ὥστε ἐννοίας καὶ μεθόδους ἁρμοζούσας τῇ σαφηνείᾳ, ἔτι δὲ λέξεις καὶ σχήματα καὶ κῶλα καὶ συνθήκας καὶ ἀναπαύσεις καὶ ῥυθμούς, δι' ὧν σαφὴς λόγος γίνεται, πολυπραγμονεῖν· ἀλλ' οὐδὲ τῇ πιθανότητι τοιαύτῃ, οἵαν ἐν ταῖς ἰδέαις μανθάνομεν· ὁμοίως οὐδὲ τῇ συντομίᾳ· ἀλλὰ τὴν μὲν σαφήνειαν τοιαύτην ἀπαιτεῖ πάντως, οἵαπερ ἄν τις καὶ μὴ τοῦ τῶν ἰδεῶν βιβλίου μετεσχηκὼς ὁρμώμενος φυσικῶς παρατηρῆσαι δυνήσεται, τὰ ἐν τῇ διηγήσει εὔληπτα ποιῶν καὶ εἰς νοῦν ἅπασιν ἥκοντα· ἐπεὶ καὶ πολλάκις ἀναγινώσκοντές τι χωρίον ἔν τινι βιβλίῳ, ἂν εὐχερῶς νοοῦμεν[36] τὰ ἐν αὐτῷ λεγόμενα, σαφὲς εἶναι αὐτό φαμεν, κἂν μὴ ἀκριβῆ τὰ ποιοῦντα τὴν ἰδέαν τὴν σαφήνειαν ἔχῃ· καὶ τὴν συντομίαν δὲ οὐχὶ ταύτην ἀπαιτεῖ, οὔτε

σο

33 Laur. *μιμουμένη*. Vind. *μιμωμένη*. 34 Vind. *ζητήσει*.
35 Vind. *διηγήματα*. 36 Vind. *νοῦν μέν*. scripsi *νοοῖμεν*.

τὰς προσηκούσας πάντως μεθόδους, καὶ τὰ ἁρμόζοντα σχήματα καὶ κῶλα καὶ λέξεις καὶ συνθήκας καὶ ἀναπαύσεις, καὶ τὸ ἐκ τούτων συνιστάμενον τοὺς ῥυθμοὺς ἀκριβεῖς ἔχειν, οὐδὲ τοιαῦτα, οἷα λέγει ὁ Ἑρμογένης ἁρμόζειν τῇ γοργότητι ἐν τῷ περὶ τῶν ἰδεῶν λόγῳ, ἄλλως τε μόνα ἐκεῖνα λέγει, δι' ὧν ἀνάγκη δηλωθῆναι τὸ πρᾶγμα, τὰ δὲ λοιπὰ ὡς περιττὰ ἐᾷν· οἷον ἐὰν διηγήματα [36*] τὴν κατὰ τῶν Ἑλλήνων τοῦ Ξέρξου στρατείαν, ἵνα μὴ λέγωμεν καὶ τίνος υἱὸς ἦν ὁ Ξέρξης οὗτος, κἀκεῖνος τίνος, καὶ ἐξ οἵας ἀφορμῆς εἰς τὸ τούτου γένος ἡ τῶν Περσῶν περιῆλθε βασιλεία, καὶ τίνες οἱ Πέρσαι οὗτοι καὶ ὁποίαν γῆν οἰκοῦσι καὶ τὰ τοιαῦτα. ταῦτα γὰρ ἔξωθέν εἰσι τοῦ σκοποῦ καὶ τοῦ πράγματος, περὶ οὗ βουλόμεθα διαλαβεῖν, ἀλλ' ἐκεῖνα μόνα, ἵνα λέγωμεν, δι' ὅσων καὶ τὸ πρᾶγμα ἀναγκαίως δηλοῦται· καὶ τὴν πιθανότητα δὲ οὐ πάντως τοιαύτην ἀπαιτεῖ, οἵαν ἐν τῷ περὶ ἰδεῶν βιβλίῳ ὁ περὶ ἤθους λόγους διδάσκει ἡμᾶς, ἀλλὰ τοιαύτην, οἷον καὶ τὸ τοῦ μύθου πιθανὸν ἦν, ἵνα, εἰ τυχὸν διήγημα δραματικὸν διηγώμεθα, προσήκοντα τιθῶμεν τὰ πράγματα τῇ ποιότητι τῶν ὑποκειμένων προσώπων· ἄλλως τε δὲ οὐχὶ τοὺς εἰσαγομένους τούτους πάντας ἀπαιτεῖ κοσμεῖν τὸ διήγημα, ἀλλ' ἁπλῶς οὕτως λέγει ἀρετὰς [36**] εἶναι τοῦ διηγήματος τὰ τέσσαρα ταῦτα. ἢ οὐχὶ τοῦ κατὰ γυμνασίαν ἴσως διηγήματος ἀρετὰς λέγομεν εἶναι ταῦτα, ἀλλὰ τῶν ἐν τοῖς πολιτικοῖς λόγοις διηγήσεων, ἢ διὰ τοῦτο μόνον ἐμνήσθη ἐν τῷ παρόντι, ἵνα οἱ εἰσαγόμενοι μαθόντες νῦν, οἷαι ἰδέαι κοσμοῦσι τὸ διήγημα, ἔπειτα καὶ ἐν τῷ περὶ τῶν ἰδεῶν τὰς φύσεις τούτων μαθόντες ἱκανοὶ ὦσιν ἀνεπιλήπτως διηγεῖσθαι, ἢ ὅτι τὰς παρούσας γυμνασίας ἐκτιθεὶς ὁ Ἀφθόνιος οὐχὶ τὴν τῶν εἰσαγομένων μόνον μαθητῶν ἐσκόπει ὠφέλειαν, ἀλλὰ καὶ τῶν ἤδη τὰς μεθόδους ἁπάσας τῆς τέχνης διελθόντων· πρὸς ἐκεί-

36*Vind. διηγήματα. Lege διηγώμεθα. 36**Vind. ἀρετῆς. Scr. ἀρετάς.

νους οὖν ἴσως τοὺς καὶ τῷ [36***] τῶν ἰδεῶν ἐντετυχηκότας βιβλίῳ ἀποτεινόμενος τούτων τῶν ἰδεῶν ἐν τῷ παρόντι μνημονεῦσαι ἠθέλησε. ταῦτα καὶ περὶ τῶν ῥηθέντων τοῖς ἐξ ἀρχῆς ἐξηγηταῖς περί τε τῆς σαφηνείας ἢ τῆς συντομίας καὶ τῆς πιθανότητος. Ζητήσῃ δ' ἄν τις, πότερον ἀπὸ τοῦ περὶ τῶν ἰδεῶν βιβλίου ταῦτα συλλέξαντες ἐνταῦθα τεθείκασιν, ἢ αὐτοὶ ταῦτα προσεπενόησαν· φήσαιμι δ' ἂν καὶ πρὸς τοῦτο, ὅτι τὰ μὲν ἐκεῖθεν συλλέξαντες, τὰ δὲ καὶ ἔξωθεν ἐκείνων εὑρόντες τεθείκασι· πλὴν τοῦτο γνωστέον, ὅτι οὔτε πάντα, ὅσα περὶ τῶν ἰδεῶν τῷ Ἑρμογένει εἴρηται διδάσκουσιν, οὔτε πάντα, ὅσα λέγει νῦν, εἰς τὰ κατὰ γυμνασίαν συμβάλλεται διηγήματα, ἀλλ' εἰς τὰς ἐν πολιτικοῖς λόγοις τιθεμένας τῶν διηγήσεων.

Ἀρεταὶ δὲ διηγήματος τέσσαρες· σαφήνεια, συντομία, πιθανότης καὶ ὁ τῶν ὀνομάτων ἑλληνισμός. Τὴν τάξιν τῶν ἀρετῶν τοῦ διηγήματος ἀκόλουθον φαίνεται ποιούμενος τῇ τῶν ἰδεῶν, δι' ὧν αἱ τοιαῦται ἀρεταὶ γίνονται· τὴν μὲν γὰρ σαφήνειαν προτάττει, ἐπειδὴ καὶ ἐν τῷ περὶ τῶν ἰδεῶν λόγῳ τὴν πρώτην τάξιν εἴληχεν ἡ σαφήνεια· τὴν δὲ συντομίαν πάλιν προτίθησι τῆς πιθανότητος, παρόσον καὶ ἐν τῇ περὶ τῶν ἰδεῶν ἡ γοργότης, ἥτις ποιεῖ σύντομον τὸν λόγον, προτάττηται τοῦ ἤθους, δι' οὗ τὸ πιθανὸν ἡμῖν περιγίνεται. Ζητεῖται δὲ, διατί ἐξ οὐσῶν τῶν γενικῶν ἰδεῶν, σαφηνείας, μεγέθους, κάλλους, γοργότητος, ἤθους, δεινότητος· εἰ γὰρ καὶ ἑπτά τινες ταύτας φασὶν, ὅμως τῇ ἀληθείᾳ ἓξ εἰσι, διὰ τὸ τὸν ἀληθῆ καὶ ἐνδιάθετον λόγον μὴ εἶναι γενικὴν ἰδέαν, ἀλλ' ὑπὸ τὸ ἦθος ἀνάγεσθαι· ζητεῖται οὖν, διατί τοσούτων οὐσῶν τῶν γενικῶν ἰδεῶν ὁ Ἀφθόνιος τὰς τρεῖς μόνας ἐξ αὐτῶν ἔφη ἀρετὰς εἶναι τοῦ διηγήματος, τὴν σαφήνειαν, τὴν γοργότητα, τὸ ἦθος, καὶ φαμὲν, ὅτι τὴν μὲν σαφήνειαν ἀρετὴν ἔφη τοῦ

36*** τῷ addidi de meo.

διηγήματος, διότι ἐν παντὶ λόγῳ τούτου δεῖ μάλιστα τοῦ σαφοῦς· τῶν μὲν γὰρ ἄλλων ἰδεῶν ἡ μὲν [37] τῷδε, ἡ δὲ τῷδε τῷ λόγῳ ἁρμόζει, οἷον τῷ συμβουλευτικῷ ἢ τῷ δικανικῷ ἢ τῷ πανηγυρικῷ, καὶ οὐδεμία πᾶσι, μόνης δὲ τῆς σαφηνείας ἀνάγκη ἅπασι μετεῖναι· ἢ ἐπειδὴ τὸ διήγημα ἀπαγγελία ἐστὶν πραγμάτων, καὶ διδάσκει τὰ πράγματα τοὺς ἀκροατάς, διὰ τοῦτο δέον αὐτὴν σαφῆ εἶναι· καὶ διὰ ταῦτα ἴσως αὐτὴν εἶπεν ἀρετὴν εἶναι τοῦ διηγήματος· τὴν δὲ συντομίαν διὰ τάδε. πρῶτον μὲν γὰρ ὁ σαφὴς λόγος καὶ σύντομός πάντως ἐστὶν, ἡ γὰρ μακρολογία ἀσάφειαν ποιεῖ, ὡς καὶ ἀνωτέρω παρατετήρηται, ἄλλως τε δὲ, ἐπειδὴ αἱ διηγήσεις εἰσὶ πραγμάτων, αἱ δὲ ἀφηγήσεις ὑπτιότητα ἐμποιοῦσι τοῖς λόγοις· τὸ δὲ ὕπτιον διὰ τῶν τῆς γοργότητος σχημάτων ἐξαιρεῖται τοῦ λόγου, ὡς ἐν τῷ περὶ τῶν ἰδεῶν τὸν περὶ [37*] γοργότητος μετιόντες λόγον σὺν θεῷ μαθησόμεθα. Διὰ τοῦτο καὶ ἡ συντομία ἀρετὴ πέφυκεν εἶναι τοῦ διηγήματος, τὴν δὲ πιθανότητα καὶ αὐτὴν ἀρετὴν ἔφη τοῦ διηγήματος, διὰ τὸ δεῖν μὲν ἃ λέγομεν ἐν ταῖς διηγήσεσιν ἀληθῆ δοκεῖν εἶναι, ἄλλως δὲ μὴ ἐγχωρεῖν γενέσθαι τοιαῦτα, εἰ μὴ τοῦ ἤθους τῆς ἰδέας αὐτοῖς μετείη· τὸ δὲ μέγεθος τὴν δευτέραν τάξιν ἔχον ἐν ταῖς ἰδέαις, μετὰ γὰρ τὴν σαφήνειαν κεῖται τὸ μέγεθος, οὐκ ἔφη ἀρετὴν εἶναι τοῦ διηγήματος· διότι τοῦ διηγήματος κατὰ τοῦτο τὸ σαφὲς ὡς ἐλέγομεν ἔχοντος, κατὰ τὸ μὴ ἐν αὐτῇ ὑψηλὰ τίθεσθαι θεωρήματα, ἀλλὰ κοινὰ καὶ εἰς ἔννοιαν μὲν πᾶσιν ἥκοντα· τὸ δὲ μέγεθος οὐκ ἔχει τοιαῦτα· ἄλλως τε δὲ ἡ περιβολὴ τοῦ μεγέθους οὖσα ἐναντία ἐστὶ τῷ καθαρῷ καὶ σαφεῖ λόγῳ· καὶ τὸ κάλλος δὲ οὐκ ἔφη ἀρετὴν εἶναι τοῦ διηγήματος, ἵνα μὴ τούτῳ προσέχοντες τοῦ πιθανοῦ ἐκτραπείημεν. εἰώθασι γὰρ τῷ ἐπιτετηδευμένῳ καὶ

37 Codd. ἰδιῶν ἡμῖν [Laur. ἡ μ̈] δὲ τῷδε τῷ λόγῳ ἁρμόζει. Scripsi ἡ μὲν τῷδε, ἡ δὲ τῷδε. 37* Vind. τῶν περί. Scr. τὸν περί.

κεκαλλωπισμένῳ λόγῳ μὴ προσέχειν τοσοῦτον οἱ ἀκροαταὶ, ὅσον τῷ φυσικῶς καὶ ἀνεπιτηδεύτως προϊόντι. ἀλλ' οὐδὲ τὴν δεινότητα ἀρετὴν ἔφη εἶναι τοῦ διηγήματος, διὰ τὸ δεῖν ὡς ἔφημεν, τὰ ἐν τῷ διηγήματι σαφῆ εἶναι καὶ πάσης περινοίας ἀπηλλαγμένα.

Καὶ ὁ τῶν ὀνομάτων ἑλληνισμός. ἑλληνισμὸν λέγοι ἂν τὸ χρῆσθαί τινα λέξεσι συνήθεσι καὶ μὴ ξέναις καὶ μὴ τὴν τῶν πολλῶν ἐκφευγούσαις γνῶσιν, ἢ ὀνομάτων ἑλληνισμὸν λέγοι ἂν τὸ μὴ σολοικίζειν ἢ βαρβαρίζειν, οἷον ἵνα μὴ λέγομεν Δημοσθένου, ἀλλὰ Δημοσθένους. Ζητεῖται δὲ, διατί σαφηνείας μνησθεὶς ὁ σοφιστὴς, ἥτις οὐ μόνου ἑλληνικὰς ἔχει τὰς λέξεις, ἀλλὰ καὶ τῶν ἑλληνικῶν τὰς κοινοτέρας μᾶλλον καὶ τοῖς πολλοῖς συνήθεις, καὶ ἐν αὐτῇ καὶ ταύτας παραλαβὼν, ἰδίᾳ πάλιν τοῦ τῶν ὀνομάτων ἑλληνισμοῦ ἐμνημόνευσε· πάντως γὰρ ἀρετὴν εἰπὼν εἶναι τοῦ διηγήματος τὴν σαφήνειαν καὶ τὰς ἁρμοττούσας τῇ σαφηνείᾳ λέξεις ἁρμόζειν ἔδοξε τῷ διηγήματι· φαμὲν οὖν, ὅτι, ἐπειδὴ πρὸς εἰσαγομένους καὶ τῶν μὲν ἰδεῶν τοῦ λόγου ἀπείρους, τῆς δὲ ποιητικῆς ἔναγχος παυσαμένους διελέγετο, φυλαττόμενος μήπως ἅτε τοῖς ποιητικοῖς ἐνειθισμένοι[38] καὶ τὰς τῆς σαφηνείας ἀγνοοῦντες λέξεις σκληράς τινας τῶν ποιητικῶν λέξεων ἢ ταῖς βαρβαρικαῖς διὰ τὸ τῆς σημασίας ἀγνοούμενον πλησιαζούσας ἐν τοῖς διηγήμασι θήσουσιν, ὡς ἔχει παρὰ Λυκόφρονι τὸ οἶσα καὶ τὸ γρώνης[39] καὶ τὸ ὕσπληγγας καὶ τὰ τοιαῦτα, καὶ παρὰ τοῦτο καταγέλαστοι δόξωσι, διὰ τοῦτο ἰδικῶς τοῦ τῶν ὀνομάτων ἑλληνισμοῦ ἐμνημόνευσεν. Ἰστέον δὲ τοῦτο, ὅτι οἱ μὲν πλείονες τῶν ἐξηγησαμένων τὸ παρὸν τοῦ Ἀφθονίου βιβλίον οὐδὲν ἡμῖν περὶ τοῦ τῶν ὀνομάτων ἑλληνισμοῦ διειλέχθησαν.

ὁ

38 Vind. ἐνειθισμέναις. Scripsi ἐνειθισμένοι. 39 Cass. 20—22. οἱ δ' οἶσα γρώνης — ὕσπληγγας. [Vind. ὕσπληγας].

ὁ μέντοι Γεωμέτρης ἐκεῖνα ἡμῖν περὶ αὐτοῦ παραδίδωσιν· ἡ πολλὴ καὶ ἡ ἀπὸ τοῦ τῶν ὀνομάτων ἑλληνισμοῦ βοήθεια τῷ τεχνίτῃ οὐ πρὸς κάλλος μόνον τῆς γλώττης καὶ καθαρότητα, ἤδη δὲ καὶ μέγεθός τε καὶ ἔκπληξιν, ἀλλὰ καὶ τὰς εἰρημένας ἀρετὰς σαφήνειαν ἢ συντομίαν ἢ πιθανότητα· τοιαύτη γὰρ ἡ ἀκρίβεια οὐ μόνον τῶν ἑλληνικῶν καὶ κοινῶν ὀνομάτων, ἀλλὰ καὶ μάλιστα τῶν Ἀττικῶν, ἡ μὲν ἐπίτασιν καὶ ἐνάργειαν ἔχουσα, οἷον τὸ ἀποκαρτερεῖν καὶ τὸ ἐκλιπαρεῖν, ἢ καὶ ἐπαναγκάζεσθαι, ἡ δὲ συντομίαν, ὥσπερ τὸ οὐδὲ γρῦ· ἡ δὲ θαῦμα καὶ πιθανότητα πολλάκις, ὡς τὸ ὅσον, οἷον, καὶ τὸ Ἡράκλεις καὶ τὰ παραπλήσια, ὅσα τὸ ἦθος ἢ τὸ πάθος ἐμφαίνει τοῦ λέγοντος.

ΔΙΗΓΗΜΑ ΤΟ ΚΑΤΑ ΤΟ ΡΟΔΟΝ.

Ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους. Ὥσπερ ἐπὶ τοῦ μύθου μετὰ τὸν μῦθον ἔθηκε τὸ παράδειγμα, οὕτω καὶ ἐπὶ τοῦ διηγήματος ποιεῖ. μετὰ γὰρ τὴν τῆς μεθόδου κἀνταῦθα παράδοσιν ἐπὶ τὴν τῆς μελέτης ἔρχεται ἔκθεσιν·[1] ἀλλ' ἐπειδὴ τὰ διηγήματα, ὡς καὶ ἀνωτέρω ἐρρήθη, διαφέρει ἀλλήλων καὶ τοῖς προσώποις ὁμοῦ καὶ τοῖς πράγμασι, καὶ τοῖς μὲν προσώποις, ὅτι τὰ μὲν αὐτῶν εἰσιν ἀφηγηματικά, ἐν οἷς τὸ τοῦ ποιητοῦ πρόσωπον ἢ τὸ τοῦ ῥήτορος ἀναφαίνεται, μηδεμιᾶς προσωποποιίας ἐμφερομένης, μηδέ τινων ὑποβαλλομένων προσώπων, ὥστε πρὸς τὸ διαλογικὸν εἶδος μεταβεβλῆσθαι τὸν λόγον· τὰ δὲ δραματικά, ἐν οἷς τὸ τοῦ λέγοντος ὅλως οὐ παραδείκνυται πρόσωπον, ἀλλὰ μόνα τὰ ὑποκείμενα πρόσωπα διαλέγονται· τὰ δὲ μικτὰ τὰ ἐξ ἀμφοτέρων· τοῖς δὲ πράγμασιν, ὅτι τὰ μὲν αὐτῶν εἰσιν ἱστορικά, τὰ δὲ πολιτικά, τὰ δὲ δραματικά· ἐπειδὴ οὖν τοσαυταχῶς ἁλ-

1 Vind. ἔνθεσιν.

λήλων τὰ διηγήματα διαφέρει, ζητεῖται, ποίου εἴδους τῆς ἀπὸ τῶν προσώπων διαιρέσεώς ἐστι τὸ προτεθὲν εἰς μελέτην τῷ Ἀφθονίῳ διήγημα, καὶ ποίου τῆς ἀπὸ τῶν πραγμάτων· καὶ φαμὲν, ὅτι ἀπὸ μὲν τοῦ προσώπου ἐστὶν ἀφηγηματικόν· μόνον γὰρ φαίνεται τοῦ ἀφηγουμένου τὸ πρόσωπον λέγον καὶ διηγούμενον, ἀπὸ δὲ τοῦ πράγματος κατὰ μὲν Ἑλληνικὸν μῦθον δραματικόν ἐστι, καθ' ἡμᾶς δὲ μυθικόν· καὶ ἑτέρως ἀπὸ μὲν τοῦ πράγματος ἱστορικὸν μὲν οὐκ ἔστι, τὰ δὲ ἱστορικὰ ἀναμφιλέκτως ἀληθῆ τυγχάνουσι· τοῦτο δὲ οὐ τοιοῦτον, ἀλλ' οὐδὲ πολιτικόν ἐστι· τὰ μὲν γὰρ πολιτικὰ διηγήματα πρός τι τυγχάνουσιν· ἀνύων γάρ τίς τι ἐν πολιτικῷ λόγῳ καὶ πρὸς τοῦτο ἀφορῶν διηγεῖται· τὸ δὲ προκείμενον διήγημα καθ' ἑαυτό ἐστιν· ἀλλ' ἐπειδὴ πάλιν τοῦ δραματικοῦ τὸ μέν ἐστι μυθικὸν, οἷά ἐστι τὰ παρὰ τὴν φύσιν συγκείμενα, τὸ δὲ πλασματικόν, οἷά ἐστι τὰ ἀμφίδυξα, ὀφείλομεν ζητῆσαι, πότερον μυθικόν ἐστι τοῦτο τὸ κατὰ ῥόδον διήγημα, ἢ πλασματικόν· μήπου τοίνυν κατὰ μὲν τὸν Ἑλληνικὸν μῦθον δραματικόν ἐστι, καθ' ἡμᾶς δὲ μυθικόν. Ζητητέον οὖν, διατί οὐκ ἐξέθετο ὁ Ἀφθόνιος ἱστορικὸν διήγημα, ἢ πολιτικὸν, ἀλλὰ μᾶλλον δραματικόν· φήσειε δ' ἄν τις, ὅτι ἢ ἀδιαφόρως τοῦτο ἐποίησεν, ἢ ὅτι συγγενέστερόν ἐστι τῷ μύθῳ τὸ δραματικὸν διήγημα τοῦ τε ἱστορικοῦ καὶ πολιτικοῦ, ἢ ὅτι καὶ δυσκολώτερόν ἐστι τὸ δραματικὸν τῶν ἄλλων, εἴγε ἐν ἐκείνοις μὲν τοῖς προγεγενημένοις ἑπόμενοι πράγμασιν τὸν λόγον ἐκτιθέμεθα, ἐνταῦθα δὲ καὶ τὰ πράγματα αὐτοὶ πλάττομεν ὡς γενόμενα· φιλοτιμεῖται δὲ ὁ διδάσκαλος ἔσθ' ὅτε τὰ δυσκολώτερα εἰς μελέτην μεταχειρίζεσθαι· οὕτω γοῦν καὶ ἐν τῇ συγκρίσει ποιεῖ. τεσσάρων γὰρ ὄντων τρόπων συγκρίσεως, ἑνὸς μὲν καὶ πρώτου καθ' ὃν τὰ καλὰ τοῖς χρηστοῖς παρατίθεται, ἑτέρου δὲ, καθ' ὃν τὰ φαῦλα τοῖς φαύλοις, τρίτου, καθ' ὃν τὰ χρηστὰ πονηροῖς, τετάρ-

του καὶ τελευταίου, καθ' ὃν τὰ μικρὰ τοῖς μείζοσιν ὁ Ἀφθόνιος κατὰ τὸν τέταρτον καὶ δεινότερον ὡς καὶ αὐτὸς ὁμολογεῖ ὄντα τῶν ἄλλων τὴν τοῦ Ἕκτορος πρὸς τὸν Ἀχιλλέα [2] ἐμελέτησε σύγκρισιν.

Ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους τὴν τῆς Ἀφροδίτης λογιζέσθω πληγήν. Τοῦτο πρότασίς ἐστι ψιλὴ, μήτε κατασκευὴν μήτε ἀξίωσιν ἔχουσα, ὅμως δὲ προοιμίου τάξιν ἐπέχει, τὸ δὲ ἐφεξῆς τὴν τοῦ διηγήματος ἀποπληροῖ χρείαν. ζητεῖται τοίνυν εἰ ἓν ἕκαστον τῶν προγυμνασμάτων πρὸς ἓν μέρος τοῦ λόγου γυμνάζει ἡμᾶς, οἷον ὁ μῦθος πρὸς τὸ προοίμιον, τὸ δὲ διήγημα πρὸς τὴν διήγησιν, ἡ δὲ ἀνασκευὴ καὶ κατασκευὴ πρὸς τοὺς ἀγῶνας, ὁ δὲ κοινὸς τόπος πρὸς τοὺς ἐπιλόγους, πῶς ἐν τῇ τοῦ παρόντος γυμνάσματος μελέτῃ καὶ ὡσανεὶ προοιμιακῇ ἐννοίᾳ ἐχρήσατο· ἐκ τούτου γὰρ δοκεῖ τὸ μελετηθὲν αὐτῷ γύμνασμα οὐχὶ τῇ διηγήσει μόνον, ἀλλὰ καὶ τῷ προοιμίῳ προσήκειν· φαμὲν οὖν λύοντες, ὅτι οὐκ ἀληθὲς τὸ λεγόμενον, φημὶ δὴ τὸ ἕκαστον γύμνασμα πρὸς ἓν μόνον μέρος τοῦ πολιτικοῦ λόγου καὶ μὴ πρὸς πλείω γυμνάζειν ἡμᾶς, ἀλλὰ πρὸς διάφορα· αὐτίκα γὰρ ὁ μῦθος καὶ πρὸς διήγησιν ἡμᾶς γυμνάζει· ἐκθέσει γὰρ πραγμάτων ἀναλογεῖ· ἐὰν γὰρ ἀφέλῃς ἀπὸ τοῦ μύθου τὸ ἐπιμύθιον, μεταβάλλεται ὁ μῦθος εἰς δραματικὸν διήγημα, ἀλλὰ καὶ ἡ ἀνασκευὴ καὶ ἡ κατασκευὴ οὐ πρὸς ἓν μόνον μέρος τοῦ λόγου γυμνάζουσιν ἡμᾶς, ἀλλὰ καὶ εἰς πλείω· τῶν γὰρ ἐν αὐταῖς κεφαλαίων εἰς μὲν τὸ προοιμιάζεσθαι προασκοῦσιν ἡμᾶς ἡ διαβολὴ τοῦ φήσαντος ἐν τῇ ἀνασκευῇ, καὶ ἡ εὐφημία τοῦ εἰπόντος ἐν τῇ κατασκευῇ, καὶ ἡ ἔκθεσις πάλιν γυμνάζει ἡμᾶς εἰς τὴν διήγησιν· τὰ δὲ ἐφεξῆς εἰς τὸν ἀγῶνα· εἰκὸς οὖν καὶ τὸ διήγημα εἰς διάφορα μέρη τοῦ λόγου, καὶ μὴ [3]

2 Vind. *Ἀχιλέα.* 3 Vind. *μέν.*

πρὸς ἓν μόνον γυμνάζειν ἡμᾶς. ἄλλως τε δὲ τὰ προγυμνάσματα εἰς τοὺς λόγους μὲν εὑρισκόμενα προοίμια οὐκ ἔχουσιν, αὐτὰ δὲ καθ' ἑαυτὰ γινόμενα εὑρίσκονται μετὰ προοιμίων, διὸ ὁ κοινὸς τόπος δευτερολογίᾳ καὶ ἐπιλόγοις ἐοικὼς ἐν μὲν πολιτικοῖς λόγοις τιθέμενος χωρὶς προοιμίων τάττεται, αὐτὸς δὲ καθ' ἑαυτὸν γινόμενος μετὰ προοιμίων γίνεται. Ὁ τὸ ῥόδον θαυμάζων. Εἰπὼν ἀρετὰς εἶναι διηγήματος τὴν σαφήνειαν, τὴν συντομίαν, τὴν πιθανότητα καὶ τὸν τῶν ὀνομάτων ἑλληνισμόν, ὅρα πῶς τούτοις αὐτὸς κοσμῶν τὸ μελετηθὲν φαίνεται διήγημα· τῇ τε γὰρ σαφηνείᾳ φαίνεται κοσμῶν αὐτὸ διὰ τοῦ κατ' ὀρθότητα σχήματος· σαφηνείας γὰρ τοῦτο ἐργαστικὸν,[4] καὶ οὐχ ὁ πλαγιασμὸς, παρόσον ἡ μὲν εὐθεῖα ἑνός ἐστιν ὀνόματος πληρωματικὴ, ὡς ὅταν εἴπω, ἐγὼ περιεπάτησα, ὁ δὲ πλαγιασμὸς πλειόνων, καὶ παρὰ τοῦτο τοῖς ἀκροωμένοις γίνεται πλάνης αἴτιος, οἷον ὡς ἵνα εἴπω, ἐμοῦ περιπατοῦντος, ἐκδέχεται γὰρ ὁ ἀκροατὴς καὶ ἕτερόν τι ἀκοῦσαι, διὰ τὸ ἀτελῆ ἔτι εἶναι τὸν λόγον, οὐ μόνον δὲ διὰ τοῦ κατ' ὀρθότητα σχήματος φαίνεται τηρῶν τὴν σαφήνειαν, ἀλλὰ καὶ διὰ τοῦ μερισμοῦ τοῦ, „ἦρα μὲν ἡ θεὸς τοῦ Ἀδώνιδος, ἀντήρα δὲ καὶ ὁ Ἄρης αὐτῆς," σύντομον καὶ διὰ μικροῦ ἔχοντος τὴν ἀνταπόδοσιν· οἱ γὰρ τοιοῦτοι μερισμοὶ εὐκρινείας εἰσὶ ποιητικοὶ, καὶ διὰ τοῦτο καὶ σαφηνείας, ἡ γὰρ σαφήνεια ἐκ καθαρότητος καὶ εὐκρινείας γίνεται· ἔτι δὲ καὶ διὰ τῆς καταστατικῆς ἐννοίας, ἥτις καὶ αὐτὴ εὐκρινείας· ἔστι δὲ καταστατικὴ ἔννοια τὸ, „ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους τὴν τῆς Ἀφροδίτης λογιζέσθω πληγήν·" οὐ μόνον δὲ διὰ τοῦτο τῇ σαφηνείᾳ φαίνεται χρώμενος, ἀλλὰ καὶ δι' ἑτέρων πλειόνων, καὶ μάλιστα τοῦ μηδὲν προσλαβεῖν τῶν ποιητικῶν τῆς σαφηνείας, ἀλλὰ

4 Vind. ἐργατικόν.

τὴν μὲν σαφήνειαν οὕτω τηρεῖ, τὴν δὲ συντομίαν ἐκ τοῦ μὴ παρεκβάσεσιν ἢ ἐπεισοδίοις ἤ τισι τοιούτοις[4*] κεχρῆσθαι, ἀλλ' ἐκεῖνα μόνα λέγειν, δι' ὧν τὸ προκείμενον δηλοῦται πρᾶγμα. Εἰ μέντοι οὕτως εἶπεν, Ἀφροδίτη ἐγένετο μὲν καὶ ἀρχῆθεν αἰσχρῶς· τῶν γὰρ αἰδοίων τοῦ Κρόνου ἀποτμηθέντων καὶ ῥιφέντων εἰς Θάλασσαν, ἐντεῦθεν λόγος αὐτὴν ἀναφυῆναι, καὶ δὴ γενομένη ἐκ τοιαύτης αἰτίας πορνείας καὶ μοιχείας προστατεῖν ἐκληρώσατο, καὶ δὴ ἥρα μὲν αὐτῆς καὶ Ἀγχίσης, καὶ ἔτεκεν ἐξ αὐτοῦ[4**] παῖδα Αἰνείαν ὀνομαζόμενον· εἰ οὖν ταῦτα καὶ ἕτερά τινα προειπὼν οὕτως ἦλθεν ἐπὶ τὸ προκείμενον, πόρρω συντομίας ἐφαίνετο ἂν ποιῶν τὸ διήγημα, νῦν δὲ μηδὲν τοιοῦτον προσλαμβάνων, ἀλλὰ μόνον αὐτὸ διηγούμενος, συντομίᾳ φαίνεται χρώμενος, συντομίας δόξαν παρέχων καὶ διὰ τοῦ μερισμοῦ, τοῦ „ἥρα μὲν γὰρ ἡ θεὸς τοῦ Ἀδώνιδος, ἀντήρα δὲ καὶ ὁ Ἄρης αὐτῆς·“ τοῦτο γὰρ κοινὸν τῇ εὐκρινείᾳ καὶ τῇ γοργότητι, καὶ πιθανότητος δὲ εὐμοιρεῖν πεποίηκε τὸ διήγημα ἔκ τε τῶν πραγμάτων καὶ προσώπων· εἰκὸς γὰρ τὴν Ἀφροδίτην θεὰν ἐμπαθῆ οὖσαν καὶ ἐρᾶν τοῦ Ἀδώνιδος, καὶ ἀντεραᾶσθαι παρὰ τοῦ Ἄρεως· εἰκὸς δὲ καὶ ἐμπεσοῦσαν τῇ ῥοδωνιᾷ πληγῆναι τὸν ταρσὸν τοῦ ποδὸς, ἀκανθῶδες γὰρ τὸ φυτὸν, καὶ πληγεῖσαν αἷμα τοῦ ποδὸς ἀναδοῦναι, καὶ τῆς τοῦ αἵματος βαφῆς μεταλαβεῖν τὸ ῥόδον, ὁμόχρουν γὰρ τὸ ῥόδυν τῷ αἵματι, καὶ τὸν τῶν ὀνομάτων ἑλληνισμὸν φυλάττει πάλιν παρόσον οὐ χρῆται ἐθνικοῖς τισιν ὀνόμασιν, ὡς ἔχει τὸ χοῖνιξ καὶ παρασάγγης, οὔτε μὴν τεχνικοῖς, ὡς ἔχει παρὰ Θουκυδίδῃ τὸ τὰς παλαιὰς ναῦς ἔζευξαν·[5] οὔτε μὴν νομικοῖς, ὡς ἔχει τὸ ἐξούλης καὶ προβολή, καί τινα ἕτερα, ἀλλὰ συνήθεσί τισι καὶ γνωρίμοις ὀνόμασι, καὶ ἁπλοῖς καὶ δυναμένοις

4* Codd. τοσούτοις. scr. τοιούτοις. 4** Codd. αὐτῆς scr. αὐτοῦ. 5 I, 29.

παραχθῆναι καὶ ἐτυμολογηθῆναι, ὅπερ ἀδύνατον εὑρεῖν ἐπὶ τῶν τεχνικῶν ἢ ἐθνικῶν ὀνομάτων. ἐκεῖνα γὰρ οὐκ ἐτυμολογοῦνται. Ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους, ἀντὶ τοῦ ἕνεκα τοῦ κάλλους Ἀττικῶς· τινὲς δὲ οὕτως ἀναγινώσκουσιν· ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους τὴν τῆς Ἀφροδίτης εἶναι λογιζέσθω πληγήν. Ἥρα μὲν γὰρ ἡ θεὸς τοῦ Ἀδώνιδος· ἐντεῦθεν ἄρχεται τὸ διήγημα· ἔστιν οὖν πράγματα μὲν τὸ ἥρα καὶ τὸ ἀντήρα· πρόσωπα δὲ ὁ Ἄρης, ὁ Ἄδωνις, [6] ἡ Ἀφροδίτη· τόπος ἡ ῥοδωνιά, τρόπος κατὰ μέν τινας τὸ ζηλοτυπεῖν, καθ' ἑτέρους δὲ τὸ πλήττειν, κατ' ἐνίους δὲ καὶ τὸ κατὰ σπουδήν· εἰσὶ δὲ οἳ καὶ τὸ ζηλοτυπεῖν καὶ τὸ κατὰ σπουδὴν αἰτίας εἶναί φασι, τὸν δὲ τρόπον μηδὲ ὅλως ἐν τῷ παρόντι περιειλῆφθαι διηγήματι, ἀπὸ δὲ τῶν ῥόδων ἐμφαίνεται, ὅτι καὶ ἔαρ ἦν, ὅπερ ἐστὶ χρόνος, αἰτία, τὸ λύσιν ἔρωτος τὸν Ἀδώνιδος ἡγησάμενος θάνατον. Ἥρα μὲν γὰρ ἡ θεὸς τοῦ Ἀδώνιδος. Ζητεῖται διατί οὐ προέταξε πρῶτον τὸ πρόσωπον τοῦ πράγματος; ἀλλ' ὅτι [6*] μόνον σαφηνείας φροντίζομεν· ἐπεὶ εἰ κάλλους τοῦ λόγου καὶ εὐρυθμίας φροντίζομεν, καὶ τὴν τάξιν ἔστιν ὅτε μεταλλάττομεν, καὶ τὸ πρᾶγμα τοῦ προσώπου προτίθεμεν, ὅτι τῇ ἁρμονίᾳ τοῦτο τοῦ λόγου συμβάλλεται· ὁ γοῦν Ἀφθόνιος καὶ αὐτὸς κάλλος ἴσως καὶ εὐρυθμίαν ἐνταῦθα θηρώμενος τὸ πρᾶγμα τοῦ προσώπου προέταξε. Ἥρα μὲν γὰρ ἡ θεὸς τοῦ Ἀδώνιδος. Περὶ τοῦ Ἀδώνιδος φέρεται μῦθος τοιοῦτος· κόρη τις ἥρα τοῦ ἰδίου πατρὸς, ἀπορροῦσα δὲ φανερῶς λαθραίως αὐτῷ συνεγένετο· γνοὺς οὖν τὸ γεγονὸς [7] ὁ πατὴρ, κατὰ τῆς παιδὸς ἠγανάκτησεν· ἡ δὲ Ἀφροδίτης δεηθεῖσα μήτε ζῆν διὰ τὸν πατέρα, μήτε ἀποθανεῖν διὰ τεκνογονίαν μετέβαλεν εἰς δένδρον, ἥτις ἀποδενδρωθεῖσα τῷ ἐνάτῳ μηνὶ

6 Vind. ὁ Ἀδώνιδος, ἡ Ἀφροδίτης. 6* Codd. hic et infra l. 22. ὅτε. 7 Vind. γεγονώς.

τὸν φλοῦν ἀποῤῥήξασα τῆς δρυὸς τὸν Ἄδωνιν ἔτεκεν, ὃν λαβοῦσα ἡ Ἀφροδίτη ἀνέθρεψε, καὶ ἀνδρωθέντος ἦρα αὐτοῦ. Καὶ θεὸς ἐδίωκεν ἄνθρωπον. τὸ ἐδίωκεν ἀντὶ τοῦ ἐπόθει. Καὶ κατὰ σπουδὴν ἐμβαλοῦσα τῷ ῥόδῳ· ἡ ἐν ἀντὶ τοῦ παρὰ, ἵν' ᾖ παραβαλοῦσα, πλησιάσασα, ἢ ἀντὶ τοῦ πρός. τὸ δὲ προσέπταισεν, ἀντὶ τοῦ παρεσφάλη, προσέκρουσεν· καὶ τὸν μὲν ταρσὸν τοῦ ποδὸς περιπείρεται· ταρσὸν λέγει τὸ πλατὺ τοῦ ποδὸς, σημαίνει δὲ πλείω ἡ λέξις, τήν τε πόλιν, καὶ τὸν δεκτικὸν τοῦ τυροῦ καλαθίσκον, καὶ τὸ πλατὺ τῆς κώπης καὶ τοῦ ποδός.

Cap. III.

ΠΕΡΙ ΧΡΕΙΑΣ.

Μετὰ τὸν μῦθον καὶ τὸ διήγημα ἔταξε τὴν χρείαν· εἰκότως, ὥσπερ γὰρ τὸν μῦθον διὰ τοῦτο πρῶτον ἔταξε διὰ τὸ εἶναι ἡδὺν τῇ πλάσει καθάπαξ, καὶ καταγλυκαίνειν τῶν ἀκροατῶν τὴν διάνοιαν, καὶ τὸ διήγημα δεύτερον, διὰ τὸ καὶ τὰ δραματικὰ διηγήματα τοιαῦτα εἶναι ἡδέα, οὕτω καὶ τὴν χρείαν εὐθέως μετὰ ταῦτα τέθεικε, διὰ τὸ εἶναί τινας χρείας τέρψιν ποιούσας ψιλὴν, οἷαί εἰσιν αἱ χαριεντισμοῦ ἕνεκεν παραλαμβανόμεναι, οἷον Ὀλυμπιὰς ἡ μήτηρ Ἀλεξάνδρου, ἀκούσασα, ὅτι ὁ παῖς αὐτῆς Διὸς ἑαυτὸν λέγει εἶναι, οὐ παύεται, ἔφη, τὸ μειράκιον, διαβάλλον με πρὸς τὴν Ἥραν, ἢ ὅτι ὥσπερ ὁ μῦθος ἐτάχθη πρῶτος διὰ τὸ πρώτῳ μέρει τοῦ λόγου, δηλονότι τῷ προοιμίῳ, ἀναλογεῖν, τὸ δὲ διήγημα δεύτερον, διὰ τὸ διηγήσει εἶναι ἀνάλογον, ἥτις δευτέρα ἐστὶ τοῦ πολιτικοῦ λόγου, οὕτω καὶ ἡ χρεία ἐτάχθη τρίτη διὰ τὸ τῷ τρίτῳ μέρει τοῦ λόγου τῷ ἀγωνιστικῷ δηλονότι ἀναλογεῖν· ἀναλογεῖ δὲ τῷ ἀγωνιστικῷ, καθὸ κατασκευάζομεν ἐν

αὐτῷ, εἰ ἀληθής ἐστιν ὁ λόγος, εἰ καλῶς ἡ πρᾶξις γεγένηται· πᾶσα δὲ κατασκευὴ τῶν ἀγώνων ἐστὶν, ἔνιοι δέ φασιν, ὅτι ὥσπερ ὁ μῦθος ἐτάχθη πρῶτος διὰ τὸ εἶναι πάντων ἁπλούστερος, καὶ τὸ διήγημα δεύτερον διὰ τὸ εἶναι τοῦ μὲν μύθου ποικιλώτερον, τῶν δ' ἑξῆς ἁπλούστερον, οὕτω καὶ τὴν χρείαν ἔδει ταχθῆναι τρίτην, διὰ τὸ τοῦ μὲν μύθου καὶ τοῦ διηγήματος τελεωτέραν αὐτὴν εἶναι, τῶν δ' ἐφεξῆς ἀτελεστέραν, καὶ αἱ μὲν αἰτίαι, δι' ἃς ταύτην ἡ χρεία τὴν τάξιν εἴληφεν, αὗται· ἴδωμεν δὲ, εἰ δοκεῖ, καὶ τὸ ἐν αὐτῇ χρήσιμον, καὶ πρὸς ποῖον μὲν τῶν τῆς ῥητορικῆς εἰδῶν καὶ αὐτὴ, πρὸς ποῖον δὲ τῶν τοῦ πολιτικοῦ λόγου μερῶν χρησιμεύει, εἴπωμεν. Ἰστέον δὲ, ὅτι κατὰ τὰ εἴδη κοινῶς μὲν τῷ συμβουλευτικῷ συμβάλλεται λόγῳ, πάντως γὰρ ἢ ἐπί τι χρηστὸν προτρέπει ἡ χρεία, ἢ πονηροῦ τινος εἴργει· κατὰ δεύτερον δὲ λόγον καὶ τῷ δικανικῷ καὶ τῷ πανηγυρικῷ· τῷ μὲν δικανικῷ, δι' ὧν ἀγωνίζεται παραδείγμασί τε καὶ τοῖς ἄλλοις κεφαλαίοις συστῆσαι τὸ ῥηθὲν ἢ πραχθέν· τῷ δὲ πανηγυρικῷ διὰ τοῦ εἰς τὸν φήσαντα ἐπαίνου ἢ καὶ τὸν πράξαντα· κατὰ δὲ τὰ μέρη τοῦ λόγου συμβάλλεται μὲν οὐ τοῖς προοιμίοις, καθὸ καὶ προοιμίου τάξιν πληροῦσα ἔσθ' ὅτε εὑρίσκεται· ἔτι δὲ καὶ ὅτι τὸ ἐγκωμιαστικὸν κεφάλαιον προοιμίῳ ἀναλογεῖ· συμβάλλεται δὲ τῇ διηγήσει καὶ τοῖς ἀγῶσι καὶ τοῖς ἐπιλόγοις· τῇ μὲν διηγήσει διὰ τοῦ παραφραστικοῦ κεφαλαίου· τοῦτο γὰρ ἀφήγησίς τίς ἐστι, τοῖς δὲ ἀγῶσι διά τε τοῦ τῆς αἰτίας κεφαλαίου καὶ τοῦ ἐναντίου καὶ τοῦ παραδείγματος καὶ τῆς παραβολῆς καὶ τῆς τῶν παλαιῶν μαρτυρίας· τοῖς δὲ ἐπιλόγοις διὰ τῆς ἐν τῷ τέλει βραχείας παρακλήσεως.

Χρεία ἐστὶν ἀπομνημόνευμα σύντομον. ὥσπερ ἐπὶ τῆς διδασκαλίας τοῦ διηγήματος πρὸ τῶν ἄλλων ἁπάντων ὡρίσατο τὸ διήγημα, οὕτω καὶ ἐπὶ τῆς χρείας ποιεῖ. πρῶτον μὲν γὰρ ὁρίζεται αὐτὴν, εἶθ' οὕ-

τως λέγει τὴν αἰτίαν τῆς ὀνομασίας, εἶτα διαιρεῖ καὶ τὰ κατασκευαστικὰ αὐτῆς κεφάλαια παραδίδωσιν. ἀλλ' ἐν μὲν τῷ μύθῳ διατί τοῦτον πρῶτον ὁρίζεται, εἶθ' ὕστερον διαιρεῖ, ἐζητήσαμεν· νῦν δὲ διαιρήσομεν, διατί πρὸ τῶν ἄλλων ἁπάντων οὐχὶ μόνης τῆς διαιρέσεως ὁρίζεται· φαίη δ' ἄν τις πρὸς τοῦτο, ὅτι οἱ ὁρισμοὶ φῶς εἰσι τῶν ὁριστῶν· δέον οὖν πρῶτον διδάξαι ἡμᾶς διὰ τοῦ ὁρισμοῦ τὸ καθέκαστον γύμνασμα, εἶθ' οὕτω τἄλλα τὰ περὶ αὐτοῦ ἀκριβολογεῖσθαι, ὡς ἂν μαθόντες πρῶτον τὴν φύσιν τοῦ προκειμένου διὰ τοῦ ὁρισμοῦ μᾶλλον παρακολουθῶμεν τοῖς λεγομένοις περὶ αὐτοῦ.

Χρεία ἐστὶν ἀπόμνημόνευμα σύντομον. Ὁ μὲν Ἀφθόνιος λέγει τὴν χρείαν εἶναι ἀπομνημόνευμα εὐστόχως ἐπὶ πρόσωπον ἀναφέρουσαν, ὁ δὲ Ἑρμογένης ἀπομνημόνευμα λόγου τινὸς ἢ πράξεως, ἢ τὸ συναμφότερον σύντομον ἔχον δήλωσιν, ὡς ἐπὶ τὸ πλεῖστον χρησίμου τινὸς ἕνεκα· ἀλλ' οὐκ ἔστιν ἀνεπίληπτος ὁ παρὰ τοῦ Ἑρμογένους ἀποδοθεὶς τῇ χρείᾳ λόγος, διὰ τοὺς διαζευκτικοὺς συνδέσμους, οὓς οὐ δέον ἐν ὁρισμοῖς τίθεσθαι, ὡς καὶ προλαβόντες εἰρήκαμεν· ἕτεροι δὲ πάλιν οὕτως αὐτὴν ὡρίσαντο, χρεία ἐστὶ λόγος ἢ πρᾶξίς τις εὔστοχος καὶ σύντομος, εἴς τι πρόσωπον ὡρισμένον ἔχουσα τὴν ἀναφοράν, ἐπανόρθωσίν τινος τῶν ἐν τῷ βίῳ παραλαμβανομένη· ἔστι μὲν οὖν καὶ οὗτος ὁ λόγος τῆς χρείας ἐπιλήψιμος διὰ τὰ αὐτά, δι' ἃ καὶ ὁ Ἑρμογενικός, ἔτι δὲ καὶ ὅτι οὐδὲ πάσας τὰς χρείας δηλοῖ. τάς τε γὰρ μικτὰς καὶ τὰς χαριεντισμοῦ ἕνεκα λαμβανομένας παρίησιν· ὁ μέντοι Ἑρμογένης φαίνεται καὶ ταύτας παραλαμβάνων, φημὶ τὰς χαριεντισμοῦ ἕνεκα, διὰ τὸ εἰπεῖν τὸ ὡς ἐπὶ τὸ πλεῖστον, ἀλλὰ φέρε τοὺς ἄλλους ἀφέντες τὸν τοῦ Ἀφθονίου σκοπήσωμεν.

Ἀπομνημόνευμα. Τὸ ἀπομνημόνευμα εἶναι βούλονται μνήμην καὶ λόγον περιφερομένως· παρείληπται

οὖν τὸ μὲν ἀπομνημόνευμα ἀντὶ γένους, παρόσον καὶ τὸ ἀπομνημόνευμα διαιρεῖται εἴς τε τὸ σύντομον, ὡς αἱ χρεῖαι, καὶ εἰς τὸ ἐκτεταμένον, ὡς τὰ οὕτως ὀνομαζόμενα ἀπομνημονεύματα, μακρὰ ὄντα καὶ ἐξηπλωμένα, ὡς ἔχει ἐκεῖνο· [1] Μιθριδάτης, Ἀριοβαρζάνου παῖς, ἑταῖρος ἦν Δημητρίου τοῦ Πολιορκητοῦ, καὶ καθ' ἡλικίαν συνήθης· ἐθεράπευε δὲ τὸν πατέρα Δημητρίου Ἀντίγονον οὔτε ὢν οὔτε δοκῶν πονηρός· ἐκ δ' ἐνυπνίου τινὸς ὑποψίαν Ἀντιγόνῳ παρέσχεν· ἐδόκει γὰρ μέγα καὶ καλὸν πεδίον ἐπιὼν ὁ Ἀντίγονος ψήγματα [2] χρυσίου κατασπείρειν· ἐξ αὐτοῦ δὲ πρῶτον μὲν ὑποφύεσθαι χρυσοῦν θέρος, ὀλίγῳ δ' ὕστερον ἐπελθὼν ἰδεῖν οὐδὲν, ἀλλ' ἢ τετμημένην καλάμην· λυπούμενος δὲ καὶ περιπαθῶν [3] ἀκοῦσαί τινων λεγόντων, ὡς ἄρα Μιθριδάτης εἰς Πόντον Εὔξεινον οἴχεται, τὸ χρυσοῦν θέρος ἐξαμησάμενος· ἐκ τούτου ταραχθεὶς καὶ τὸν υἱὸν ὁρκώσας σιωπήσειν ἔφρασε τὴν ὄψιν αὐτῷ, καὶ ὅτι πάντως τὸν ἄνθρωπον διαφθείρειν ἔγνωκεν· ἀκούσας δὲ ὁ Δημήτριος ἠχθέσθη σφόδρα καὶ τοῦ νεανίσκου, καθάπερ εἴωθε, γενομένου παρ' αὐτῷ καὶ συνιόντος ἐπὶ σχολῆς, φθέγξασθαι μὲν οὐκ ἐτόλμησεν, οὐδὲ τῇ φωνῇ κατειπεῖν διὰ τὸν ὅρκον, ὑπαγαγὼν [4] δὲ μικρὸν ἀπὸ τῶν φίλων, ὡς ἐγεγόνεισαν μόνοι καθ' αὑτούς, τῷ στύρακι τῆς λόγχης κατέγραψεν εἰς [5] τὴν γῆν ὁρῶντος αὐτοῦ· φεῦγε Μιθριδάτα· συνεὶς δὲ ἐκεῖνος ἀπέδρα νυκτὸς εἰς Καππαδοκίαν· ἀλλ' ὅπερ ἐλέγομεν, τὸ μὲν ἀπομνημόνευμά ἐστιν ἀντὶ γένους· τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν, τό τε σύντομον καὶ τὸ εὐστόχως ἐπὶ τὸ πρόσωπον ἀναφέρουσα, χωρίζοντα τὴν χρείαν, τὸ μὲν σύντομον ἀπὸ τῶν ἀπομνημονευμάτων· ἐκεῖνα γὰρ οὐκ εἰσὶ σύντομα, ὡς ἐδεί-

1 Plut. Vita Demetrii c. 4. 2 Vind. ψῆγμά τι. Plut. ψήγματα. 3 Vind. παραπαθών. 4 Schaefer. ad Plut. ἀπαγαγών. 5 Vind. κατέγραψε τὴν γῆν. recepi εἰς ex Plut.

κνυμεν· τὸ δὲ εἴς τι πρόσωπον ἀναφέρουσα διὰ τοῦ ὁρισμοῦ διδάσκει ἡμᾶς στοχαζομένους πρῶτον, τίς ἐστιν ὁ εἰρηκὼς οὕτω τὴν χρείαν εἰς αὐτὸν ἀναφέρειν, καὶ μὴ τυχὸν, εἰ Πλάτων εἶπε, λέγειν, ὅτι Ἰσοκράτης ἤτις ἕτερος εἴρηκεν· αὐτίκα γὰρ ἐπεὶ τῆς μελετηθείσης τῷ Ἀφθονίῳ χρείας χρησαμένου τοῦ διδασκάλου τῷ ῥητῷ τοῦ Ἡσιόδου, τῷ·[6]

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν,

εἰ κἀγὼ μέλλων χρήσασθαι τῷ ῥητῷ ἀντὶ τοῦ εἰπεῖν, ὥς πού φησιν Ἡσίοδος, εἴπω ὥς πού φησιν ὁ Ἀφθόνιος, εἰρηκαμέν τι πλὴν οὐκ εὐστόχως· τινὲς δὲ οὕτως εἶπον, ἁρμόδιος ὀφείλει εἶναι ἡ χρεία τῇ προκειμένῃ ὑποθέσει· εἰ γὰρ φέρε εἰπεῖν ὁρῶμέν τινα σπεύδοντα κατὰ πάντα κερδαίνειν, τότε εὐστόχως ἂν εἴποιμι πρὸς αὐτὸν τὸ Μενάνδρειον·[7]

Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει·

εἰ δὲ πρὸς ἀνειμένον καὶ ῥᾴθυμον τοῦτο εἴπομεν, οὐκ εὔστοχος ἔσται ὁ λόγος. ὁ μέντοι Γεωμέτρης οὕτως ἑρμηνεύει τὴν λέξιν· τὸ εὐστόχως πρόσκειται, διότι μὴ πᾶσα πρᾶξις ἢ λόγος ἤδη καὶ χρεία, ἀλλὰ μόνος ὁ εὐστόχως λεγόμενος ἢ πραττόμενος· εὐστόχως δὲ λέγεται ὅ τις ἐν βραχεῖ ἢ ἔργῳ ἢ ῥήματι πολλὴν τὴν διάνοιαν περιέχει καὶ ὀξύτητα, ἢ εὐβουλίαν ἢ ἐμπειρίαν, ἤ τινα ἄλλην ἀρετὴν κατηγορεῖ τοῦ λέγοντος· τῶν γὰρ χρειῶν οὕτω πάσας εὑρίσκομεν, τὰς μὲν τοῦ λογικοῦ μέρους ἡμῶν τῆς ψυχῆς ἀρετήν τινα δεικνυούσας,[8] τὰς δὲ τοῦ ἀλόγου, εἴτ' οὖν παθητικὰς, τοῦ θυμοῦ λέγω καὶ τῆς ἐπιθυμίας· οὕτω γοῦν τὸ μέν· „Πυθαγόρας ἐρωτηθεὶς, πόσος ἂν εἴη ὁ τῶν ἀνθρώπων βίος, καὶ βραχύ τι φανεὶς ἀπεκρύψατο,“ σοφίαν ἐλέγχει, τὸ δὲ Λάκων ἐρωτηθεὶς, ποῦ τῆς Σπάρ-

6 Ἔ. κ. Ἡ. 287. 7 Abest ab editione Meinekii. 8 Vind. δεικνύουσαν.

της οἱ ὅροι, καὶ ἀνατείνας τὸ δόρυ καὶ δείξας εἶπεν, ἐνταῦθα, ἀνδρείαν ἢ τινα ἄλλην τῶν ἀρετῶν. Ἐπί τι πρόσωπον ἀναφέρουσα. Ζητεῖται περὶ τῶν προσώπων, εἰς ἃ χρεῖαι ἀναφέρονται, ποίας ὀφείλουσιν εἶναι τάξεως, τῆς τῶν ἀνεξετάστων, ἢ τῆς τῶν ἐξεταζομένων, καὶ εἰ ταύτης, τῆς τῶν ὡρισμένων καὶ κυρίων μόνης, ἢ καί τινος ἄλλης, οἷον τῆς τῶν πρός τι, τῆς τῶν διαβεβλημένων καὶ τῶν ἄλλων, καὶ λέγουσιν, ὅτι ὥσπερ ὁ μῦθος μιᾶς μόνης ποιότητος προσώπου ἀπείχετο, τῆς τῶν ὡρισμένων, τῶν δὲ λοιπῶν ἁπάντων μετεῖχεν, οὕτω καὶ ἡ χρεία ἑνὸς μόνον προσώπου ἀπέχεται, τοῦ φύσει ἀνεξετάστου, τῶν δὲ λοιπῶν ἁπάντων ἔχεται. Ἀναφέρουσα. Τὸ ἀναφέρουσα ἀντὶ τοῦ ἀναφερομένη· σκόπει δὲ, πῶς ἀντὶ τοῦ εἰπεῖν ἀναφερόμενον πρὸς τὸ ἀπομνημόνευμα, ἀναφερομένη εἴρηκε πρὸς τὴν χρείαν· τοῦτο δὲ ἐποίησεν, ἢ ὅτι τιμιώτερόν ἐστι τὸ θηλυκὸν γένος τοῦ οὐδετέρου, ὥσπερ τὸ ἀρσενικὸν τοῦ θηλυκοῦ, καὶ αὐτοῦ τοῦ οὐδετέρου, διὸ καὶ προτιμᾶται τῶν δύο, τοῦ μὲν οὐδετέρου ὡς ἐν ἐκείνῳ, ὁ Ταῦρος τὸ ὄρος μέχρις Ἰβηρίας διήκων· τοῦ δὲ θηλυκοῦ, ὡς παρ᾽ Ὁμήρῳ·

Ἦλθε δ᾽ ἐπὶ ψυχὴ Θηβαίου Τειρεσίαο,
Χρύσεον [9] σκῆπτρον ἔχων·

ἢ οὖν κατὰ τούτων ἀναφέρουσα καὶ οὐκ ἀναφερόμενον εἴρηκεν, ἢ ὅτι ἀδιάφορον ἡγεῖται ποτὲ μὲν πρὸς τὸ ὁριστικὸν ποιεῖν τὴν ἀπόδοσιν, ποτὲ δὲ πρός τι τῶν συμπληρούντων τὸν ὅρον· πρὸς μὲν γὰρ τὸ ὁριστικὸν ποιεῖ τὴν ἀπόδοσιν ὡς ἐνταῦθα· ἡ γὰρ χρεία ὁριστόν ἐστιν ἐνταῦθα, παρόσον καὶ αὐτῆς ἐστιν ὁ προκείμενος ὁρισμός, πρός τι δὲ τῶν ὁριζομένων, ὡς ἐν ἐκείνῳ· γνώμη ἐστὶ λόγος ἐν ὀποφάνσεσι κεφαλαιώδης ἐπί τι προτρέπων· καὶ παρ᾽ αὐτῷ δὲ τῷ Ἑρμογένει ἀδιαφόρως ἐστὶν εὑρεῖν· τὸ

9 Vind. Τειρεσίου, χρύσειον. correxi ex Od. λ, 90.

τοιοῦτον γινόμενον· πῇ μὲν γὰρ καὶ αὐτὸς πρὸς τὸ ὁριστὸν ποιούμενος φαίνεται τὴν ἀπόδοσιν, ὡς ἐν τῷ τετάρτῳ λόγῳ τοῦ περὶ εὑρέσεως βιβλίου· λέγει γὰρ ἐκεῖ οὕτως, πνεῦμά ἐστι σύνθεσις λόγου διάνοιαν ἀπαρτίζον ἐν κώλοις καὶ κόμμασιν· ἀντὶ γὰρ τοῦ εἰπεῖν ἀπαρτίζουσα, ἀπαρτίζον εἶπε, πρὸς τὸ ὁριστὸν τὸν λόγον ἀποδιδούς· πῇ δὲ καὶ πρός τι τῶν συμπληρωτικῶν τοῦ ὅρου τὸν ὁρισμὸν ἀποδίδωσιν, ὡς ἐν τῷ περὶ ἐπιφωνήματος λόγῳ ποιεῖ· φησὶ γὰρ οὕτως· ἐπιφώνημά ἐστι λόγος ἔξωθεν ἐπὶ τῷ πράγματι παρ' ἡμῶν λεγόμενος.

Χρειώδης δὲ οὖσα προσαγορεύεται χρεία. Καὶ μὴν καὶ τἄλλα προγυμνάσματα χρείωδη εἰσί, προασκοῦσι γὰρ ἡμᾶς τὴν ῥητορικήν· ἔτι δὲ καὶ οἱ ἐν γραφαῖς ἀσχολούμενοι πῇ μὲν κέχρηνται γνώμαις, πῇ δὲ ἠθοποιΐαις, πῇ δὲ κοινοῖς τόποις καὶ τοῖς ἄλλοις· δῆλον οὖν ἐκ τούτων, ὅτι καὶ ταῦτα χρειώδη εἰσί· πῶς οὖν ἡ χρεία μόνη παρὰ τὸ εἶναι χρειώδης εἴρηται· ἔστιν οὖν εἰπεῖν, ὅτι ὥσπερ πλειόνων ὄντων λόγων, οἷς τὸ μυθεῖσθαι, τουτέστι λέγεσθαι, συμβέβηκε, μόνος ὁ ψευδὴς ὢν καὶ εἰκονίζων ἀλήθειαν παρὰ τοῦτο εἴρηται, οὕτω καὶ πλειόνων χρειωδῶν ὑπαρχόντων προγυμνασμάτων οὐδὲν ἀπεικὸς τὴν χρείαν μόνην παρὰ τοῦτο εἰρῆσθαι, ἢ ὅτι χρειωδεστέρα τῷ λόγῳ τῶν ἄλλων προγυμνασμάτων ἐστὶν ἡ χρεία, διὰ τοῦτο οὕτως εἴρηται κατ' ἐξοχήν, ὥσπερ καὶ τὸν Δημοσθένην ῥήτορα λέγομεν, καίτοι καὶ ἄλλων πολλῶν ὄντων ῥητόρων, καὶ τὸν Ὅμηρον ποιητὴν, καὶ τὸν Θουκυδίδην συγγραφέα, καὶ τὸν Πλάτωνα φιλόσοφον· τί οὖν ἂν ἴσως εἴποι τις, καὶ τῆς γνώμης ἡ χρεία χρειωδεστέρα ἐστί; καί φαμεν, ὅτι ναὶ, εἴγε πιστικωτέρα ἡ χρεία, διὰ τὸ τοῦ εἰρηκότος ἢ πράξαντος ἔνδοξον· οὐ γὰρ τοσοῦτον πεισθείη ἂν ὁ ἀκροατὴς τῷ, πόνοι γεννῶσι δόξαν, κάματοι δὲ προξενοῦσι στεφάνους, ὅπερ ἐστὶ γνώμης, ὅσον εἰ καὶ τὸ εἰρηκὸς προστεθείη πρόσωπον,

ἵνα γένηται, οἷον ὅτι ὁ μέγας Βασίλειος εἶπε, πόνοι γεννῶσι δόξαν, κάματοι δὲ προξενοῦσι στεφάνους· τινὲς δέ φασι διὰ τοῦτο εἰρῆσθαι χρείαν, διότι οἱ παλαιοὶ ἐν χρείᾳ γενόμενοι αὐτῶν διά τινα περίστασιν ἐξέφερον αὐτὰς, οἷον Διογένει ἐπιστὰς Ἀλέξανδρος καθεύδοντι εἶπεν,

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα· [10]

ἐν χρείᾳ γὰρ τοῦ εἰπεῖν τοῦτον τὸν λόγον ἐγένετο, διὰ τὸ τὸν Διογένην καθεύδειν· φαμὲν οὖν ἡμεῖς πρὸς τοῦτον, ὅτι ἀλλ' οὐ πᾶσαι τοιαῦταί εἰσιν αἱ χρεῖαι, αὐτίκα τῶν λογικῶν χρεῖαι καθ' ἑκούσιον ἀποφαντικαὶ, οὐ διά τινα φανερὰν περίστασιν ἐν χρείᾳ τοῖς εἰρηκόσιν ἐγένετο, ὡς ἔχει καὶ αὕτη· „ὁ Πλάτων τοὺς τῆς ἀρετῆς κλῶνας ἱδρῶτι καὶ πόνοις ἔλεγε φύεσθαι·“ κἀκείνη· „Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν ἔφη πικρὰν, γλυκεῖς δὲ τοὺς καρποὺς·“ εἰ δέ τις ἐρεῖ, ὅτι καὶ αὗται διά τινα αἰτίας περίστασιν ἐῤῥήθησαν, [11] οἷον ὅτι στοχαζόμενος καὶ σκοπῶν ὁ Πλάτων τὴν ἀρετὴν ἱδρῶσι φυομένην καὶ πόνοις ταῦτα εἴρηκε, καὶ ὅτι πάντας τοὺς ἀρετῆς ἐρῶντας διδάξαι θέλων ὁ Ἰσοκράτης ὡς ἱδρῶσι καὶ πόνοις φύεται ἀρετὴ ἕνεκα τούτου οὕτως εἴρηκε, σκοπείτω, ὅτι κατὰ τοῦτον τὸν λόγον καὶ αἱ γνῶμαι πᾶσαι χρεῖαι ὤφειλον λέγεσθαι· ἄλλοι δέ φασιν, ὅτι ἐπειδὴ οὐκ ἐπικεκαλυμμένην ἔχει τὴν παραίνεσιν, ὥσπερ ὁ μῦθος, ἀλλὰ γυμνὴν τὴν συμβουλὴν, εἰκότως χρεία ὠνόμασται κατ' ἐξοχήν· ἐναργεστέρα γὰρ ἡ ἀπ' αὐτῆς ὠφέλεια, οἷον χρειώδης καὶ ἀναγκαία. Προσαγορεύεται χρεία. Ζητεῖται διὰ τί οὐκ εἶπεν, ὀνομάζεται, ἢ καλεῖται ἢ λέγεται, ἀλλὰ τὸ προσαγορεύεται ἀντὶ τούτων λαλεῖ; ἢ ὅτι ἐπειδὴ τὰ προσηγορικὰ ὀνόματα τὰ κοινὰ λέγονται, οἷον τὸ ἄνθρωπος, ἵππος, ῥήτωρ, στρατηγὸς, πατὴρ, υἱὸς, καὶ τὰ τοιαῦτα· ἔστι δὲ καὶ τὸ τῆς χρείας ὄνομα τοιοῦτον,

10 Il. β, 24. 11 Laur. ἐῤῥέθησαν.

κοινὸν γάρ ἐστι καὶ αὐτὸ, διὰ τοῦτο εἶπε, προσαγορεύεται· τουτέστι προσηγορικὸν καὶ κοινὸν ἔχει τὸ χρεία, ἐδύνατο δὲ, εἴπερ ἐβούλετο, ἀντὶ τοῦ προσαγορεύεται ὀνομάζεται εἰπεῖν· παρόσον εἴτι προσηγορία, τοῦτο καὶ ὄνομά ἐστι· τὸ γὰρ ὄνομα ὡς γένος διαιρεῖται εἰς εἴδη, εἵς τε τὸ κύριον καὶ τὸ προσηγορικὸν καὶ τὰ λοιπά. Τῆς δὲ χρείας τὸ μέν ἐστι λογικὸν μετὰ τὴν ἐτυμολογίαν τῆς χρείας, καὶ ἐπὶ τὴν διαίρεσιν αὐτῆς ἔρχεται. Ζητεῖται διατί τεσσάρων τρόπων διδασκαλικῶν ὄντων, διαιρετικοῦ, ὁριστικοῦ, ἀποδεικτικοῦ καὶ ἀναλυτικοῦ, χρώμενος ὁ σοφιστὴς τοῖς δυσὶ τούτοις ἐν τῷ παρόντι, τῷ διαιρετικῷ καὶ τῷ ὁριστικῷ, οὐ συνέταξεν ἀλλήλοις αὐτούς, ἀλλὰ διέστησε τὸν διαιρετικὸν ἀπὸ τοῦ ὁριστικοῦ, διὰ μέσης τῆς ἐτυμολογίας τοῦ ὀνόματος τῆς χρείας; καί φαμεν, ὅτι τὸν μὲν ὁρισμὸν ἀναγκαίως προέταξεν, ὡς καὶ ἀνωτέρω δέδεικται, διότι αὐτός ἐστιν ὁ διδάσκων ἡμᾶς τὴν φύσιν τῆς χρείας, διὰ τοῦ ὁρισμοῦ δὲ οὔτε τῇ ἐτυμολογίᾳ τῆς χρείας, οὔτε τοῖς ἄλλοις ἐδυνήθη μὲν ἂν παρακολουθῆσαι· μετὰ δὲ τὸν ὁρισμὸν ἐπειδὴ ἐγίνωσκεν ἡμᾶς ἅτε τῇ γραμματικῇ ἐνησκημένους καὶ ἐτυμολογεῖν εἰθισμένους τὴν αἰτίαν τῆς ὀνομασίας ζητήσοντας, καὶ περὶ ταύτης διαπορήσοντας, διὰ τοῖτο ταύτην εὐθὺς παρέδωκε, τὴν δὲ διαίρεσιν μετὰ ταῦτα ἔθηκεν, ἵν' εὐθὺς ἀπὸ τῆς διαιρέσεως ὡς τὴν ἀπαρίθμησιν τῶν κεφαλαίων τῶν κατασκευαζόντων τὰ διαιρεθέντα εἴδη χωρήσῃ, καὶ τοῦτο ἐν πᾶσι σχεδὸν εἴωθε τηρεῖν τοῖς γυμνάσμασι· φημὶ δὴ τὸ μετὰ τὴν διαίρεσιν ἐπὶ τὰ κατασκευαστικὰ τοῦ γυμνάσματος εὐθὺς μεταβαίνειν κεφάλαια, οὕτω γὰρ ἐν τῷ διηγήματι πρῶτον ὁρισάμενος τὸ διήγημα, εἶτα τὴν διαφορὰν τοῦ διηγήματος καὶ τῆς διηγήσεως παραδοὺς, καὶ διελὼν τὸ διήγημα, εὐθὺς μετὰ τὴν διαίρεσιν ἐπι τὰ ὡσανεὶ κεφάλαια τοῦ διηγήματος

τὰ περιστατικὰ δηλαδὴ μετεχώρησε,[12] καὶ τῷ ἐγκωμίῳ δὲ καὶ τῷ ψόγῳ καὶ τοῖς ἄλλοις τοῦτο ποιεῖ.

Τῆς δὲ χρείας τὸ μέν ἐστι λογικόν. Ἰστέον, ὅτι ἡ χρεία οὐ μόνον διαίρεσιν ἔχει, ἀλλὰ καὶ ὑποδιαίρεσιν καὶ ἐπιδιαίρεσιν· καὶ διαίρεσις μὲν αὐτῆς ἐστιν ἡ εἰς τὰ τρία ταῦτα τομή, ὑποδιαίρεσις δὲ καὶ ἡ τοῦ λογικοῦ εἴδους τῆς χρείας εἴς τε τὸ ἀποφαντικὸν καὶ εἰς τὸ ἀποκριτικὸν τομή, ὧν ἑκάτερα πάλιν ὑποδιαιρεῖται, οἷον τὸ μὲν ἀποφαντικὸν εἴς τε τὸ καθ' ἑκούσιον ἀποφαντικόν, καὶ εἰς τὸ κατὰ περίστασιν· καὶ καθ' ἑκούσιον μέν ἀποφαντικόν ἐστιν, οἷον Ἰσοκράτης τοὺς εὐφυεῖς τῶν μαθητῶν θεῶν παῖδας ἔφασκεν εἶναι, ἢ Πλάτων τοὺς τῆς ἀρετῆς κλώνας ἱδρῶτι καὶ πόνοις ἔλεγε φύεσθαι· κατὰ περίστασιν δὲ ἀποφαντικόν ἐστιν, ἐν ᾧ ἔκ τινος περιστάσεως ἐπὶ τὸν λόγον κεκίνηται ὁ τὸν λόγον εἰπὼν ἐν τῇ λεγομένῃ παρ' ἡμῶν χρείᾳ, οἷον Διογένης ἰδὼν πλούσιον ἀπαίδευτον εἶπεν, οὗτός ἐστιν ἵππος[13] περιηργυρωμένος. τὸ δὲ ἀποκριτικὸν πάλιν διαιρεῖται ἔς τε τὸ κατ' ἐρώτησιν καὶ τὸ κατὰ πύσμα, καὶ τὸ κατ' ἐρώτησιν αἰτιῶδες καὶ τὸ ὁμωνύμως τῷ γένει καλούμενον ἀποκριτικόν. διαφέρει δὲ πύσμα τῆς ἐρωτήσεως τῷ ἐκείνην μὲν ἄρνησιν ἔχειν μόνην ἢ συγκατάθεσιν τὸ ναὶ ἢ οὔ· πολλάκις δὲ καὶ διὰ σχήματος μόνην ἀνάνευσιν ἢ κατάνευσιν· τοῦτο δὲ μακροτέραν ἀπαιτεῖν τὴν ἀπόκρισιν· καὶ κατ' ἐρώτησιν μέν ἐστιν, οἷον Πιττακὸς ὁ Μιτυληναῖος ἐρωτηθείς, εἰ λανθάνει τις τοὺς θεοὺς κακὰ πράττων, ἔφη, ὅτι μηδὲ διανοούμενος, ἀρκούσης καὶ μόνης τῆς ἀποφάσεως. κατὰ πύσμα δέ, οἷον Θεανὼ ἡ Πυθαγορικὴ φιλόσοφος ἐρωτηθεῖσα, ποσταία ἀπὸ ἀνδρὸς γυνὴ καθαρὰ τοῖς θεσμοφορίοις κάτεισιν, εἶπεν, ὡς μὲν ἀπὸ τοῦ ἀνδρὸς τοῦ ἰδί-

12 Vind. μετεχώρηκε. 13 apud Theonem p. 203, 8. ὗπος. Omnino Theo l. l. ad haec et sqq. conferendus.

ἰδίου παραχρῆμα, ἀπὸ δὲ τοῦ ἀλλοτρίου οὐδέποτε. τὸ δὲ κατ᾽ ἐρώτησιν αἰτιῶδες τοιοῦτόν ἐστιν, ὅταν μὴ μόνον ἀποκρινώμεθα, ἀλλὰ καὶ τὴν αἰτίαν ἀποδιδῶμεν τῆς ἀποκρίσεως, οἷον εἰ λέγομεν, ὅτι Σωκράτης ἐρωτηθεὶς, εἰ εὐδαίμων αὐτῷ δοκεῖ ὁ Περσῶν βασιλεὺς, ἔφησε μὴ εἰδέναι, μηδὲ γὰρ [14] εἰδέναι πῶς ἔχει παιδείας· πρὸς γὰρ τῇ ἀποκρίσει καὶ τὴν αἰτίαν ἀποδέδωκε ταύτης τῆς ἀποφάσεως. ἔστι καὶ τὸ ἀποκριτικὸν τέταρτον ὄν, ὃ μήτε ἐρώτησιν ἔχει μήτε ἀπόκρισιν, πρὸς δέ τινα λόγον ἁπλῶς ἀντίῤῥησιν, οἷον Διογένους ἀριστῶντός ποτε καὶ Πλάτωνα παριόντα πρὸς τὸ ἄριστον προσκαλέσαντος, ὁ Πλάτων, ὡς χάριεν ἦν ἄν σου, Διόγενες, τὸ ἄπλαστον, ἔφη, εἰ μὴ πλαστὸν ἦν. ἤτε οὖν τοῦ λογικοῦ εἰς τὰ τοιαῦτα τομὴ ὑποδιαίρεσίς ἐστι τῆς χρείας καὶ ἡ τῆς πρακτικῆς πάλιν εἰς ἐνεργητικὴν καὶ παθητικήν· καὶ ἐνεργητικὴ μέν ἐστιν, ἐν ᾗ ποιῶν τις ὑπόκειται, οἷον Πυθαγόρας ἐρωτηθεὶς, πόσος ἂν εἴη τῶν ἀνθρώπων βίος, βραχύ τι φανεὶς ἀπεκρίψατο· ἢ Διογένης, ἰδὼν ἀδδηφάγον παῖδα, τὸν παιδαγωγὸν ἔπαισε· παθητικὴ δὲ, ἐν ᾗ πάθος τι ὑποσημαίνεται, οἷον Διδύμων ὁ αὐλητὴς ἁλοὺς ἐπὶ τῇ μοιχείᾳ ἐκ τοῦ ὀνόματος ἐκρεμάσθη. καὶ αὗται μὲν αἱ ὑποδιαιρέσεις τῆς χρείας· ἔχει δὲ καὶ ἐπιδιαίρεσιν, καθὸ ἐξ ὑπαρχῆς πάλιν ἡ χρεία διαιρεῖται εἰς τὰς γνωμολογικὰς, εἰς τὰς κατ᾽ ἐνθύμησιν, εἰς τὰς κατὰ παράδειγμα, εἰς τὰς συμβολικὰς, εἰς τὰς τροπικὰς, εἰς τὰς κατ᾽ εὐχὴν, εἰς τὰς κατὰ ἀμφιβολίαν, εἰς τὰς κατὰ μετάληψιν, εἰς τὰς συνεζευγμένας. καὶ γνωμολογικαὶ μέν εἰσιν, ὅσαι περί του [15] καθολικοῦ κοινὴν ἀπόφασιν ἔχουσιν, ἐν οἷς καὶ τὰ τῶν ἑπτὰ σοφῶν ἀποφθέγματα, ὥσπερ ὁ Βίας τὴν φιλαργυρίαν μητρόπολιν εἶναι πάσης κακίας· ἀπο-

14 μηδὲ γὰρ εἰδ. Vind. om. restitui ex Schol. Ald. 15 Vind. περὶ τοῦ. scr. περί του. Schol. Ald. περί τινος.

δεικτικαὶ δὲ, ὅσαι καὶ τῆς οἰκείας ἀποφάσεως τὴν ἀπόδειξιν κατευθὺς ἀπολαμβάνουσιν, ὥσπερ Ἰσοκράτης τοῖς γνωρίμοις παραινῶν τῶν γονέων τοὺς διδασκάλους προτιμᾷν ὑπεδείκνυεν,[15*] ἐπιφέρων, οἱ μὲν γὰρ τοῦ ζῆν, οἱ δὲ τοῦ εὖ ζῆν γεγόνασιν αἴτιοι· κατὰ χαριεντισμὸν δὲ, ὅσαι ἀστειότητά τινα ἐμφαίνουσιν, οἷον Φιλίππου πρὸς Λακεδαιμονίους γράψαντος πολλὰ καὶ δεινὰ, αὐτοὶ πρὸς αὐτὸν ἀντέγραψαν· Λακεδαιμόνιοι Φιλίππῳ· Διονύσιος ἐν Κορίνθῳ γράμματα· διὰ γὰρ τοῦ παραδείγματος μετ' αὐτὸν ἐπιστρέφουσι, καὶ ὑπομιμνήσκουσι τῆς τυραννίδος, ὅσον οὔπω καταλυθησομένης, καὶ Ἀλέξανδρος δὲ παραινούμενος παρὰ τῶν φίλων συλλέξαι χρήματα ἔφη, οὐκ ὤνησαν οὐδὲ Κροῖσον· κατ' εὐχὴν δὲ, ὥσπερ ἱστορεῖται περὶ τοῦ παιδοτρίβου Λάμωνος. οὗτος γὰρ χωλὸς ὢν καὶ τῶν ὑποδημάτων ἀφαιρεθεὶς, εἶθε, φησὶν, ἐναρμόσειαν τοῖς τοῦ κλέπτου ποσί· συμβολικαὶ δὲ, ὅσαι διὰ συμβόλων τινῶν αἰνίττονται, ἅπερ βούλονται, οἷα καὶ ἡ τοῦ Διογένους, ὃς μειράκιον ἰδὼν ἐκ μοιχοῦ ποτε βάλλον εἰς τὸ πλῆθος λίθον, οὐ παύσῃ, ἔφη, μειράκιον, μὴ ἀγνοοῦν παίσῃς τὸν πατέρα· συμβάλλεσθαι γὰρ ἡμῖν δέδωκεν, ὡς οὐκ ἐξ ὡρισμένου προσώπου τὸ μειράκιον ἦν· τροπικαὶ δὲ, ὅσαι ταῖς λέξεσι μεταφορικαῖς χρῶνται, ὥσπερ ὁ Πλάτων τοὺς τῆς ἀρετῆς κλῶνας ἱδρῶσι καὶ πόνοις ἔλεγε φύεσθαι· κατὰ ἀμφιβολίαν δὲ, ὅσαι κατά τινα τρόπον, καθ' ὅσους ἂν ἡ ἀμφιβολία γένηται, γίνονται, ὡς ἔχει τὸ Ἰσοκράτης τινὸς αὐτῷ συνιστῶντος παῖδα,[16] καὶ ἐρομένου, τίνος αὐτῷ δεῖ, γραφιδίου, ἔφη, καινοῦ καὶ πινακιδίου καινοῦ·[17] ἄδηλον γὰρ ἐνταῦθα, πότερον λέγει, πινακίδος καινῆς καὶ γραφιδίου καινοῦ, ἢ πινακίδος τε

15* Codd. ὑπεδείκνυεν. Lege ἀπεδείκνυεν. 16 Vind. παιδός. Lectio nata ex compendio scribendi in Laur. παι. 17 καὶ πινακ. καινοῦ Vind. om., restitui ex Sch. Ald.

καὶ φρενὸς, καὶ πάλιν, γραφιδίου τε καὶ φρενός· αἱ δὲ κατὰ μετάληψιν τότε γίνονται, ὅταν ἄλλο μὲν τὸ ἐρωτώμενον, ἄλλο δὲ τὸ ἀποκρινόμενον, μεταλαμβανόντων ἡμῶν ἀφ' ἑτέρων εἰς ἕτερον, οἷον καὶ τὸ τοῦ Ἐπαμινώνδου· οὗτος γὰρ ἀμφισβητούντων τινῶν παρὰ [18] πότον, πότερος [19] μᾶλλον αὐλητὴς κρείττων, Ἀντιγενίδης ἢ Σάτυρος, ἐμοὶ μὲν, ἔφη, στρατηγὸς Πολυσπέρχων. αἱ δὲ συνεζευγμέναι οὐκ ἄλλαι παρὰ ταύτας, ἀλλ' ἐκ τούτων συνίστανται, ὅταν δύο πολλάκις καὶ τρεῖς συνέλθωσι κατὰ ταὐτόν· εἰ γοῦν τῇ παραδειγματικῇ ἐκείνῃ τῇ, „Ἀλέξανδρος ἐρωτηθεὶς, ποῦ τοὺς θησαυροὺς ἔχει, ἔδειξε τοὺς φίλους", ἥνπερ καὶ συμβολικὴν εἶναι λέγομεν· εἰ ταύτῃ γοῦν προσθήσομεν ὡς ἐπεῖπεν, ὧν καὶ Κροῖσος ἀμοιρῶν ἦν κατὰ καιρὸν ἀτυχῶν· ἡ αὐτὴ καὶ μικτὴ εὑρίσκεται καὶ συνεζευγμένη· μικτὴ μὲν διὰ τὴν πρᾶξιν, ὡς τοὺς φίλους δείξαντος καὶ τὸν λόγον ὡς ἐπειπόντος· συνεζευγμένη δὲ, ὡς διὰ τὸν Κροῖσον παραδειγματικὴ διὰ τὴν αἰτίαν καὶ ἀποδεικτική. οὕτως οὖν τῆς χρείας, ὡς δέδεικται, καὶ διαιρέσεις καὶ ἐπιδιαιρέσεις καὶ ὑποδιαιρέσεις ἐχούσης, ζητεῖται διατί οὔτε περὶ τῶν ὑποδιαιρέσεων αὐτῆς οὔτε περὶ τῶν ἐπιδιαιρέσεων ὁ σοφιστὴς περιέλαβεν. καί φαμεν, ὅτι ὥσπερ ἐπὶ τοῦ διηγήματος διαφερόντων τῶν διηγημάτων ἀλλήλων καὶ κατὰ τὰ πρόσωπα καὶ κατὰ τὰ πράγματα τὴν κατὰ τὰ πρόσωπα παρῆκεν ὡς ποικιλωτέρας δεομένην διδασκαλίας, οὕτω κἀνταῦθα τὰς ἐπιδιαιρέσεις καὶ τὰς ὑποδιαιρέσεις τῆς χρείας παραλιπὼν ὡς ποικίλας καὶ πραγματειώδεις, [20] τὴν εἰς τὸ λογικὸν καὶ πρακτικὸν καὶ μικτὸν τομὴν μόνην ἡμῖν παραδέδωκε, πᾶσαν χρείαν ἐν τοῖς τρισὶ τούτοις περιλαβών· καὶ γὰρ τὰ εἰς ἃ ἡ διαίρεσις καὶ ἡ ἐπιδιαίρεσις καὶ αἱ

18 παρὰ Theo p. 209, 8. περὶ Vind. 19 Vind. ποῖος. Theo πότερος. 20 Vind. πραγματιώδεις.

ὑποδιαιρέσεις γεγόνασιν, εἰς τὰ τρία ταῦτα ἀνάγονται. Τὸ μέν ἐστι λογικόν· Ζητεῖται ἀπὸ ποίου λόγου λέγεται λογικὸν τὸ τοιοῦτον εἶδος τῆς χρείας, πότερον ἀπὸ τοῦ ἐνδιαθέτου, ὥσπερ καὶ λογικὸς μῦθος ἀπ' αὐτοῦ τούτου ἐλέγετο· καὶ γὰρ διὰ τὸ πλάττεσθαι ἀνθρώπους ἐν αὐτῷ τι ποιοῦντας, οἳ τῷ ἐνδιαθέτῳ λόγῳ κοσμοῦνται, διὰ τοῦτο λέγεται· ἢ ἀπὸ τοῦ προφορικοῦ· διὰ γὰρ τὸ λόγους ἐν αὐτῷ τινων σοφῶν ἀπομνημονεύεσθαι, οὐ μὴν πράξεις λέγεται λογικόν.

Οἷον ὁ Πλάτων τοὺς τῆς ἀρετῆς κλῶνας ἱδρῶσι καὶ πόνοις ἔλεγε φύεσθαι· ἡ παροῦσα χρεία ἔστι μὲν λογική, καθ' ἑκούσιον δέ ἐστιν ἀποφαντική· ἔστι δὲ καὶ τροπικὴ καὶ συνεζευγμένη· λογικὴ μὲν διὰ τὸ λόγῳ δηλοῦν τὴν ὠφέλειαν, καθ' ἑκούσιον δὲ ἀποφαντική, διότι οὐκ ἔκ τινος περιστάσεως ἐκινήθη ὁ Πλάτων πρὸς τὸ εἰπεῖν τὸν τοιοῦτον λόγον· τροπικὴ δὲ διὰ τὸ μεταφορικὰς ἔχειν τὰς λέξεις· συνεζευγμένη δὲ διὰ τὸ ἐπιπλακῆναι ἐν αὐτῇ τό τε καθ' ἑκούσιον ἀποφαντικὸν καὶ τροπικόν.

Οἷον Πυθαγόρας ἐρωτηθεὶς, πόσος ἂν εἴη ὁ τῶν ἀνθρώπων βίος, βραχύτι φανεὶς, ἀπεκρύψατο· ἡ τοιαύτη χρεία ἔστι μὲν πρακτικὴ καὶ ἐνεργητικὴ, ἔστι δὲ καὶ συμβολικὴ καὶ κατὰ περίστασιν καὶ συνεζευγμένη· πρακτικὴ μέν, καθὸ σημαίνει πρᾶξιν, ἐνεργητικὴ δὲ καθό τι ποιῶν δείκνυται ἐν αὐτῇ ὁ Πυθαγόρας, εἰς ὃν αὐτὴ ἀναφέρεται· κατὰ περίστασιν δὲ, καθὸ ἔκ τινος περιστάσεως ἐπὶ τὴν τοιαύτην ἐκινήθη πρᾶξιν ὁ Πυθαγόρας· συμβολικὴ δὲ, καθὸ διὰ συμβόλου τινὸς ἀπέδειξεν ὁ Πυθαγόρας, ὅπερ ἐβούλετο· συνεζευγμένη δὲ διὰ τὸ συνελθεῖν ἐν αὐτῇ ταῦτα πάντα, τό τε ἐνεργητικὸν καὶ τὸ κατὰ περίστασιν καὶ τὸ συμβολικόν. Ζητεῖται δὲ, διατί μὴ καὶ ἡ παροῦσα χρεία μικτὴ λέγεται· ἔχει γὰρ καὶ λόγον καὶ πρᾶξιν, λόγον μὲν τὴν ἐρώτησιν, πρᾶξιν

δὲ τὸ βραχὺ φανέντα τὸν φιλόσοφον ἀποκρύψασθαι· καὶ λέγομεν, οὐχὶ τὰ τῆς ἐρωτήσεως ῥήματα δεῖ σκοποῦντα ἀπ' αὐτῶν λογικὴν τὴν χρείαν λέγειν, οὐ γὰρ ἐρώτησίς ἐστιν ἡ χρεία, ἀλλ' ἡ πρὸς τὴν ἐρώτησιν ἀπόκρισις ἢ πρᾶξις· αὕτη γάρ ἐστιν ἡ δηλοῦσα τὴν ὠφέλειαν, οὐχ ἡ ἐρώτησις· οὕτως οὖν τὸ μὲν „Πυθαγόρας ἐρωτηθεὶς, πόσος ἂν εἴη ὁ τῶν ἀνθρώπων βίος, βραχύ τι φανεὶς ἀπεκρύψατο," πρακτικὴν ἐροῦμεν χρείαν, ἐπεὶ τὸ πρὸς τὴν ἐρώτησιν ἐπενεχθὲν πρᾶξίς ἐστιν, οὐκ ἀπόκρισις· τὸ δὲ „Λάκων ἐρωτηθεὶς, ποῦ τῆς Σπάρτης οἱ ὅροι, ἀνατείνας τὸ δόρυ καὶ δείξας εἶπεν, ἐνταῦθα," μικτὴν, διότι πρὸς τὴν ἐρώτησιν καὶ πρᾶξις ἀπήντησε καὶ λόγος ὁμοῦ.

Οἷον Διογένης μειράκιον ἑωρακὼς ἀτακτοῦν, τὸν παιδαγωγὸν ἔπαισεν εἰπών, τί γὰρ τοιαῦτα παιδεύεις; ἡ παροῦσα χρεία ἔστι μὲν μικτὴ, ἔστι δὲ κατὰ τὴν πρᾶξιν ἐνεργητικὴ, κατὰ δὲ τὸν λόγον ἀποκριτικὴ, κατ' ἀμφότερα δὲ ἐκ περιστάσεως, ἔτι δὲ καὶ συνεζευγμένη· καὶ μικτὴ μέν ἐστι, καθὸ καὶ πρᾶξιν ἅμα καὶ λόγον συνέχει· ἔστι δὲ κατὰ μὲν τὴν πρᾶξιν ἐνεργητικὴ, καθὸ ἐν αὐτῇ τι ποιήσας δείκνυται ὁ Διογένης, κατὰ δὲ τὸν λόγον ἀποκριτικὴ, καθὸ πρός τινα πρᾶξιν ἔχει ἁπλῶς ἀντίῤῥησιν· κατ' ἀμφότερα δέ ἐστιν ἐκ περιστάσεως, καθὸ καὶ τὴν πρᾶξιν ἐνήργησε καὶ τὸν λόγον εἶπεν ὁ Διογένης διὰ τὸ ἰδεῖν τὸ μειράκιον ἀτακτοῦν· συνεζευγμένη δέ ἐστι, διότι ταῦτα πάντα ἐν αὐτῷ συνῆλθον.

Τῆς δὲ χρείας τὸ μέν ἐστι λογικὸν, τὸ δὲ πρακτικὸν, τὸ δὲ μικτόν. Ἤ διαφόρως ταῦτα τέτακται, διὰ τὴν τῶν εἰδῶν ὁμοτιμίαν, ἢ ὅτι ἐπειδὴ τὰ προκείμενα γυμνάσματα λογικῆς[20*] εἰσι πραγματείας, εἰκότως καὶ τὴν διὰ λόγων χρείαν προτάττει τῆς πρακτικῆς, ἀμφότερα δὲ, τὸ λογικόν φημι τῆς χρείας εἶδος καὶ τὸ πρακτικὸν, προτάττει τοῦ μικτοῦ ὡς ἁπλούστερα, ὃν τρό-

20* Codd. λογικῶς.

πον καὶ ἐπὶ τοῦ μύθου τὸ λογικὸν καὶ ἠθικὸν προέταξε τοῦ μικτοῦ. Ἡ μὲν οὖν διαίρεσις αὕτη τῆς χρείας. Ζητεῖται τίνος χάριν τοῦτο εἴρηκεν, ὡς κἂν τοῖς ἑξῆς μὴ διαιρῶν τὴν χρείαν. καὶ μὴν διαιρεῖ αὐτὴν εἰς τὰ ἐν αὐτῇ κεφάλαια κατὰ τὴν ἀπὸ ὅλου εἰς μέρη ἀνομοιομερῆ διαίρεσιν. ἔστι δὲ μία τῶν διαιρέσεων καὶ αὕτη, δι' ἣν καὶ τὸ περὶ τῶν στάσεων βιβλίον περὶ διαιρέσεως ὀνομάζεται· καί φαμεν, ὅτι ἀλλ' ἡ κυρίως τῆς χρείας διαίρεσις αὕτη ἐστί· κατὰ ταύτην γὰρ ὡς γένος εἰς εἴδη διαιρεῖται· ἡ δὲ ἐπιφερομένη οὐ κυρίως ἐστὶ διαίρεσις· τὴν δὲ αἰτίαν φθάσαντες εἴπομεν. ἢ οὐδὲ διαίρεσις ἡ ἐπιφερομένη ἐστὶν, ἀλλ' ἐπιδιαίρεσις μᾶλλον. Ἐργάσαιο δ' αὐτὴν τοῖς δε τοῖς κεφαλαίοις· ἀντὶ τοῦ κατασκευάσεις, βεβαιώσεις· ἐνταῦθα δὲ γενόμενός τις τῶν ἐξηγητῶν ἀπορεῖ λέγων, ὅτι εἰ κατασκευάζειν τὴν χρείαν ἔστι τὸ προγύμνασμα, πῶς οὐχὶ καὶ ἀνασκευάσομεν αὐτήν· ῥητορικῆς γάρ ἐστιν ἴδιον ἐπιχειρεῖν εἰς ἑκάτερα, καὶ ἐπιλύει τὴν τοιαύτην ἀπορίαν ὁ αὐτὸς λέγων, μὴ ἀκόλουθον εἶναι τὴν ἀνασκευὴν τῆς χρείας διὰ τὴν ἕξιν τῶν νέων, οὔτε γὰρ, φησὶν, ὡς ἐν εἰσαγωγῇ κρατύνειν αὐτοὺς τὴν φύσιν τῶν ἐπιχειρημάτων ἐάσομεν, οὐδ' εἰς ἕνα προσέχειν σκοπὸν, καὶ ἄτοπον, ὡς πρὸς νέον ἀνατρέπειν τὸ ὀρθῶς εἰρῆσθαι δοκοῦν ἢ πεπρᾶχθαι καλῶς· ὁμοῦ γὰρ καὶ ἤθους γίνεται διδασκαλία καὶ τοῦ λέγειν καλῶς, καὶ ὅπερ ἐστὶν κυριώτατον, κατὰ μέρος κρατύνειν τὸν εἰσαγόμενον τὴν γυμνασίαν παρασκευάσομεν, ὅτι πρὸς τούτοις, εἰ μὲν μὴ δυνατὸν ἦν ἐν ἄλλοις τοὺς τῆς ἀνασκευῆς τρόπους μαθεῖν, καλῶς εἶχεν ἡμᾶς εἰς τοὐναντίον ἐνταῦθα γυμνάσασθαι· εἰ δ' ἔστιν ἀνασκευὴ πάλιν ἄλλο προγύμνασμα, τῶν ἀτοπωτάτων ἐστὶ πρὸς τὸ δοκοῦν εἶναι καλὸν ποιεῖσθαι τὴν μάχην· ἔτι καὶ πολλοὶ, φησὶ, βιωφελῆ τὴν χρείαν εἰρήκασιν, οὐκοῦν ἐναντία τοῖς ὅροις ποιήσομεν τὸ παρὰ ταύτης ἀνασκευάζοντες χρήσιμον· ἔτι κατ' ὀλίγον

ἐπαύξειν δεῖ τὰ μαθήματα· πρῶτον οὖν γυμνασόμεθα τῇ κατασκευῇ τῆς χρείας καὶ τῆς γνώμης, εἶτα τοῦτο τὸ μέρος κρατύναντες διὰ τῆς ἀνασκευῆς καὶ κατασκευῆς, ὡς ἐπί τι μεῖζον τὴν εἰς ἑκάτερα παρεχόμεθα γυμνασίαν· ὅτι δὲ μεῖζόν ἐστι τῆς χρείας ἐκεῖνο τὸ μάθημα, ἐξ αὐτῶν τῶν ὑποκειμένων ἔστι συνιδεῖν, ἐν μὲν γὰρ ταῖς χρείαις λόγος ἐστὶν ἡ πρᾶξις συντόμως, ἐν δὲ τῇ τῶν διηγημάτων ἀνασκευῇ ὁλοκλήρου πράγματος τυγχάνει περίστασις. καὶ ταῦτα μὲν οἱ παλαιότεροι τῶν ἐξηγητῶν· ὁ δὲ Γεωμέτρης τάδε περὶ αὐτοῦ τούτου φησίν· ἀνασκευάζομεν δὲ καὶ κατασκευάζομεν τὰς χρείας, οὐ πάσας, οὐδὲ ἀεί, ἀλλ' ὥσπερ ἐν τοῖς διηγήμασιν οὔτε τὰ λίαν σαφῆ οὔτε τὰ παντελῶς ἀδύνατα, οὕτω δὴ καὶ ἐπὶ τούτων οὔτε τὰς λίαν ἀμέμπτως ἐχούσας κατασκευάσομεν ἢ ἀνασκευάσομεν· τὸ μὲν γὰρ περιττόν, τὸ δὲ ἀδύνατον· οὔτε τὰς λίαν μοχθηρῶς καὶ ἐπισφαλῶς· αὐτόθεν γὰρ ἔχουσιν ὑποφαινομένην τὴν ἀτοπίαν· ἀλλ' ὅσαι μέσην τὴν φύσιν ἔχουσι καὶ τὴν πρὸς ἑκάτερα δέχονται μεταχείρισιν. περὶ δὲ ἀνασκευῆς καὶ κατασκευῆς τῆς χρείας οὐ ταυτὰ ἡμῖν τε καὶ τοῖς πρὸ ἡμῶν ἔδοξεν. [21] οἱ μὲν γὰρ ταύτην κατασκευάζουσιν ἀπὸ τοῦ ἐγκωμιαστικοῦ καὶ παραφραστικοῦ κεφαλαίου [22] καὶ τῶν λοιπῶν, ὧν ἐμνημόνευσε καὶ Ἀφθόνιος· ἀνασκευάζοντες δὲ ἐκ τοῦ ἀσαφοῦς ταύτην ἀνασκευάζουσι καὶ ἐκ τοῦ ἐλλιποῦς καὶ πλεονάζοντος· ἡμεῖς δὲ περὶ τῶν αὐτῶν φαμεν εἶναι τάς τε ἀνασκευὰς καὶ κατασκευὰς τῶν τόπων.

Ἀπορεῖται καὶ τοῦτο, εἰ κατασκευή ἐστι χρείας τὸ προγύμνασμα, γυμναζόμεθα δὲ καὶ διηγημάτων κατασκευήν, περιττὴ ἡ διδασκαλία τῆς χρείας, περιττὴ δὲ καὶ ἡ γυμνασία τῆς γνώμης τυγχάνει. πρὸς δὴ τοῦτό φαμεν, ὅτι ἕτερόν ἐστι λόγου ποιεῖσθαι κατασκευήν, ὅπερ ἐστὶν

21 Vind. ἔθηκεν. 22 Vind. φα sequente brevi lacuna. Idem compendium scribendi in Laur. sine lacuna.

ἐν τῇ χρείᾳ καὶ τῇ γνώμῃ, καὶ ἕτερον ὁλοκλήρου πράγματος, ὅπερ ἐστὶν ἐν τῇ κατασκευῇ τοῦ διηγήματος· ἄλλως τε δὲ μὴ δυναμένου τοῦ νέου κατασκευὴν πολλῶν ἐργάσασθαι ἀθρόον, ὅπερ ἐστὶν ἐν τῇ κατασκευῇ, (πολλοὶ γὰρ ἐκεῖ λόγοι καὶ πολλαὶ πράξεις ἐν ὅλῳ τῷ διηγήματι) ἐπὶ τὰ συντομώτερα τὸν γυμναζόμενον ἄγομεν, ὡς ἂν τῶν μικρῶν πρῶτον περιγενόμενος ἱκανὸς ἐπὶ τῶν πλειόνων γενήσεται. Ἐργάσαιο δ' αὐτὴν τοῖσδε τοῖς κεφαλαίοις· αὐτήν, φησὶ, τὴν χρείαν προθέντες δεῖ ἐργάσασθαι τοῖς ἑξῆς κεφαλαίοις. προβαλοῦμεν δὲ τὴν χρείαν καὶ κατ' εὐθεῖαν πτῶσιν καὶ κατὰ γενικὴν καὶ δοτικὴν καὶ αἰτιατικήν· κατὰ μὲν εὐθεῖαν, ὡς ἔχει τό· Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν ἔφη πικρὰν, γλυκεῖς δὲ τοὺς καρποὺς, καὶ τὸ, ὁ Πλάτων τοὺς τῆς ἀρετῆς κλῶνας ἱδρῶσι καὶ πόνοις ἔλεγε φύεσθαι· κατὰ δὲ γενικὴν, εἰ [23] μὲν λογικὴ εἴη ἡ χρεία, οἷον Πιττακοῦ τοῦ Μιτυληναίου ἐρωτηθέντος, εἰ λανθάνει τις τοὺς θεοὺς κακὰ πράττων, λόγος ἀπομνημονεύεται εἰπόντος, ὅτι μηδὲ διανοούμενος· ἔτι δὲ καὶ οὕτως. Ἰσοκράτους τοὺς εὐφυεῖς τῶν μαθητῶν θεῶν παῖδας εἰπόντος, τὸ ῥηθὲν μνήμης ἔτυχε· πλὴν κατὰ μὲν τὸ πρῶτον πάσας τὰς λογικὰς ἐξενεκτέον χρείας, κατὰ δὲ τὸ δεύτερον μόνας τὰς καθ' ἑκούσιον ἀποφαντικάς. οὕτω μὲν οὖν τὰς λογικὰς χρείας κατὰ γενικὴν [24] προβαλοῦμεν, τῶν δὲ πρακτικῶν τὰς μὲν ἐνεργητικὰς, οἷον Πυθαγόρου ἐρωτηθέντος, πόσος ἂν εἴη ὁ τῶν ἀνθρώπων βίος, καὶ βραχύ τι φανέντος καὶ ἀποκρυβέντος, τὸ πραχθὲν μνήμης ἔτυχε· τὰς δὲ παθητικὰς, οἷον Διδύμωνος τοῦ αὐλητοῦ ἐπὶ μοιχείᾳ ἁλόντος, καὶ ἐκ τοῦ ὀνόματος κρεμασθέντος, τὸ συμβὰν μνήμης ἔτυχε· κατὰ δὲ δοτικὴν τὰς μὲν λογικὰς, οἷον Πιττακῷ τῷ Μι-

23 Vind. ἡ. Scr. εἰ coll. Theone p. 211, 5. 24 Vind. γενητικήν. Scr. γενικήν.

τυληναίῳ ἐρωτηθέντι, εἰ λανθάνει τις τοὺς θεοὺς κακὰ πράττων, ἐπῆλθεν εἰπεῖν, ὅτι οὐδὲ διανοούμενος· ὁμοίως δὲ καὶ, εἰ ἀντὶ τοῦ ἐπῆλθεν εἰπεῖν, τὸ παρίστη εἰπεῖν, ἢ ἔδοξιν ἢ ἐφάνη ἐροῦμεν, κατὰ δοτικὴν τὴν χρείαν ἐκφέροιεν· τὰς δὲ πρακτικὰς, οἷον Πυθαγόρᾳ ἐρωτηθέντι, πόσος ἂν εἴη ὁ τῶν ἀνθρώπων βίος, ἔδοξε μικρόν τι φανῆναι καὶ ἀποκρύψασθαι· κατὰ δὲ αἰτιατικὴν, εἰ μὲν λογικὴ εἴη, οἷον Πιττακὸν Μιτυληναῖον, ἐρωτηθέντα, εἰ λανθάνει τις τοὺς θεοὺς κακὰ πράττων, λέγεται εἰπεῖν, ὅτι μηδὲ διανοούμενος· εἰ δὲ πρακτικὴ, οἷον Πυθαγόραν ἐρωτηθέντα, πόσος εἴη ὁ τῶν ἀνθρώπων βίος, λέγεται μικρόν τι φανέντα ἀποκρύψασθαι. Ἰστέον δὲ, ὅτι τοῖς ἐξηγηταῖς δοκεῖ τοῖς τε ἄλλοις καὶ αὐτῷ τῷ Γεωμέτρῃ, ὡς ποτὲ μὲν ἐκτείνειν ἐφεῖται τὴν χρείαν, ποτὲ δὲ καὶ συστέλλειν· καὶ συστέλλεται μὲν, φησὶν, ἁπλῶς οὕτως ἀπαγγελλόντων ἡμῶν, οἷον Σωκράτης [25] ποτὲ τὴν ἐπὶ θάνατον ἀγόμενος, καὶ Ἀπολλοδώρου τινὸς αὐτῷ τῶν γνωρίμων ἀκολουθοῦντος καὶ λέγοντος, ἀδίκως σου θάνατον, ὦ Σώκρατες, Ἀθηναῖοι κατεψηφίσαντο, γελάσας ἔφη· σὺ δὲ ἐβούλου δικαίως; ἅτε γὰρ ἐνθυμηματικῶς καὶ συνεσταλμένως ἐξηνέχθη. εἰ μέντοι ἐκτεῖναι ταύτην βουληθείημεν, οὕτως ἐροῦμεν· Σωκράτης ἀνὴρ σοφός τε καὶ ἀγαθὸς, καὶ τοὺς νέους ἐπὶ τὰ κρείττονα προτρέπων διὰ φθόνον Ἄνυτον καὶ Μέλιτον ἐπὶ τὴν κατηγορίαν ἐκίνησε· διὰ δὲ τὴν τοῦ ἤθους ἐπιείκειαν καὶ χρηστότητα μήτε πρὸς δικαστὰς ἀπολογησάμενος, μήτε μὴν διὰ τὴν μεγαλοψυχίαν τῷ βουλευτηρίῳ προσδραμεῖν βουλευσάμενος, ἀλλὰ προθύμως ἀφ' ἑαυτοῦ πρὸς τὸν θάνατον ἀπαγόμενος, ἄξιος γὰρ ἦν οὐκ αὐτὸς ὀδυρμῶν, ἀλλ' ἡ τῶν Ἀθηναίων ἐδόκει πόλις τοιούτου χρήματος ἑαυτὴν ἀποστεροῦσα, κατη-

25 Theo p. 208, 4. Xen. Apol. 28.

κολούθουν δὲ καὶ τῶν γνωρίμων πολλοὶ καὶ πάντες οἰκεῖοι μετά τε τῆς γυναικὸς καὶ τῶν τέκνων, ἐν αὐτοῖς δὲ μάλιστα καὶ Ἀπολλόδωρος, ὃς καὶ τῶν ἄλλων πλείονα τὴν πρὸς αὐτὸν φιλίαν καὶ οἰκείωσιν ἔχων πολλὰ θρηνῶν καὶ ἀποκλαιόμενος καὶ συνεχῶς τοῦτον ἀνακαλούμενος, καὶ τὴν αἰτίαν δὲ παρ' αὐτοῦ τούτου διερωτώμενος, δι' ἣν οὕτω περιπαθῶς λίαν ἔχει καὶ ἀφορήτως, διότι σοῦ, φησὶν, ἀδίκως Ἀθηναῖοι, ὦ Σώκρατες, θάνατον κατεψηφίσαντο. ἡδὺ γοῦν αὐτίκα πρὸς αὐτὸν ὁ Σωκράτης ἀπιδών τε καὶ μειδιάσας, σὺ δέ, ἔφη, Ἀπολλόδωρε, δικαίως ἐβούλου με ἀποθνήσκειν; καὶ οὕτω μὲν οἱ ἐξηγούμενοι καὶ ἐκτείνεσθαι τὰς χρείας φασὶ καὶ συστέλλεσθαι·[26] ἡμῖν δὲ δοκεῖ σύντομον ἀεὶ δεῖν προτείνειν τὴν χρείαν, ἵνα μὴ λάθωμεν ἀπομνημόνευμα μᾶλλον, οὐ χρείαν εἰς μελέτην προβάλλοντες· ἔτι δὲ καὶ ἵνα μὴ παρὰ τὸ δοκοῦν τῷ σοφιστῇ ποιοῦντες φαινώμεθα ὁριζομένῳ αὐτὴν ἀπομνημόνευμα σύντομον· εἰ δὲ καὶ ἐκτείνειν αὐτὴν βουλόμεθα, ἀλλ' οὐχὶ καὶ ἐν τῇ οἰονεὶ προτάσει καὶ προβολῇ τῆς χρείας τοῦτο ποιήσομεν, ἀλλ' ἐν τῷ παραφραστικῷ κεφαλαίῳ, καὶ γὰρ ἐν ἐκείνῳ τὴν ἑρμηνείαν ἀλλοιοῦντες καὶ τὰ τοῦ μήκους ἐναλλάττειν δυνάμεθα.

Ἐργάσαιο δ' αὐτὴν τοῖσδε τοῖς κεφαλαίοις. τὸ κεφάλαιον εἶναι βούλονται· μέρος λόγου, ἀπόδειξιν ἔχον τοῦ προκειμένου πράγματος, ἐκ νοημάτων καὶ ἐπιχειρημάτων συγκείμενον. Ἰστέον δέ, ὅτι τὰ τῆς χρείας κεφάλαια οὐκ εἰσὶ τῇ ἀληθείᾳ κεφάλαια, οὐ γὰρ ἐκ νοημάτων καὶ ἐπιχειρημάτων σύγκεινται, αὐτὰ δὲ μᾶλλον ἀναλογοῦσιν ἐπιχειρήμασι καὶ ἐργασίαις, ἐξ ὧν τὸ κεφάλαιον σύγκειται. Ζητεῖται οὖν, πῶς τὴν αἰτίαν, ἥτις ἀναλογεῖ ἐπιχειρήματι, καὶ τὸ ἀπὸ τοῦ ἐναντίου καὶ τὴν παραβολὴν καὶ τὸ παράδειγμα ἐργασίαις ἀναλογοῦν-

26 Vind. στέλλεσθαι. Scr. συστέλλεσθαι.

τα κεφάλαια ὁ Ἀφθόνιος ὀνομάζει. φησὶ γὰρ, „ἐργάσαιο δ' αὐτὴν τοῖσδε τοῖς κεφαλαίοις," ὅπου δὲ πολὺ δήπου διενηνόχασιν ἐργασία καὶ ἐπιχείρημα πρὸς κεφάλαιον, εἴγε τὰ μὲν μέρεσιν ἀναλογοῦσι, τὸ δὲ κεφάλαιον ὅλῳ, ὥσπερ γὰρ τὸ ὅλον ἐκ τῶν μερῶν συνίσταται, οὕτω καὶ τὸ κεφάλαιον ἐκ τῶν ἐπιχειρημάτων καὶ ἐργασιῶν, ἔτι γε μὴν ἐνθυμημάτων καὶ ἐπενθυμημάτων. φαμὲν οὖν, ὅτι ἢ ἀδιαφόρως αὐτὰ ὀνομάζει κεφάλαια, ἢ ὅτι ὥσπερ ἐν τοῖς πολιτικοῖς λόγοις, οἷον ἐν τῷ στοχασμῷ κεφάλαια ὀνομάζονται τὰ τοῦ ἀγωνιστικοῦ μέρους, οἷον τὸ παραγραφικὸν καὶ ἡ τῶν ἐλέγχων ἀπαίτησις, καὶ τὰ λοιπὰ ὡς ἔκκριτα καὶ τιμιώτερα τῶν ἄλλων ἀπὸ μεταφορᾶς τῆς κεφαλῆς, οὕτω καὶ ταῦτα κεφάλαια ὀνομάζει ἐνταῦθα, διότι καὶ διὰ τούτων μόνων σκευάζεται τὸ προκείμενον. σημείωσαι δὲ, ὅτι ὁ Γεωμέτρης δύο φησὶ κεφάλαια ταῦτα κατασκευάζεσθαι ἐν τῇ μελέτῃ τοῦ Ἀφθονίου, τό τε χαλεπὸν καὶ τὸ ἔνδοξον, καὶ τὸ ἕτερον ὑπὸ τοῦ ἑτέρου λύεσθαι, οἷον τὸ χαλεπὸν παρὰ τοῦ ἐνδόξου, ὅπερ καὶ ἀντιπαραστάσεως ἔχει λόγον· δεχόμενοι γὰρ, φησὶ, τὸ χαλεπὸν εἶναι τὴν παιδείαν, διὰ τοῦ ἐνδόξου πρὸς ταύτην διερεθίζομεν, ὡς εἰ καὶ χαλεπὸν, ὅμως δεῖ ἐπιχειρεῖν τῷ ἐπιτηδεύματι, καὶ ταῦτα μέν φησιν εἶναι δύο κεφάλαια τὰ κατασκευαζόμενα, τὰ δὲ πρὸς αὐτὰ βλέποντα καὶ ταῦτα κατασκευάζοντα ἐπιχειρήματά φησιν εἶναι καὶ ἐργασίας, τὰς μὲν αἰτίας ἐπιχειρήματα, τὰς δὲ παραβολὰς καὶ τὰ παραδείγματα καὶ τὰς μαρτυρίας ἐργασίας. Ἐγκωμιαστικῷ. Ἰστέον, ὅτι τὸ ἐγκωμιαστικὸν ἀναλογεῖ προοιμίῳ, ὥσπερ καὶ τὸ προοίμιον ἐμποιεῖ εὔνοιαν τοῖς ἀκροαταῖς πρὸς τὸν λέγοντα, οὕτω καὶ τὸ ἐγκωμιαστικὸν· ἐμποιεῖ γὰρ καὶ αὐτὸ εὔνοιαν τοῦ εἰρηκότος τὴν χρείαν· ἀξιοῦσιν οὖν αὐτὸ βραχὺ ὅτι μάλιστα εἶναι, καὶ μὴ τοῖς ἐγκωμιαστικοῖς τόποις πλατύνεσθαι, ἵνα μὴ μεῖζον τοῦ παραφραστικοῦ τοῦ ἀναλογοῦντος τῇ διηγήσει

γένηται· οὐδὲ γὰρ εἰκὸς τὸ προοίμιον μεῖζον εἶναι τῆς διηγήσεως· καί τινες πρὸς τοῦτο ἠπορήκασι λέγοντες· εἰ τὸ μὲν ἐγκώμιον κατὰ τέχνην γίνεται καὶ τοῖς ἐγκωμιαστικοῖς πλατύνεται τόποις, ὡς ἐν τῷ περὶ ἐγκωμίου λόγῳ μανθάνομεν, ὁ δὲ ἔπαινος ἐν βραχεῖ, πάντως καὶ τὸ παρὸν κεφάλαιον, εἴγε δέοι αὐτὸ βραχὺ εἶναι, καὶ μὴ τοῖς ἐγκωμιαστικοῖς ποικίλλεσθαι τόποις, οὐκ ἔδει τῷ τοῦ ἐγκωμίου ὀνομασθῆναι ὀνόματι, ἀλλὰ τῷ τοῦ ἐπαίνου. λέγομεν οὖν, ὅτι ἀλλὰ διὰ τοῦτο ἐγκωμιαστικὸν αὐτὸ καὶ οὐκ ἐγκώμιον ὠνομάσθη, ἵν' ἐκ τοῦ οἱονεὶ ὑποκορισμοῦ τὸ ἐνυπάρχον αὐτῷ ἐλάχιστον δηλωθῇ. Ἰστέον δέ, ὅτι τοῦ ἐγκωμιαστικοῦ ὕλη ἐστὶν, εἰ μὲν ὡρισμένα καὶ κύρια εἴη τὰ πρόσωπα, αἱ πράξεις καὶ τῶν πράξεων αἱ κυριώτεραι. τούτων δὲ ὅσαι μέν εἰσιν ἰδιάζουσαι τῷ ὑποκειμένῳ προσώπῳ, θετικῶς εἰσαχθήσονται, αἱ δὲ ἄλλαι κατὰ παράλειψιν, ὥσπερ καὶ ἐπὶ τῆς μελέτης τῆς μελετηθείσης τῷ Ἀφθονίῳ εὑρίσκομεν· ἐν ταύτῃ γὰρ αὐτὸς τὰς ἀφορμὰς τοῦ ἐγκωμιαστικοῦ ἀπὸ τῶν πράξεων λαμβάνων, πράξεις γάρ εἰσι τοῦ Ἰσοκράτους τὰ πονηθέντα αὐτῷ συγγράμματα, τῷ τε κατὰ θέσιν καὶ τῷ κατὰ παράλειψιν χρῆται σχήματι· ἐν μὲν γὰρ τῷ λέγειν, „θαυμάσαι δίκαιον τὸν Ἰσοκράτην τῆς τέχνης, ὃς ὄνομα αὐτῇ κατεφάνη λαμπρότατον, καὶ ὅση τις ἦν, ἀσκῶν ἐπεδείξατο," τῷ κατὰ θέσιν χρῆται σχήματι, ἐν δὲ τῷ, „ὅσα μὲν τοίνυν ἢ βασιλεῦσι νομοθετῶν ἢ παρὼν [26*] τοῖς καθ' ἕκαστον τὸν τῶν ἀνθρώπων εὖ πεποίηκε βίον, μακρὸν ἂν εἴη διεξελθεῖν," τῷ κατὰ παράλειψιν, καὶ ἐν τῇ τῆς γνώμης μελέτῃ τὸ αὐτὸ πάλιν ποιεῖ· καὶ ταῦτα μὲν, εἰ ὡρισμένον εἴη τὸ πρόσωπον, εἰς ὃ ἡ χρεία ἀναφέρεται· εἰ δέ τις τῶν ἄλλων τάξεων εἴη, ὕλη τῷ ἐγκωμιαστικῷ ἔσται τὰ φυσικὰ ἰδιώματα καὶ ἐπιτηδεύματα, οἷον πατὴρ ἢ υἱὸς ὅπως πρὸς ἀλλήλους ἔχουσιν· εἰ δὲ

26* Codd. παρών. Aphthon. παραιτῶν.

ῥήτωρ ἢ στρατηγὸς, ὅπως δυνάμεως πρὸς τὸ βλάπτειν ἡμᾶς ἢ ὠφελεῖν ἔχουσιν· εἰ καὶ κοινὸν καὶ ἐθνικὸν εἴη τὸ πρόσωπον, ἀπὸ τοῦ ἔθνους καὶ τῆς χώρας ἐπαινεσόμεθα, ὥσπερ τοὺς μὲν Λάκωνας ἀπὸ τῆς ἀνδρίας, τοὺς δὲ Ἀθηναίους ἀπὸ τῆς σοφίας, καὶ ἔτι πρὸς τούτοις τῆς φιλανθρωπίας καὶ ἀρχαιότητος, ἅπερ ὡς ἐξαίρετα τῶν ἄλλων τοῖς Ἀθηναίοις δοκεῖ. δεῖ δὲ πειρᾶσθαι καὶ ἰδιάζοντα ἐπὶ τῶν χρειῶν τὰ προοίμια ἡγοῦν τὰ ἐγκωμιαστικὰ ποιεῖν καὶ μὴ κοινὰ, ὥστε ἐπὶ πάσης χρείας τὰ αὐτὰ ἁρμόζει· τοῦτο δ' ἂν γένοιτο, εἰ ἐπὶ τῶν κυρίων προσώπων καὶ ὡρισμένων τὰ κοινὰ παρορῶντες, οἷον ἐπὶ τοῦ Δημοσθένους τὸ Ἀθηναῖον εἶναι, τὸ πρεσβευτὴν, τὸ ῥήτορα, τἆλλα οἷς καὶ ἄλλοι τινὲς ἐπικοινωνοῦσι, τὸ ἰδιαίτατον αὐτοῦ μᾶλλον παραληψόμεθα τὴν δεινότητα, καὶ Ἀριστοτέλους δὲ τὴν τῶν ἐνθυμημάτων πυκνότητα, καὶ ἀφ' ὧν ὁμοίως ἕκαστος χαρακτηρίζεται, ὥσπερ καὶ Φωκίων μὲν ἀπὸ τῆς λιτότητος, Θεμιστοκλῆς δὲ ἀπὸ τῆς συνέσεως, καὶ ἄλλος ἀπὸ σωφροσύνης, ὥσπερ ὁ Πολέμων καὶ ἕτερος ἀπὸ δικαιοσύνης, ὥσπερ Ἀριστείδης.

Παραφραστικῷ. Τὸ παραφραστικὸν ἀναλογεῖν λέγεται τῇ διηγήσει, παρόσον ἐν αὐτῷ ἀφηγούμεθα τὰ πεπραγμένον ἢ λελεγμένον. Δέον οἶν ἐστιν εἰπεῖν, τί διαφέρει παράφρασις, μετάφρασις, ἔκφρασις, ἀντίφρασις καὶ περίφρασις. Περίφρασιν οὖν ποιοῦμεν, ὅτε τι θέλοντες δηλῶσαι, ἐκ τῶν περὶ αὐτὸ τοῦτο δεικνύομεν, οἷον ἀντὶ τοῦ εἰπεῖν Ἡρακλῆς εἶπωμεν βίη Ἡρακλείη· ἡ δὲ μετάφρασις διττή ἐστιν, ἢ γὰρ τὰ ὑψηλὰ καὶ ἀνηγμένα μεταβάλλει εἰς ὑψηλότερα, ὡς αἱ τοῦ Λογοθέτου ἔχουσι μεταφράσεις. Ἔκφρασις δέ ἐστιν ἡ λεπτομερὴς διήγησις· ἀντίφρασιν δὲ ποιοῦμεν, ὅταν τῷ τοῦ ἐναντίου ὀνόματι δηλώσωμεν τὸ προκείμενον. παράφρασις δέ ἐστι τὸ τὰ εἰρημένα μεταβάλλειν εἰς ἕτερα μήτε εὐτελέστερα, μήτε ὑψηλότερα, ἀλλ' ἴσα, καὶ τὰς μὲν λέξεις μόνας ἐξαλλάτ-

τειν, καὶ ἀντ᾽ αὐτῶν ἑτέρας ὁμοίας τιθέναι, τὸν δὲ νοῦν τὸν αὐτὸν φυλάττειν. παραφραστικὸν δὲ καὶ οὐ παράφρασιν τὸ παρὸν ὀνομάζει κεφάλαιον, διότι λόγον ἕνα μόνον, ἢ μίαν πρᾶξιν ἐν αὐτῷ μεταποιοῦμεν, τὴν δὲ παράφρασιν εἶναι βούλονται ἑρμηνείας ἀλλοίωσιν.

Τῷ τῆς αἰτίας. Μετὰ τὸ κεφάλαιον τὸ ἀναλογοῦν προοιμίῳ, δηλονότι τὸ ἐγκωμιαστικὸν, καὶ μετὰ τὸ παραφραστικὸν τὸ ἀναλογοῦν διηγήσει τίθησιν τὰ ἀγωνιστικά· ἀναλογεῖ τοίνυν τὸ μὲν ἀπὸ τῆς αἰτίας κεφάλαιον ἐπιχειρήμασιν ἀπὸ τῆς αἰτίας, τὸ δὲ ἀπὸ τοῦ ἐναντίου καὶ ἡ παραβολὴ καὶ τὸ παράδειγμα ἐργασίαις· αἱ γὰρ ἐργασίαι γίνονται ἀπὸ παραβολῆς, ἀπὸ παραδείγματος, ἀπὸ τοῦ ἐναντίου, ὡς ἐν τῷ περὶ τῶν εὑρέσεων βιβλίῳ μανθάνομεν· ὥσπερ οὖν τὰ ἐπιχειρήματα προτάττονται τῶν ἐργασιῶν, οὕτω καὶ τὸ κεφάλαιον το ἀναλογοῦν ἐπιχειρήματι ἔστι δὲ τοῦτο, τὰ ἀπὸ τῆς αἰτίας προτάττονται τῷ Ἀφθονίῳ τῶν ἄλλων τῶν ἀναλογούντων ἐργασίαις, αὐτῶν δὲ τούτων πάλιν τῶν ἀναλογούντων ἐργασίαις προτάττεται τὸ ἀπὸ τοῦ ἐναντίου, διότι αὐτὸ μὲν ἀποδεικτικόν ἐστι καὶ πολιτικῆς ἐργασίας δεόμενον, ἡ δὲ παραβολὴ καὶ τὸ παράδειγμα πανηγυρικὰ, ὡς ἐν τῷ προοιμίῳ τοῦ τετάρτου τόμου τῶν εὑρέσεων μανθάνομεν. δέον δὲ μετὰ τὰ πανηγυρικὰ τὰ πολιτικὰ τίθεσθαι, ὡς ἐν τῷ τρίτῳ τόμῳ τοῦ περὶ εὑρέσεων βιβλίου ἐν τῷ περὶ τάξεως ἐπιχειρημάτων λόγῳ μανθάνομεν· τὴν δὲ παραβολὴν προτάττει τοῦ παραδείγματος, ἢ ὡς καθολικώτερον μερικωτέρου, ἢ ὅτι καὶ ἐπιτήδειόν ἐστιν ἀπὸ τῆς παραβολῆς χωρεῖν ἐπὶ τὸ παράδειγμα, οὐ μὴν τὸ ἀνάπαλιν· κατασκευαστικὸν γάρ ἐστιν τῆς παραβολῆς τὸ παράδειγμα, οἷον, ὥσπερ γὰρ οἱ γῆν ἐργαζόμενοι πόνῳ μὲν τῇ γῇ καταβάλλουσι τὰ σπέρματα, τοὺς δὲ καρποὺς ἡδονῇ συγκομίζονται μείζονι, τὸν αὐτὸν οἱ παιδείας ἀντιποιούμενοι τρόπον πόνῳ τὴν εἰς ἔπειτα δό-

ξαν εἰλήφασι. τῷ τοῦτο δῆλον; τὸν Δημοσθένους ὅρα μοι βίον, καὶ ἐξῆς τὸ παράδειγμα· ἡ δὲ τῶν παλαιῶν μαρτυρία οὐχ ὅτι τῶν ἄλλων ἐστὶ κεφαλαίων ἀσθενεστέρα, τελευταία τεθειται, ἀλλ' ὅτι μᾶλλον ἰσχυροτέρα ἐστὶν, ἅτε δὴ τῶν ἀτέχνων οὖσα πίστεων, ἰσχυροτέρων ἀεὶ τῶν ἀτέχνων πίστεων οὐσῶν τῶν ἐντέχνων, καὶ διὰ τοῦτο τέθειται τὰς πίστεις ἐπισφραγίζουσα. Τῷ τῆς αἰτίας. Ἐκ πάντων τῶν περιστατικῶν τὴν αἰτίαν μόνην νενομοθέτηται εἰς κατασκευὴν τῆς χρείας παραλαμβάνεσθαι διὰ τὸ εἶναι τιμιωτέραν καὶ κρείττονα τῶν ἄλλων περιστατικῶν· διὰ τοῦτο γὰρ καὶ τῶν πολιτικῶν ζητημάτων, ὅσα μὴ ἔχει αἰτίαν, ἀσύστατά εἰσιν, ὡς ἐπὶ τῶν στοχαστικῶν· νόμος τὰς ἱερείας παρθένους εἶναι· ἱερειά τις εὑρέθη φορυῦσα ἀτόκιον, καὶ φεύγει πορνείας· οὐκ ἔχει ἐνταῦθα εἰπεῖν ἡ ἱέρεια αἰτίαν εὐπρόσωπον, δι' ἣν φορεῖ τὸ ἀτόκιον, καὶ παρὰ τοῦτο ἀσύστατον μένει τὸ πρόβλημα· κεῖται δὲ τὸ τοιοῦτον πρόβλημα ἀχρώματον. Ἔτι δὲ καὶ ἐν ταῖς τῶν νόμων εἰσφοραῖς εἰ μὲν διά τινα προγεγενημένην αἰτίαν συμβουλεύομεν ἢ τεθῆναι ἢ λυθῆναι τόνδε τὸν νόμον, συνίσταται τὸ πρόβλημα, καὶ ἔστιν ἡ στάσις πραγματικὴ, οἷον ταριχεύειν νόμος τὰ σώματα, ἐμίχθη τις ταριχευομένῳ σώματι, καὶ γράφει τις τὸν τῆς ταριχείας λελῦσθαι νόμον· ἐνταῦθα γὰρ λυθῆναι νόμον κείμενον ἀξιοῦμεν, διά τινα αἰτίαν συμβᾶσαν, καὶ ἔστι τὸ ζήτημα πραγματικῆς στάσεως· ὁμοίως δὲ καὶ ἐὰν μὴ κείμενον νόμον ἀξιῶμεν τεθῆναι διά τινα συμβᾶσαν αἰτίαν ἐκ τοῦ μὴ κεῖσθαι αὐτὸν τὸν νόμον, καὶ οὕτως πραγματικὴ ἔσται ἡ στάσις, οἷον μετακαλεσαμένων Ἀθηναίων Ἀλκιβιάδην ἀπὸ τοῦ ἐν Σικελίᾳ στρατοπέδου καὶ ἐπὶ τούτῳ τοῦ στρατοπέδου ἅπαντος κινδυνεύσαντος γράφει Ἀλκιβιάδης μηδένα στρατηγὸν ἐκ τοῦ στρατοπέδου ἀνακαλεῖσθαι. εἰ δὲ μὴ δι' αἰτίαν συμβᾶσαν ἀξιοῦμεν τεθῆναι ἢ λυθῆναι νόμον, οὐ γίνε-

ται τότε ζήτημα, ἀλλὰ γύμνασμα, οἷον ὡς ἐὰν οὕτω μεταπλάσαντες εἴποιμεν, νόμος ταριχεύειν τὰ σώματα, καὶ γράφει τις τοῦτον λυθῆναι· τοῦτο γὰρ γυμνασία ἐστὶν, οὐ ζήτημα· καὶ πάλιν, γράφει τις μηδένα στρατηγὸν ἀπὸ τοῦ στρατοπέδου μετακαλεῖσθαι· οὐδὲ τοῦτο γάρ ἐστι ζήτημα, καὶ ἁπλῶς τῶν προβλημάτων, ὅσα μὴ ἔχει αἰτίαν, ταῦτα ἀσύστατά εἰσιν, ὡς ἔχει καὶ τοῦτο, ἀποκηρύσσει τις τὸν υἱὸν ἐπ' οὐδεμιᾷ αἰτίᾳ· τοῦτο δὲ καὶ ἀπερίστατον ὀνομάζεται, οὐχ ὅτι οὐδὲν τῶν περιστατικῶν ἔχει· ἔχει γὰρ πάντως καὶ πρόσωπον τὸν πατέρα καὶ τὸν υἱὸν καὶ πρᾶγμα τὴν ἀποκήρυξιν. ἀλλ' ὅτι αἰτίαν τὸ κῦρος τῶν περιστατικῶν οὐκ ἔχει. Ἰστέον δὲ, ὅτι τὸ τῆς αἰτίας κεφάλαιον τὴν τῆς χρείας ἀποδείκνυσι πρόφασιν, οἷον Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν ἔφη πικρὰν, τοὺς δὲ καρποὺς γλυκεῖς. διότι οἱ παιδείας ἐρασταὶ παιδευόμενοι μὲν ὑφίστανται πόνους, εἰς δὲ τέλος τῆς παιδείας ἐλθόντες ἀρεταῖς κοσμοῦνται· πάλιν ὁ Θέογνις [27] εἶπε, χρὴ τὴν πενίην φεύγοντα ῥιπτεῖν ἑαυτὸν καὶ κατὰ κρημνῶν καὶ κατὰ θάλασσαν, παντοῖα δεινὰ ὑφιστάμενον. [28]

Ἐκ τοῦ ἐναντίου. Τὸ ἐκ τοῦ ἐναντίου κεφάλαιον τὸ ἐναντίον ἀποδείκνυσι τῇ προφάσει τῆς χρείας, ἥτις ἐν τῷ τῆς αἰτίας κεφαλαίῳ δείκνυται. οἷον ὁ Ἰσοκράτης φησὶν, ὅτι ὁ παιδείας ἐρῶν πόνων μὲν ἄρχεται, πόνων δὲ ὅμως τελευτώντων εἰς ὄνησιν· τοῦτο τὸ παρὰ τοῦ Ἰσοκράτους ῥηθέν· εἶτα ἡ τούτου πρόφασις· καὶ γὰρ οἱ παιδείας ἐρῶντες τάδε καὶ τάδε κακοπαθοῦντες τέλος ἀνδρωθέντες ἀρεταῖς περιστέφονται. εἶτα τὸ ἐναντίον· εἰ δὲ μὴ τάδε πονήσουσιν, οὐδὲ σπουδαῖοι γενήσονται. καὶ πάλιν, φησὶν ὁ Θέογνις, ὁ πενίᾳ συζῶν ἀγαπᾷ πενεῖν, ἢ τὸν ἥλιον

27 v. 173. 28 Vind. ὑφίσταται.

ἥλιον αἰσχύνης κτήσασθαι μάρτυρα, εἶτα ἡ τούτου πρόφασις· καὶ γὰρ ὁ πενίᾳ συζῶν τάδε ὑφίσταται δεινά, εἶτα τὸ ἐναντίον, ὁ δὲ πενίας ἀπηλλαγμένος οὐδὲν τοιοῦτον ὑφίσταται. *Παραβολῇ, παραδείγματι. Διαφέρει* ἡ παραβολὴ τοῦ παραδείγματος, καθὸ ἡ μὲν ἀπὸ τῶν καθ' ἑκάστην γινομένων λαμβάνεται, ὡς ἔχει τὸ, ὥσπερ γὰρ οἱ γῆν ἐργαζόμενοι, καὶ τὸ, ὥσπερ γὰρ οἱ δεσμῷ κατειλημμένοι δεινῷ· τὸ δὲ παράδειγμα ἀπὸ τῶν ἅπαξ γεγονότων· ὡς ἔχει τὸ, τὸν Δημοσθένους ὅρα μοι βίον, καὶ τὸ, σκόπει τὸν Ἶρον, ὃς Ἰθάκης[29] μὲν εἷς ἐγεγένητο, ἦ καὶ τὸ, ἀλλ' Ὀδυσσεὺς ὁ τῆς Ἰθάκης κρατῶν· ἔτι διαφέρειν λέγουσι παράδειγμα καὶ παραβολὴν τῷ τὸ μὲν παράδειγμα ἀπὸ τῶν λογικῶν ζώων λαμβάνεσθαι μόνων, τὴν δὲ παραβολὴν καὶ ἀπὸ τῶν ἀλόγων, καὶ ἀπὸ τῶν ἀψύχων ἔσθ' ὅτε.

Μαρτυρία παλαιῶν. Ἡ μαρτυρία τῶν παλαιῶν τῶν ἀτέχνων οὖσα πίστεων ἀπήτει τῶν λοιπῶν προταχθῆναι κεφαλαίων· ἐκεῖνα γὰρ ἔντεχνοι πίστεις εἰσὶ· δέον δὲ προτάττεσθαι τὰς ἀτέχνους πίστεις τῶν ἐντέχνων, ἀλλ' ἡ τῶν πραγμάτων φύσις ἐνήλλαξε τὴν τάξιν, οὐ γὰρ ἐνεχώρει τὴν μαρτυρίαν τῶν παλαιῶν ἢ πρὸ τῆς αἰτίας ἢ μετ' αὐτὴν, καὶ πρὸ τοῦ ἐναντίου ταχθῆναι, ἢ πρὸ τῆς παραβολῆς δὲ τοῦ παραδείγματος, καὶ τοῦτο σκοπήσας καθ' ἑαυτὸν συνίδοις· ἄτεχνοι δὲ πίστεις εἰσὶ μαρτυρίαι, ὅρκοι καὶ τὰ τοιαῦτα. *Μαρτυρία παλαιῶν* οὐχ ὡς πρὸς τὸν εἰπόντα τὴν χρείαν, ἀλλ' ὡς πρὸς σὲ τὸν μελετῶντα τὴν χρείαν. Ἰστέον δὲ, ὅτι περὶ τῆς μαρτυρίας τῶν παλαιῶν βούλονται οἱ πρὸ ἡμῶν, ἵνα ὅτε ἀπορῶμεν αὐτῆς, τῷ κατὰ παράλειψιν σχήματι χρώμεθα, λέγοντες οὕτως· πολλοὶς ἦν καὶ παλαιῶν παραθεῖναι λόγους, συνηγοροῦντας τῷ προκειμένῳ, εἰ μὴ τῆς παρού-

29 Vind. Ἰθάκη.

σης ὑποθέσεως τὰ πολλὰ λέγειν ᾄδειν ἀλλότριον. τινὲς δὲ διαφέρειν ἔφασαν μαρτυρίαν καὶ ἐκμαρτυρίαν τῷ ἐγγράφῳ καὶ ἀγράφῳ· τὰ μὲν ἔγγραφα, φασὶ, λέγονται ἐκμαρτυρίαι, [30] τὰ δὲ ἄγραφα μαρτυρίαι, καίτοι τὸ παρὸν κεφάλαιον δι' ἐγγράφων γενόμενον μαρτυρία καὶ οὐκ ἐκμαρτυρία ὠνόμασται.

Ἐπιλόγῳ βραχεῖ. Ἐπίλογος τὸ τελευταῖον μέρος τοῦ λόγου λέγεται, ὡς ἐπὶ τοῖς ἄλλοις μέρεσι τοῦ λόγου λεγόμενον, ὥσπερ καὶ ἐπιμύθιον λέγεται ἡ μετὰ τὸν μῦθον τεθειμένη παραίνεσις. βραχὺν δὲ τοῦτον εἶναι βούλονται, καὶ μὴ μείζονα τῶν ἀγώνων, ὥσπερ οὐδὲ τὸ προοίμιον μεῖζον τῆς διηγήσεως. Ἰστέον δὲ ὅτι ὁ ἐπίλογος ἢ πρὸς τὸ ἐγκωμιαστικὸν κεφάλαιον γίνεται, ὡς ἔχει τὸ, „πρὸς ἃ δεῖ βλέποντας Ἰσοκράτην θαυμάζειν τῆς τέχνης, κάλλιστα περὶ τῆς παιδείας φιλοσοφήσαντα," καὶ τὸ, „ὥστε πῶς ἔνεστι κατ' ἀξίαν θαυμάζειν τὸν Θέογνιν, κάλλιστα περὶ τῆς πενίας φιλοσοφήσαντα," ἢ πρὸς τὸ λοιπὸν, οἷον ὡς ἵνα εἴπῃ τις, ὅτι καλῶς ἄρα τῷ Ἰσοκράτει ἢ τῷ Θεόγνιδι ὁ λόγος ἐγνωμολόγηται. Θαυμάσαι δίκαιον Ἰσοκράτην τῆς τέχνης· λογικὴν χρείαν λαμβάνων ὁ τεχνικὸς διαιρεῖ τοῖς προεκτεθεῖσι κεφαλαίοις, διδάσκων ἡμᾶς, ἵνα καὶ αὐτὰ μελετῶντες χρείαν οὕτως αὐτὴν μεταχειριζώμεθα, ὡς καὶ αὐτὸς ἐν τῷ παρόντι μεταχειρίζεται. ἔστι δὲ ἡ παροῦσα χρεία λογικὴ, καθ' ἑκούσιον ἀποφαντικὴ τροπική· ἀποροῦσι δέ τινες λέγοντες, ὅτι ὥσπερ ἐπὶ τοῦ μύθου τὸ μᾶλλον ἡδύτερον εἶδος εἰς μελέτην μετεχειρίσατο, τοῦτο δὲ ἦν τὸ ἠθικὸν, καὶ ὥσπερ ἐπὶ διηγήματος δραματικὸν ἐμελέτησε διήγημα διὰ τὸ ἐνὸν ἡδὺ τοῖς δραματικοῖς διηγήμασιν, οὕτω πάντως καὶ χρείαν εἴπερ ἐβούλετο μελετῆσαι, τινὰ τῶν χαριεντισμῶν ἕνεκα παραλαμβανομένων ἀκόλουθον ἦν αὐ-

---

α

30 Vind. ἐκμαρτυρίαι.

τῷ μελετῆσαι, ἀλλ' ἰστέον ὅτι ταῖς κατὰ χαριεντισμὸν χρείαις οὐ δέον ἐστὶν ἐγγυμνάζεσθαι διὰ τὸ γέλωτα φέρειν τοῦ λόγου τὴν ἔκβασιν. Ἔτι ζητεῖται, διατί λογικὴν χρείαν εἰς παράδειγμα τῆς διαιρέσεως παρέλαβε, καὶ οὐχὶ πρακτικὴν ἢ μικτήν· καὶ φαμὲν, ὅτι λογικὴν χρείαν μελετᾷ ὁ διδάσκαλος ἔργῳ δεικνὺς, ὅτι οἷς βίος ὁ λόγος, τούτοις καὶ τὰ λογικὰ τῶν πρακτικῶν τιμιώτερον, καὶ ἅμα καθαρωτέραν καὶ τελειοτέραν τὴν τῶν κεφαλαίων διαίρεσιν ἐν ταῖς λογικαῖς χρείαις γινώσκων ὑπάρχουσαν, ἢπερ ἐν ταῖς πρακτικαῖς καὶ μικταῖς, ἢ ὅτι, ὥσπερ ἐν τῷ μύθῳ σκοπὸν ἔχων προτρέψαι τοὺς νέους πρὸς ἐπιμέλειαν καὶ σπουδὴν τὴν περὶ τέχνην, ὃν εὗρισκε μῦθον συμβαλλόμενον τῷ σκοπῷ, τοῦτον ἐξέθετο ἀδιαφόρως, οὕτω κἀνταῦθα σκοπῶν προτρέψαι τοὺς νέους ἔχεσθαι πόνων τῶν περὶ τὴν γνῶσιν, ἣν εὗρισκε χρείαν ἁρμόδιον τῷ σκοπῷ, ταύτην εἰς διαίρεσιν προὔθηκεν, ἢ ὅτι, ἐπειδὴ ὁ Ἑρμογένης ἐν τοῖς φερομένοις αὐτοῦ γυμνάσμασιν ἐπὶ ταύτης τῆς χρείας ἐφαίνετο τὰ τοῦ παρόντος γυμνάσματος παραδειγματίζων κεφάλαια, ἅπερ ἐκεῖνος διὰ [31] βραχέων καὶ ἐν στενῷ ἔλεγε, ταῦτα οὗτος διὰ πλατέων ἐβουλήθη εἰπεῖν, ἅμα καὶ τὰ ἐκείνου διασαφῶν καὶ τὴν ὀφειλομένην μελέτην ἀποδιδούς· ἔχει δὲ τὰ Ἑρμογένους οὕτως· ἐργασία δὲ ἔστω τῆς χρείας τοιαύτη, πρῶτον ἐγκώμιον διὰ βραχέων τοῦ εἰπόντος ἢ πράξαντος· εἶτα αὐτῆς τῆς χρείας παράφρασιν, εἶτα αἰτίαν, οἷον Ἰσοκράτης ἔφη τῆς παιδείας τὴν μὲν ῥίζαν εἶναι πικράν, τὸν δὲ καρπὸν γλυκύν. ἔπαινος. Ἰσοκράτης σοφὸς ἦν, καὶ πλατυνεῖς ἠρέμα τὸ χωρίον· εἶτα καὶ ἡ χρεία, εἶπε τόδε· καὶ οὐ θήσεις αὐτὴν ψιλήν, ἀλλὰ πλατύνων τὴν ἑρμηνείαν· εἶτα ἡ αἰτία· τὰ γὰρ μέγιστα τῶν πραγμάτων ἐκ πόνων φιλεῖ κατορθοῦσθαι. κατορθωθέντα δὲ

31 Vind. τά.

τὴν ἡδονὴν φέρει· εἶτα κατὰ τὸ ἐναντίον· τὰ μὲν γὰρ τυχόντα τῶν πραγμάτων οὐ δεῖται πόνων καὶ τὸ τέλος ἀηδέστατον ἔχει, τὰ σπουδαῖα δὲ τοὐναντίον· εἶτα ἐκ παραβολῆς· ὥσπερ γὰρ τοὺς γεωργοὺς δεῖ πονήσαντας περὶ τὴν γῆν κομίζεσθαι τοὺς καρπούς, οὕτω καὶ περὶ τοὺς λόγους· εἶτα ἐκ παραδείγματος· Δημοσθένης καθείρξας ἑαυτὸν ἐν οἰκήματι καὶ πολλὰ μοχθήσας ὕστερον ἐκομίζετο τοὺς καρποὺς στεφάνους καὶ ἀναῤῥήσεις· ἔστι δὲ καὶ ἐκ κρίσεως ἐπιχειρῆσαι, οἷον Ἡσίοδος μὲν γὰρ ἔφη·[32]

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν,

ἐν δὲ τῷ τέλει παρακλησίας[32*] προσθήσεις, ὅτι χρὴ πείθεσθαι τῷ εἰρηκότι ἢ πεποιηκότι.

Θαυμάσαι δίκαιον Ἰσοκράτην τῆς τέχνης. Διχῶς τοῦτο ἑρμηνεύουσιν, οἱ μὲν γὰρ ἀντὶ τοῦ κατὰ τὴν τέχνην φασὶν, οἱ δὲ ἀντὶ ἕνεκα τῆς τέχνης Ἀττικῶς, ὡς εἶναι ὅμοιον τῷ· „ὁ τὸ ῥόδον θαυμάζων τοῦ κάλλους·" ἔστι δὲ τὸ καλούμενον σχῆμα ἐπίκρισις ἴδιον ὂν τῆς σεμνότητος, μιᾶς οὔσης τῆς σεμνότητος τῶν ποιουσῶν τὸ μέγεθος ἰδεῶν· ἔστι δὲ ἐπίκρισις ἡ τῶν ῥηθέντων ἐπιβεβαίωσις, ὡς ἂν εἰ δημηγορῶν ἐρεῖς, καλῶς ἄρα τὴν ὑπόθεσιν διεξῆλθεν· ἐπικρίνεις γὰρ καὶ οἷον ἐπιλογίζῃ τοῖς μετὰ λογισμοῦ ῥηθεῖσιν.[33] *Ὅς ὄνομα αὐτῇ κατεφάνη λαμπρότατον.* Καὶ τοῦτο διχῶς ἑρμηνεύουσιν· ἢ γὰρ ἀντὶ τοῦ αὐτῆς τῆς τέχνης, ἢ ἀντὶ τοῦ ἐν αὐτῇ τῇ τέχνῃ· τέχνην δὲ λέγουσι τὴν ῥητορικήν. ὄνομα δὲ εἶπε λαμπρότατον ἀναφανῆναι τὸν Ἰσοκράτην τῆς ῥητορικῆς, ἢ δι' αὐτοῦ ἐπαρθείσης αὐτῆς εἰς μέγα καὶ τοῖς ἀνθρώποις ὀνομασθείσης, ἢ ὅτι ἀπ' αὐτῆς παρονομαζόμενος καὶ ῥήτωρ ἀπὸ ταύτης λεγόμενος λαμπρότατος ἐπὶ τῷ ῥητορεύειν Ἰσοκράτης ἐγένετο, ἢ διότι

32 Ἔ. κ. Ἡ. 287. 32* Codd. παρακλησίας. Hermog. ipse παράκλησιν. 33 Vind. ῥηθεῖσι.

Ἰσοκράτης ἐκλήθη ἡ ῥητορικὴ ἀπὸ τοῦ τῶν ἴσων κρατεῖν· ἴσα δὲ λέγεται τὰ ἐνδεχόμενα καὶ δυνάμει γενέσθαι καὶ μὴ γενέσθαι.

Θαυμάσαι δίκαιον. Τὸ μὲν „Θαυμάσαι δίκαιον Ἰσοκράτην τῆς τέχνης“ πρότασίς ἐστι θετικὴ ἐξενηνεγμένη· τὸ δὲ „ὃς ὄνομα αὐτῇ κατεφάνη λαμπρότατον,“ καὶ τὸ, „καὶ ὅση τις ἦν ἀσκῶν ἐπεδείξατο,“ τὸ ὅση τις ἦν ἀντὶ τοῦ ὁπόση τις ἦν κατὰ τὸ μέγεθος· τοῦτο δὲ ὅσον εἶπε, τοὺς ἄλλους ῥήτορας αἰνιττόμενος· τριῶν γὰρ εἰδῶν ὄντων τῆς ῥητορικῆς, συμβουλευτικοῦ, δικανικοῦ, πανηγυρικοῦ, ὁ μὲν Ἰσοκράτης καὶ τοῖς τρισὶν ὁμοίως εὐδοκιμηκὼς φαίνεται, τῶν δὲ ἄλλων ἕκαστος καθ' ἓν μόνον ἢ δύο· αὐτίκα γοῦν ὁ Δημοσθένης τῷ πανηγυρικῷ πολλῷ λειπόμενος ἑαυτοῦ φαίνεται, καὶ τὸ ὅση τις ἦν ἀντὶ τοῦ οἵα τις ἦν τῷ Ἀφθονίῳ παρείληπται, ἵν' ᾖ ποσότης ἀντὶ τῆς ποιότητος. Γράφεται δὲ καὶ ὡς ἥτις ἦν, τὸ δὲ ἀσκῶν ἀντὶ τοῦ σπουδάζων, ἐγγυμναζόμενος· τοῦτο δὲ τὸ ὄνομα κυρίως ἐπὶ τῶν ἀγώνων ἐστίν· καλῶς οὖν ἐνταῦθα τέθειται, παρόσον δι' ἀγῶνος καὶ σπουδῆς εἰς ἕξιν τῆς τέχνης ἐρχόμεθα. *Καὶ κηρύττει τὴν τέχνην, οὐκ αὐτὸς ἐκ ταύτης κεκήρυκται.* Ἐπειδὴ ἡ κοσμεῖ τις τὴν τέχνην, ὡς ὅτι πολὺ τὸ εὐδόκιμον κτήσεται ἐν αὐτῇ, τότε γὰρ βλέποντες αὐτὸν τοιοῦτον ὄντα θαυμάζομεν τὴν τέχνην ὡς τοιούτους δυναμένην ἀποτελεῖν, ἡ κοσμεῖται ὑπὸ τῆς τέχνης, ὡς οἱ μέσως ἔχοντες καὶ τούτῳ αὐτῷ σεμνυνόμενοι, τῷ ῥήτορες τυχὸν ἢ γραμματικοὶ ὀνομάζεσθαι, τὸν Ἰσοκράτην τῆς πρώτης μοίρας ἀξιοῖ ὁ Ἀφθόνιος· φησὶ γὰρ αὐτὸν κοσμῆσαι τὴν τέχνην μᾶλλον ἢ ὑπ' αὐτῆς κοσμηθῆναι· ἔνιοι δέ φασιν, ὅτι τὸ τοιοῦτον ὑπερβολικόν ἐστιν, εἰ γὰρ μὴ αὐτὸς, [34] φασὶν, ὑπὸ τῆς τέχνης ἐκηρύχθη, οὐκ ἂν ἠδύνατο κηρύξαι αὐτήν.

34 Vind. αὐτά.

Ἀλλ᾽ οἷα περὶ τῆς παιδείας ἐφιλοσόφησε. Τὸ οἷα θαυμαστικὸν κεῖται ἐνταῦθα, λαμβάνεται δὲ καὶ ἐπὶ σχετλιασμοῦ ἔσθ᾽ ὅτε, ὡς ἐν τῇ ἀνασκευῇ. ἔστι δὲ ἀμφότερον τοῦ ἀληθινοῦ καὶ ἐνδιαθέτου λόγου.

Ὁ παιδείας ἐρῶν πόνων μὲν ἄρχεται, πόνων δὲ ὅμως τελευτώντων εἰς ὄνησιν. Εἰ καὶ δοκεῖ τοῖς ἐξηγηταῖς δεῖν τὸ παραφραστικὸν μεῖζον τοῦ ἐγκωμιαστικοῦ γίνεσθαι, ὅμως ὁ Ἀφθόνιος ἐν τῇ παρούσῃ μελέτῃ τοῦτο συναιρεῖ. Καὶ ἃ μὲν ἐφιλοσόφησε τάδε, τοῖς δ᾽ ἐφεξῆς μαθησόμεθα· τοῦτό ἐστιν ἡ καλουμένη συμπλήρωσις, καὶ κατὰ τὴν ἔννοιαν καὶ κατὰ τὴν μέθοδον εὐκρινῆ ποιοῦσα τὸν λόγον, ἔργον δὲ αὐτῆς τὸ τὰ μὲν παρελθόντα ἀναπαύειν, τῶν δὲ ῥηθησομένων ἀρχὰς ἔχειν. οἷον[35] „τοιαῦτα μὲν οἱ Κερκυραῖοι εἶπον, οἱ δὲ Κορίνθιοι μετ᾽ αὐτοὺς τοιαῦτα“· χρῆται δὲ αὐτῷ Ἀφθόνιος οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐν τῇ γνώμῃ καὶ ἐν τῇ ἀνασκευῇ καὶ ἐν τῇ κατασκευῇ, διὰ τὸ σαφήνειαν ἐπιτηδεύειν, ἧς ἐργαστικὴ ἡ εὐκρίνεια, ἧς ἴδιον ἡ συμπλήρωσις.

Τοῖς τῆς παιδείας ἡγεμόσι συνεξετάζονται. Παιδείας ἡγεμόνας τοὺς διδασκάλους λέγει· τὸ δὲ συνεξετάζονται οἱ μὲν ἀντὶ τοῦ συναμιλλῶνται, παρόσον καὶ ὁρῶντες τὰ ἐκείνων τοιαῦτα καὶ αὐτοὶ ποιεῖν ἀναγκάζονται, οἱ δὲ ἀντὶ τοῦ ὁμοῦ ἐγγυμνάζονται. οἱ δὲ ἀντὶ τοῦ σύνεισι καὶ ἐνδιατρίβουσι. Παρ᾽ οἷς καὶ τὸ προσελθεῖν φοβερόν· τινὲς ἀντίπτωσιν τοῦτο εἶπον, ἀντὶ τοῦ παρ᾽ οὓς, οἱ δὲ τὸ προσελθεῖν ἀπόλυτον[36] εἰρήκασι. Καὶ τὸ διαλιπεῖν ἀμαθέστατον· ἀμαθίας πρόξενον· καὶ παροῦσι καὶ[37] μέλλουσι. Τὸ μέλλουσι ἢ ἀντὶ τοῦ βραδύνουσι καὶ ἀναδυομένοις, ἢ

35 Thuc. I, 36. 36 Vind. ἀπόλυπον. Laur. ἀπόλυτον.
37 καὶ Codd. om. inserui ex Aphthonio.

ἀντὶ τοῦ ὀφείλουσιν ἀπελθεῖν. Παιδαγωγοί. Τῶν παιδαγωγῶν οἱ πατέρες εἰσὶ χαλεπώτεροι, ἐπειδὴ οἱ παιδαγωγοὶ χαλεπώτεροι εἶναι [38] τοῖς παισὶ τῶν διδασκάλων δοκοῦσιν, οἱ δὲ πατέρες καὶ ἀμφοτέρων· δεινὸν γὰρ καὶ κομιδῇ καὶ παγχάλεπον, τὸ παρ' ὧν δέον ἦν αὐτοὺς κατοικτείρεσθαι, παρὰ τούτων αὐτῶν ἐξετάζεσθαι· διὰ τοῦτο γὰρ ἀπὸ τῶν ἀσθενεστέρων ἀρξάμενος προβαίνει ἐπὶ τὸ ἀκμαιότερον, ὅπερ ἀρετή ἐστι λόγου. Αἰκιζόμενοι δὲ χαλεπώτερον. Ἀικιζόμενοι ἀντὶ τοῦ αἰκίζοντες· ἰστέον δὲ ὅτι τῶν ῥημάτων τῶν μὲν τὰ μὲν ἐνεργητικὰ οὐχ εὕρηνται [39] ἐν χρήσει, ὡς ἐπὶ τοῦ πορεύομαι, τῶν δὲ τὰ παθητικὰ ὡς ἐπὶ τοῦ ζῶ, πλουτῶ, ὁδεύω, καὶ πάλιν ποτὲ μὲν τὰ παθητικὰ λαμβάνονται ἀντὶ ἐνεργητικοῦ, ὡς τὸ λοιδορούμενος ἀντὶ τοῦ λοιδορῶν, καὶ αἰτιώμενος καὶ μεμφόμενος ἀντὶ τοῦ ἐπιτιμῶν, ποτὲ δὲ πάλιν ἀντὶ παθητικοῦ λαμβάνονται τὰ ἐνεργητικά, ὡς ἔχει ἐκεῖνο ἐν τῇ εἰσαγωγῇ Πορφυρίου· „Ἡρακλεῖδαι γὰρ λέγονται οἱ ἐκ γένους κατάγοντες Ἡρακλέους·“ ἔστι δὲ τῆς Ἀτθίδος τοῦτ' ἴδιον· αὐτοὶ [40] γὰρ ἀεὶ παθητικῷ ῥήματι ἀντὶ ἐνεργητικοῦ χρῶνται, οἷον γράφομαι, ποιοῦμαι ἀντὶ τοῦ γράφω, ποιῶ, ποιεισθων, νοεισθων, λέγει ἀντὶ τοῦ ποιείτωσαν, νοείτωσαν.

Φθάνει τὴν πεῖραν τὸ δέος καὶ διαδέχεται. Τὸ δέος ἡ κόλασις· πρῶτον γὰρ φοβοῦνται τὰς κολάσεις, εἶτα κολάζονται. τὸ οἷν φθάνει ἀντὶ τοῦ προλαμβάνει, οἷον προλαμβάνει τὴν πεῖραν τῶν βασάνων. Οἰκεῖα δὲ τὰ κατορθώματα κρίνουσι, λείπει τὸ ὡς, ἵν' ᾖ ὡς οἰκεῖα. Φύγῃ μὲν τοὺς διδασκάλους· δύο ταῦτα παράκεινται ἀλλήλοις, ταυτότης ὀνομάτων καὶ

---

38 Vind. et Laur. εἰοὶ scr. εἶναι. 39 Vind. εὕρονται. lectio ex littera η in Laur. minus distincte scripta orta. 40 Vind. αὐτή. Laur. αὐτῇ et χρῶνται.

ποικιλία· καὶ τῇ μὲν ταυτότητι τότε προσῆκόν ἐστι χρῆσθαι, ὡς τὸ περὶ μεθόδου δεινότητος ἡμᾶς διδάσκει βιβλίον, ὅτι τοῦ πράγματος ἓν ὄνομα ἢ τὸ ἐναργέστατον, ὡς παρ' Ὁμήρῳ·

Ὡς δὲ χιὼν κατάτηκεν ἐν ἀκροπόλοισιν ὄρεσσιν,
Ἣν τ' Εὖρος κατέτηξεν, ἐπὴν [41] Ζέφυρος καταχεύῃ·
Τηκομένης δ' ἄρα τῆς ποταμοὶ πλήθουσι ῥέοντες,
Ὣς τῆς τήκετο καλὰ παρήϊα δακρυχεούσης.

Ἐνταῦθα γὰρ ἐπειδὴ ἓν μόνον ὄνομα ἦν τὸ τὴν ἐνάργειαν ἔχον τοῦ πράγματος, καὶ οὐδὲν οὕτως ὁρμόζον ἦν οὔτε τὸ χεῖται οὔτε τὸ λύεται ὡς τὸ τήκεται, διὰ τοῦτο πολλάκις τῷ αὐτῷ ἐχρήσατο, καὶ τῇ μὲν ταυτότητι ἐν τούτοις χρησόμεθα· τῇ δὲ ποικιλίᾳ πάλιν χρηστέον, ὅταν πολλὰ ὀνόματα ὑπάρχῃ ἰσότερα καὶ ὁμοίως ἔχοντα τὴν ἐνέργειαν, ὡς καὶ ὁ Ὅμηρος ποιεῖ λέγων· [42]

Ὡς δ' ὅταν ὠδίνουσαν ἔχῃ βέλος ὀξὺ γυναῖκα,
Δριμύ, τό τε προϊεῖσι μογοστόκοι Εἰλειθυῖαι,
Εἰρῆς θυγατέρες πικρὰς ὠδῖνας ἔχουσαι·

ἐνταῦθα γὰρ ποικιλίᾳ ὀνομάτων ἐχρήσατο, τὸ ὀξὺ καὶ τὸ δριμὺ καὶ τὸ πικρὸν παραλαβών· καὶ ὁ Ἀφθόνιος δὲ καὶ αὐτὸς ποικιλίαν ὀνομάτων ἐν τῷ παρόντι τετήρηκεν. ἔχει γὰρ τὸ φύγῃ, τὸ ἀποδράσει, τὸ ἀποστραφείη· πλὴν σημείωσαι, ὅτι κυριολεκτεῖν ἐφιέμενος, τῷ φύγῃ μὲν ἐπὶ τοῦ διδασκάλου, τῷ δὲ ἀποδράσει ἐπὶ τῶν πατέρων ἐχρήσατο· ἡ μὲν γὰρ φυγὴ καὶ ἐπὶ τῶν ἐλευθέρων λέγεται, ὥσπερ καὶ ἐπὶ στρατιωτῶν φευγόντων, ἢ τινῶν ὑπευθύνων, ἡ δὲ ἀπόδρασις ἐπὶ μόνων τῶν κατὰ φύσιν ἢ τύχην δεδουλωμένων, ἐπὶ [43] μὲν τῶν κατὰ φύσιν ὥσπερ ἐπὶ τῶν παίδων, ἐπὶ δὲ τῶν κατὰ τύχην, ὥσπερ ἐπὶ τῶν δούλων. Καὶ μετὰ τοῦ δέους τῶν

41 Vind. ἐπήν κε. — Od. τ, 205. 42 Il. λ, 269. 43 Vind. ἐπεί.

λόγων ἀφῄρηται. Τὸ ἀφῄρηται ἀντὶ τοῦ ἐστέρηται τέθειται· ἔστι δ' ὅτε καὶ αἰτιατικῇ συντάσσεται τὸ ἀφαιροῦμαι· ὅτε μὲν γὰρ ὅπερ εἶχον ἐκεῖνο ἀποβαλοῦμαι, αἰτιατικῇ συντάσσεται, ὡς ἔχει καὶ τὸ,[44]

Ὡς ἔμ' ἀφαιρεῖται Χρυσηΐδα καλλιπάρῃον.

ὅτε δὲ ὅπερ οὐδὲ τὴν ἀρχὴν εἰς ἐμὴν περιῆλθεν, ἐκείνου λέγομαι στερηθῆναι, γενικῇ,[45] ὡς καὶ τὸν κόσμον τῆς κεφαλῆς παραιτεῖσθαι· ἤτοι γὰρ ἀπεκείρετο τὰς τρίχας τοῦ ἡμίσεος μέρους, ὥς φησι, τῆς κεφαλῆς, ὡς ἂν μὴ ἔξω τῆς οἰκείας προβαίνῃ,[46] ἀλλ' ἔνδον τῆς οἰκίας καθήμενος ἀναγινώσκῃ, ἢ ὅτι τὸ κοσμεῖν τὴν κεφαλὴν παρελογίζετο καὶ[47] ὡς οὐδὲν ἡγεῖτο. Κόσμον ἄριστον τὸν ἐξ ἀρετῆς ἡγησάμενον.[48] Τῆς συντάξεως τοῦ λόγου δοτικὴν ἀπαιτούσης πτῶσιν, ἵν' ᾖ, κόσμον ἄριστον τὸν[49] ἐξ ἀρετῆς ἡγησαμένῳ, λήθῃ τῶν ἀντιγράφων αἰτιατικὴ σχεδὸν ἁπάσαις[50] ταῖς βίβλοις ἐκτέθειται.

Διὸ θαυμάσαι τὸν Ἡσίοδον δεῖ. Ζητεῖται, διατί ἀφ' Ἡσιόδου καὶ οὐκ ἀφ' ἑτέρου τὴν μαρτυρίαν ἔλαβε· καὶ λέγουσιν, ὅτι, ἐπεὶ γνωριμώτερος ἦν οὗτος ὁ ποιητὴς τοῖς νέοις, ἐν Ἔργοις δὲ καὶ Ἡμέραις ταῦτα λέγει· ἐπειδὴ δὲ ἡ τῷ Ἀφθονίῳ τεθεῖσα εἰς παράδειγμα μελέτη τοῦ λογικοῦ ἐστιν εἴδους τῆς χρείας, φαίνεται δὲ ζητήσεως ἄξιον, πῶς ἂν ἐν ταῖς πρακτικαῖς χρείαις ἡ μαρτυρία τεθείη λόγων οὐκ ὄντων, φέρε ἀπὸ τῶν πρὸ ἡμῶν τὴν λύσιν τοῦ ἀπορήματος ἔχοντες εἴπωμεν· ἔστι γὰρ εἰπεῖν, φησὶν ὁ ἐξηγητής, καὶ ταῖς πρακτικαῖς χρείαις χρῆσιν ἀκολουθεῖν· δεῖ γὰρ λέγειν ὅτι καλὸν τὸ γεγενη-

---

44 Il. α, 182. 45 Vind. γένηται. Scr. γενικῇ. 46 Vind. προβαίνει. 47 Codd. δέ. Scr. καί. 48 Vind. et Laur. ἡγησάμενος. ad accusativum spectant, quae in commentario sequuntur. 49 Vind. et Laur. τὸν τῷ ἐξ ἀ. 50 Codd. ἅπασι.

μένον, καὶ ὅτι τὸν σκοπὸν τῆς πράξεως ἐγνωμολόγησεν ἕτερος. ὡς ἐπὶ τοῦ Διογένους τοῦ τυπτήσαντος τὸν παιδαγωγὸν, ἐροῦμεν, ὅτι καὶ Θουκυδίδης τοῖς πραχθεῖσιν ὁμολογεῖ λέγων· ὁ γὰρ δυνάμενος παῦσαι, περιορῶν δὲ ἀληθέστερον αὐτὸ δρᾷ, ἢ τὸ τοῦ Δημοσθένους· ὁ γὰρ τὸ σπέρμα δοὺς, οὗτος τῶν φύντων καρπῶν αἴτιος· ἐπειδὴ δὲ τὰ παραδείγματα φῶς εἰσι τῶν λεγομένων, φέρε τοῦ Ἀφθονίου λογικὴν μόνην χρείαν εἰς παράδειγμα μελετήσαντος, ἡμεῖς καὶ λογικῆς χρείας καὶ πρακτικῆς καὶ μικτῆς μελέτας, οὐχ ἡμῖν αὐτοῖς, ἀλλὰ τοῖς πρὸ ἡμῶν μελετηθείσας εἰς παράδειγμα θήσομεν.

Χρείας λογικῆς μελέτη· Χρεία λογική. Ἀφθονίου τοῦ ῥήτορος τὸ εἰς πεῖραν ἦκον ἀνιαρὸν εἰς ἀφαίρεσιν εἶναι εἰπόντος, τὸ ῥηθὲν ἀπομνημονεύεται. Φιλοσοφεῖν[51] ἐν ταὐτῷ καὶ ῥητορεύειν ὁ Ἀφθόνιος εἵλετο, καὶ μήτε τὴν ἐκ τῆς ῥητορείας δεινότητα τῶν ἐκ τῆς φιλοσοφίας ἀποστερεῖν ἀγαθῶν, μήτε μὲν τὰς φιλοσόφους ἀποφάνσεις ῥητορικῆς εὐφραδείας ἔξωθεν τίθεσθαι· τῷ μὲν γὰρ ῥητορικὰς συγγράφειν μεθόδους καὶ ἀκολούθως τοῖς κανόσι τὰς μελέτας ἐκτίθεσθαι, τὴν ῥητορικὴν ἐζήλωσε δύναμιν· τῷ δ' ἐν αὐταῖς ταῖς μελέταις περὶ τῶν πραγμάτων, ὡς ἔχουσι, φύσεως ἀποφαίνεσθαι, τὴν φυσικὴν φιλοσοφίαν τετήρηκε, καὶ ἄλλοτε μὲν καὶ ἄλλως περί τινων ἀποφαίνεται, νυνὶ δὲ περὶ τῶν ἀποβαλόντων τὰ εἰς πεῖραν αὐτοῖς ἐλθόντα, τίνα πεφιλοσόφηκεν, ἴδωμεν. *Παραφραστική.* Τί γὰρ, φησὶν, ὑστέρησεν παθῶν, ὧν συνήθειαν ἔσχηκεν ἀνιαρὰν τὴν ἀφαίρεσιν πέπονθε, καὶ ταῦτα μὲν, ἅπερ ὁ σοφιστὴς ἀπεφήνατο· ἡμεῖς δ' ὡς ὀρθῶς ἔχει τὰ ῥηθέντα καὶ πάνυ καλῶς, ἐν τοῖς ἑξῆς ἀποδείξομεν. *Ἐκ τῆς αἰτίας.* Εἰδὼς γὰρ τὰ γνώριμα τῶν ἀγνοουμένων μᾶλλον ἅπασιν ἀγαπώμενα, καὶ ταῦτα

51 Vind. φιλοσοφοί.

τιθεμένους περὶ πλείονος ἅπαντα ὧν τὸ χρήσιμον ἴσασι, καὶ τὴν τούτων ἀποβολὴν ἀλγεινοτάτην νενόμικεν· ὧν γὰρ ἡ κτῆσις ἡδίστη καὶ περισπούδαστος, τούτων ἡ στέρησις ἀνιαρὰ δὲ καὶ λύπης παραίτιος. Ἐκ τοῦ ἐναντίου· οὐ μὴν τὰ μὴ εἰς πεῖραν ἐλθόντα τοιαῦτα· οὐδεὶς γὰρ τούτων στερούμενος, ὧν οὐκ οἶδε τὸ χρήσιμον, λύπης ἐπὶ τούτῳ πρόφασιν λήψεται. Παραβολική· ὥσπερ δὲ τῶν ζώων τοῖς σώμασιν αἱ τῶν συνήθων τόπων ἀναχωρήσεις νόσων καθεστήκασι[52] πρόξενοι, οὕτω καὶ τῶν πραγμάτων ὅσα πείρᾳ τὸ χρήσιμον ἐβεβαίωσαν ἀνιαρά εἰσιν ἀφαιρούμενα. Παραδειγματική· ἔνθεν τοι καὶ ὁ Πηλέως ἠσπάζετο τὴν τῆς Βρισηΐδος συνήθειαν, ἤλγει δὲ ταύτην ἀφαιρουμένου τοῦ Ἀγαμέμνονος, οἷς γὰρ τῆς κόρης ἔσχηκε πεῖραν, λυπηρὰν εἶχε τὴν ταύτης ἀφαίρεσιν. Μαρτυρία παλαιῶν. Ταῦτα καὶ Θουκυδίδης ὁ σοφὸς ἐπιστάμενος, „λύπη," εἴρηκεν, „οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται,[53] ἀλλ' οὗ ἂν ἐθὰς γενόμενος ἀφαιρεθείη." Ἐπίλογος· ὥστε οὐ μᾶλλον τοῦ σοφιστοῦ τὸ περὶ τὴν ῥητορικὴν ἐπαινετέον εὐδόκιμον, ὅσον τὰ περὶ τὰς ἀποφάνσεις θαυμαστέον φιλοσοφώτατον.

Ἑτέρα πρακτική. Ἀλέξανδρος ἐρωτηθεὶς, ποῦ ἂν ἔχοι τοὺς θησαυροὺς, τοὺς φίλους παρόντας ὑπέδειξεν. Ἐγκωμιαστική· καὶ οἱ λόγοι μὴ φράζωσιν ἄξια, ὅμως δεῖ βραχέα διὰ λόγων διεξελθεῖν, ἵνα δι' ἀμφοτέρων κηρύττηται, καὶ τοῖς ὅπλοις κρατῶν καὶ τοῖς λόγοις ὁ δηλούμενος, ἱκανὴν γὰρ ἀμφοτέρων πεῖραν παραστησάμενος, τὸν γεγεννηκότα ὑπερέβη ταῖς πράξεσι καὶ Φιλίππου φανεὶς τοῦ Λιὸς ἐνομίζετο. Παραφραστική. Βασιλεὺς δὲ γεγονὼς ὡς κοινότατος ἐδίδου πᾶσιν μαθεῖν

52 Vind. post καθεστήκασιν repetit αἱ τῶν συνήθων. 53 Vind. στερίσκεται. — Thuc. II. 67.

περὶ ὧν ἂν ἐθελήσωσι, καὶ δοκοῦντός τινος τοσοῦτον αὐτὸν κεκτῆσθαι τὸν πλοῦτον ὅσον τῶν τροπαίων ἐκτήσατο πλῆθος, καὶ ζητοῦντος μαθεῖν, πόσα κέκτηται, παρελθὼν τοὺς πόνους ὁ Ἀλέξανδρος τὸ πλουτεῖν ἐν τῷ φιλεῖν ὡρίζετο, καὶ δι' ὧν ὁ πλοῦτός ἐστιν ἀσφαλέστερος, τούτους καὶ πλοῦτον ὡρίσατο βέβαιον, καὶ ἃ μὲν εἴργαστο τάδε, πάρεστι δὲ ἐκ τῶν ἐφεξῆς ἐπαινέσαι τὸν ἄνδρα. Ἐκ τῆς αἰτίας. Καιροὺς καὶ τύχας καὶ τὰς ἡλικίας ἔσχεν Ἀλέξανδρος, βεβαιούσας τὴν ἐκείνου διάνοιαν, εἰρήνη καὶ πόλεμος ἀναμένει φίλων τὴν εὔνοιαν· προπαρέχεται μὲν γὰρ εἰρήνην τῶν φίλων ἡ σπουδὴ, πόλεμος δὲ συνεργοῦσαν ἔχει τῶν ἐπιτηδείων τὴν εὔνοιαν. εἶτα πενία καὶ πλοῦτος, ἡ μὲν ἐκ φίλων μεταβάλλεσθαι πέφυκεν, ἡ δὲ διὰ φίλων φυλάττεσθαι, καὶ τὰ χρηστὰ διασώζεσθαι, καὶ νεότης καὶ γῆρας ἐκ φίλων συνέστηκε· νεότης μὲν γὰρ ἡδίων συνοῦσα τοῖς φίλοις, γῆρας δὲ διὰ φίλων ἐπικουφίζεται. Ἐκ τοῦ ἐναντίου· εἰ δέ τις ἐξέλοι τοὺς φίλους τῶν ὄντων, αὐτὴν ἀνεῖλε τοῦ βίου τὴν ὄνησιν. Παραδειγματική. Ὀρέστην ὅρα τὸν Ἀγαμέμνονος, Πελοπιδῶν μὲν ἕνα γινόμενον, μίαν δὲ ἔχοντα τῶν ἀσχημάτων παραψυχὴν, τὴν Πυλάδου συνήθειαν, καὶ ὃν ἐλύπει τὸ γένος, φίλος συνὼν ἐθεράπευεν. καὶ τί δεῖ τὸν Ὀρέστην εἰπεῖν, ἀλλ' ὁ Ποσειδῶνος Θησεὺς κατείληπτο μὲν τοῖς ἐν Ἅιδου δεσμοῖς, λύσιν δ' ἔσχε τῶν κάτω δεινῶν τὴν Ἡρακλέους συνήθειαν, οὕτω καὶ οἷς θεοὶ πατέρες γεγόνασιν, οἱ φίλοι λυσιτελέστεροι. Μαρτυρία παλαιῶν. Ὅθεν θαυμάσαι τὸν Εὐριπίδην με δεῖ, μηδὲν εἶναι κρεῖττον τῶν φίλων φιλοσοφήσαντα, μὴ πλοῦτον, μὴ δύναμιν, ἀλόγιστον δὲ καὶ πλοῦτον τῶν φίλων ὁρίζειν ἀντάλλαγμα. Ἐπίλογος. Ὅθεν προσήκει θαυμάζειν Ἀλέξανδρον τὸ πλουτεῖν ἐν τῷ φιλεῖν ὁρισάμενον.

Ἑτέρα μικτή. Διογένης μειράκιον ἑωρακὼς ἀτα-

κτοῦν τὸν παιδαγωγὸν ἔπαισεν εἰπών, τί γὰρ τοιαῦτα παιδεύεις; Ἐγκωμιαστική. Καὶ πᾶσαν μὲν φιλοσοφίαν θαυμάσαι μοι τῷ βίῳ ἐπῆλθε, μάλιστα δὲ ἦν Διογένης ἠσκήσατο, τὸ μὲν γὰρ ζητεῖν τὰς τῶν ἄστρων ὁδοὺς καὶ περισκοπεῖν τὴν τοῦ ἡλίου περίοδον κρεῖττον ἀνθρωπείας ἐστὶ φύσεως· τὸ δὲ σωφρονίζειν νεότητα κέρδος τοῦ βίου νενόμικεν ἄμεινον. Παραφραστική· ὅθεν περιήει [54] τὴν ἀγορὰν ὥσπερ ζητῶν, τίνα σωφρονήσειε, καὶ παῖδα πλημμελοῦντα θεώμενος, παρεστηκότος παιδαγωγοῦ, τὸν μὲν νέον παρῆλθε, τὸν δὲ παιδαγωγὸν ἀντὶ τοῦ παιδὸς ἐσωφρόνιζεν, ἑκατέρῳ ἐπὶ μιᾶς πληγῆς τιμωρίαν ἐπιτιθεὶς, καὶ ἃ μὲν εἰργάσατο τάδε. πάρεστι δὲ ἐκ τῶν ἑφεξῆς ἐπαινεῖν. Αἰτία. Κατιδὼν γὰρ ὁ Διογένης τὸ μὲν τῆς νεότητος ἄτακτον, τὴν δὲ παιδείαν καὶ εἰ μηδὲν ἕτερον, τὴν ἀπὸ τοῦ χρόνου πεῖραν κομίζουσαν, καὶ τοὺς πατέρας εἰδὼς χρημάτων πολλῶν ὠνουμένους παιδαγωγοὺς καὶ πρεσβύτην παρεχομένους φύλακα τῆς νεότητος, τὴν αὐτὴν τοῖς πατράσιν ἔχει διάνοιαν, καὶ οἷς οἱ πατέρες τοὺς παῖδας πιστεύουσι, τούτους [55] ὁ Διογένης ἐκέλασεν ἁμαρτάνοντας. Ἐκ τοῦ ἐναντίου· καὶ γὰρ ἦν ἄλογον κατορθοῦντος [56] μὲν τοῦ παιδὸς τὸν παιδαγωγοῦντα νεανιεύεσθαι, πλημμελοῦντος δὲ μὴ κολάζεσθαι· ὧν γάρ εἰσιν αἱ τιμαὶ, τούτων εἰσὶ καὶ αἱ τιμωρίαι. Παραβολή. Ὥσπερ γὰρ τὰ ναυτῶν ἁμαρτήματα κυβερνήταις ἀνατίθενται, οὕτω καὶ τὰ παίδων κατηγορήματα τοῖς παιδαγωγοῖς περιτίθενται. Παράδειγμα· τὴν Ἀθηναίων ὥρα μοι πόλιν, ἐν Ἑλλησπόντῳ πεπτωκότων στρατιωτῶν παρὰ τῶν στρατηγῶν τὴν δίκην λαμβάνουσαν· οἷς γὰρ ὑπήκοος πέπτωκε, τὸ κρατοῦν ἐκολάζετο. Μαρτυρία. Διὸ θαυμάσαι Σοφοκλέα με δεῖ,

---

54 Vind. περιείη. 55 Vind. τούτοις. 56 Vind. κατορθοῦν τὸ μέν.

πόλιν ἅπασαν τῶν ἡγουμένων εἰπόντα, τοὺς δὲ ἀκοσμοῦντας ἀνθρώπους διδασκάλων τρόποις ἐναντίους καταφαίνεσθαι· οὕτω τὸ πλημμελοῦν ἐπὶ τοὺς ἄρχοντας ἀναφέρει τὴν πρόφασιν. Ἐπίλογος· πρὸς ἃ δεῖ βλέποντας τὸν Διογένην θαυμάζειν, σωφρονίζειν νεότητα ἐπιστάμενον.

Cap. IV.

ΠΕΡΙ ΓΝΩΜΗΣ.

Ὥσπερ ἐπὶ τῶν προηγησαμένων προγυμνασμάτων πρὸ τῶν ἄλλων ἁπάντων ἡ τάξις ἡμῖν ἐζητεῖτο, οὕτω καὶ ἐπὶ τοῦ παρόντος ζητητέον ἡμῖν ἐστι, διὰ τί μετὰ τὴν χρείαν αὕτη τέτακται, καὶ διὰ τί τοῖς μὲν προηγησαμένοις, οἷον τῷ μύθῳ, τῷ διηγήματι, τῇ χρείᾳ ὑποτέτακται, τῶν δὲ ἑξῆς προτέτακται. Φαμὲν οὖν, ὅτι εἰ δικαίως μετὰ τὸν μῦθον καὶ τὸ διήγημα ἡ χρεία, ὡς δέδεικται, τέτακται, εἰκότως καὶ ἡ γνώμη εὐθὺς μετὰ τὴν χρείαν ἐτάχθη, οὐ μόνον ὡς πρὸς ἐκεῖνα χρησιμεύουσα ἡμῖν, πρὸς ἃ καὶ ἡ χρεία ἐδείκνυτο χρησιμεύουσα, ἀλλὰ καὶ ὡς τοῖς αὐτοῖς τῇ χρείᾳ διαιρουμένη κεφαλαίοις· ὥσπερ γὰρ ὁ Ἑρμογένης ἐν τῷ περὶ τῶν στάσεων διὰ τοῦτο τὴν εἰς τὰ κεφάλαια τῶν ἀντιληπτικῶν ζητημάτων διαίρεσιν ἔταξε μετὰ τὸν ὅρον ὡς κοινωνοῦσαν ἐκείνῳ, καίτοι ἐν τῇ μεθόδῳ μετὰ τὸν ὅρον οὐ τὴν ἀντίληψιν ἀλλὰ τὴν πραγματικὴν τάξας, καὶ ὥσπερ πάλιν τὴν τῆς ἀντινομίας διάλεξιν μετὰ τὴν τοῦ ῥητοῦ καὶ τῆς διανοίας δι' αὐτὸ τοῦτο τέταχε, καίτοι ἐν τῇ μεθόδῳ μετὰ τὸ ῥητὸν καὶ τὴν διάνοιαν τὸν συλλογισμὸν, οὐχὶ τὴν ἀντινομίαν τάξας, οὕτω καὶ ὁ Ἀφθόνιος δι' αὐτὸ τοῦτο, φημὶ τὴν κατὰ τὰ κεφάλαια κοινωνίαν τῶν δύο τούτων προγυμνασμάτων, συνέταξεν αὐτὰ ἀλλήλοις, προέταξε δὲ

ὅμως τὴν χρείαν τῆς γνώμης, ἢ ὡς μερικωτέραν· εἰ γὰρ ἡ τῶν περιστατικῶν προσθήκη μερικώτερον ἀεὶ τὸ πρᾶγμα εἴωθε ποιεῖν, οἷον τὸ εἰ γαμητέον καθολικὸν ὂν ἡ τοῦ προσώπου προσθήκη ἑνὸς τῶν περιστατικῶν ὄντως μερικώτερον ποιεῖ, οἷον εἰ γαμητέον Σωκράτῃ, εὔδηλον, ὅτι κατὰ τοῦτο ἡ χρεία τῆς γνώμης μερικωτέρα ἐστὶν, εἴγε τῇ μὲν τὸ εἰρηκὸς πρόσκειται πρόσωπον, ἡ δὲ ἀπρόσωπος ἐκφέρεται· δέον δὲ ὂν ἐν τοῖς γυμνάσμασι τὰ ἀτελέστερα προτάττεσθαι καὶ ἡ χρεία ὡς μερικωτέρα κατὰ τοῦτο ἀτελεστέρα τῆς καθολικωτέρας καὶ παρὰ τοῦτο τελεωτέρας γνώμης προτέτακται, ἢ ὅτι τὴν μὲν χρείαν ὡς καὶ ἡδονὴν ἔσθ' ὅτε ἐμποιοῦσαν, οἷαί εἰσιν αἱ χαριεντισμοῦ ἕνεκα παραλαμβανόμεναι, δέον ἦν μετὰ τὸν μῦθον τὸν ἅπαξ ἡδὺν καὶ τὸ διήγημα τὸ καὶ αὐτὸ ἡδὺ ταχθῆναι, τὴν δὲ γνώμην μετὰ ταῦτα, ὡς τῇ μὲν χρείᾳ μετὰ πολλὰ κοινωνοῦσαν, τοῦ δὲ μύθου καὶ τοῦ διηγήματος κατ' αὐτὸ τοῦτο διαφέρειν, καθὸ ἡ χρεία αὐτοῖς συνετάττετο. ἄλλως τε καὶ κατὰ τοῦτο ἔδει μετὰ τὸ διήγημα τὴν χρείαν εὐθὺς καὶ οὐ τὴν γνώμην ταχθῆναι, διότι τῷ διηγήματι τῶν περιστατικῶν, ὡς μεμαθήκαμεν, παρεπομένων, καὶ τῇ χρείᾳ ἕπεται τὸ πρόσωπον, ὃ πρῶτον τῶν ἄλλων ἐστὶ περιστατικῶν· ἐδυνάμεθα λέγειν, ὅτι καὶ ἀδιαφόρως τὴν χρείαν τῆς γνώμης προέταξεν· αὐτίκα γὰρ καὶ τῆς χρείας εἰ τὴν γνώμην προέταξε, ζητεῖν εἴχομεν, διὰ τί οὕτως ἐποίησεν, ἀλλὰ νῦν τοῦτο ἐάσαντες ἐπὶ τὸν ἄλλον τῆς γνώμης λόγον μετέλθωμεν πρὸ τῶν ἄλλων ἁπάντων, τὸν δηλωτικὸν αὐτῆς λόγον ζητήσοντες. ἔστι δὲ λόγος αὐτῆς κατὰ μὲν Ἀφθόνιον λόγος ἐν ἀποφάνσεσι κεφαλαιώδης, ἐπί τι προτρέπων ἢ ἀποτρέπων. καθ' Ἑρμογένην δὲ λόγος κεφαλαιώδης ἐν ἀποφάνσει, καθολικὸς,[1] ἀποτρέπων τί, ἢ ἐπιτρέπων ἐπί τι, ἢ ὁποιόν

1 Vind. καθολικόν.

ἐστιν ἕκαστα δηλῶν· λόγος μὲν, διότι ἐν λόγῳ ἀεὶ ἡ γνώμη καὶ οὐκ ἐν πράξεσι, κεφαλαιώδης δὲ ἀντὶ τοῦ μὴ ἐκτετάμενος, ἀλλὰ σύντομος, ἐν ἀποφάνσεσι δὲ, διότι οὐχ ὡς ἡ χρεία ἔσθ' ὅτε καὶ κατ' ἐρώτησιν, ἀλλ' ἀεὶ κατὰ μόνην ἀπόφανσιν γίνεται· καθολικὴ δὲ καὶ διότι τοιαύτην εἶναι δεῖ τὴν γνώμην ἀεί· ἀποτρέπων ἀπό τινος, κακοῦ δηλονότι, καὶ προτρέπων ἐπί τι, τουτέστι καλόν, ἢ ὁποῖά ἐστιν ἕκαστα δηλῶν· τουτέστι τὴν φύσιν τῶν πραγμάτων ὑποδεικνὺς, ὡς ἔχουσιν αἱ ἀποφαντικαὶ τῶν γνωμῶν. Σώπατρος δὲ πάλιν οὕτω καὶ αὐτὸς τὴν γνώμην ὁρίζεται· γνώμη ἐστὶν ἀπόφανσις καθολικὴ περὶ ποιότητα πραγμάτων ἢ προσώπων ἢ τοῦ συναμφοτέρου· καὶ περὶ μὲν τοῦ προσώπου ἐστὶν ἀπόφανσις, ὡς ὅτε λέγει τις·

Ἀνὴρ πονηρὸς δυστυχεῖ κἂν εὐτυχῇ,

καὶ,

Ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνήρ·
Οὐ πώποτ' ἠρώτησα γινώσκων, ὅτι
Τοιοῦτός ἐστιν [ἕκαστος [2]], οἷσπερ ἥδεται ξυνών.

περὶ δὲ πραγμάτων, „ὡς ἅπας μὲν λόγος, ἂν ἀπῇ τὰ ἔργα, μάταιόν τι φαίνεται καὶ κενόν,“ ἢ „πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν·“ πρὸς δὲ τὸ συναμφότερον, πρᾶγμα λέγω καὶ πρόσωπον, ὡς ὅτε λέγει Δημοσθένης, [3] „τὸ μὲν γὰρ παρελήλυθὸς παρὰ πᾶσιν ἀεὶ ἀφεῖται, καὶ οὐδεὶς προτίθησιν οὐδαμοῦ περὶ τούτου βουλήν·“ καθ' ἑτέρους δέ τινας πάλιν γνώμη ἐστὶ καθολικὴν συμβουλήν τινα καὶ παραίνεσιν ἔχουσα πρός τι τῶν ἐν τῷ βίῳ χρησίμων· ἀλλ' ἡμεῖς τὸ σύνηθες κἀνταῦθα τηρήσαντες, καὶ τῶν ἄλλων ἐπὶ τοσοῦτον μνησθέν-

---

2 ἕκαστος quod etiam in Hermog. Progymn. a duobus codicibus inseritur, uncis inclusi. — Eur. Phoenic. Fr. 9.
3 pro cor. p. 292.

σθέντες, τὸν παρὰ τοῦ Ἀφθονίου ἀποδοθέντα τῇ γνώμῃ ὁρισμὸν ἀκριβέστερον θεωρήσομεν. Γνώμη ἐστὶ λόγος ἐν ἀποφάνσεσι κεφαλαιώδης. Παρείληπται δὲ τὸ μὲν λόγος ὄνομα ἀντὶ γένους· διττοῦ γὰρ ὄντος τοῦ καθ' ἡμᾶς λόγου, ἐνδιαθέτου καὶ προφορικοῦ, ὁ προφορικὸς λόγος διαιρεῖται εἰς εἴδη πέντε· εἰς ἀποφαντικά, εἰς ἐρωτηματικά, εἰς κλητικά, εἰς εὐκτικά, εἰς προστακτικά. Καὶ ἀποφαντικὸς μέν ἐστιν ὁ δηλῶν τι κατά τινας, ἤ τι ἀπό τινος· τούτου δὲ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ἐξ ἀνάγκης, οἷον·

Οὐκ ἔστιν οὐδὲν κρεῖσσον, ἢ φίλος σαφής·

φίλου πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα [4] τῶν ὄντων οὐδέν. Ἐρωτηματικὸς δέ, οἷον·

Οὐχ ὁ Τρόφιμός σοι πρὸς Θεῶν Ὀνήσιμε;

Κλητικὸς δέ, οἷον·

Τεῦκρε, [5] *φίλη κεφαλή, Τελαμώνιε κοίρανε λαῶν.*

Εὐκτικὸς δέ, οἷον·

Αἴ γὰρ [6] *Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον.*

Προστακτικὸν δέ, οἷον·

Βάσκ' ἴθι, Ἶρι ταχεῖα. [7]

Παρείληπται οὖν ὁ λόγος κατὰ τοῦτο ὡς γένος, καθὸ κατηγορεῖται κατὰ τοῦτο ὁμογενῶν μέν, ἑτεροειδῶν [8] δέ· κατηγορεῖται γὰρ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστιν· οὐ μὴν καθὸ κατηγορεῖται τοῦ προφορικοῦ καὶ ἐνδιαθέτου καὶ τῆς κατηγορίας καὶ ἀπολογίας κατὰ τοῦτο ἀντὶ γένους παρείληπται, ἀλλ' ὡς ὁμώνυμος φωνή, διαφόρων σημαινομένων· εἰ γὰρ καὶ αἱ ὁμώνυμοι φωναὶ κατηγοροῦνται πολλῶν καὶ διαφερόντων τῷ εἴδει ὡς ἐν τῷ ὁρισμῷ τοῦ μύθου ἐλέγομεν, ἀλλ' οὐ κυρίως εἰσὶ γένη, ἀλλ' ἀναλογοῦσι γένεσι· δεῖ γὰρ τὸ γένος κατὰ διαφερόντων μὲν τῷ εἴδει, ὁμογενῶν δὲ κατη-

4 Vind. *ἀντίλαγμα.* 5 Il. *θ*, 281. 6 Il. *β*, 371.
7 Il. *θ*, 399. 8 Vind. *ὑπεροειδῶν.*

γορεῖσθαι, αἱ δὲ ὁμώνυμοι φωναὶ οὐ πάντως κατὰ τοιούτων κατηγοροῦνται. μήπου τοίνυν ἐν τῷ ὁρισμῷ τοῦ μύθου τὸ λόγος ὄνομα ἀντὶ γένους ἐτέθη, οὐ καθὸ τῶν ἑτερογενῶν ἐκείνων κατηγορεῖται, φημὶ δὴ τοῦ ἐνδιαθέτου λόγου καὶ προφορικοῦ καὶ τῶν ἄλλων, ἀλλὰ καθὸ τὸν προφορικὸν λόγον σημαῖνον κατηγορεῖται καὶ τοῦ ἐν τῷ μύθῳ λόγου ψευδοῦς ὄντος καὶ τοῦ ἐν τῇ γνώμῃ καὶ τῶν λοιπῶν. ὅτι δὲ ὁ προφορικὸς λόγος εἰς ταῦτα μόνα τὰ πέντε διαιρεῖται, εἰς τὸ ἀποφαντικόν, εἰς τὸ κλητικόν, εἰς τὸ προστακτικόν, εἰς τὸ εὐκτικόν, εἰς τὸ ἐρωτηματικόν, καὶ οὐκ εἰς ἕτερα, δῆλον ἐντεῦθεν· αἱ ψυχικαὶ δυνάμεις ἢ γνωστικαί εἰσιν ἢ ζωτικαί· καὶ εἰ μὲν γνωστικαί εἰσι, ποιοῦσι τὸν ἀποφαντικόν, ὃ γὰρ ἔχομεν ἐν γνώσει, τοῦτο καὶ ἀποφαινόμεθα· εἰ δὲ ζωτικαί εἰσιν, ἢ λόγου δέονται ἢ πράγματος· ζωτικὰς δὲ τὰς ἐφ' ἡμέρας γινομένας ὀρέξεις. ἐν γὰρ τῷ ζῆν ἐφ' ἑκάστης ἡμέρας τινῶν ὀρεγόμεθα, καὶ εἰ μὲν λόγου ἐφίενται, ποιοῦσι τὸν ἐρωτηματικόν· ἐν γὰρ τῷ ἐρωτᾶν ἀποκρίσεως ὀρέγονται, ἡ γὰρ ἀπόκρισις λόγος ἐστίν· εἰ δὲ πράγματος ἐφίενται, ἢ αὐτοῦ μόνου ἐφίενται, ἢ τῶν ὑπ' αὐτό· καὶ εἰ μὲν αὐτοῦ, ποιοῦσι τὸν κλητικόν, ἐν γὰρ τῷ εἰπεῖν, Τεῦκρε, φίλη κεφαλή, αὐτὸ τὸ πρόσωπον καλεῖ, ὅπερ ἐστὶν ἐνταῦθα τὸ πρᾶγμα, εἰ δὲ τῶν ὑπ' αὐτό, εἰ μὲν μείζονος, ποιεῖ τὸν εὐκτικόν, εἰ δὲ ἐλάττονος, ποιεῖ τὸν προστακτικόν. Αἱ τοίνυν γνῶμαι κατὰ τὸ ἀποφαντικὸν εἶδος τοῦ λόγου γίνονται.

Γνώμη ἐστὶ λόγος ἐν ἀποφάνσεσι κεφαλαιώδης. Τὸ μὲν λόγος, ὡς ἔφαμεν, ὄνομα ἀντὶ γένους παρείληπται, τὰ δὲ λοιπὰ ἀντὶ διαφορῶν· χωρίζει δὲ τὸ μὲν ἐν ἀποφάνσεσι τὴν γνώμην ἀπὸ τῶν ἄλλων τεσσάρων τοῦ προφορικοῦ λόγου εἰδῶν, φημὶ δὴ τοῦ κλητικοῦ, τοῦ ἐρωτηματικοῦ, τοῦ εὐκτικοῦ, τοῦ προστακτικοῦ· τὸ δὲ κεφαλαιῶδες τὸ σύντομον καὶ ἐπιτετμημένον ἀπὸ με-

ταφορᾶς τῆς κεφαλῆς τῆς ἐν βραχεῖ τὰς αἰσθήσεις ἁπάσας περιεχούσης χωρίζει τὴν γνώμην ἀπὸ τῶν μακρῶν ἀποφαντικῶν λόγων· ὡς ἔχει τό·[9] Θεὸς ἦν μὲν ἀεὶ καὶ ἔστι καὶ ἔσται καὶ τὰ ἑξῆς· τὰ γὰρ τοιαῦτα ἀποφαντικοῦ μέν ἐστι λόγου, οὐ μὴν καὶ γνώμης· τὸ δὲ ἐπί τι προτρέπων ἢ ἀποτρέπων χωρίζει τὴν γνώμην ἀπὸ τούτων καὶ τῶν τοιούτων· Σωκράτης φιλοσοφεῖ, Γρηγόριος Θεολογεῖ, Πλάτων περιπατεῖ· τὰ γὰρ τοιαῦτα ἀποφαντικοὶ μέν εἰσι λόγοι καὶ κεφαλαιώδεις, ἀλλ' ὅμως ἐπεὶ οὐ προτρέπουσιν ἢ ἀποτρέπουσιν, οὐκ εἰσὶ γνῶμαι. Ζητεῖται δὲ, διὰ τί πολλῶν ὄντων εἰδῶν τῆς γνώμης, καὶ οὐ μόνον τοῦ προτρεπτικοῦ καὶ ἀποτρεπτικοῦ, ὁ Ἀφθόνιος ἐν τῷ ὁρισμῷ τὰ δύο ταῦτα μόνα ἐδήλωσεν, εἰπὼν, ἐπί τι προτρέπων ἢ ἀποτρέπων; καί φαμεν, ἐπειδὴ διὰ τῆς τούτων προσθήκης ἐχωρίζετο ἡ γνώμη ἀπὸ τῶν ἄλλων ἀποφαντικῶν λόγων. ἢ κατ' ἐξαίρετον· καὶ γὰρ ἐν ἅπασι τοῖς εἴδεσι τῆς γνώμης ἐμφαίνεται ἡ προτροπὴ καὶ ἀποτροπή. Ὁ δὲ Γεωμέτρης λέγει, μὴ εἶναι πᾶσαν γνώμην προτρεπτικὴν ἢ ἀποτρεπτικὴν· καὶ γὰρ, φησὶν, εἰσί τινες μηδὲν τοιοῦτον ἔχουσαι, καὶ ἁπλῶς περὶ τῶν πραγμάτων ἀποφαινόμεναι, ὅπως ἔχουσι φύσεως, οἷαί εἰσιν καὶ αὗται· μέλλει τὸ θεῖον δ' ἐστὶ φύσει τοιοῦτον·

Τὸ τῆς ἀνάγκης ἰσχυρὸν ζυγόν.

καὶ τό·

Οὐκ ἔστι θνητῶν, ὅστις ἔστ' ἐλεύθερος·

φησὶν οὖν τὸ ἐπί τι προτρέπων ἢ ἀποτρέπων περὶ τῶν δύο εἰδῶν τοῦ ἀποφαντικοῦ λόγου εἰρῆσθαι· ἔστι δὲ ταῦτα τό τε καταφατικὸν καὶ τὸ ἀποφατικόν· ἔστι δὲ κατάφασις μὲν λόγος σημαίνων τί τινι ὑπάρχειν, οἷον Σωκράτης φιλοσοφεῖ· ἀπόφασις δὲ λόγος σημαίνων τί τινι μὴ ὑπάρχειν, οἷον Σωκράτης οὐ φιλοσοφεῖ. Ἐπειδὴ γὰρ

9 Greg. Naz. Or. εἰς τὰ Θεοφάν. p. 615. C.

πᾶσα γνώμη καὶ πᾶς ἀποφαντικὸς λόγος τῷ ἀποφατικῷ καὶ καταφατικῷ περικέκλεισται, διὰ τοῦτο τὸ μὲν ἐπί τι προτρέπων τῶν καταφατικῶν γνωμῶν εἶναι δηλωτικόν, τὸ δὲ ἢ ἀποτρέπων τῶν ἀποφατικῶν. ἡμεῖς δὲ πρὸς τοῦτο λέγομεν, ὅτι εἰ οὕτως ἐκλάβωμεν τὸ ἐπί τι προτρέπων ἢ ἀποτρέπων, ὥστε τὸ μὲν ἐπί τι προτρέπων περὶ τῶν καταφατικῶν γνωμῶν νομίζειν εἰρῆσθαι, τὸ δὲ ἢ ἀποτρέπων περὶ τῶν ἀποφατικῶν, καὶ πλεονάζων ἐν ταυτῷ καὶ ἐλλείπων εὑρεθήσεται τῆς γνώμης ὁ λόγος. πλεονάζων μέν, καθὸ ἤρκει μόνον εἰπεῖν λόγος ἐν ἀποφάνσεσι κεφαλαιώδης, καὶ μὴ προσθεῖναι τὸ ἐπί τι προτρέπων ἢ ἀποτρέπων, ὥστε τὰ δύο εἴδη τοῦ ἀποφαντικοῦ λόγου δι' αὐτῶν σημανθῆναι· ταῦτα γὰρ τὸ ἐν ἀποφάνσεσιν εἰπὼν ἐσήμανε· πᾶσα γὰρ ἀπόφανσις ἢ καταφατική ἐστιν ἢ ἀποφατική· ἐλλείπων δὲ, καθὸ ἀντὶ τοῦ προτρέπων καὶ ἀποτρέπων, ἅπερ τὸ καταφατικὸν καὶ ἀποφατικὸν σημαίνει, ἑτερά τινα ἔδει τεθῆναι διαστέλλοντα τὴν γνώμην ἀπὸ τῶν τοιούτων ἀποφαντικῶν λόγων· Σωκράτης φιλοσοφεῖ· Σωκράτης οὐ φιλοσοφεῖ· ταῦτα γὰρ καὶ λόγος εἰσὶ καὶ ἐν ἀποφάνσεσι κεφαλαιώδεις, καὶ ὁ μὲν αὐτῶν καταφατικὸς, ὁ δὲ ἀποφατικός· ἀλλ' οὐκ εἰσὶ γνῶμαι, ὥστε εἰ τὸ προτρέπων καὶ ἀποτρέπων ἀντὶ τοῦ καταφατικοῦ καὶ ἀποφατικοῦ φήσομεν τεθεῖσθαι, ταῖς δυσὶ κακίαις ὑπαχθήσεται ὁ ὅρος τῆς γνώμης, φημὶ δὴ τῷ πλεονασμῷ καὶ τῇ ἐλλείψει. ἀλλ' ἴσως ἄν τινες τῶν τὸ ἐπί τι προτρέπων ἢ ἀποτρέπων ἀντὶ τοῦ καταφατικοῦ ἢ ἀποφατικοῦ ἐκλαμβανόντων, τὸ μὲν ἐν ταῖς λέξεσιν ἐλλιπῆ τὸν τῆς γνώμης λόγον εἶναι δώσουσι, διότι καὶ κατὰ τὰ πράγματα πλεονάζει· πᾶς γὰρ ὅρος ἐλλείπων ταῖς λέξεσι πλεονάζει τοῖς πράγμασιν, οἷον ὡς ἐπὶ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου, ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητόν· ἰδοὺ γὰρ ταῖς μὲν λέξεσιν ὁ ὁρισμὸς ἐλλείπεται. ἔδει γὰρ προστεθῆναι αὐτῷ καὶ τὸ νοῦ καὶ ἐπιστήμης

δεκτικόν. τοῖς δὲ πράγμασι πλεονάζει συμπεριλαμβάνων τὰς νύμφας, αἵ τινες καὶ αὐταὶ ζῶα λογικὰ θνητά εἰσι, καὶ ἐπὶ τοῦ παρόντος τῆς γνώμης λόγου, τῷ γνώμῃ ἐστὶ λόγος ἐν ἀποφάνσεσι κεφαλαιώδης καταφατικὸς ἢ ἀποφατικός· καὶ γὰρ καὶ οὕτως ταῖς μὲν λέξεσιν ἐλλειπής ἐστιν, τοῖς δὲ πράγμασι πλεονάζει, συμπεραλαμβάνων καὶ τὰ τοιαῦτα· Σωκράτης φιλοσοφεῖ, Σωκράτης οὐ φιλοσοφεῖ, ἃ λόγοι ὄντα ἐν ἀποφάνσεσι κεφαλαιώδεις καταφατικοὶ ἢ ἀποφατικοὶ οὐκ εἰσὶ γνῶμαι, καὶ οὕτω τὸν λόγον τῆς γνώμης ἐλλιπῆ [10] μὲν ταῖς λέξεσι δώσουσιν εἶναι καὶ τοῖς πράγμασι πλεονάζοντα, οὐ μέντοι καὶ ταῖς λέξεσι πλεονάζοντα. Εἰ γὰρ ἐπλεόναζε, φησὶ, ταῖς λέξεσιν, ἐπέλειπεν ἂν τοῖς πράγμασιν, οἷον ὡς ἐπὶ τοῦ ὁρισμοῦ τοῦ ἀνθρώπου, ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, γραμματικόν· καὶ γὰρ ὁ παρὼν ὁρισμὸς πλεονάζει μὲν ταῖς λέξεσιν, ἐλλείπει δὲ τοῖς πράγμασιν, μὴ πάντας ἀνθρώπους περιλαβών, ἀλλὰ μόνους τοὺς γραμματικούς. ἡμεῖς δέ φαμεν καὶ ταῖς λέξεσι πλεονάζειν τὸν ὁρισμὸν, εἴ γε τὸ προτρέπων καὶ ἀποτρέπων ἀντὶ τοῦ καταφατικοῦ καὶ ἀποφατικοῦ νομίσομεν εἰρῆσθαι, καὶ οὐ πᾶσα ἀνάγκη πάντα ὁρισμὸν ταῖς λέξεσι πλεονάζοντα ἐλλείπειν τοῖς πράγμασιν· αὐτίκα γὰρ ὁ παρὼν ὁρισμὸς πλεονάζων ταῖς λέξεσιν οὐκ ἐλλείπει τοῖς πράγμασιν, οἷον ἄνθρωπός ἐστι ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν, δίπουν, ὥστε ὡς δέδεικται ταῖς δυσὶ τῶν ὁρισμῶν κακίαις, τῷ πλεονασμῷ δηλαδὴ καὶ τῇ ἐλλείψει ὁ τῆς γνώμης ὑπαχθήσεται ὁρισμός, εἰ τὸ ἐπί τι προτρέπων ἢ ἀποτρέπων περὶ τῆς καταφάσεως καὶ ἀποφάσεως δώσομεν τεθεῖσθαι. ἄμεινον οὖν μὴ περὶ τούτων, ἀλλὰ περὶ τοῦ προτρεπτικοῦ καὶ ἀποτρεπτικοῦ εἴδους τῆς γνώμης ταῦτα νομίζειν

10 Laur. ἐλλιπῆ et δώσουσιν. Vind. ἐλλειπῆ et διήσουσιν.

εἰρῆσθαι, ἅμα μὲν ὡς πάσῃ σχεδὸν γνώμῃ τῶν τοιούτων ἐμφαινομένων, ἅμα δὲ καὶ ὡς διαστελλομένης οὕτω τῆς γνώμης ἀπὸ τῶν ἄλλων λόγων, οἱ ἀποφαντικοὶ μέν εἰσι καὶ κεφαλαιώδεις, καὶ ἢ καταφατικοὶ ἢ ἀποφατικοὶ, οὐ μέντοι καὶ γνῶμαι, οἷον Σωκράτης φιλοσοφεῖ, Σωκράτης οὐ φιλοσοφεῖ. Ἐν ἀποφάνσεσι. Ζητοῦσι πῶς τὴν γνώμην μόνον τοῦ ἀποφαντικοῦ φασιν εἶναι λόγου, ὅπου πολλὰς μὲν καὶ τοῦ προστακτικοῦ εὑρίσκομεν οὔσας γνώμας, διαφόρους δὲ καὶ τοῦ εὐκτικοῦ, οὐκ ὀλίγας δὲ καὶ τοῦ κλητικοῦ· αὐτίκα γὰρ τό·

Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης·

καὶ τό,

Ἃ μὴ προσήκει, μήτ' ἄκουε, μήθ' ὅρα,

ἐν μονοστίχοις Μενάνδρου, καὶ ὅσα τοιαῦτα γνῶμαι ὄντα τοῦ προστακτικοῦ εἰσι λόγου, καὶ πάλιν τό·

Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
Μηδ' ὄλβος, ὅστις τὴν ἐμὴν κνίζει φρένα,

γνώμη ὂν καὶ αὐτὸ, τοῦ εὐκτικοῦ ἐστι λόγου, καὶ τό·

Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσιν σκόπει,

τοῦ κλητικοῦ ἐν ταυτῷ καὶ προστακτικοῦ· καί τινες μέν φασιν ἐκείνας εἶναι κυρίως γνώμας, ἕτερος δὲ πάλιν περὶ τῶν τοιούτων λέγει, ὅτι καὶ γνῶμαι κλητικαὶ τὰ τοιαῦτά εἰσι, καὶ τοῦ ἀποφαντικοῦ μετέχουσι λόγου, καὶ οὐχὶ τῶν προστακτικῶν ἢ τῶν λοιπῶν· ὁ μὲν γὰρ προστακτικὸς, φασὶ, λόγος πρὸς ὡρισμένον λέγεται πρόσωπον, καὶ ἔλαττον τοῦ προστάσσοντος, ὡς ἔχει τὸ,

Βάσκ' ἴθι, Ἶρι ταχεῖα·

τὸ δέ·

Ἄνθρωπος ὢν μέμνησο τῆς κοινῆς τύχης,

καὶ τό·

Ἃ μὴ προσήκει, μήτ' ἄκουε, μήθ' ὅρα,

οὐχ οὕτως ἔχει· οὔτε γὰρ πρὸς πάντη ὡρισμένον πρόσωπον ἡ προστακτικὴ τείνει, οὔτε πρὸς ἔλαττον τοῦ προς-

τάσσοντος, καὶ ὁ εὐκτικὸς καὶ αὐτὸς πρὸς ὡρισμένον πρόσωπον λέγεται καὶ μεῖζον τοῦ εὐχομένου, ὡς ἔχει τό·

Αἴ γὰρ Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον·

τὸ δὲ,

Μή μοι γένοιτο λιπρὸς εὐδαίμων βίος,

οὐκ ἔχει ὡρισμένον τὸ πρὸς ὃ ἡ εὐχὴ γίνεται πρόσωπον, καὶ ὁ κλητικὸς δὲ λόγος καὶ αὐτὸς πρὸς ὡρισμένον λέγεται πρόσωπον· διὸ καὶ ἐπιστρέφειν ὀφείλει τὸ καλούμενον πρὸς τὸ καλοῦν, ὡς ἔχει τό·

Τεῦκρε, φίλη κεφαλή·

τὸ δὲ,

Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει·

οὐχ οὕτως ἔχει, ὥστε ἄμεινον φαίνεται ἀποφαντικοὺς λόγους νομίζειν καὶ ταῦτα σχήματα ἔχοντας προστακτικοῦ ἢ εὐκτικοῦ ἢ κλητικοῦ λόγου· δῆλον ἀφ' ὧν, εἰ μετασχηματισθεῖεν, καθαρὸν παντελῶς τὸ ἀποφαντικὸν καὶ ἀναντίρρητον ἔχουσιν· αὐτίκα γὰρ τό·

Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσιν σκόπει,

εἰ οὕτω μετασχηματισθείη, δεῖ μὴ τὸ κέρδος ἐν πᾶσιν σκοπεῖν, καθαρὸν ἔσται τὸ ἀποφαντικὸν ἐν αὐτῷ· ὁμοίως δὲ καὶ τό·

Ἃ μὴ προσήκει, μήτ' ἄκουε, μήθ' ὅρα·

καὶ αὐτὸ γὰρ οὕτω μετασχηματίσαντες καθαρὸν τὸ ἐν αὐτῷ ἀποφατικὸν ποιῆσαι δυνάμεθα, δεῖ μὴ ὁρᾷν, μήτ' ἀκούειν τὰ μὴ προσήκοντα· ὥστε τὸ μέν,

Ἄνθρωπος ὢν μίμνησο τῆς κοινῆς τύχης

ἀποφατικοῦ λόγου ὂν καταφατικοῦ ἐστιν εἶδους, τὸ δ',

Ἃ μὴ προσήκει, μήτε ἄκουε, μήθ' ὅρα,

καὶ τὸ,

Βέλτιστε, μὴ τὸ κέρδος ἐν πᾶσι σκόπει,

ἀποφαντικὰ καὶ αὐτὰ ὄντα, τῷ ἀποφατικῷ εἴδει ἁρμόζει.

Τῆς δὲ γνώμης τὸ μέν ἐστιν. Τὴν γνώμην

φασὶν εἰρῆσθαι ἀπὸ τοῦ γνῶσιν καὶ πίστιν ἐμποιεῖν τοῦ προκειμένου, καὶ οὗ χάριν παρείληπται· τὸ γὰρ, οὐκ ἀγαθὸν πολυκοιρανίη, [11] γνῶσίν φασιν ἐνεποίησεν ἐναργῆ καὶ ἀπόδειξιν ἀληθῆ τοῦ μὴ πάντας ὀφείλειν βασιλεύειν, οὐδὲ γὰρ ἀγαθόν.

Τῆς δὲ γνώμης τὸ μέν ἐστι προτρεπτικόν. Ἐν μὲν τῷ μύθῳ καὶ τῷ διηγήματι καὶ τῇ χρείᾳ οὐκ εὐθὺς μετὰ τὸ ὁρίσασθαι ἐπὶ τὴν διαίρεσιν ἐχώρει, ἀλλ' ἐν μὲν τῷ μύθῳ μετὰ τὸν ὁρισμὸν μετέβαινεν ἐπὶ τοὺς τρόπους τῆς κλήσεως, καὶ οὕτως διῄρει· ἐν δὲ τῷ διηγήματι μετὰ τὸ ὁρίσασθαι ὑπετίθει τὴν διαφοράν, ἣν ἔχει τὸ διήγημα πρὸς τὴν διήγησιν, καὶ οὕτως ἐπεχείρει τῇ διαιρέσει· ἐν δὲ τῇ χρείᾳ καὶ ἐν αὐτῇ μετὰ τὸν ὅρον τὴν αἰτίαν τῆς ὀνομασίας παρεδίδου, καὶ οὕτω διῄρει, ἐν δὲ τῇ γνώμῃ εὐθὺς μετὰ τὸν ὅρον διαιρεῖ.

Τῆς δὲ γνώμης τὸ μέν ἐστι προτρεπτικόν. Προέταξε τὸ προτρεπτικὸν εἶδος τοῦ ἀποτρεπτικοῦ ἢ ἀδιαφόρως, ὡς καὶ ἐν τοῖς προλαβοῦσι πολλάκις εἰρήκαμεν, διὰ τὸ ὁμότιμον τῶν εἰδῶν, ἢ καὶ διὰ τοῦτο· εἰ γὰρ τὸ προτρεπτικὸν προτρέπει ἐπὶ τὰ ἀγαθὰ, τὸ δὲ ἀποτρεπτικὸν ἀποτρέπει τῶν κακῶν, κρεῖττον δὲ τὸ ἀγαθὸν τοῦ κακοῦ, ἔδει πάντως προταχθῆναι καὶ τὸ προτρεπτικὸν τοῦ ἀποτρεπτικοῦ, ἢ ὅτι ἡ μὲν προτροπὴ ἀναλογεῖ ἕξει, ἡ δὲ ἀποτροπὴ στερήσει· τιμιωτέρα δὲ ἡ ἕξις τῆς στερήσεως, ἢ παρόσον καὶ ὁ προτρεπόμενος ἐπὶ τὸ ἀγαθὸν κρείττων δοκεῖ τοῦ ἀποτρεπομένου τῶν κακῶν, εἴ γε ὁ μὲν δοκεῖ μόνον μὴ ἐπικεχειρηκέναι τῷ ἀγαθῷ, ἐφ' ὃ νῦν προτρέπεται, οὐ μὴν κακῷ τινι ἐμμένει, ὁ δὲ κακόν τι δοκεῖ πράττειν καὶ αὐτοῦ ἀποτρέπεσθαι· ἀμφότερα δὲ ταῦτα, τὸ προτρεπτικόν φημι καὶ τὸ ἀποτρεπτικὸν, προτάττει τοῦ ἀποφαντικοῦ διὰ τὸ φανερώτερον ταῦτα

11 Il. β, 204.

τὸ ὠφέλιμον ἔχειν· εἰ γὰρ καὶ ἐν ἐκείνῳ ταῦτα ἐμφαίνεται, ἀλλ᾽ οὐκ ἐναργῶς οὕτως· τὸ δὲ ἀποφαντικὸν πάλιν προτάττει τῶν ἄλλων διὰ τὴν πρὸς τὸν ἀποφαντικὸν λόγον ἀναφοράν, τὸ δὲ ἁπλοῦν προέταξε τοῦ συνεζευγμένου διὰ τὸ δέον εἶναι τὰ ἁπλᾶ τῶν συνθέτων προϋφεστάναι. τὸ δὲ πιθανὸν πάλιν προέταξε τοῦ ἀληθινοῦ καὶ τοῦ ὑπερβολικοῦ διὰ τὸ χρησιμώτερον τοῦτο τὸ εἶδος τῆς γνώμης εἶναι εἰς τὰς μελέτας τοῖς ῥητορεύουσιν. ἐκεῖναι γὰρ οὐ τοσοῦτον αὐταῖς χρησιμεύειν δοκοῦσιν, ὡς τὸ ὁμολογούμενον ἔχουσαι· τὰ γὰρ ὁμολογούμενα τοῖς ῥήτορσιν ἄχρηστα· τὸ δ᾽ αὖ ἀληθὲς προτάττει τοῦ ὑπερβολικοῦ διὰ τὸ καὶ τὴν ἀλήθειαν κρείττω εἶναι τοῦ ψεύδους.

Τῆς δὲ γνώμης τὸ μέν ἐστι προτρεπτικόν, τὸ δὲ ἀποτρεπτικόν. Ζητεῖται, εἰ καὶ ἐν τῷ μύθῳ παραίνεσις καὶ ἐν τῇ χρείᾳ καὶ ἐν τῇ γνώμῃ, τί διαφέρει ἡ χρεία καὶ ἡ γνώμη τοῦ μύθου; καί φασί τινες κατὰ τοῦτο διαφέρειν τὸν μῦθον τούτων τῶν γυμνασιῶν, καθὸ ἐν ταύταις μὲν δι᾽ ἀληθῶν ἡ παραίνεσις, ἐν δὲ τῷ μύθῳ διὰ ψευδῶν, καὶ ὅτι ἐνταῦθα μὲν ἐξ ἐνδόξου καὶ ὡρισμένου τὰς χρείας καὶ τὰς γνώμας κατασκευάζομεν, ἐπαινοῦντες τὸν εἰρηκότα ἢ διαβάλλοντες, [12] ἐν δὲ τῷ μύθῳ εἰς οὐδένα τὸν μῦθον ἀναφέροντες ὡς οἰκείαν τὴν γνώμην παραινοῦμεν, λελησθότως τὴν ὠφέλειαν τῷ νέῳ προσάγοντες. *Τὸ δὲ ἀποφαντικόν.* Ζητεῖται διὰ τί ἀνωτέρω δύο τινὰ παρετίθει, τὸ μὲν προτρεπτικὸν λέγων, τὸ δὲ ἀποτρεπτικόν, ἔτι δὲ καὶ κατωτέρω τὸ μὲν ἁπλοῦν, τὸ δὲ συνεζευγμένον, τὸ δὲ ἀποφαντικόν, τὸ ἀποφαντικὸν ἀπόλυτον τέθεικεν· εἶπε γὰρ, τὸ δὲ ἀποφαντικόν, καί φαμεν ὅτι ἐπειδὴ οὐκ εἶχε τὸ ἀποφαντικὸν ἕτερόν τι ἀντιδιῃρημένον, ὥσπερ τὸ προτρεπτικὸν εἶχε τὸ ἀποτρεπτικόν, διὰ τοῦτο αὐτὸ οὕτω τέθεικεν.

12 Sequitur in Vind. τὸν δὲ μῦθον, ἐν δὲ τῷ μύθῳ.

Ἔτι ζητεῖται, εἰ ἡ γνώμη τοῦ ἀποφαντικοῦ ἐστι λόγου. πᾶσα γνώμη ἀποφαντική ἐστιν, ἀλλὰ τοῖς τεχνογράφοις ἔδοξεν, ἐκείνας κατ' ἐξαίρετον ὀνομάζειν ἀποφαντικὰς τὰς καθαρῶς μὲν μήτε τὴν προτροπὴν μήτε τὴν ἀποτροπὴν ἐχούσας, ἔξωθεν δέ πως ἐμφαινομένας, οἷον πάντων μέτρον ἄριστον, καιρὸς τῷ παντὶ πράγματι, μέλλει, τὸ θεῖον δέ ἐστι φύσει τοιοῦτον·

Οὐκ ἔστι θνητῶν, ὅστις ἔστ' ἐλεύθερος·

καὶ ταῦτα μὲν ἡμεῖς περὶ τούτου· ὁ δὲ Γεωμέτρης ἐκεῖνα λέγει· τὸ ἀποφαντικὸν ἕτερόν τι παρὰ τὸ περιεκτικὸν τοῦ τε ἀποφατικοῦ καὶ καταφατικοῦ ὁ Ἀφθόνιος οἶδε· τὸ γὰρ ἀποφαντικὸν ἐπὶ τῆς βεβαιουμένης γνώμης τίθησιν, ὥσπερ ἔχει καὶ τὸ παρ' αὐτῷ παράδειγμα τὸ, „δεῖ [13] δὴ χρημάτων," κατ' ἄμφω μὲν γὰρ αὐτάρκης καὶ ἀνελλιπὴς ἡ γνώμη μέχρι τούτου, ὁ δὲ καὶ προστίθησιν, „ὅτι ἄνευ τούτων οὐδέν ἐστι γενέσθαι τῶν δεόντων·" ὁρᾷς γάρ, ὡς οὐχὶ ἄλλο μὲν ἡ κατάφασις, ἄλλο δὲ παρέστησεν ἡ ἀπόφασις, ἀλλ' ἐξ ἀμφοτέρων, τῆς τε θέσεως καὶ τῆς ἀναιρέσεως, ὑπερβεβαιοῖ τὸ ἀποφαινόμενον, ὥστε κατ' ἐπίτασιν ἀποφαντικὸν εἶναι τοῦτο μόνον τὸ εἶδος τῆς γνώμης, διὸ καὶ ἐκ τοῦ ἰδιάζοντος ἀποφαντικὸν τῷ σοφιστῇ νενόμισται καὶ ὠνόμασται. Καὶ τὸ μὲν ἁπλοῦν, τὸ δὲ συνεζευγμένον. Ζητήσειεν ἄν τις, τί διαφέρει τὸ ἁπλοῦν τοῦ συνεζευγμένου καὶ τοῦ διπλοῦ, καὶ διατί τῷ ἁπλῷ ἀντικειμένου τοῦ διπλοῦ οὐκ ἀντέθηκεν αὐτῷ τοῦτο ἐν τῷ παρόντι ὁ σοφιστὴς, ἀλλὰ τὸ συνεζευγμένον. Ἰστέον τοίνυν, ὅτι ἁπλῆ μέν ἐστι γνώμη ἡ μίαν ἀπόφασιν ἔχουσα, οἷον·

Βίου τὸ κέρδος, ἐκβιοῦν καθ' ἡμέραν·

διπλῆ δὲ ἡ δύο μὲν ἀποφάνσεις ἢ καὶ πλείους ἔχουσα, ὁμοίας δὲ ἀλλήλαις καὶ τοῦ αὐτοῦ εἴδους, οἷον·

---

13 Ol. I. p. 15.

Δεινὸν πένεσθαι, χεῖρον δ', εὐπορεῖν κακῶς.

ἀλλ' ὁμοειδεῖς καὶ αἱ δύο· ἀμφότεραι γὰρ καταφατικαί εἰσι καὶ ἀποφαντικαί· τοιαύτη ἐστὶ καὶ ἡ,

Χρὴ ξεῖνον[14] *παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν,*

κἀκείνη· τῆς παιδείας ἡ ῥίζα πικρά, γλυκεῖς δὲ οἱ καρποί. συνεζευγμένη δέ ἐστι γνώμη ἡ δύο καὶ πλείους ἔχουσα ἀποφάνσεις ἀνομοίους καὶ ἑτεροειδεῖς·

Κλεὶς ὠὶ κείσθω, μηδὲ πορνεύοι γέλως.

δύο γάρ εἰσιν ἐνταῦθα ἀποφάνσεις, ἀλλ' ἡ μὲν μία προτρεπτικὴ καὶ καταφατικὴ, ἡ δὲ ἑτέρα ἀποτρεπτικὴ καὶ ἀποφατική· πλὴν ἰστέον, ὅτι ἡ πλείους τῶν δύο ἔχουσα ὁμοειδεῖς ἀποφάνσεις καὶ διπλῆ καὶ ἁπλῆ γένοιτ' ἂν εἰκότως, πρὸς ἄλλο μέντοι καὶ ἄλλο, πρὸς μὲν τὴν γὰρ κυρίως ἁπλῆν, ἥ τις μίαν ἐλέγετο ἔχειν ἀπόφανσιν, ἁπλῆ ἐστι, διπλῆ δὲ, καθότι αὕτη μὲν σύνθεσιν δύο ἢ καὶ πλειόνων ἔσχηκεν ἀποφάνσεων, ἐκείνη δὲ οὐδαμῶς· πρὸς δὲ τὴν συνεζευγμένην ἁπλῆ· συνθετωτέρα γὰρ αὐτῆς ἡ συνεζευγμένη δοκεῖ, καθὸ ἀπὸ πλειόνων μόνων ἀποφάνσεων σύνθεσιν ἔχει, ἀλλὰ καὶ διαφόρων εἰδῶν μίξιν ἔχει· ἐν τούτοις μὲν οὖν διαφέρουσιν ἀλλήλων ἡ ἁπλῆ γνώμη καὶ ἡ διπλῆ, καὶ ἡ συνεζευγμένη· ὁ τοίνυν Ἀφθόνιος τῷ ἁπλῷ εἴδει τῆς γνώμης τὸν συνεζευγμένον ἀντιδιεῖλεν· οὐχὶ τὸ διπλοῦν, ἵνα διὰ μὲν τοῦ ἁπλοῦ καὶ τὰς κυρίως ἁπλᾶς καὶ τὰς μὴ κυρίως δηλώσῃ, διὰ δὲ τοῦ συνεζευγμένου τὰς συνεζευγμένας, καὶ οὕτω τελείαν ποιεῖται τὴν διαίρεσιν, καὶ τὰς ἁπλᾶς ἐν ταὐτῷ καὶ τὰς διπλᾶς καὶ τὰς συνεζευγμένας συμπεριλαβών· εἰ μὲν γὰρ τῷ ἁπλῷ τὸ διπλοῦν ἀντέθηκεν, ἔξω τῆς διαιρέσεως ἔμενον αἱ συνεζευγμέναι· νῦν δὲ τῷ ἁπλῷ τὸ συνεζευγμένον ἀντιδιελὼν, διὰ τοῦ ἁπλοῦ καὶ τὰς διπλᾶς συμπεριέλαβε· καὶ γὰρ αἱ διπλαῖ, ὡς ἀνωτέρω ἐρρήθη, πρὸς τὰς συνε-

---

14 Od. ο, 74.

ζευγμένας ἁπλαῖ εἰσιν· ὅτι δὲ ἀκριβῶς περὶ αὐτῶν εἰδότες λέγομεν καὶ οὐ τερατευόμενοι, δῆλον ἐξ ὧν ὁ Γεωμέτρης λέγει· ἐκεῖνος γὰρ ἀπορῶν, διατί ὁ Ἀφθόνιος τὴν

Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,

γνώμην συνεζευγμένην ὠνόμασε, καὶ οὐχὶ τήν·

Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν,

φησὶν, ὅτι ἐπειδὴ ἐν τῷ

Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,

οὐ κατὰ τὸ αὐτὸ σχῆμα αἱ γνῶμαι προφέρονται, ἡ μὲν γὰρ κατὰ ἀπόφασιν, ἡ δὲ κατὰ κατάφασιν, διὰ τοῦτο συνεζευγμένην αὐτὴν ὠνόμασε γνώμην. ἐν δὲ τῷ·

Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν,

καὶ αἱ δύο γνῶμαι καταφατικαί εἰσι καὶ διὰ τοῦτο ἁπλῆν ταύτην ὠνόμασε· σημείωσαι δὲ διὰ ταῦτα καὶ ἐπὶ τῆς χρείας, συνεζευγμέναι καὶ μικταὶ χρεῖαι λέγονται αἱ εἰς διάφορα εἴδη τῆς χρείας ἀναγόμεναι, οἷον Διογένης μειράκιον ἰδὼν ἀτακτοῦν τὸν παιδαγωγὸν ἔπαισεν εἰπών, τί γὰρ τοιαῦτα παιδεύεις; αὕτη γὰρ καὶ εἰς τὸ πρακτικὸν καὶ εἰς τὸ λογικὸν εἶδος τῆς χρείας ἀνάγεται, ἡ μέντοι χρεία ἡ λέγουσα, ὅτι Ἰσοκράτης[15] τῆς παιδείας τὴν μὲν ῥίζαν ἔφη πικρὰν, γλυκεῖς δὲ τοὺς καρπούς, διπλῆ μέν ἐστι, καθὸ δύο ἀποφάνσεις ἔχει, μίαν μὲν τὴν λέγουσαν, ὅτι τῆς παιδείας οἱ καρποὶ γλυκεῖς, οὐ μὴν δὲ καὶ συνεζευγμένη, ἀμφότεραι γὰρ αἱ ἐν αὐτῇ ἀποφάνσεις τοῦ αὐτοῦ εἰσιν εἴδους λογικαὶ οὖσαι καθ' ἑκούσιον ἀποφαντικὸν, ὥστε διαφέροι ἂν τὸ συνεζευγμένον καὶ τοῦ διπλοῦ μικτοῦ κατὰ τοῦτο, καθὸ τὸ μὲν μικτὸν συνεζευγμένον ἔχει ἐξ ἑτεροειδῶν τὴν συμπλοκὴν, τὸ δὲ διπλοῖν ἐξ ὁμοειδῶν, διὸ καὶ τῶν μύθων τοὺς ἐκ λογικοῦ καὶ

15 Vind. Σωκράτης. Scr. Ἰσοκράτης.

ἀλόγου μικτοὺς ὁ Ἀφθόνιος ἔλεγεν· ἕτερον δὲ τὸ λογικὸν εἶδος τοῦ μύθου καὶ ἕτερον τὸ ἠθικόν.

Τὸ δὲ πιθανόν· πιθανὴ γνώμη λέγεται, ὅταν τὸ ὡς ἐπὶ τὸ πολὺ γινόμενον, οὐ μὴν πάντοτε ἀποφαίνηταί τις, ὡς εἴ τις εἴποι, ἐχθρὸν ἀεὶ τὸ δοῦλον τοῖς δεσπόταις. Τὸ δὲ ὑπερβολικὸν τὸ μεθ' ὑπερβολῆς καὶ πέρα τῆς ἀληθείας λέγει. Καὶ προτρεπτικὸν μέν, ὡς τὸ,

Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.

Ζητεῖται, εἰ μηδὲν τῶν Ὁμηρικῶν εἰκῇ μηδὲ μάτην εἴρηται, τίνος χάριν τῷ „χρὴ ξεῖνον παρεόντα φιλεῖν“ τὸ „ἐθέλοντα δὲ πέμπειν“ προσέθηκε· δοκεῖ γὰρ περιττὸν εἶναι, καὶ πάλιν τὸ „οὐκ ἀγαθὸν πολυκοιρανίη,“ ἐδήλωσεν, ὅτι ἀγαθόν ἐστιν ἡ μοναρχία καὶ ἤρκει ἡ μία γνώμη· ἔστιν οὖν πρὸς τοῦτο εἰπεῖν, ὅτι ἐπὶ πολυαρχίας καὶ μοναρχίας ἐστί τι μέσον, ἡ ὀλιγαρχία καὶ ἀριστοκρατία, διὰ τοῦτο, ἵνα μὴ καταλίπῃ τινὰ λαβὴν τοῖς στασιάζειν ἐθέλουσιν, ὡς οὐ πάντες μὲν ἄρχειν ἐθέλομεν, οἱ δὲ τῶν ἄλλων ἔκκριτοι καὶ προέχοντες, καὶ ἐξ ἀμφοτέρων κατησφαλίσατο τὴν ἀπόφασιν, ὥστε μήτε πολυαρχίαν εἶναι, μήτε ἀριστοκρατίαν, ἀλλὰ μήτε ὀλιγαρχίαν, μόνην δὲ τὴν μοναρχίαν τοῖς βουλομένοις σώζεσθαι καταλείπεσθαι· τὸ αὐτὸ δέ ἐστιν ἰδεῖν καὶ ἐπὶ τῆς παραινέσεως τῆς τῶν ξένων· καὶ γὰρ κἀκεῖ τῷ[16] „χρὴ ξεῖνον παρεόντα φιλεῖν,“ τὸ „ἐθέλοντα δὲ πέμπειν“ προστέθειται ὡς ἐγχωροῦντος τοῦ παρόντα μὲν αὐτὸν ὑποδέχεσθαι, ἐθέλοντα δὲ ἀπέρχεσθαι μὴ συγχωρεῖν. Πιθανὸν δέ, ὡς τὸ, τοιοῦτός τίς ἐστιν ἕκαστος, οἷσπερ ἥδεται ξυνών· ὁ νοῦς· τοιοῦτός τίς ἐστιν ἕκαστος, οἷοί εἰσι καὶ ἐκεῖνοι, οἷς τισι συνὼν εὐφραίνεται. Ἀντώνιος δέ τις ἔφη πρὸς τὸ παρὸν παράδειγμα, ὅτι τὸ ἥδεται προστεθὲν, ὦ Ἀφθόνιε, οὐ πιθανὸν εἶναι τὸ ῥη-

16 Vind. τό.

τὸν ἐᾷ, ἀλλ' ἀληθινόν· δηλοῖ γὰρ τὴν οἷον ἔμμονον καὶ ἐνδιάθετον καὶ σὺν ἡδονῇ καὶ εὐφροσύνῃ διατριβήν τε καὶ συναναστροφήν· ἡμεῖς δέ φαμεν, πιθανὴν [17] εἶναι μᾶλλον τὴν γνώμην, ὡς καὶ τῷ ἡμετέρῳ διδασκάλῳ δοκεῖ, ἥπερ ἀληθινήν, παρόσον ἐνδέχεταί τινά τισι συνόντα πονηροῖς συγγενέσιν ὄντα αὐτὸν χρηστὸν ἥδεσθαι μὲν, ὡς τοῖς συγγενέσι συνδιαιτώμενον, οὐ μὴν καὶ αὐτὸν πονηρὸν εἶναι. Τινὲς δὲ τὸ ἥδεται πρὸς τὸν τρόπον καὶ τὸν βίον τῶν οἷς σύνεστί τις λέγουσιν ἀφορᾷν, οἷον τοιοῦτός τίς ἐστιν ἕκαστος, οἵσπερ ἥδεται συνὼν τοιούτοις οὖσιν· ἔστιν οὖν εἰπεῖν καὶ πρὸς τοῦτο, ὅτι καὶ οὕτως πιθανόν ἐστι τὸ ῥητὸν, οὐκ ἀληθές· καὶ γὰρ ἐνδέχεταί τινα ἀσθενῆ συνόντα τισὶ ῥωμαλέοις συγγενέσιν ἥδεσθαι μὲν αὐτοῖς τοιούτοις οὖσιν, οὐ μὴν καὶ αὐτὸν ῥωμαλέον εἶναι, ἢ πάλιν ἐνδέχεταί τινα πατέρα γηραιὸν μήπω περὶ λόγους ἐσπουδακότα ἥδεσθαι μὲν τοῖς υἱοῖς φιλοσοφοῦσιν, οὐ μὴν καὶ αὐτὸν φιλόσοφον εἶναι. τινὲς δὲ τὸ εἴδεται διὰ διφθόγγου [18] γράφουσιν, ὥστε σημαίνειν τὸ φαίνεται. Καὶ ταῦτα μὲν ἡμεῖς περὶ τούτου· ὁ δὲ Γεωμέτρης ἐκεῖνα περὶ τοῦ πιθανοῦ διαλέγεται· πιθανὸν ἔστω, ὅπερ μᾶλλον μετέχει τῆς ἀληθείας ἢ τοῦ ψεύδους· τὸ γὰρ ἐπ' ἔλαττον μετέχον ἢ ἐπ' ἴσης οὐ πιθανὸν ἀλλ' ἀμφιβαλλόμενον. ταῦτα δὲ πιθανὰ ἅπερ καὶ ὡς ἐπὶ τὸ πλεῖστον γίνονται, ἃς δὴ καὶ ἐνδόξους προτάσεις οἱ διαλεκτικοὶ νομίζουσιν· οὐκ ἀληθὲς δὲ διὰ τὸ μὴ ἀεὶ τοῦτο συμβαίνειν, ὥσπερ ἐστὶ καὶ ἐπὶ τῆς παρούσης γνώμης ἰδεῖν· τὸ γὰρ οἷς ἥδεται πιθανὴν ταύτην πεποίηκεν, οὐ γὰρ ἁπλῶς εἶπεν, τοιοῦτός ἐστιν ἕκαστος, οἵσπερ σύνεστιν· ἀνάγκη γὰρ οὐκ ἐπὶ τῶν φίλων μόνων τοῦτο συμβαίνειν, ἀλλὰ καὶ ἐπὶ τῶν πολεμίων,

17 Vind. *πιθανόν*. 18 In utroque codice scriptum per compendium obscurum.

ὡς τὰ πολλὰ, καὶ πάντων τῶν ἐχθρῶν τε καὶ αἰχμαλωτιζομένων τούτοις συνεξεταζομένων, οἵσπερ οὐ βούλονται, καὶ πολεμίως οὐ μόνον ταῖς χερσὶν, ἀλλὰ καὶ ταῖς γνώμαις πρὸς ἀλλήλους διακειμένων. οὕτω γοῦν καὶ πολλοὶ μὲν παρὰ βαρβάροις Ἕλληνες, [18*] πολλοὶ δὲ παρ' Ἕλλησι βάρβαροι, καὶ μὴ τοιοῦτοι δηλαδὴ τυγχάνοντες, οἵσπερ σύνεισιν, ἥδονται. ἀλλὰ τὸ μὲν ἥδεσθαι πιθανὸν αὐτὸ πεποίηκεν, οὐκ ἀληθὲς δὲ τὸ μὴ ἐπὶ πάντων αὐτὸ τοῦτο φαίνεσθαι· οὐ γὰρ κατὰ πάντων φησὶν ἥδεσθαι, δυνατὸν γὰρ καὶ κατ' ἄλλο τι συνηδόμενον κατ' ἄλλο διαφέρεσθαι πάλιν καὶ ἄχθεσθαι. οὕτω καὶ βασιλεῖς τεχνίταις ἥδονται, οὐ τοιοῦτον τὸν τρόπον οὔτε τὰ φρονήματα οὔτε τἆλλα τῶν ἐπιτηδευμάτων ἔχοντες, καὶ οὐ τοῖς πράγμασι μόνον διοριστέον αὐτὸ, ἀλλὰ καὶ τοῖς καιροῖς· νῦν μὲν γὰρ ἥδεταί τις, νῦν δὲ πάλιν ἄχθεται, καὶ οὐ τοιοῦτός ἐστιν ἀεὶ, καὶ δι' ἡντιναοῦν πολλάκις αἰτίαν ἥδεται· τὸ γοῦν ἐκ μέσου ἀληθεῦον καὶ ἐν καιρῷ δι' ὡρισμένας τινὰς αἰτίας πιθανὸν οὐκ ἀληθές· ἀληθὲς οὖν τὸ ἀεὶ καὶ ἐπὶ πάντων καιρῶν τε καὶ πραγμάτων καὶ διὰ πᾶσαν αἰτίαν οὕτω συμβαῖνον.

Τοιοῦτός ἐστιν ἕκαστος, οἵσπερ ἥδεται ξυνών· ὁμοία ταύτῃ κἀκείνη·

Φήμη δ' οὔτις πάμπαν [19] *ἀπόλλυται, ἥν τινα λαοὶ*
Πολλοὶ φημίζουσι.

κἀκείνη, σοφὸν [20] ἓν βούλευμα τὰς πολλὰς χεῖρας νικᾷ. Ἐργάσαιο δ' αὐτὴν τοῖς τῆς χρείας κεφαλαίοις. Ἐνταῦθα γενόμενός τις τῶν πρὸ ἡμῶν ἀπορεῖ, εἰ ἡ γνώμη γνῶσιν ἔχει τῶν κατὰ φύσιν ὑπαρχόντων τοῖς πράγμασιν, ἀληθής ἐστι καὶ ὁμολογουμένη τυγχάνει· ὁμολογουμένη δὲ οὖσα οὐ δεῖται κατασκευῆς· περιττὸν οὖν εἶπεν

18* Codd. Ἕλληνες, Ἕλληνες πολλοὶ etc. 19 πάμπαν Vind. om. 20 Ex Eurip. Antiopa. Vid. Valk. Diatr. in Eur. p. 78 a.

τὴν γνώμην κατασκευάζειν· καὶ ἡ μὲν ἀπορία αὕτη, ἡ δὲ λύσις αἰτῆς καὶ αὐτὴ παρ' αὐτοῦ τοῦ ἀπορήσαντος ἀποδοθεῖσα τοιαύτη· πολλαὶ τῶν γνωμῶν εἰσι πιθαναί· τὸ δὲ πιθανὸν οὐ πάντως ἀληθές, οἷον·

Φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥν τινα λαοὶ
Πολλοὶ φημίζουσι.

τοῦτο γὰρ οὐ πάντη ἀληθές· ἔπειτα καὶ τὸ ἀληθὲς δεῖται συνηγόρου, ὥστε πεῖσαι τὸν ἀκούοντα, καὶ πάλιν· ἐγγύα, πάρα δ' ἄτα, εἰ πάντως ἀληθὲς, καὶ, σοφὸν ἓν βούλευμα τὰς πολλὰς χεῖρας νικᾷ, ὥστε πάντως δέονται κατασκευῆς διὰ τὸ πεῖσαι τὸν ἀκροώμενον. πάλιν ὁ αὐτὸς ἀπορεῖ, εἰ ἡ αὐτὴ ἐργασία χρείας καὶ γνώμης ἐστὶ, τῇ γνώμῃ περιττὸν ἐγγυμνάζεσθαι. ἐπιλύεται δὲ καὶ τοῦτο λέγων· ὅτι διάφορά εἰσι τὰ γυμνάσματα· ἡ μὲν γὰρ χρεία μερικὸν ἔχει τὸν λόγον κατασκευαζόμενον, ἡ δὲ γνώμη καθόλου, καὶ ἡ μὲν χρεία τὴν πᾶσαν κατασκευὴν εἰς ἔπαινον ἔχει τοῦ εἰπόντος ἀναφερομένην, ἡ δὲ γνώμη αὐτοῦ φησι τοῦ λόγου· ἄλλως τε δὲ τῶν διπλῶν ἐστι τὸ γύμνασμα, καὶ τῶν ἐφ' ἑκάτερα ἐχόντων τὴν ὕπαρξιν, ἀλλ' οὐ τῶν ἁπλῶν καὶ μονομερῶν, ὥσπερ τὸ διήγημα καὶ ἡ ἔκφρασις· ἐν τούτοις μὲν γὰρ ἀφήγησίς ἐστι πραγμάτων ἁπλῶς, ἐν τῇ γνώμῃ δὲ καὶ τῇ χρείᾳ συστάσεις ἔσονται καὶ καταλύσεις, ὡς κἂν τῇ ἀνασκευῇ καὶ ἐν τῷ ἐγκωμίῳ καὶ τοῖς ἄλλοις· εἰ τοίνυν συνιστῶμεν [21] τοῖς λόγοις τὴν χρείαν καὶ τὴν γνώμην, δηλονότι καὶ καταλύειν δυνάμεθα. Τοῦ δὲ τῶν νέων συμφέροντος ἕνεκα τὰς χρείας ἢ τὰς γνώμας οὐκ ἀνατρέπομεν, ἀλλ' ἐν τῇ συστάσει αὐτῶν γυμναζόμεθα, ἵνα [22] πρὸς τὸν ζῆλον αὐτῶν προτρεπώμεθα, κἀκεῖνοι τὴν ἐκ τῶν λεγομένων ἢ πραττομένων ὠφέλειαν καρπώσωνται.

Διε-

21 Vind. συνισιῶν ἐν τοῖς. Supra Codd. ἀναφερόμενον. l. 17. Scr. ἀναφερομένην. 22 Vind. ἴυα.

Διενήνοχε δὲ ἡ χρεία τῆς γνώμης. Ὁ μὲν Ἀφθόνιος δύο μόνας διαφορὰς τῆς χρείας πρὸς τὴν γνώμην ἀποδέδωκε, μίαν μὲν τὸ τὴν μὲν ἀπροσώπως, τὴν δὲ μετὰ προσώπου ἐκφέρεσθαι, ἑτέραν δὲ τὸ τὴν μὲν χρείαν ἔσθ' ὅτε ἐν πράξεσιν εἶναι, τὴν δὲ γνώμην ἀεὶ ἐν λόγῳ· ὁ μέντοι Ἑρμογένης ἐν τῷ περὶ χρείας λόγῳ φησὶ μὲν καὶ ταύτας τὰς διαφορὰς, ἔτι δὲ παρ' αὐτὰς καὶ ἐκείνην· ἡ μὲν γνώμη, φησὶν, ἐν ἀποφάνσει ψιλῇ λέγεται, ἡ δὲ χρεία πολλάκις καὶ κατ' ἐρώτησιν καὶ ἀπόκρισιν. οἱ δὲ ἐξηγηταὶ τοῦ Ἀφθονίου προστιθέασι καὶ ἐκείναις· γνώμην γάρ, φασὶ, καὶ ἐφ' ἡμῖν ἂν γένοιτό τινα ποιῆσαι, εἰ οὕτω τύχοι, χρείαν δὲ ἐφ' ἡμῖν οὐκέτι χωρὶς προσώπου συμπλάσασθαι, καὶ ὅτι ἡ μὲν γνώμη μόνον ὑποφαίνεται τὸ καθόλου, ἡ δὲ χρεία ποτὲ μὲν τὸ καθόλου, ποτὲ δὲ τὸ ἐπὶ μέρους· ἔτι ἡ μὲν γνώμη ἀεὶ περὶ τῶν ἐν τῷ βίῳ χρησίμων ἐστὶν, ἡ δὲ χρεία καὶ χαριεντισμοῦ ἕνεκεν, καὶ ἡ μὲν χρεία τὴν πᾶσαν κατασκευὴν εἰς ἔπαινον ἔχει τοῦ εἰρηκότος ἀναφερομένη, ἡ δὲ γνώμη αὐτοῦ φύσει τοῦ λόγου. Ἐζητήκασι δέ τινες, ἀνθότου διαφορὰν τῆς χρείας μόνης πρὸς τὴν γνώμην ἀποδέδωκεν, οὐ μὴν καὶ τοῦ μύθου πρὸς τὸ διήγημα καὶ τὴν χρείαν καὶ τὴν γνώμην, καίτοι, εἴπερ ἐβούλετο, πολλὰς ἔχων τούτων εἰπεῖν τὰς πρὸς ἄλληλα διαφορὰς· πλεῖον γὰρ ταῦτα ἀλλήλων ἦπερ ἡ γνώμη τῆς χρείας διέστηκε. καὶ ἔστιν εἰπεῖν, ὅτι, ἐπειδὴ τὰ μὲν ἄλλα πάμπολυ διεστῶτα ἀλλήλων εὗρισκε, διὰ τοῦτο τὰς πρὸς ἄλληλα αὐτῶν διαφορὰς παρῆκεν εἰπεῖν, λογιζόμενος, ὡς εἰ μὴ καὶ αὐτὸς εἶπῃ, ὅμως φανερὰ πᾶσίν ἐστι, καὶ οὐδεὶς ἄν ποτε πλανηθεὶς τὸ διήγημα νομίσῃ χρείαν εἶναι ἢ γνώμην ἢ μῦθον· τὴν δὲ γνώμην καὶ τὴν χρείαν, ἐπειδὴ κατὰ πολλὰ εὗρισκε κοινωνούσας ἀλλήλαις, ἵνα μὴ πλανώμεθα, ἀδιάφορον τὴν χρείαν πρὸς τὴν γνώμην οἰόμενοι, διὰ τοῦτο τὰς ἐνούσας αὐταῖς πρὸς ἀλλήλας

διαφορὰς παραδοῦναι δεῖν ἔγνω, ἄλλως τε οὗ ἂν ὦσι κοινωνίαι, ἐκεῖ καὶ διαφορῶν ἐστι χρεία, ὧν δέ ἐστι κοινὸν οὐδέν, ἐπὶ τούτων οὐδεμία χρεία διαφορᾶς· ἐν γοῦν τῇ χρείᾳ καὶ τῇ γνώμῃ, ἐπεὶ κοινωνίας πολλὰς εὗρισκε πρὸς ἀλλήλας, εἰκότως καὶ διαφορὰς αὐτῶν ἐδεήθη εἰπεῖν, πρὸς παράστασιν τῆς ἀμφοτέρων τῶν γυμνασιῶν διακρίσεως. Ἰστέον δέ, ὅτι, εἰ καὶ μὴ ὁ Ἀφθόνιος διαφορὰς εἶπε τῶν γυμνασμάτων πρὸς ἄλληλα, ὅμως τὰ περὶ προγυμνασμάτων ἀναγινώσκοντες ἐν τῷ τέλει καὶ ταύτας ἀκριβῶς ὡς οἷόν τε ἐκτεθείσας εὑρήσομεν.

Χρὴ πενίην φεύγοντα. Ὥσπερ ἐπὶ τῆς χρείας ἐποίησε τοῦ πρώτου αὐτῆς εἴδους τοῦ λογικοῦ εἰς μελέτην μεταχειρισάμενος παραδείγματα, οὕτω καὶ ἐν τῇ γνώμῃ ποιεῖ, τὸ πρῶτον εἶδος καὶ ἐν αὐτῇ μελετῶν· ἔστι δὲ τοῦτο τὸ προτρεπτικόν· ἀπορεῖ δὲ, ὅτι ὥσπερ ἐν τῇ μελέτῃ τῆς χρείας ἐποίησεν, ἐκείνην εἰς μελέτην μεταχειρισάμενος τὴν χρείαν, ἐφ' ἧς καὶ ὁ παλαιότερος αὐτοῦ τεχνογράφος ὁ Ἑρμογένης ἐγύμναζε τὰ κεφάλαια, οὕτω καὶ ἐν τῇ γνώμῃ ἔδει ποιῆσαι, ἐν ᾗ ἐκεῖνος διασαφεῖ τὰ κεφάλαια, ταύτην καὶ αὐτὸς [23] ὤφειλε μελετῆσαι. νῦν δὲ ἐκεῖνος μὲν ὡσπερεὶ διαιρεῖ τὸ

Οὐ χρὴ [24] παννύχιον εὕδειν βουληφόρον ἄνδρα·

ὁ δὲ Ἀφθόνιος μελετᾷ τό·

Χρὴ πενίην [25] φεύγοντα καὶ ἐς μεγακήτεα πόντον
Ῥιπτεῖν καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων.

φαμὲν δὴ ὅτι ἐποίησεν ἀμφότερα, καὶ πῇ μὲν τὰ τοῦ Ἑρμογένους ἐπλάτυνεν, ὡς ἐν τῇ χρείᾳ, πῇ δὲ καὶ αὐτὸς προθεὶς ἑτέραν ἣν ἐβούλετο γνώμην, ὡς ἐδόκει αὐτῷ, κατεσκεύασεν, ἵνα δείξῃ εἰς ἑκάτερον δυνατῶς ἔχων ἐπιχειρεῖν, καὶ εἰς τὸ παραφράζειν καὶ πλατύνειν καὶ ἀλλοιοῦν

23 Vind. αὐτό. 24 Il. β, 22. 25 Theogn. 173.

τὰ ἀλλότρια, καὶ εἰς τὸ οἴκοθεν ἐφευρίσκειν τὰ εἰς κατασκευὴν τοῦ προκειμένου ἐπιχειρήματος. Ἔτι ζητοῦσι, διὰ τί ἐπὶ μὲν τῆς χρείας ἀπὸ τοῦ Ἰσοκράτους ἔλαβε τὸ παράδειγμα, ἐπὶ δὲ τῆς γνώμης ἀπὸ τοῦ Θεόγνιδος, καίτοι δυνάμενος ἀμφότερα ἐξ Ὁμήρου λαβεῖν, ὅστις γνωριμώτερός [26] ἐστι τοῖς εἰσαγομένοις καὶ τοῦ Ἰσοκράτους καὶ τοῦ Θεόγνιδος· καὶ λέγομεν, ὅτι οὐκ ἀλόγως τὰ παραδείγματα ἀπὸ τούτων ἤνεγκεν, ἀπὸ μὲν τοῦ Ἰσοκράτους, ἐπειδὴ ῥήτωρ ἐστὶν, ἡ δὲ προκειμένη πραγματεία πρὸς ῥητορείαν συμβάλλεται, ἀπὸ δὲ τοῦ Θεόγνιδος, ἀγνώστου τοῖς πολλοῖς τυγχάνοντος, ἵνα πολυμαθεῖς οἱ νέοι γένωνται, πολλοῖς ποιηταῖς ἐντυγχάνειν ἀναγκαζόμενοι. Χρὴ πενίην φεύγοντα. Τινὲς οὕτως ἑρμηνεύουσι τὸ ῥητὸν· τὸν θέλοντα ἀποφυγεῖν τὴν πενίαν πάντα τρόπον χρὴ κοπιᾷν, καὶ μὴ μόνον ἐν εὐγείῳ τύπῳ σπείρειν, ἀλλὰ καὶ ἐν πετρώδει, καὶ μηδὲ γεωργίᾳ προσανέχειν, ἀλλὰ καὶ τῇ διὰ τοῦ πλεῖν ἐμπορίᾳ. Ἕτεροι δὲ οὕτως· χρὴ τὴν πενίαν φεύγοντα καὶ πᾶσι τρόποις ἰώμενον αὐτὴν οὐκ ἐπὶ τοῖς φανερωτάτοις μᾶλλον καὶ προφανὲς ἔχουσι τὸ κέρδος ταλαιπωρεῖν καὶ ἐγκατασπείρειν, τοῦτο γὰρ τὸ ῥιπτεῖν, ὡς ἔοικεν, νενομίκασιν, [27] ἀλλὰ καὶ κατὰ θαλάσσης καὶ κατὰ πετρῶν, τουτέστι καὶ κατὰ ἀκάρπων καὶ ἀνελπίστων, ἐξ ὧν μὴ προσδοκία τις τῆς ἀνταποδόσεως, ὥστε τὸ συναγόμενον εἶναι τοιοῦτον, ὅτι εὐλόγως καὶ ἀλόγως πονεῖν δεῖ, καὶ πάσῃ ἐκδιδόναι ἑαυτὸν ταλαιπωρίᾳ, εἴπως ἂν δυνηθείη [28] τις τὴν πενίαν διαφυγεῖν. ἔνιοι δὲ πάλιν λέγουσιν, ὅτι πρὸς τὸν κίνδυνον ἡμᾶς παραθήγων καὶ τὸ φερέπονον ταύτην τιθησι τὴν παραίνεσιν, ὅτι χρὴ καὶ κατὰ παντὸς τολμᾷν, εἴπως ἂν τοιοῦτον φάρμακον τοῦ χαλεποῦ τούτου νοσή-

26 Vind. γνωριμώτερον. 27 Vind. ἐνομίκ. 28 Vind. δυναθείη.

ματος εὕρομεν· ὁ δὲ Ἀφθόνιος τοιαύτην φαίνεται ἐκλαμβάνων τοῦ ῥητοῦ τὴν διάνοιαν, αἱρετώτερον χρὴ νομίζειν τὸν θάνατον, ἢ τὴν πενίαν, καὶ σκόπει τοῦτο ἐν τῷ παραφραστικῷ κεφαλαίῳ.

Καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων. Πρὸς Κύρνον ἡ προσφώνησις, τινὰ τῶν κατ' αὐτὸν ἐνδόξων ἢ βασιλέων ὄντα φιλολόγον. Κατηγορεῖσθαι τὴν ποίησιν οὐκ ἀφῆκεν ὁ Θεόγνις. Ζητεῖται, πῶς εἰπὼν τὴν γνώμην ἀπροσώπως ἐκφέρεσθαι καὶ κατὰ τοῦτο τῆς χρείας διαφέρειν ἐν τῇ παρούσῃ τῆς γνώμης μελέτῃ τὸ εἰρηκὸς ὑπέφηνε[29] πρόσωπον· καὶ φασί τινες, ὅτι οὐχ οὕτως ἀπροσώπως ἐκφέρεσθαι τὴν γνώμην εἶπεν, ὥστε μηδὲ ἐν τῇ μελέτῃ τὸ γνωμολογῆσαν πρόσωπον εἶναι φανερὸν, ἀλλὰ τοῦτο λέγει, μὴ δεῖν τῆς γνώμης αὐτῆς τὸ εἰρηκὸς προτάττεσθαι πρόσωπον, οἷον Θέογνις εἶπε, χρὴ πενίην φεύγοντα καὶ εἰς μεγακήτεα πόντον ῥιπτεῖν· δυνατὸν μέντοι μηδὲ ἐν τῇ μελέτῃ τὸ εἰρηκὸς πρόσωπον ἐμφαίνεσθαι, καὶ μάλιστα εἰ μή τις ἄλλος ἀλλ' ὁ μελετῶν τύχῃ τὴν γνώμην εἰρηκὼς, τότε γὰρ οὐχὶ τὸν εἰρηκότα πάντως ἐπαινέσει, ἀλλ' αὐτὸν τὸν τῆς γνώμης σκοπὸν καὶ τὸν νοῦν, ἄλλως τε δὲ τὴν γνώμην εἶπεν ἀπροσώπως ἐκφέρεσθαι, οὐ μὴν καὶ τὴν τῆς γνώμης κατασκευήν. Χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντον ῥιπτεῖν ἡρωϊκός ἐστιν· ἔχει γὰρ τὸν μὲν πρῶτον πόδα δάκτυλον, χρὴ πενι, τὸν δὲ δεύτερον σπονδεῖον, ην φευ· τὸν δὲ τρίτον ἀμφίμακρον, γοντα και· τὸν δὲ τέταρτον δάκτυλον, ες μεγα, καὶ τὸν πέμπτον ὁμοίως δάκτυλον, κήτεα, τὸν δὲ ἕκτον καὶ τελευταῖον τροχαῖον,

29 Vind. ὑπέφηκε.

— — —
ποντοῦ· καὶ ὁ μὲν πρῶτος, ὡς ἔφημεν, ἡρωϊκός ἐστιν, ὁ δὲ δεύτερος ἐλεγεῖον· τὸ δὲ ἐλεγεῖον μέτρον ἑξάμετρον καὶ αὐτὸ ὄν, ὥσπερ καὶ τὸ ἡρωϊκὸν καὶ τὸ ἰαμβικόν, ἔχει τὸν μὲν πρῶτον καὶ δεύτερον πόδα, ἤτοι τοὺς δύο σπονδείους ἢ δακτύλους, ἢ τὸν μὲν ἕνα σπονδεῖον, τὸν δὲ ἕτερον δάκτυλον, καὶ τοῦτο ἀδιαφόρως, ἢ γὰρ τὸν μὲν πρῶτον δάκτυλον, τὸν δὲ ἕτερον σπονδεῖον, ἢ τὸν μὲν πρῶτον σπονδεῖον, τὸν δὲ δεύτερον δάκτυλον· ἐν δὲ τῇ τρίτῃ χώρᾳ ἀντὶ ποδὸς ὅλου συλλαβὴν ἔχει μόνην μακράν, εἶτα ἑτέρους δύο πόδας ἢ δακτύλους, ἢ σπονδείους, ἢ τὸν μὲν σπονδεῖον, τὸν δὲ δάκτυλον ἀδιαφόρως, καὶ τελευταῖον συλλαβὴν μίαν, ἀλλ᾽ οὐχὶ μακρὰν πάντως, ὥσπερ καὶ ἐν τῇ τρίτῃ, ἀλλ᾽ ἀδιαφόρως ἢ βραχεῖαν ἢ μακράν, οἷον,

Ῥιπτεῖν καὶ πετρῶν, Κύρνε, κατ᾽ ἠλιβάτων.

— — —
ἰδοὺ ὁ μὲν πρῶτος καὶ ὁ δεύτερός εἰσι σπονδεῖοι, ῥιπτεῖν
— — —
καὶ πε, εἶτα καὶ συλλαβὴν μακρὰν ἀντὶ ποδὸς, τρων·
— ᴗ
εἶτα ὁ τέταρτος καὶ ὁ πέμπτος ποῦς δάκτυλοι, Κύρνε
ᴗ — ᴗ — —
κατ᾽ ἠλιβά, καὶ ἡ τελευταία συλλαβὴ μακρὰ, των· τοιοῦτοί εἰσι καὶ οἱ τῇ τῆς μεγάλης ἐκκλησίας ἀψῖδι ἐγγεγραμμένοι.

Καὶ τήνδ᾽ οὐρανίην ἀψῖδα χρόνῳ μογέουσαν·
Ῥωμανὸς ἥδρασεν ὀλβιόδωρος ἄναξ,
Ὅς καὶ χρυσοῦ πεντήποντα τάλαντα θεοῖο
Γμνοπόλοισι νέμε, πρόσθετό τ᾽ εὐσεβίως·

καὶ γὰρ τούτων ὁ μὲν πρῶτος ὁ,

Καὶ τήνδ᾽ οὐρανίην ἀψῖδα χρόνῳ μογέουσαν,

καὶ ὁ τρίτος,

Ὅς καὶ χρυσοῦ πεντήκοντα τάλαντα θεοῖο

ἡρωϊκοί εἰσιν, ὁ δὲ δεύτερος,

Ῥωμανὸς ἥδρασεν ὀλβιόδωρος ἄναξ,

καὶ ὁ τέταρτος,

Τμνοπόλοισι νέμε, πρόσθετό τ' εὐσεβέως,

ἐλεγεῖοι· ἔχει δὲ ὁ πρῶτος τὸν μὲν πρῶτον πόδα σπονδεῖον, τὸν δὲ δεύτερον δάκτυλον, τὸν δὲ τρίτον σπονδεῖον, τὸν δὲ τέταρτον καὶ τὸν πέμπτον δάκτυλον, τὸν δὲ ἕκτον τροχαῖον· ὁ δὲ δεύτερος στίχος ἐλεγεῖος ὢν τὸν μὲν πρῶτον πόδα δάκτυλον ἔχει, τὸν δὲ δεύτερον σπονδεῖον, εἶτα συλλαβὴν μίαν τὴν σεν, κοινὴν μὲν οὖσαν, ἀντὶ μακρᾶς δὲ παρειλημμένην· καὶ ἔστιν ὁμοία τῇ ἐν τῷ·

Νέστορα[30] *δ' οἶκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης·*

κἀκείνη γὰρ κοινὴ οὖσα ἀντὶ μακρᾶς τῷ ποιητῇ παρείληπται· ὡς γὰρ ἐμάθομεν ἐν τῇ γραμματικῇ τέχνῃ ἐν τῷ περὶ συλλαβῆς λόγῳ, κοινὴ συλλαβὴ γίνεται· κοινὴ δέ ἐστιν ἡ ποτὲ μὲν ὡς μακρά, ποτὲ δὲ ὡς βραχεῖα παραλαμβανομένη, ὅταν βραχεῖα συλλαβὴ καταπεραιοῖ εἰς μέρος λόγου καὶ τὴν ἐξῆς ἔχει ἀπὸ φωνήεντος ἀρχομένην· ὁ δὲ τέταρτος ποῦς τοῦ δευτέρου στίχου καὶ ὁ πέμπτος δάκτυλοί εἰσιν, εἶτα τελευταία συλλαβὴ μακρά. ὁ δὲ τρίτος στίχος ἡρωϊκὸς ὢν καὶ αὐτὸς τὸν μὲν πρῶτον καὶ τὸν δεύτερον καὶ τὸν τρίτον πόδα σπονδεῖον ἔχει, τὸν δὲ τέταρτον καὶ τὸν πέμπτον δακτύλους, τὸν δὲ τελευταῖον τροχαῖον. ὁ δὲ τέταρτος πάλιν στίχος ἐλεγεῖος ὢν τὸν μὲν πρῶτον καὶ δεύτερον πόδα δακτύλους ἔχει, εἶτα μίαν συλλαβὴν κοινὴν μὲν οὖσαν, ἀντὶ μακρᾶς δὲ τεθειμένην, εἶτα δύο δακτύλους, καὶ τελευταίαν μίαν συλλαβὴν μακράν.

Ὁρῶν γὰρ τοὺς ποιητὰς τὸ μυθολογεῖν περὶ πολλοῦ ποιουμένους· τοῦτό ἐστιν ἡ κατασκευὴ τοῦ

30 Il. ξ, 1.

προοιμίου, τὸ δὲ πρὸ αὐτοῦ τὴν τῆς προτάσεως ἐξεπλήρωσε χρείαν, ὅρα δὲ πῶς καὶ ἐν τῇ χρείᾳ καὶ ἐν τῇ γνώμῃ τοὺς τοῦ ἐγκωμιαστικοῦ κεφαλαίου ἐποίησε τόπους· ἐν μὲν γὰρ τῇ χρείᾳ εἶπε περὶ τοῦ Ἰσοκράτους, ὅτι ἐκόσμησε τὴν τέχνην, καὶ ὄνομα αὐτῇ κατεφάνη λαμπρότατον, ἐνταῦθα δέ φησιν, ὅτι ὁ Θέογνις ἐγένετο κλέος τῆς ποιητικῆς, καθὸ αὐτὸς οὐκ εἴασε ταύτην κατηγορεῖσθαι. Ὑποθήκας ὡς χρὴ ζῆν. Ὑποθήκη μὲν λέγεται ἡ παραίνεσις, παρακαταθήκη δὲ ἡ εἰς φυλακὴν πράγματος δόσις, παρενθήκη δὲ ἡ ὑπερβολή, ὡς ἔχει ἐκεῖνο ἐν τῇ μελέτῃ τῆς ἐκφράσεως· „εἰ δέ τι τούτων παραλέλειπται, ἐν παρενθήκῃ γεγένηται θαύματος, οἷς γὰρ οὐκ ἦν εἰπεῖν παραλέλειπται.“ Καὶ πολλῶν μὲν ἄν τις ἐπαινέσαι τὸν Θέογνιν. Ἀττικῶς ἀντὶ τοῦ ἕνεκα πολλῶν, καὶ ἔστιν εἰπεῖν ὅμοιον τῷ, „ὁ τὸ ῥόδον [31] θαυμάζων τοῦ κάλλους,“ καὶ τῷ, „πρὸς [32] ἃ δεῖ βλέποντας Ἰσοκράτην θαυμάζειν τῆς τέχνης.“ τινὲς δὲ ἐκ πολλῶν ἀναγινώσκουσι. Μάλιστα δὲ ὧν περὶ τῆς πενίας ἐφιλοσόφησεν· δυσὶν ἐνταῦθα σχήμασι χρῆται, τῇ τε παραλείψει καὶ τῷ κατὰ προτίμησιν, διὰ μὲν τῆς παραλείψεως [33] συντομίαν ἐπιτηδεύων, διὰ δὲ τῆς προτιμήσεως ἐπαύξων.

Ἀγαπάτω πενῶν. [34] Τὸ ἀγαπῶ σημαίνει δύο, τό τε ἀρκοῦμαι καὶ τὸ φιλῶ, ἐνταῦθα δὲ ἡ λέξις τὸ φιλῶ σημαίνει, τὸ δὲ πενῶν ἀντὶ τοῦ πενεῖν, καὶ ἔστιν Ἀττικόν· τινὲς δὲ διαστρέφειν ἀξιοῦσιν, ἵν' ᾖ πενῶν ἀγαπάτω.

Ὡς ἄμεινον τοῦ βίου προαπελθεῖν. Τῆς συντάξεως τοῦ λόγου προαπελθεῖν γενικὴν ἀπαιτούσης

---

31 Aphthon. p. 61. 32 Aphth. p. 67. 33 Vind. ὧν παραλήψεως. 34 Vind. constanter πενῶν. Laur. πευεῖν Aphthon. πευεῖν.

πτῶσιν αὐτὸς[35] εὐθείᾳ ἐχρήσατο· ἔδει γὰρ οὕτως εἰπεῖν, ὡς ἀμείνονος ὄντος τοῦ βίου προαπελθεῖν, ἢ τὸν ἥλιον αἰσχύνης κτήσασθαι μάρτυρα. Καὶ δικάζειν λαχὼν δωροδοκήσει ταῖς ψήφοις. Τὸ δωροδοκήσει τὸ δῶρα δέξεται ἐνταῦθα σημαίνει. Ἰστέον δὲ, ὅτι τινὲς μὲν, ὧν καὶ Γεωμέτρης, ἀντιπτώσει ἐνόμισαν χρήσασθαι τὸν διδάσκαλον· φησὶ γὰρ οὕτως, τὸ δωροδοκήσει, οὐχὶ τὸ δῶρα δώσει, ἀλλὰ τοὐναντίον λήψεται, τῇ ἐνεργητικῷ ἀντὶ παθητικοῦ χρησαμένου τοῦ σοφιστοῦ. τινὲς δὲ πάλιν εἶπον, ὅτι οὐκ ἐχρήσατο τῷ ἐνεργητικῷ ἀντὶ παθητικοῦ ὁ σοφιστής· τὸ γὰρ δωροδοκῶ φασι τὸ δῶρα δέχομαι κυρίως σημαίνει, οὐχὶ τὸ δίδωμι.

Οὐ μὴν οἱ πενίας ἀπηλλαγμένοι τοιοῦτοι. Ἀποροῦσί τινες λέγοντες, ὅτι, ὥσπερ ἐπὶ τῆς χρείας ἐποίησεν ἐν μὲν τῷ τῆς αἰτίας κεφαλαίῳ εἰπὼν, ὅτι διὰ τοῦτο εἶπεν ὁ Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν πικρὰν, γλυκεῖς δὲ τοὺς καρποὺς, διότι οἱ νέοι παιδευόμενοι μὲν ὑφίστανται τάδε τὰ δεινὰ, ἀνδρωθέντες δὲ ἀρετῇ περιστέφονται, ἐν δὲ τῷ ἀπὸ τοῦ ἐναντίου εἰπὼν, „εἰ δέ τις μὴ ὑποσταίη τὰ δεινὰ, (ὅπερ ἐστὶν ἐναντίον τῷ ὅτι ὑφίστανται ταῦτα,) τῶν λόγων ἐστέρηται,“ ὅπερ καὶ αὐτό ἐστιν ἐναντίον τῷ „ἀρετῇ περιστέφεται,“ οὕτω καὶ ἐπὶ τῆς γνώμης ὤφειλε ποιῆσαι, καὶ ἐπειδὴ εἶπεν ἐν τῷ ἀπὸ τῆς αἰτίας κεφαλαίῳ, διὰ τοῦτο εἶπεν ὁ Θέογνις, δεῖν τὸν πένητα ἐθέλειν ἀποθανεῖν μᾶλλον ἢ ζῆν ἐν αἰσχύνῃ, διότι ὁ συζῶν πενίᾳ πάντα δρᾷ τὰ χαλεπὰ, ὤφειλεν εἰπεῖν ἐν τῷ ἀπὸ τοῦ ἐναντίου, ὅτι ὁ δὲ πενίας ἀπηλλαγμένος, ὅπερ ἐστὶν ἐναντίον τῷ, ὁ πενίᾳ συζῶν, οὐδὲν πράττει[36] δεινὸν, ὅπερ ἐστὶν ἐναντίον τῷ πάντα δρᾷ τὰ χαλεπά· οὕτω γὰρ ἂν καθαρῶς ἐφαίνετο λέγων κατὰ τὸ ἐναντίον, νῦν δὲ οὐκ εἶπεν οὕτως· ἀντὶ γὰρ τοῦ εἰ-

35 Vind. αὐτόν. 36 Vind. πράττειν.

πεῖν, οὐ μὴν οἱ πενίας ἀπηλλαγμένοι πράττουσι τὸ δεινόν, οὐ μὴν οἱ πενίας ἀπηλλαγμένοι τοιοῦτοι, εἶπεν· ἀλλά φασι τὸν Ἀφθόνιον τὴν τελείαν ἀρετὴν διὰ τὸ εἰδέναι, ὥς τινες ταύτης ἐκπίπτουσι, τὸ κακοὶ εἶναι ἐκ τοῦ πλουτεῖν ἔχοντες. Χορηγοῦντες μὲν περὶ τὰς ἑορτὰς, ἐν δὲ ταῖς μάχαις εἰσφέροντες. Χορηγία καὶ εἰσφορὰ διαφέρει. χορηγία μὲν γάρ ἐστιν ἐκ προαιρέσεως, εἰσφορὰ δὲ ἀπὸ προσταγῆς ἑτέρου. Τὴν αὐτὴν τοῖς ἄλλοις πολίταις[37] οὐ μετελάμβανεν[38] ἄδειαν. φησὶ γὰρ Γεωμέτρης, ὅτι οὐκ εἶπε τῆς αὐτῆς τοῖς ἄλλοις οὐ μετελάμβανε παῤῥησίας, ἢ πολιτείας ἢ δόξης ἤ τινος τοιούτου, ἀλλὰ τὴν αὐτὴν τοῖς ἄλλοις πολίταις[39] οὐ μετελάμβανεν ἄδειαν, ὡς μηδὲ τὴν ἐλευθερίαν ἔχειν αὐτὸν ἐῶν, ἀλλὰ δοῦλον ποιῶν καὶ διὰ τοῦτο λέγειν· φησὶ δὲ δεινὴν καὶ Δημοσθενικὴν τὴν χρῆσιν εἶναι αὐτῷ τοῦ ὀνόματος. Οὐ μετελάμβανεν· περιττὴ ἐνταῦθα ἡ μετὰ πρόθεσις· ἔστι γὰρ ἀντὶ τοῦ ἐλάμβανεν. ἰστέον δὲ, ὅτι τὸ μεταλαμβάνειν καὶ γενικῇ πτώσει συντάσσεται καὶ αἰτιατικῇ· καὶ γενικῇ μὲν, ὅτε μετοχὰς σημαίνει τινὰς, οἷον μετέλαβεν τροφῆς, μετέλαβε λόγων, ἀντὶ τοῦ μετέσχεν· αἰτιατικῇ δὲ, ὅτε ἢ δευτέραν δηλοῖ σχέσιν, ὡς τὸ, καὶ τοῦτον ἀφεὶς μεταλαμβάνει ἄλλον, ἀντὶ τοῦ, μετὰ τοῦτον ἕτερον διαδέχεται, ἢ ὅτι καὶ περιττὴ ἡ πρόθεσις, ὡς ἔχει τὸ, ὁ δὲ αὐλητὴς μεταλαβὼν τὴν κιθάραν ἤρχετο τῆς ᾠδῆς· καὶ τὸ, τὴν αὐτὴν δὲ τοῖς ἄλλοις πολίταις[40] οὐ μετελάμβανεν ἄδειαν. Τὴν ἐπωνυμίαν ἐκ τοῦ διακονεῖν κομισάμενος· παρὰ τὸ εἴρω γὰρ ὃ σημαίνει τὸ λέγω ὠνομάσθη Ἶρος· φησὶν ὁ ποιητὴς οὕτως αὐτὸν ὀνομασθῆναι,

---

37 Vind. πολίταις. ειαις.

38 Vind. constanter μεταλάμβανειν.

39 Vind. πολίταις. ειαν.

40 Codd. πολιτείας.

Οὕνεκ' ἀπαγγέλλεσκε [41] κιὼν, ὅτε μέν τις ἀνώγοι.

Καὶ τί δεῖ τὸν Ἶρον εἰπεῖν· ἀλλ' Ὀδυσσεύς. Οὐκ ἠρκέσθη ἑνὶ παραδείγματι, ἀλλὰ δυσὶν ἐχρήσατο, ἢ δεικνὺς, ὡς οὐχὶ τὸ ἐπ' ἀληθείας πένεσθαι μόνον ἐστὶ χαλεπὸν ὥσπερ ἐπὶ τοῦ Ἴρου, ἀλλὰ καὶ τὸ καθ' ὑπόληψιν, ὥσπερ ἐπὶ τοῦ Ὀδυσσέως, ἢ διδάσκων ἡμᾶς ἐκ τούτου, ὡς ἂν εἰ καὶ ἡμεῖς ἀποροῦμεν πλειόνων, τιθῶμεν αὐτὰ, ἄλλως τε δὲ ἐν μὲν τῇ χρείᾳ ἠρκέσθη ἑνὶ παραδείγματι διὰ τὸ ἅπαξ καὶ πρῶτον ἐν αὐτῷ τοῦ ἀγωνιστικοῦ μέρους γυμνάσμασιν γυμναζομένοις ἡμῖν ἀγαπητὸν εἶναι, εἰ καὶ ἑνὸς παραδείγματος εὐπορήσομεν· ἐν δὲ τῇ γνώμῃ ἐπειδὴ τοῖς αὐτοῖς πάλιν ἐγγυμναζόμεθα, οἷς προησκήσαμεν ἑαυτοὺς ἐν τῇ χρείᾳ, εἰκὸς ἡμᾶς πλειόνων εὐπορῆσαι παραδειγμάτων καὶ μαρτυριῶν. Κάκ τῶν Θερσαπαινίδων παροινούμενος· ἀτιμαζόμενος, ἡ μεταφορὰ ἀπὸ τῆς μέθης, παροινία γὰρ κυρίως ἡ ἀπὸ μέθης ὕβρις. Οὕτω πενία καὶ μέχρι τοῦ δοκεῖν ἐστι χαλεπή: Τοσοῦτόν ἐστιν ἡ πενία χαλεπὸν, ὡς μὴ μόνον τοὺς ἀληθείᾳ συζῶντας αὐτῇ κακῶς πάσχειν ποιεῖν, ἀλλὰ καὶ τοὺς δοκοῦντας μὲν συζῆν ταύτῃ, τῇ δ' ἀληθείᾳ ἀπηλλαγμένους αὐτῆς. Κακὸν τὸ μὴ ἔχειν εἰπόντα. ὥσπερ ἐν τῇ μελέτῃ τῆς χρείας ἐποίησε, τὸ τοῦ Ἡσιόδου ῥητὸν παραφράσας καὶ μὴ αὐταῖς εἰπὼν ταῖς λέξεσιν, οὕτω κἀνταῦθα ποιεῖ παραφράζων τὸ τοῦ Εὐριπίδου· τοῦτο δὲ ποιεῖ οὐ φυλαττόμενος τὸ μεταξὺ τῶν ἀμέτρων ἐμμέτρως λέγειν, ἢ γυμνάζων ἡμᾶς κἀνταῦθα πρὸς τὸ παραφράζειν. Ὥστε πως ἔνεστι κατ' ἀξίαν θαυμάζειν τὸν Θέογνιν. Ἄνω μὲν εἶπε, „μάλιστα δὲ ὧν περὶ τῆς πενίας ἐφιλοσόφησε,“ νῦν δὲ „περὶ τῆς πενίας τοιαῦτα φιλοσοφήσαντα,“ ἢ κατὰ διάφορον τῶν διαλέκτων συνήθειαν, ὥς τινες εἶπον, τοῦτο ἐποίησε. Τὸ μὲν γὰρ, τοι-

41 Vind. ἀπαγγέλλεσαι — ἀνάγοι. Od. σ. 6.

αὗτα περὶ τῆς πενίας φιλοσοφήσαντα" τῆς κοινῆς φασιν εἶναι διαλέκτου, τὸ δὲ „μάλιστα δὲ ὧν περὶ τῆς πενίας ἐφιλοσόφησε" τῆς Ἰάδος. Ἰστέον μέντοι, ὅτι ἔν τισι τῶν βιβλίων, μάλιστα δὲ ὧν περὶ τῆς πενίας ἐφιλοσόφησε, κεῖται.

Cap. V.

ΠΕΡΙ ΑΝΑΣΚΕΥΗΣ.

Τὸν μῦθον προτάξας, ὡς τοῦ συμβουλευτικοῦ εἴδους ὑπάρχοντα, καὶ τὸ διήγημα δεύτερον, ὡς τοῦ δικανικοῦ εἴδους τυγχάνον, καὶ τὴν χρείαν τρίτην, ὡς τοῦ πανηγυρικοῦ οὖσαν, (εἰ γὰρ καὶ τοῦ συμβουλευτικοῦ ἐν τοῖς ἔμπροσθεν ἐλέγετο εἶναι, ὅμως οὐδὲν ἧττόν ἐστι καὶ τοῦ πανηγυρικοῦ διὰ τὸ ἐν αὐτῷ ἐπαινεῖν ἡμᾶς τὸν εἰρηκότα ἢ πράξαντα, ἄλλως τε δὲ ἐν ταῖς κατὰ χαριεντισμὸν χρείαις οὐ συμβουλεύομεν* πάντως, τῆς ἐν αὐτῇ ἔχεσθαι παραινέσεως, οὐδεμία γὰρ ἐν ταύταις παραίνεσις, ἀλλὰ μόνον ἐπαινοῦμεν τὸν εἰρηκότα, ἐν δὲ ταῖς γνώμαις οὐ τὸ ἐπαινέσαι τὸν εἰρηκότα τοσοῦτον σκοπὸν ἔχομεν, ὅπου οὐδὲ ἐμφανίζεται ἐν αὐταῖς ὅλως τὸ εἰρηκὼς[1] πρόσωπον, ὅσον τὸ προτρέψαι τὸν ἀκροατὴν τῆς ἐν τῇ γνώμῃ ἔχεσθαι συμβουλῆς.) οὕτως οὖν τὸν μῦθον διὰ τὴν ῥηθεῖσαν αἰτίαν πρῶτον τάξας, καὶ τὸ διήγημα δεύτερον, καὶ τὴν χρείαν τρίτον πάλιν ἀνακυκλοῖ, καὶ τίθησι πρώτην τὴν γνώμην, ὡς τοῦ συμβουλευτικοῦ εἴδους οὖσαν, τὴν δὲ ἀνασκευὴν καὶ τὴν κατασκευὴν καὶ τὸν κοινὸν τόπον δεύτερον, ὡς τοῦ δικανικοῦ εἴδους· τὸ δὲ ἐγκώμιον καὶ τὸν ψόγον μετὰ ταῦτα, ὡς τοῦ πανη-

* Codd. συμβουλευόμενοι. Scr. συμβουλεύομεν. 1 Vind. εἰρηκώς.

γυρικοῦ· ἀλλ' ἴσως ξητήσειεν ἄν τις, εἰ τὸν μῦθον διὰ τοῦτο προέταξεν, διότι τοῦ συμβουλευτικοῦ ἐστιν εἴδους, πρώτου ὄντος αὐτοῦ τῶν ἄλλων εἰδῶν ὤφελε πάντως καὶ τὴν γνώμην, ὡς καὶ αὐτὴν τοῦ συμβουλευτικοῦ εἴδους οὖσαν, συντάξαι τῷ μύθῳ, ὁμοίως δὲ καὶ τὴν θέσιν· (κἀκείνη γὰρ πρὸς τὸ συμβουλευτικὸν εἶδος ἡμᾶς γυμνάζει ὡσαύτως,) καὶ τῷ διηγήματι ὤφειλε συντάξαι πάντα τὰ τοῦ δικανικοῦ εἴδους ἐχόμενα γυμνάσματα, καὶ τῇ χρείᾳ τὰ τοῦ πανηγυρικοῦ, καὶ μὴ οὕτως αὐτὰ διαστῆσαι ἀπ' ἀλλήλων. φήσομεν οὖν πρὸς τὴν τοιαύτην ζήτησιν, ὅτι ἐποίησεν ἂν οὕτως, εἰ μὴ ἕτερόν τι εὐλογοφανὲς αἴτιον ἐκώλυεν αὐτόν, φημὶ δὴ τὸ ἁπλούστερα καὶ εὐκολώτερα προσήκειν τῶν τελεωτέρων καὶ δυσκολωτέρων προτάττεσθαι· διά τοι [2] τοῦτο οὔτε τὴν γνώμην οὔτε τὴν θέσιν ἐδυνήθη προτάξαι τοῦ διηγήματος· δυσκολώτερα γὰρ ταῦτα τοῦ διηγήματος καὶ δυσδιαιρετώτερα· ἀλλ' οὐδὲ τὴν κατασκευὴν καὶ τὴν ἀνασκευὴν καὶ τὸν κοινὸν τόπον τῆς χρείας τῆς ἀτελεστέρας καὶ ἁπλουστέρας αὐτῶν οὔσης, ἣ καὶ διὰ τοῦτο ἡ ἀνασκευὴ καὶ κατασκευὴ ταύτην τὴν τάξιν εἰλήχασιν. εἰ γὰρ ἡ χρεία καὶ ἡ γνώμη διὰ τοῦτο μετὰ τὸ διήγημα ἐτάχθησαν διὰ τὸ αἱ μὲν τρίτον μέρος εἶναι ἐν πολιτικῷ λόγῳ, φημὶ δὴ τοῦ ἀγωνιστικοῦ, ὁ δὲ μῦθος πρώτου καὶ τὸ διήγημα δευτέρου· ἔστι δὲ καὶ ἡ ἀνασκευὴ καὶ κατασκευὴ τοῦ ἀγωνιστικοῦ μέρους καὶ μᾶλλον ἥπερ ἡ χρεία καὶ ἡ γνώμη, παρόσον καὶ μείζοσιν ἐνταῦθα μαχόμεθα ἢ συνιστάμεθα, ἥπερ ἐκεῖ· τῷ μὲν μύθῳ καὶ τῷ διηγήματι ὑπετάγησαν, δι' ἣν αἰτίαν καὶ ἡ χρεία καὶ ἡ γνώμη αὐτοῖς ὑπετάγησαν· τῇ δὲ χρείᾳ καὶ τῇ γνώμῃ ὡς τελεώτερα τούτων τυγχάνοντα· ἐν μὲν γὰρ τῇ χρείᾳ καὶ τῇ γνώμῃ ἑνὶ μόνῳ λόγῳ βραχεῖ ἢ πράξει μικρᾷ συνηγοροῦμεν, ἐνταῦθα δὲ

2 Vind. τι.

πολλοῖς ἐν ταυτῷ λόγοις καὶ πράγμασι μαχόμεθα ἢ συνιστάμεθα. Ἔτι ὁ μὲν μῦθος προετάγη τοῦ διηγήματος ὡς ἡδύτερος αὐτοῦ, καὶ τὸ διήγημα τῆς χρείας καὶ τῆς γνώμης δι' αὐτὸ τοῦτο. ἔδει οὖν μὴ εὐθὺς μετὰ ταῦτα τὰ τὴν ἡδονὴν ἔχοντα πλείστην γυμνάσματα μεταπεσεῖν εἰς τὴν ἀνασκευὴν καὶ τὴν κατασκευήν, πολλὴν τὴν δριμύτητα καὶ τὴν ἀπὸ τῆς ἀγωνιστικῆς διαθέσεως ἐχούσας πικρότητα, ἀλλὰ μεσολαβηθῆναι τά τε τῆς χρείας καὶ τῆς γνώμης, ἅτινα, εἰ καὶ μὴ τοσοῦτον ἔχει τὸ ἡδύ, ὅσον ὁ μῦθος ἔσχηκε, καὶ τῶν διηγημάτων τὰ δραματικά, ὅμως καὶ αὐτὰ ἡδονήν τινα ἔχουσιν, ὡς ἀπὸ τῶν εἰς τοὺς εἰρηκότας τὰς χρείας ἢ τὰς γνώμας ἐγκωμίων. Εἰ γὰρ καὶ ἐν τῇ κατασκευῇ εὐφημία ἐστὶ τοῦ φήσαντος, ἀλλ' οὐχὶ καὶ ἐν τῇ ἀνασκευῇ· διαβολὴ γάρ ἐστιν ἐν αὐτῇ μᾶλλον καὶ κατηγορία σαφὴς τοῦ ἐκθεμένου τὸ διήγημα, ὅπερ ἐν τῇ χρείᾳ καὶ τῇ γνώμῃ οὐκ ἦν, ἀλλ' εὐφημία μόνον τῶν εἰρηκότων καὶ ἔπαινοι, ἄλλως τε δὲ ὥσπερ τὰ προοίμια προτάττονται τῆς ἀνασκευῆς καὶ κατασκευῆς, ὡς συμβαλλόμενα εἰς αὐτάς· εἰ γὰρ καὶ κυρίως μὲν ἥ τε ἀνασκευὴ καὶ κατασκευὴ τοῖς ἀγῶσι συμβάλλονται, κατὰ δεύτερον δὲ λόγον καὶ προοιμίοις διὰ τῆς τῶν φησάντων εὐφημίας ἢ διαβολῆς, ἔτι δὲ καὶ διηγήσεσι διὰ τῆς ἐκθέσεως, εἰκότως ἐκεῖνα μὲν προετάγησαν, ὡς πρὸς ἓν μόνον τοῦ καθ' ἕκαστον αὐτῶν ἡμᾶς γυμνάζοντος, οἷον τοῦ μύθου πρὸς τὰ προοίμια, τοῦ διηγήματος πρὸς τὰς διηγήσεις, τῆς χρείας καὶ τῆς γνώμης πρὸς τοὺς ἀγῶνας· αὗται δὲ ὑπετάγησαν ὡς ἂν διὰ τοῦ καθ' ἕκαστον ἐκείνων ἰδίᾳ προασκηθέντες, ὁμοῦ πᾶσι τοῖς μέρεσι τοῦ πολιτικοῦ λόγου ἔν τε τῇ ἀνασκευῇ καὶ τῇ κατασκευῇ γυμνασθείημεν· ἀλλ' ἡ μὲν τάξις τῆς ἀνασκευῆς αὕτη. Ζητεῖται δὲ, πόθεν ὠνόμασται ἀνασκευή, καὶ οἱ μέν φασιν ἀπὸ τῶν ἀνασκευαζομένων ἁρμάτων αὐτὴν εἰρῆσθαι· ὁ δὲ Γεωμέτρης φησὶν, ὅτι ἡ ἀπὸ μετα-

φορᾶς τῶν ἀνασκευαζομένων φαρμάκων δι' ἀντιδότων οὕτως ὠνόμασται, ἢ ἀπὸ τῶν συντιθεμένων μὲν κτισμάτων, ἀναλυομένων δὲ εἰς ἐκεῖνα, ἐξ ὧνπερ καὶ συνετέθησαν. ἕτεροι δὲ λέγουσιν, ὅτι ἐπειδὴ ἡ τοῦ προκειμένου πράγματος βεβαίωσις κατασκευὴ λέγεται, ἔδει πάντως καὶ τὴν ἀνατροπὴν αὐτοῦ καὶ τὸν ἔλεγχον ἀνασκευὴν ὀνομάζεσθαι.

Ἀνασκευή ἐστιν ἀνατροπὴ προκειμένου τινὸς πράγματος. Μέμφονταί τινες τῷ παρόντι λόγῳ τῆς ἀνασκευῆς κατὰ τὸ πλεονάζον, καί φασι μὴ μόνον τὸ παρὸν γύμνασμα δηλοῦσθαι διὰ τοῦ ὁρισμοῦ, ἀλλὰ καὶ τὴν δι' ἔργων τῶν πραγμάτων ἀναίρεσιν, ὡς ἔχει τὸ ἀνατρέψαι ναὸν ἤ τι τοιοῦτον· ἔδει οὖν, φησιν, ἀντὶ τοῦ ἀνατροπὴ, λόγος ἀνατρεπτικὸς εἰπεῖν· ἕτεροι δὲ πάλιν, οὕτως ὤφειλεν εἰπεῖν, λέγουσιν, ὅτι ἀνατροπή ἐστιν ἡ τοῦ προκειμένου πράγματος ἀναίρεσις· εἰ μὲν οὖν αὐτό, φασὶν, ἀναιροῦμεν τὸ πρᾶγμα ἀνασκευάζοντες, καλῶς ἂν ἀποίει τὴν ἀνασκευὴν ἀνατροπὴν ὀνομάζων· ἐπεὶ δὲ οὐκ αὐτὸ ἀναιροῦμεν τὸ πρᾶγμα, οὐδ' εἰς τὸ μὴ εἶναι παράγομεν, ἀλλὰ τὴν δόξαν αὐτοῦ μόνον, οἷον τὸ κατὰ ῥόδον, εἰ τύχοι, [3] διήγημα ἀνασκευάζοντες, αὐτὸ μὲν οὐκ ἐξαλείφομεν τελέως, τὴν μέντοι δόξαν αὐτοῦ ἀναιροῦμεν, ἔδει μὴ ἀνατροπὴν εἰπεῖν, ἀλλ' ἔλεγχον. φαμὲν οὖν ἡμεῖς, ὅτι ὅσον ἐπὶ τῷ ἀνασκευάζοντι τὸ πρᾶγμα τὸ προκείμενον ἀναιρεῖται· ὥσπερ οὖν ὁ ῥήτωρ λέγεται πιθανὸς οὐ παρὰ τὸ πάντας πείθειν, ἀλλὰ παρὰ τὸ ῥήματα λέγειν, ἅπερ ἱκανά ἐστι πεῖσαι, οὕτω καὶ ὁ ἀνασκευάζων λέγοιτ' ἂν ἀνατρέπειν, οὐ παρὰ τὸ ἀναιρεῖν πάντως τὰ ἀνασκευαζόμενα, ἀλλὰ παρὰ τὸ λόγους λέγειν, δι' ὧν δυνατόν ἐστιν αὐτὰ εἰς τὸ μὴ εἶναι παραχθῆναι. Ἰστέον δὲ ὅτι τὸν τοιοῦτον λόγον τῆς ἀνασκευῆς οὐκ αὐ-

3 Vind. τύχῃ.

τὸς πρῶτος ἀποδέδωκεν ὁ Ἀφθόνιος· ἀπὸ γὰρ τοῦ Ἑρμογένους αὐτὸν ἐξελάβετο· ἐκεῖνος γάρ φησιν οὕτως· „ἀνασκευή ἐστιν ἀνατροπὴ τοῦ προκειμένου πράγματος, κατασκευὴ δὲ τοὐναντίον βεβαίωσις.“ Τινὲς μέντοι οὕτως αὐτὴν ὡρίσαντο· ἀνασκευή ἐστι λόγος ἀνατρεπτικὸς τοῦ πιθανῶς προτεθέντος λόγου, „τοῦ πιθανῶς προτεθέντος“ προσθέντες, ὡς ἂν δείξωσιν, ὅτι οὔτε τὰ ὁμολογούμενα [4] ἀληθῆ ἀνασκευάζεται, οὔτε τὰ ὁμολογούμενα ψευδῆ, ἀλλὰ δεχόμενα τοὺς ἐφ' ἑκάτερον λόγους πιθανούς. Ἀνασκευαστέον δὲ τὰ μήτε λίαν [5] σαφῆ, ὡς τὰ ἱστορικὰ διηγήματα, ἀληθῆ γάρ εἰσι, καὶ οὐδεὶς ὁ προσέξων τῇ ἀνασκευῇ, μήτε ἀδύνατα παντελῶς, ὡς οἱ μῦθοι, οὐδεὶς γὰρ ἐν αὐτοῖς χρείαν ἔχει τοῦ μὴ πεισθῆναι· οἴκοθεν γὰρ [6] ἔχουσι καὶ φυσικῶς τὸ ψευδές. ἀλλ' ὅσα μέσην ἔχει τάξιν, ὡς τὰ ἀμφίδοξα· ἐπειδὴ γὰρ διὰ τῶν προγυμνασμάτων εἰς τὰς πολιτικὰς ποδηγούμεθα ὑποθέσεις, τῶν δὲ ὑποθέσεων ἐκείνας εἰς μελέτας προχειριζόμεθα, ἐν αἷς ἑκατέρῳ μέρει τῶν ἀγωνιζομένων εὐπορία γίνεται λόγων, εἰκότως καὶ ἐν τῇ ἀνασκευῇ τοιαῦτα διδασκόμεθα ἀνασκευάζειν, οἷα καὶ κατασκευασθῆναι ἐνδέχεται· καὶ μήν εἴπῃ τις, ὅτι τὰ μὲν λίαν σαφῆ εἰκότως οὐκ ἀνασκευάζομεν· κἂν γὰρ ἐπιχειρήσομεν, οὐ δυνησόμεθα, ἀλλὰ καὶ γελοῖοι δόξομεν εἶναι, καὶ αἰσθήσεως ἢ κολάσεως κατὰ τὸν Ἀριστοτέλην δεόμενοι· τὰ δὲ ἀδύνατα τίνος χάριν οὐκ ἀνασκευάσομεν, εὐπορίαν πολλὴν τῶν ἐλέγχων ἐν τούτοις ἔχοντες; φαμὲν δὴ καὶ πρὸς τοῦτο, ὅτι ὥσπερ ἐν ταῖς ὑποθέσεσι ταῖς πολιτικαῖς οὐκ ἐκείνας ὁ ῥήτωρ ἐπιχειρεῖ μελετᾶν, ὅσαι εἰσὶ μονομερεῖς, καὶ ἐν αἷς τὸ ἓν μέρος τῶν δικαζομένων εὐπορεῖ λόγων, ἀλλ' ἐν αἷς ἀμφότερα τὰ μέρη τῶν πρὸς πίστιν ἐπίσης εὐπορουῦσιν, οὕτω κἀνταῦθα, ὅσα τῶν διηγημάτων οὐκ

4 Vind. ἀφ'. 5 Vind. μὴ τελίαν. 6 γὰρ Vind. om.

ἐγχωρεῖ κατασκευασθῆναι, ταῦτα οὐδὲ ἀνασκευασθῆναι ἐνδέχεται, ἀλλ᾽ ὅσα τὴν ἐφ᾽ ἑκάτερα δέχεται ἐπιχείρησιν, καὶ ὥσπερ ἐν τῷ περὶ τῶν στάσεων βιβλίῳ μανθάνομεν, μήτε τὰ λίαν ἀληθῆ τῶν προβλημάτων διαιρεῖν διὰ τὸ εἶναι μονομερῆ, μήτε τὰ λίαν ψευδῆ διὰ τὸ εἶναι ἀδύνατα καὶ ἀναπόδεικτα, οὕτω κἀνταῦθα διδασκόμεθα, μήτε τὰ λίαν σαφῆ τῶν διηγημάτων ἀνασκευάζειν μήτε τὰ λίαν ἀδύνατα. ἀλλ᾽ ὁ μὲν Ἀφθόνιος ἀνασκευάζειν φησὶ μήτε τὰ λίαν σαφῆ, τὰ ἱστορικὰ διὰ τούτου τῶν διηγημάτων δηλῶν, μήτε τὰ ἀδύνατα πάντη, τοὺς μύθους καὶ τὰ μυθικὰ τῶν διηγημάτων ὑπαινιττόμενος. Ὁ μέντοι Γεωμέτρης καὶ ταῦτα βούλεται ἀνασκευάζεσθαι· λέγει γὰρ οὕτως, ἀνασκευάζονται μὲν οὖν ἐν πρώτοις τὰ μυθικὰ διηγήματα ταῦτα, καὶ ῥᾴστην ὅτι μάλιστα δέχονται τὴν ἀνασκευήν, δεύτερον τὰ ἱστορικά· δυσχερεστέρας γὰρ καὶ ῥητορικωτέρας ἤδη δεόμενα τῆς ἕξεως· τρίτον τὰ πολιτικὰ ἐναγωνιώτερα πάντων ὄντα, καὶ εὐπορωτέρας ἀνασκευῆς δεόμενα· μετὰ δὲ τῶν μυθικῶν διηγημάτων καὶ τοὺς μύθους τάξομεν. καὶ τούτους γὰρ ἔστιν ὅτε ταῖς ἀνασκευαῖς ὑποβάλλομεν, οὐχ ὡς ἀδυνάτους ἐλέγχοντες, τοῦτο γὰρ πάντη τῶν ὁμολογουμένων, ἀλλὰ τὴν παρ᾽ αὐτοῖς πλάσιν μεμφόμενοι, καὶ ὥσπερ οὐ τὴν φύσιν μᾶλλον τοῦ μύθου, ἀλλὰ τὴν τέχνην τοῦ μυθοποιοῦ κακίζοντες. ἀλλὰ περὶ μὲν τῶν μυθικῶν διηγημάτων συμφέρεται τοῖς πρὸ αὐτοῦ ἐξηγηταῖς· κἀκείνοις γὰρ δοκεῖ τὰ τοιαῦτα καὶ ἀνασκευάζεσθαι καὶ κατασκευάζεσθαι, ὡς ἐν τῷ περὶ διηγήματος λόγῳ ἐδείξαμεν. καὶ περὶ μὲν τῶν μύθων οὐ δοκεῖ τῷ Ἀφθονίῳ ἐναντιοῦσθαι· ὁ μὲν γὰρ Ἀφθόνιος τὰς φύσεις οὐ βούλεται τῶν μύθων ἀνασκευάζεσθαι, ὁ δὲ τὴν παρ᾽ αὐτοῖς πλάσιν ἀνασκευάζεσθαι διορίζεται· περὶ δὲ τῶν ἱστορικῶν διηγημάτων δοκεῖ φανερῶς ἐναντιοῦσθαι αὐτῷ· ὁ γὰρ Ἀφθόνιος ταῦτα βούλεται σαφῆ εἶναι διηγήματα, τὰ ἱστορικά·

φη-

φησι δὲ τὰ σαφῆ μὴ ἀνασκευάζεσθαι, ὁ δὲ καὶ ταῦτα λέγει ἀνασκευάζεσθαι· ὅτι δὲ τὰ ἱστορικὰ μόνα διηγήματα βούλεται σαφῆ ὁ σοφιστὴς λέγειν ἐνταῦθα, δῆλον ἐκ τοῦ τῶν τριῶν εἰδῶν ὄντων τοῦ διηγήματος, δραματικοῦ, ἱστορικοῦ, πολιτικοῦ, ὡς αὐτὸς ἐν τῷ περὶ διηγήματος λόγῳ φθάσας ἐδίδαξε, μηδενὶ ἄλλῳ τούτων τὸ λίαν σαφὲς ἁρμόζειν ἢ τῷ ἱστορικῷ, διότι καὶ οἱ τοῦ παρόντος βιβλίου ἐξηγηταὶ ἐν τῷ περὶ τοῦ διηγήματος λόγῳ λέγοντος τοῦ Ἀφθονίου, ὅτι „τοῦ δὲ διηγήματος τὸ μέν ἐστι δραματικόν, τὸ δὲ ἱστορικόν, τὸ δὲ πολιτικόν," ἔλεγον, ὅτι ἱστορικόν ἐστι τὸ ἀληθὲς, ἀληθὲς καὶ σαφὲς ταὐτὰ ἡγούμενοι· διὸ πάλιν ἐν τῷ περὶ τῆς ἀνασκευῆς λόγῳ λέγοντος τοῦ διδασκάλου, ὅτι δεῖ χρήσασθαι κεφαλαίοις ἐν τῇ ἀνασκευῇ τῷ ἀσαφεῖ, τῷ ἀπιθάνῳ, λέγουσιν οὗτοι, „ἀσαφές ἐστι τὸ μὴ ἀνάληθες." Ἀνασκευαστέον δὲ τὰ μήτε λίαν σαφῆ μήτε ἀδύνατα πάντη, ἀλλ' ὅσα μέσην ἔχει τάξιν. Σημειωτέον, ὅτι ἕκαστον μὲν τῶν προλαβόντων προγυμνασμάτων διήρει ὁ διδάσκαλος εἰς διάφορά τινα εἴδη, οἷον τὸν μὲν μῦθον εἰς λογικὸν, εἰς ἠθικὸν, εἰς μικτόν· τὸ διήγημα εἰς δραματικὸν, ἱστορικὸν, πολιτικόν· τὴν χρείαν εἰς λογικὸν, πρακτικὸν καὶ μικτὸν, καὶ τὴν γνώμην εἰς προτρεπτικὸν καὶ ἀποτρεπτικὸν καὶ ἀποφαντικὸν, εἰς ἁπλοῦν, εἰς συνεζευγμένον, εἰς πιθανὸν, εἰς ἀληθὲς, εἰς ὑπερβολικόν· τὴν δὲ ἀνασκευὴν οὐ διαιρεῖ, οὐδὲ τὴν κατασκευὴν, ἀλλ' οὐδὲ τὸν κοινὸν τόπον, εἰ καί τινες διαίρεσιν εἶπον εἶναι τὸ „ἀνασκευαστέον δὲ τὰ μήτε λίαν σαφῆ, μήτε ἀδύνατα πάντη, ἀλλ' ὅσα μέσην ἔχει τάξιν·" εἰ γὰρ καὶ διαίρεσίς ἐστι τοῦτο, ἀλλ' οὐχὶ καὶ τῆς ἀνασκευῆς εἴη ἂν διαίρεσις εἰς ὑποκείμενά τινα εἴδη, ἐπειδὴ οὐδὲ ὑπόκειται τῇ ἀνασκευῇ οὔτε τὰ λίαν σαφῆ, οὔτε τὰ παντελῶς ἀδύνατα, ἀλλ' ὅσα μέσην ἔχει τάξιν. Τάξιν τὴν φύσιν λέγει. Δεῖ δὲ ἀνασκευάζοντας πρῶτον

μὲν εἰπεῖν τὴν τῶν φησάντων διαβολήν· οἷον εἰ ποιητὴν εἶναι τύχοι τὸν εἰρηκότα, λέγειν, ὅτι ἀεὶ οἱ ποιηταὶ μυθολογοῦσι καὶ πλάττουσι, καὶ ὡς ἥκιστα τῆς ἀληθείας φροντίζουσι, καὶ ὅτι βλασφημοῦσι κατὰ τῶν θεῶν, καὶ ἵνα τὴν ἄλλην αὐτῶν βλασφημίαν καὶ μυθολογίαν ἐάσομεν, οἷα ἐτόλμησαν εἰπεῖν κατὰ τοῦ δεῖνος θεοῦ, ἢ καὶ οὕτως, εἰ πάντες, ὅσοις τὸ ἀληθὲς καθέστηκε προσφιλὲς, ἐπαινετοὶ, πάντως ὅσοι τοῦ ψεύδους τυγχάνουσιν ἐρασταὶ, ψόγων δήπουθεν εἶεν ἄξιοι. καὶ πάντας μὲν τοὺς τὰ ψευδῆ λέγοντας δίκαιόν ἐστιν ἐκφαυλίζεσθαι, μάλιστα δὲ τὸν τάδε μυθολογήσαντα, ἢ καὶ οὕτως· ἐπὶ πολλοῖς ἔχων τοὺς ποιητὰς ἐπαινεῖν, ἐφ' ἑνὶ μόνῳ μέμφεσθαι τούτοις προῄρημαι, ὅτι σοφοὶ ὄντες οὐκ ἐπ' ἀγαθῷ τῇ σοφίᾳ ἐχρήσαντο, ἀλλ' ἐφ' ὕβρει μὲν τῶν θεῶν, ἐπὶ βλάβῃ δὲ τῶν ἐντυγχανόντων τοῖς τούτων ποιήμασιν· ὅταν γάρ τινες αὐτὰ μετερχόμενοι τρωθεῖσαν μὲν Ἀφροδίτην παρὰ τοῦ Διομήδους ἀκούσωσι, τὸν δὲ Ἀπόλλωνα θνητῆς γυναικὸς δουλεύσαντα ἔρωτι, διαστρέφονται μὲν τὰς ψυχὰς, ἐκφαυλίζειν δὲ καὶ τὸ θεῖον τολμῶσι, καὶ τοῦ μηδενὸς ἄξιον αὐτὸ κρίνειν ἐπαίρονται, ἢ καὶ οὕτως· τῆς παρούσης ἀντιλογίας τοῖς ποιηταῖς οὐχ ἡμεῖς αἴτιοι, ἀλλ' αὐτοὶ ἑαυτοῖς καθεστήκασι· θεοῖς γὰρ ἐκεῖνοι τῷ μυθολογεῖν ἐνυβρίζοντες πρὸς ἔλεγχον ἡμᾶς τοῦ ψεύδους τῶν λεγομένων διεριθίζουσι. δεῖ δὲ γινώσκειν, ὡς εἰ μὲν ἄδοξα εἴη τὰ πρόσωπα, οἷς ἀντιλέγομεν, ἀκράτῳ χρησόμεθα κατ' αὐτῶν τῇ τραχύτητι, καὶ μάλιστα εἰ τῶν σφαλλομένων εἶεν περὶ τὴν πίστιν· εἰ δὲ ἔνδοξά εἰσι καὶ ἐπὶ λόγοις θαυμαζόμενα, παραμυθησόμεθα τὴν τραχύτητα, καὶ οὐ καθαρὰν αὐτὴν ἐξενέγκωμεν, ὥσπερ καὶ Ἀφθόνιος ἐν τῇ ἰδίᾳ μελέτῃ ἐποίησε. Καὶ κεφαλαίοις χρήσασθαι τοῖσδε· ὥσπερ ἐπὶ τῆς χρείας καὶ ἐπὶ τῆς γνώμης τὰ κατασκευαστικὰ τούτων τῶν γυμνασμάτων ἐπιχειρήματα καὶ τὰς ἐργασίας, οἷον τὸ ἀπὸ τῆς

αἰτίας, τὰ ἀπὸ τοῦ ἐναντίου κεφάλαια ὠνόμασεν, οὕτω κἀνταῦθα τὸ ἀσαφὲς καὶ τὸ ἀπίθανον κεφάλαια ὀνομάζει, μὴ ὄντα τῇ ἀληθείᾳ κεφάλαια· καὶ γὰρ, ὥς φησιν ὁ Γεωμέτρης περὶ αὐτῶν, οὔτε ἐπιχειρήματά εἰσιν αὐτὰ διὰ τὸ πολλῶν μᾶλλον περιεκτικὰ τὰ ἐπιχειρήματα εἶναι, οὔτε κεφάλαια διὰ τὸ μὴ ταῖς ἐργασίαις πλατύνεσθαι καὶ ἐν τοῖς προγυμνάσμασι τίθεσθαι· κληθεῖεν δ' ἄν, φησὶν, οἰκειοτέρως τόποι καὶ ἀφορμαί τινες, ἐξ ὧν τὰς δυνάμεις τῶν ἀνασκευῶν ἢ κατασκευῶν λαμβάνομεν. *Πρῶτον μὲν ἀσαφεῖ.* Ὁ μὲν Ἀφθόνιος ἐν τῷ λέγειν, „πρῶτον μὲν ἀσαφεῖ" δοκεῖ τάξιν ὡρισμένην τοῖς τῆς ἀνασκευῆς κεφαλαίοις ἀποδιδόναι· οἱ δὲ τούτου ἐξηγηταὶ οἰκ ἀποδέχονται τοῦτο, ἀλλὰ τῆς μὲν τάξεως τῶν κεφαλαίων ὡς ἥκιστα φροντίζειν ἀξιοῦσι, τῇ φύσει δὲ τοῦ πράγματος τὴν τῶν κεφαλαίων ὑπηρετεῖν τάξιν βούλονται· καὶ εἰ μὲν τοῦ διηγήματος τὸ πρῶτον μέρος ἀπο τοῦ ἀδυνάτου ἐγχωρεῖ, φασὶν, ἀνασκευάσαι, τοῦτο προτάξομεν, καὶ μὴ ἀπὸ τούτου πάλιν, ἀλλ' ἀπὸ τοῦ πιθανοῦ ὡσαύτως ποιήσομεν. Τῷ δὲ Γεωμέτρῃ δοκεῖ, μηδὲ τακτικῷ χρήσασθαι τὸν σοφιστὴν τῷ „πρῶτον μὲν ἀσαφεῖ, δεύτερον δὲ ἀπιθάνῳ," ἀλλ' ἀριθμητικῷ ἀντὶ τοῦ ἓν ἢ δύο. Ἔτι ὁ μὲν Ἀφθόνιος δοκεῖ διδάσκειν πάντα ἀναγκαίως ἐμπίπτειν τὰ κεφάλαια ἐν τῇ ἀνασκευῇ, καὶ πρὸς ἅπαξ, ὥστε ἓν μὲν ἀπὸ τοῦ ἀσαφοῦς ἐμπίπτειν κεφάλαιον εἰς τὴν ὅλην ἀνασκευὴν καὶ μὴ πλείω, καὶ ἓν ἐκ τοῦ ἀπιθάνου, καὶ τὰ ἄλλα ὁμοίως. ἀλλ' οἱ ἐξηγηταὶ καὶ τοῦτο παρῃτήσαντο. εἰ γὰρ τὸ πρῶτον μέρος, φασὶ, τοῦ διηγήματος διὰ τοῦ ἀπιθάνου τύχῃ ἀνασκευάσασθαι, δεήσει δὲ καὶ ἐν τῷ δευτέρῳ καὶ ἐν τῷ τρίτῳ τοῦ αὐτοῦ πάλιν, κεφαλαίῳ τῷ αὐτῷ καὶ πάλιν χρησόμεθα. Ἔτι φασὶν, ὅτι εἰ μὴ πάντα ἀπαιτεῖ ἡ φύσις τοῦ πράγματος ἐμπεσεῖν τὰ κεφάλαια, ἀλλ' ἔνια, τοῖς ἐμπίπτουσιν μόνοις χρησόμεθα, ἵνα μὴ εἰς ψυχρολογίαν περιστῇ ὁ λό-

γος, πλῆθος αὐτῷ ἀπειρόκαλον ἐπισυναγόντων ἡμῶν. Εἶτα θεῖναι τὴν τοῦ πράγματος ἔκθεσιν. Ἡ μὲν τῶν φησάντων διαβολὴ προοιμίοις ἀναλογεῖ· δέον γὰρ ἦν, καθάπερ ἐπὶ τῶν προλαβόντων προγυμνασμάτων προκαταρκτικαί τινες ἐπενοοῦντο ἔννοιαι, οὕτω καὶ ἐνταῦθα μὴ ἀκεφάλως ἐμβάλλειν· ἡ δὲ τοῦ πράγματος ἔκθεσις τῇ διηγήσει ἀναλογεῖ, τὰ δὲ ἑξῆς κεφάλαια τοῖς ἀγῶσι. ζητεῖται οὖν τινι τῶν ἐξηγητῶν, εἰ ὁ ῥητορικὸς λόγος τετραμερής· ἔχει γὰρ προοίμια, διηγήσεις, ἀγῶνας, ἐπιλόγους· ἔχει δὲ ἡ ἀνασκευὴ προοίμιον, ἔκθεσιν τοῦ διηγήματος, τὴν ἀνατροπὴν δι' ὧν ἀγωνιζόμεθα δεῖξαι τὸ ὑποκείμενον διήγημα ψευδὲς, τὸ συμπέρασμα, ὃ ἰσοδυναμεῖ ἐπιλόγῳ, τελεία ὑπόθεσίς ἐστιν ἡ ἀνασκευὴ, ἢ αἱ τέλειαι ὑποθέσεις ἀνασκευαί εἰσι τῶν παρὰ τῶν ἐναντίων λεγομένων. ἐπιλύεται δὲ ὁ αὐτὸς τὴν τοιαύτην ἀπορίαν λέγων, σφόδρα εὔηθές ἐστι τὸ λεγόμενον· οὔτε γὰρ τοῖς τελικοῖς κεφαλαίοις χρησόμεθα, νομίμῳ, δικαίῳ, συμφέροντι καὶ τοῖς λοιποῖς, ἀλλ' ἐπιχειρήμασι τρισὶν ἢ τετράσιν ἢ καὶ ἐλάττοσιν, ὡς ἂν ἡ ὕλη παράσχῃ τὴν ἐπιχείρησιν. ταῦτα δὲ κεφάλαιον οὐ ποιεῖ, καὶ αὐτὰ καθ' ἑαυτά ἐστι τὰ ἐπιχειρήματα, γυμναζόμεθα οὐκ εἰς κεφάλαιον ἀναγόμενα. εἰ γὰρ καὶ τὸ δυνατὸν τῇ κατασκευῇ ἔγκειται, ἀλλ' οὐκ ἐν συμβουλῆς τρόπῳ, ἀλλ' ἐξετάσει φύσει εἰ δυνατὸν γενέσθαι ἢ μὴ, ὃ ποιεῖ ἐπιχείρημα. τὸ μὲν γὰρ κεφάλαιον ἐκ πολλῶν ἐπιχειρημάτων συνίσταται, τὸ δὲ ἐπιχείρημα ἁπλοῦν αὐτὸ καθ' ἑαυτὸ τυγχάνει. Πρῶτον μὲν τῷ ἀσαφεῖ· λέγει ὁ Γεωμέτρης γίνεσθαι κἀνταῦθα τὸ ἀσαφὲς, ὅθεν κἂν περὶ τοῦ διηγήματος λέγω,6* ἐλέγετο γίνεσθαι ἡ ἀσάφεια, ἐκ τῶν ἀπαγγελλουσῶν δηλονότι λέξεων, ὡς ὅταν εὑρεθείη διήγημα λέξεις ἔχον ὁμωνύμους ἢ τροπικὰς καὶ σκληρὰς ἢ ξένας καὶ ἀσυνήθεις, ἤ τινας ἄλλας, καθ' ἃς ἐν τοῖς ἔμπροσθεν

6* Fortasse legendum κἀν τῷ π. τ. δ. λόγῳ.

ἡ ἀσάφεια γινομένη ἐδείκνυτο· φήσομεν γὰρ γενόμενοι κατὰ τὸ μέρος τοῦ διηγήματος, ἐν ᾧ ἡ τοιαύτη τέθειται λέξις, ὅτι πρὸς τοῖς ἄλλοις κακοῖς, οἷς ἔχει τὸ λεγόμενον οὐδὲ εὐσύνοπτόν ἐστι τοῖς ἀναγινώσκουσιν[6**] οὐδ' ἐραστὴν τοῖς βουλομένοις παριστῶν τὴν διάγνωσιν· ἐκ δὲ τῶν νοημάτων, ὅτι ἀποκεκρυμμέναι τινὲς ἀλληγορίαι τῷ διηγήματι ἐμφαίνονται, οἷον εἰ τὸ περὶ Σειρήνων ἀνασκευάσαι διήγημα βουληθείημεν, καὶ ὅπως Ὀδυσσεὺς ταύτας παρέπλευσεν, ἐπειδὴ ἐμφαίνεται τῷ διηγήματι ἀλληγορικῶς λέγων ὁ ποιητὴς, καὶ τὰς μὲν Σειρῆνας ἀντὶ γυναικῶν τινων ἀκολάστων καὶ ὑφ' ἡδονῆς κατακηλουσῶν τοὺς ἐμπλέοντας τεθεικέναι, τὸν δὲ Ὀδυσσέα ἀντὶ ἀνδρὸς σώφρονος καὶ τὴν ἀκολασίαν αὐτῶν παραπλεύσαντος, ἐροῦμεν ὅτι εἰ καὶ περὶ τοιούτων δώσομεν λέγειν αὐτὸν, ὅμως καὶ κατὰ τοῦτο μέμψεώς ἐστιν ἄξιος, μὴ σαφῆ καὶ εὐσύνοπτα ποιήσας, ἅπερ λέγειν ἐβούλετο, ἀλλὰ καὶ αἰνιγμάτων αὐτῶν σκοτεινότερον. οὕτω μὲν οὖν καὶ τὸ ἐν τοῖς νοήμασιν ἀσαφὲς σκευασθήσεται, τὸ δὲ κατὰ τὴν τοῦ λόγου σύνταξιν, ὅτε οὕτω μὲν στιζόντων ἡμῶν ἑτέρα φαίνεται ἡ διάνοια, ἄλλως δὲ πάλιν ἑτέρα· αὐτίκα γὰρ εἰ βουληθείη τις τὸ κατὰ τὸν Θερσίτην ἀνασκευάσαι διήγημα, ὅτι

Οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασσαν,[7]

ἐκ τοῦ ἀσαφοῦς ἀνασκευάσει, λέγων „πρὸς τοῖς ἄλλοις καὶ κατὰ τοῦτο ἂν εἴη ἀπιστούμενον τὸ διήγημα, καθὸ οὐχ ἁπλῶς οὐδὲ πᾶσιν ὁμοίως γνωρίμως γέγραπται, ἀλλὰ τῷ μὲν ταυτὶ περὶ αὐτοῦ νομίζειν δίδωσι, τῷ δὲ ταυτί, ἄδηλον γάρ, πότερον ἐπὶ τῷ Θερσίτῃ ἀχνύμενοι ἡδὺ γέλασαν, ἢ ἐπὶ τῇ τῶν νεῶν ὀλκῇ.“ οὕτω μὲν οὖν ὁ Γεωμέτρης περὶ τοῦ ἀσαφοῦς· ἕτερον δὲ ἀσαφὲς λέγει ἐνταῦθα, τὸ μὴ πιστευόμενον διὰ τὸ μὴ εἶναι φανερὰ τὰ εἰρῆσθαι· κατὰ τοῦτο γοῦν τὸ ἀσαφὲς φασιν ἀνασκευάσο-

6** Fortasse legendum: οὐδὲ ῥᾴστην. 7 Vind. γέλασαν. — Il. β, 270.

μεν ἐπὶ τοῦ κατὰ ῥόδον διηγήματος τὸ „ὅτι ἡ Ἀφροδίτη ἥρα τοῦ Ἀδώνιδος," λέγοντες, ὅτι ὁ χρόνος, καθ' ὃν ἥρα ἡ Θεὸς τοῦ Ἀδώνιδος, οὐκ ἔστι σαφής, πότερον γὰρ πρὸ τοῦ συζυγῆναι τῷ Ἡφαίστῳ ἥρα ἢ μετὰ τοῦτο· εἰ μὲν πρὸ τούτου, ψεῦδος, εἰκὸς γὰρ αὐτὴν τὸ τηνικαῦτα παρατηρεῖσθαι εὐλαβουμένην μήπως φανερὸν τοῦτο γίνηται, καὶ παρὰ τοῦτο οὐδεὶς ἐκ τῶν Θεῶν θελήσει αὐτὴν ὡς πόρνην εἰς ὁμευνέτιδα ἀγαγέσθαι· εἰ καὶ μετὰ τὸν γάμον τοῦ Ἡφαίστου, καὶ οὕτω ψεῦδος, ποῦ γὰρ εἰκὸς Θεὸν σύνευνον ἔχουσαν συνουσίαν ἐρᾶν θνητοῦ ἀνθρώπου. Καὶ ἀπιθάνῳ· ὥσπερ πιθανὴν γνώμην ἐλέγομεν γίνεσθαι, ἡνίκα πρᾶγμα, ὡς ἐπὶ τὸ πολὺ μέν, οὐκ ἀεὶ δὲ ὅμοιον γινόμενον λέγει τις ὅτι αἰεὶ γίνεται, οἷον οἱ τῶν μειζόνων ὀρεγόμενοι καὶ τῶν μικρῶν ἀποτυγχάνουσι· τοῦτο γὰρ ὡς ἐπὶ τὸ πλεῖστον, οὐ μὴν ἀεὶ ὁρᾶται γενόμενον, καὶ μαρτυροῦσι τῷ λόγῳ Ἀλέξανδρος ὁ Μακεδὼν καὶ Κῦρος καὶ Καῖσαρ καὶ εἴ τις κατ' αὐτοὺς ὑπῆρξεν ἕτερος, οἳ ἀπὸ μικρῶν ἀρξάμενοι καὶ φιλοπονίᾳ χρησάμενοι τῆς ὅλης οἰκουμένης ἐκράτησαν· ὥσπερ οὖν πιθανὴν τὴν τοιαύτην γνώμην ἐλέγομεν εἶναι, οὕτω καὶ ἀπίθανον λέγομεν γίνεσθαι, ὅτε τὸ πρᾶγμα μὴ ὡς ἐπὶ τὸ πολὺ γινόμενον, ἀλλὰ σπανίως καὶ ἐκ τοῦ παραδόξου λέγει τις γίνεσθαι, οἷον ἀπίθανον τὸ τὴν Μήδειαν ἀπροσφάξαι τοὺς παῖδας, ἢ τὸν Ἀρίωνα ἐν κακοῖς ὄντα βουληθῆναι ᾆσαι· πάλιν ὥσπερ ἐν τῷ περὶ τῶν στάσεων βιβλίῳ ἐν τῷ περὶ τῶν ἀσυστάτων λόγῳ μανθάνομεν τὸ ἀπίθανον γίνεσθαι, ὅταν κατηγορίαν κινῶμεν κατά τινος ἐναντίαν τῇ περὶ αὐτοῦ ὑπολήψει, οἷον ὁ Σωκράτης ἐπὶ σωφροσύνῃ θαυμάζεται, καὶ ὁ Ἀριστείδης ἐπὶ δικαιοσύνῃ· εἰ τοίνυν κατηγορεῖ τις τοῦ Ἀριστείδου ὡς ἀδικοῦντος, ἢ τοῦ Σωκράτους ὡς πορνοβοσκοῦντος, ἀπίθανα λέγειν δοκεῖ, οὕτω κἀνταῦθα τὸ ἀπίθανον γίνεται, ἐκ τοῦ πρά-

γματος[7*] περιάπτεσθαι προσώπῳ ἐναντίου τῇ περὶ αὐτοῦ ὑπολήψει· οἷον ὑπόληψίς ἐστι περὶ τῶν μητέρων, ὅτι φιλόπαιδές εἰσι, καὶ παντὸς μᾶλλον ἑτέρου τὰ οἰκεῖα στέργουσι τέκνα· ὁ τοίνυν λέγων περὶ τῆς Μηδείας, ὅτι τὰ οἰκεῖα τέκνα ἀπέσφαξεν, ἀπίθανα λέγειν δοκεῖ· πάλιν ὑπόληψίς ἐστι περὶ τῶν ἐν συμφοραῖς ὄντων, ὅτι ἀλγοῦσι καὶ ὀδύρονται, οὐδὲ τέρπονται ταῖς ᾠδαῖς· ὁ γοῦν λέγων τὸν Ἀρίωνα ἐν κακοῖς ὄντα ᾄσαι ἀπίθανα λέγειν δοκεῖ. κατὰ τοῦτο τὸ κεφάλαιον ἀνασκευάσομεν ἐκεῖνο τὸ μέρος τοῦ κατὰ ῥόδον διηγήματος τὸ, ὅτι ἡ Ἀφροδίτη ἦρα τοῦ Ἀδώνιδος, λέγοντες, ὅτι ἀεὶ τὰ χείρονα τῶν κρειττόνων ἐρᾷ, καὶ οὐκ εἰκὸς τὴν θεὰν κρείττονος οὖσαν φύσεως τοῦ τὴν χείρω λαχόντος ἐρᾶν· τοῦτο ἀπίθανόν ἐστι, καθὸ καὶ ὡς ἐπὶ τὸ πλεῖστον οὐ γίνεται τὸ τοὺς κρείττονας ἐρᾶν τῶν χειρόνων, ὅμως ἔστιν ὅτε ἐκ τοῦ παραδόξου. διαφέρει δὲ τὸ τοιοῦτον τοῦ ἀσαφοῦς, καθὸ ἐν μὲν τῷ ἀσαφεῖ οὐ λέγομεν, ὅτι ἀεὶ τῶν τοιούτων μὲν γινομένων οὐδὲν εἰκὸς ἦν τοῦτο γενέσθαι, ἀλλ' ἀπὸ τῆς τῶν εἰκότων ἐννοίας στοχαζόμεθα μὴ γενέσθαι· ἐν μέντοι τῷ ἀπιθάνῳ λέγομεν μὴ γενέσθαι ὡς μηδέποτε γινομένου τοιούτου, καίτοι ἔσθ' ὅτε ἐκ τοῦ παραδόξου γινομένου.

Ἀδυνάτῳ. Τὸ ἀδύνατον γίνεται τριχῶς ἀπὸ ψυχῆς, ἀπὸ σώματος, ἀπὸ τῶν ἐκτός· ἀπὸ ψυχῆς, οἷον τὸ τὰ ἄλογα λόγῳ χρῆσθαι ἢ καὶ τοὐναντίον, τὸ τὰ λογικὰ τοῖς τῶν ἀλόγων χρῆσθαι πλεονεκτήμασι· ἀπὸ σώματος, ὡς εἴ τις λέγει, μὴ δυνατὸν εἶναι βρέφος τὸν ἄνδρα καταπαλαίειν· ἀπὸ δὲ τῶν ἐκτὸς, οἷον εἰ φαίημεν ἀδύνατον εἶναι, πέντε τυραννίδι ἐπιχειρεῖν, ἢ Σιφνίους[8] καὶ Μαρωνείτας πρὸς πᾶσαν ὁμοῦ τὴν τῶν Ἑλλήνων δύναμιν ἀντιτάξασθαι δεῖ δὲ γινώσκειν, ὅτι εἰ μὲν ἄλλο μέρος τοῦ διηγήματος ἐγχωρεῖ λυθῆναι διὰ τοῦ ἀπιθάνου

7* πράγματος — ἐναντίου. Lege πρᾶγμά τι — ἐναντίον.

8 Vind. Σιφίοις καὶ Καρωνείοις. Cfr. Hermog. p. 7.

καὶ ἕτερον διὰ τοῦ ἀδυνάτου, τότε πρὸς τὰ μέρη τοῦ διηγήματος καὶ τὰ κεφάλαια τάξομεν· εἰ δὲ ἓν καὶ τὸ αὐτὸ δι' ἀμφοτέρων, πρῶτον θήσομεν τὸ ἀπίθανον, ὕστερον δὲ ἐπενέγκωμεν τὸ ἀδύνατον, ὡς ἂν προχωρῶν ὁ λόγος ἐπὶ τὸ ἀκμαιότερον φαίνηται· [9] τοῦ γὰρ ἀπιθάνου τὸ ἀδύνατον ἰσχυρότερον. εἰ δὲ τοὐναντίον ποιήσομεν, καὶ τὸ μὲν ἀδύνατον προτάξομεν, τὸ δὲ ἀπίθανον ἐπενέγκωμεν, περιττὸν πάντη φανήσεται· διαφέρει δὲ τὸ ἀδύνατον τοῦ μὲν ἀσαφοῦς, καθὸ τὸ ἀσαφὲς ἐνδέχεται μὲν γενέσθαι, ὅμως δὲ οὐ πιστεύεται γενέσθαι, διὰ τὸ ἀπεῖναί τινα τῶν εἰκότων, τὸ δὲ ἀδύνατον οὐκ ἔχει φύσιν γενέσθαι· τοῦ δὲ ἀπιθάνου διαφέρει, καθὸ τὸ μὲν ἀπίθανον ἐνδέχεται καὶ αὐτὸ κἂν ἐκ τοῦ παραδόξου γενέσθαι, τὸ δὲ ἀδύνατον οὐδαμῶς. κατὰ τὸ ἀδύνατον ἀνασκευάσομεν ἐκεῖνο τὸ μέρος τοῦ κατὰ ῥόδον διηγήματος τὸ λέγον, ὅτι τὸ καταῤῥεῦσαν αἷμα τοῦ τραύματος τοῦ ποδὸς τῆς Ἀφροδίτης τὴν τοῦ ῥόδου χροιὰν εἰς τὴν οἰκείαν ὄψιν μετέβαλεν· ἀδύνατον γὰρ ἑνὸς ῥόδου βαφέντος, ἅπαντα τὰ ῥόδα τῆς βαφῆς τοῦ αἵματος μεταλαβεῖν. Τὸ δὲ ἀνακόλουθον γίνεται ὅτε δείκνυμεν τόδε τὸ μέρος τοῦ διηγήματος τῷ ἀνωτέρω μαχόμενον, ὡς ἔχει τὸ κατὰ τὸν Αἴολον, ὡς φιλοφρόνως τὸ πρῶτον τὸν Ὀδυσσέα ὑποδεξάμενος ὕστερον ἀπεδίωκε. κατὰ τοῦτο τὸ κεφάλαιον ἐκεῖνο τὸ μέρος τοῦ κατὰ ῥόδον ἀνασκευάσομεν διηγήματος τὸ λέγον, ὅτι Ἄρης τὸν Ἄδωνιν ἀνελεῖν ἐβούλετο· ποῦ γὰρ εἰκὸς τὸν Ἄρην πῇ μὲν θεραπεύειν τὴν ἐρωμένην (τοιοῦτοι γὰρ οἱ ἐρῶντες), πῇ δὲ λυπεῖν, ἐκ τοῦ τὸν ἐρώμενον αὐτῇ βούλεσθαι ἀναιρεῖν;

Ἀπρεπεῖ· Ἀπρεπές ἐστι τὸ αἰσχύνης πρόξενον, οἷον ἀπρεπές ἐστι τὸ ἐρᾶν τὸν Δία θνητῆς γυναικὸς, τῆς Λήδας ἢ τῆς Δανάης· ὁ δὲ Γεωμέτρης οὐκ ἐκ τοῦ αἰσχροῦ μόνον γίνεσθαι λέγει τὸ ἀπρεπὲς, ἀλλὰ καὶ ἐκ

9 Vind. φαίνεται.

τοῦ ἄλλως ἀδόξου ἢ ἀναξίου, ὥσπερ εἴ τις τὸν Θεὸν ὑπνοῦν λέγει ἢ ἀμελεῖν ἢ κοποῦσθαι ἤ τι τοιοῦτον. κατὰ τοῦτο τὸ κεφάλαιον ἀνασκευάζομεν ἐκεῖνο τὸ μέρος τοῦ κατὰ ῥόδον διηγήματος τὸ λέγον, ὅτι ἦρα ἡ Ἀφροδίτη τοῦ Ἀδώνιδος, καὶ ὁ Ἄρης ἀντήρα τῆς Ἀφροδίτης, καὶ ὅτι ζηλότυπος ἦν ἡ Θεός. Καὶ τελευταῖον ἐπενεγκεῖν τὸ ἀσύμφορον. Ἀσύμφορόν ἐστι τὸ τελευταῖον μέρος, οἷον ὡς ἵνα λέγωμεν, „παυέσθωσαν μυθολογοῦντες οἱ ποιηταὶ, ἐπειδήπερ ψευδόμενοι τὰ μέγιστα βλάπτουσι·“ καὶ περὶ τούτου δὲ τοῦ κεφαλαίου τάδε φησὶν ὁ Γεωμέτρης· ἡ τοῦ συμφέροντος ἢ ἀσυμφόρου φύσις τοιαύτη ἐστί· λαμβάνεται μὲν τριχῶς, ἀπὸ τῆς ψυχῆς, ἀπὸ τοῦ σώματος, ἀπὸ τῶν ἐκτός· ἀλλὰ συμφέροντα μὲν τῇ ψυχῇ ὅσα πρὸς δικαιοσύνην τε καὶ πρὸς ἀνδρίαν, ἤδη δὲ καὶ σωφροσύνην καὶ τὰς λοιπὰς ἡμῶν συντελοῦσι τῶν ἀρετῶν· ἀπὸ δὲ τοῦ σώματος ὅσα πρὸς ῥώμην ἢ εὐεξίαν ἢ κάλλος ἢ τάχος ἤ τι τοιοῦτον· ἀπὸ δὲ τῶν ἐκτὸς χρήματα, κτήματα, φίλοι, σύμμαχοι, πόλεις, ὅπλα καὶ ὅσα τῆς τῶν ἔξωθεν ἡμῖν ὁρῶνται περιβολῆς· ἀπὸ γὰρ τούτων τὸ συμφέρον ἡμῖν ἢ ἀσύμφορον ἀποδείκνυται, ἢ γὰρ καὶ τοῖς τρισὶ τούτοις τὸ πρᾶγμα συντελοῦν ἀποδείξομεν, ἢ μέρεσι τούτων ἢ κἂν ἑνί· εἰ δ' ἀπὸ μηδενὸς τούτων ἰσχύομεν, τότε γοῦν τὴν τῶν κακῶν ἀποβολὴν ἢ μείωσιν συμφέρον εἶναι νομίσομεν, καὶ ἀπὸ τούτων ἐπιχειρήσομεν, καθάπερ καὶ Δημοσθένης φησὶν, ὅτι „τὴν παροῦσαν[10] αἰσχύνην ἀποτριψόμεθα·“ εἰ δὲ μηδ' ἀπὸ τούτων, ἀλλὰ τῶν προσδοκωμένων κακῶν, ὅτι καὶ τὰ μὴ παρόντα, προσδοκώμενα δὲ κακὰ ταῦτα ποιοῦντας ἡμᾶς οὐ καταλήψεται. καὶ ταῦτα μὲν περὶ τοῦ ἀσυμφόρου. δεῖ δὲ γινώσκειν, ὅτι τὸ ἀπρεπὲς καὶ ἀσύμφορον εἰς μὲν τὸ ψευ-

10 Ol. I. p. 12. τὴν ἐπὶ τοῖς πεπραγμένοις ἀδοξίαν ἀποτριψώμεθα.

δὲς δεῖξαι τὸ πρᾶγμα καὶ ἄπρακτον οὐδὲν ἰσχύει, τὴν ποιότητα δὲ μόνην διαβάλλει τοῦ πράγματος, ὅτ᾽ ἄδοξόν ἐστι καὶ ἀσύμφορον καὶ οὕτω παραβλάπτει τὴν πίστιν. Ταῦτα τὰ κεφάλαια παραδόντος ἡμῖν τοῦ Ἀφθονίου πρὸς ἀνασκευὴν τῶν δραματικῶν διηγημάτων βούλονται οἱ ἐξηγούμενοι πλατύνεσθαι τὸ καθ᾽ ἕκαστον αὐτῶν δι᾽ ἐπιχειρημάτων, ἅπερ ἀπὸ τῶν περιστατικῶν ἔχουσι τὴν γένεσιν, ὡς ἐν τῷ περὶ τῶν εὑρέσεων βιβλίῳ μανθάνομεν· οἷον ὑποκείσθω, φησὶν, ἀνασκευάζειν ἡμᾶς τὸ περὶ Μηδείας διήγημα· [11] ἐὰν τοίνυν ἀνασκευάσομεν ἀπὸ τοῦ ἀπιθάνου, ἐροῦμεν ἐκ τοῦ προσώπου ὅτι ἀπίθανόν ἐστι μητέρα κακῶς ποιῆσαι τὰ τέκνα· ἐκ δὲ τῆς πράξεως, ὅτι οὐκ εἰκός ἐστιν ἀποσφάξαι· ἐκ δὲ τοῦ τόπου, ὅτι οὐκ ἂν ἀπέκτεινεν ἐν Κορίνθῳ, ὅπου διέτριβεν Ἰάσων ὁ τῶν παίδων πατήρ· ἐκ δὲ τοῦ χρόνου, ὅτι ἄλλως τε [12] ἐν τούτῳ τῷ χρόνῳ, ἐν ᾧ αὕτη μὲν τεταπείνωτο τοῦ ἀνδρὸς ἐκπεσοῦσα ξένη γυνὴ, ὁ δὲ Ἰάσων μείζω δύναμιν προσειλήφει, γήμας Γλαύκην τὴν τοῦ Κρέοντος· ἐκ δὲ τοῦ τρόπου, ὅτι ἐπειράθη ἂν λαθεῖν καὶ οὐκ ἂν ξίφει διεχρήσατο ἀλλὰ φαρμάκῳ, ἄλλως τε καὶ φαρμακὶς οὖσα· ἐκ δὲ τῆς αἰτίας, ὅτι ἀπίθανόν ἐστι δι᾽ ὀργὴν τὴν πρὸς τὸν πατέρα τὰ τέκνα ἀπεκτονέναι. οὐ γὰρ ἴδιον τοῦ Ἰάσωνος, ἀλλὰ καὶ αὐτῆς κοινὸν ἐγένετο τὸ ἀτύχημα, καὶ μᾶλλον αὐτῆς, ὅσον μαλακώτεραί πως αἱ γυναῖκες πρὸς τὰ πάθη. Δεῖ δὲ γινώσκειν, ὅτι ποτὲ μὲν ἀπὸ τῶν ἐξ περιστατικῶν εὑρίσκομεν κατασκευὰς ἐπὶ τὸ προκείμενον κεφάλαιον, ὡς ἐπὶ τοῦ προτεθέντος ἐδείκνυτο, ποτὲ δὲ ἀπὸ τῶν πέντε ἢ τῶν τεσσάρων ἢ καὶ ἐλαττόνων· οὐδὲ γὰρ πᾶσα ἀνάγκη, ἀεὶ πάντα ἐμπίπτειν, ἀλλὰ ποτὲ μὲν πλείω, ποτὲ δὲ ἐλάττω· ἔστι δ᾽ ὅτι καὶ οὐδὲ ἓν ἐμπίπτει,

11 Cfr. Theon. p. 218, 23 sqq. 12 Theo p. 219, 2. ὅτι ἀπίθανόν ἐστιν ἐν τ.

ἡνίκα ἐκλείπει τὸ κεφάλαιον, καὶ ταῦτα μὲν ταύτῃ· ζητήσειε δ' ἄν τις, εἰ καὶ τὰ ἐν τοῖς πολιτικοῖς λόγοις κεφάλαια δι' ἐπιχειρημάτων κατασκευάζονται, καὶ τὰ ἐν τῇ ἀνασκευῇ διὰ τῶν αὐτῶν· ἐπιχειρήματα γὰρ λέγονται αἱ ἀπὸ τῶν περιστατικῶν τοῦ προκειμένου κατασκευαὶ, ἀπὸ τοῦ χεῖρα καὶ ἰσχὺν παρέχειν τῷ πράγματι· τέλειος λόγος ἐστὶν ἡ ἀνασκευὴ, καὶ μάτην ἐν τοῖς γυμνάσμασι τέτακται. ἔστιν οὖν εἰπεῖν πρὸς τὴν τοιαύτην ἀπορίαν, ὅτι ἀλλ' ἐν μὲν τοῖς πολιτικοῖς λόγοις σχήμασί τισι κοσμοῦμεν τὰ ἐπιχειρήματα, οἷον πνεύμασι, περιόδοις, τοῖς ἄλλοις, ἐνταῦθα δὲ τοῦτο οὐκ ἀπαιτούμεθα· ἔπειτα ἐκεῖ μὲν τὰ ἐπιχειρήματα κατασκευάζομεν δι' ἐργασιῶν, δι' ἐνθυμημάτων καὶ ἐπενθυμημάτων, ἐνταῦθα δὲ οὐδαμῶς· κἀκεῖ μὲν μετὰ τὰ ἰδιάζοντα κεφάλαια τῆς στάσεως, ἥστινος ἂν εἴη τὸ προκείμενον ζήτημα, τοῖς τελικοῖς χρώμεθα κεφαλαίοις, ἐνταῦθα δὲ οὐδαμῶς. Ἰστέον δὲ ὅτι οὐ μόνον ἀνασκευάζειν τὰ δραματικὰ διηγήματα διὰ τῶν εἰρημένων κεφαλαίων ἀξιοῦσιν οἱ ἐξηγούμενοι, ἀλλὰ καὶ ἀλληγορεῖν αὐτὰ, οἷον μετὰ τὸ ἀνασκευάσαι εἰ τύχοι τὸ κατὰ τὸν Ἀρίωνα διήγημα ἀλληγορικῶς εἰπεῖν, ὅτι πλοῖόν τι ὀνομαζόμενον δελφὶς, ὅπερ τὸν Ἀρίωνα ὑπεδέξατο καὶ διέσωσε. ἀλλὰ τοῦτο, φημὶ δὴ τὸ ἀλληγορεῖν τὰ τοιαῦτα, τοῖς κατασκευάζουσιν ἐστὶν ἀναγκαιότερον, τοῖς δὲ ἀνασκευάζουσιν ἀρκεῖ καὶ ἡ φύσις τῶν πραγμάτων εὐπορίαν διδοῦσα εἰς ἔλεγχον· σκόπει δὲ καὶ τὸν διδάσκαλον, ὅτι οὐδὲ αὐτὸς ἐν τῇ ἀνασκευῇ ἀλληγορεῖ, ἀλλ' ἐν τῇ κατασκευῇ. *Ἡ γυμνασία αὕτη πᾶσαν περιέχει τὴν τῆς τέχνης ἰσχύν.* Τῶν μὲν ἄλλων προγυμνασμάτων ἕκαστον μέρος εἰκόνα τῆς τελείας ὑποθέσεως ἔσωζεν, οἷον διηγήσεως τὸ διήγημα, ἀγώνων ἡ χρεία καὶ ἡ γνώμη, ἡ δὲ ἀνασκευὴ τῶν τεσσάρων μερῶν εἰκόνας φέρει παρ' αὐτῇ, ἢ ὅτι τῶν ἀναλογούντων τοῖς ἀγῶσι γυμνασμάτων, χρείας φημὶ καὶ γνώμης, ἡ ἀνα-

σκευὴ τελεωτέρα ἐστὶ καὶ ἐναγωνιωτέρα, δεομένη ἕξεως, καθὸ ἐν ἐκείνοις μὲν ὀλίγοις τισὶ συνηγοροῦμεν, ἐνταῦθα δὲ ὁλόκληρον διήγημα διαβάλλομεν· ὁ Γεωμέτρης δὲ τὸ πᾶσαν ἀντὶ τοῦ πλείστην ἢ τὴν κρείττονα ἐξελάβετο.

Η ΜΕΛΕΤΗ ΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΟΣ.

Ποιηταῖς μὲν ἀντερεῖν ἄλογον· αὕτη ἡ πρότασις τοῦ προοιμίου, καὶ ἔστιν ἐξ ὑπολήψεως, ἐκ τοῦ τὸν ἀντιλέγοντα τοῖς ποιηταῖς τόπον ἔχοντα κατηγόρου παραιτεῖσθαι τρόπον τινὰ τὴν πρὸς αὐτοὺς τοὺς ποιητὰς ἔχθραν διὰ τὴν ὑπεροχὴν αὐτῶν καὶ λέγειν, ὅτι αὐτοί εἰσιν οἱ αἴτιοι τῆς εἰς αὐτοὺς ἡμῖν ἀντιλογίας· ἅτε μυθολογοῦντες, καὶ ἔστιν ἐοικυῖά πως αὕτη ἡ πρότασις τῷ κατὰ Τιμοκράτους προοιμίῳ· „τοῦ μὲν ἀγῶνος τοῦ παρόντος, ὦ Ἀθηναῖοι, οὐδ' ἂν αὐτὸν οἶμαι Τιμοκράτην ἐρεῖν ὡς αἴτιός ἐστιν ἄλλος τις αὐτῷ, πλὴν αὐτὸς αὑτῷ· χρημάτων γὰρ οὐκ ὀλίγων ἀποστερῆσαι βουλόμενος τὴν πατρίδα νόμον εἰσήνεγκε," καὶ τὰ ἑξῆς· ὥσπερ γὰρ ἐκεῖ ὁ ῥήτωρ λέγει, αὐτὸν ἑαυτῷ Τιμοκράτην αἴτιον γενέσθαι τοῦ ἀγῶνος ἐκ τοῦ κακῶς ἔχοντα* καὶ παράνομον θεῖναι νόμον, οὕτω κἀνταῦθα λέγει ὁ τοῖς ποιηταῖς ἀντιλέγων, ὅτι αὐτοί εἰσιν αἴτιοι οἱ ποιηταὶ τῆς ἡμετέρας εἰς αὐτοὺς ἀντιλογίας· λέγοντες γὰρ αὐτοὶ τοιαῦτα κατὰ θεῶν ἀναπείθουσι καὶ ἡμᾶς αὐτοῖς ἐπιλέγειν ἐπιχειρεῖν.

Εἰς θεοὺς πρότερον λογοποιοῦντες τὰ τοιαῦτα. Τοῦτό ἐστιν ἡ τοῦ προοιμίου κατασκευή. εἰπὼν γὰρ ἐν τῇ προτάσει, εἰ αὐτοὶ ἡμᾶς πρὸς τὸ ἀντιλέγειν ἐπαίρουσιν, ἐπιφέρει τὴν αἰτίαν· ἡ δὲ αἰτία κατασκευή ἐστι τῆς προτάσεως. Ποιηταῖς μὲν ἀντερεῖν ἄλογον, αὐτοὶ δὲ πρὸς ἑαυτοὺς ἀντιλέγειν ἐπαίρουσιν· ἡ ἔννοια ἐπιεικείας, λέγει γάρ, ὡς οὐχ ἑκὼν

* Codd. ἔχοντος.

ἀντιλέγει τοῖς ποιηταῖς, ἀλλὰ ὑπ' αὐτῶν ἀναπειθόμενος. ἐν δὲ τῷ περὶ ἐπιεικείας μίαν τῶν τῆς ἐπιεικείας ἐννοιῶν λέγει εἶναι ὁ Ἑρμογένης καὶ τὸ λέγειν τινὰ ὅτι παρὰ γνώμην δικάζομαι, ἧς κατ' οὐδὲν ἡ παροῦσα διενήνοχε πρότασις. Πῶς οὖν οὐκ ἄλογον, θεῶν μὲν αὐτοὺς μηδένα ποιήσασθαι λόγον, ἡμᾶς δὲ λόγον ἔχειν τῶν ποιητῶν· τὸ σχῆμα ἐπίκρισις· ἔστι δὲ τοῦτο ἡ ἀπόδοσις τοῦ προοιμίου.

Πάντων μὲν ἤλγουν ἐγὼ προπηλακιζομένων τῶν θεῶν, Ἀπόλλωνος δὲ μάλιστα· Ἡ ἔννοια περιβολῆς, ἀόριστον γάρ ἐστιν ἐνταῦθα καὶ ὡρισμένον σχῆμα ὁ μερισμός, ἴδιος ὢν εὐκρινείας μᾶλλον καὶ γοργότητος διὰ τὸ ἐγγὺς ἔχειν τὴν ἀπόδοσιν καὶ μὴ διὰ μακροῦ. Σὺν δὲ τῷ μερισμῷ καὶ τὸ κατὰ προτίμησιν ἐοικὸς τῷ ἐν τῷ πρὸς Λεπτίνην,[1] „μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελύσθαι τὸν νόμον, εἶτα καὶ τοῦ παιδὸς ἕνεκα τοῦ Χαβρίου ὡμολόγησα τούτοις, ὡς ἂν οἷός τε ὦ συνερεῖν·" τὸ δὲ κατὰ προτίμησιν σχῆμα περιβολῆς ἐστιν ἴδιον. προπηλακιζομένων· ἐξουθενουμένων, ὑβριζομένων· εἴρηται δὲ ἀπὸ τοῦ πηλοῦ· οἱ γὰρ παλαιοί, ὅτε ἤθελον κωμῳδεῖν, πηλῷ καὶ τρυγίᾳ ἐχρίοντο. Εἰς τὸ αὐτό. Πάντων μὲν οὖν ἤλγουν ἐγὼ προπηλακιζομένων θεῶν· ἑτέρα πρότασις προοιμιακή. Οἷα γὰρ περὶ τῆς Ἀπόλλωνος Δάφνης· τοῦτο ἡ κατασκευὴ τῆς δευτέρας προτάσεως τῆς προοιμιακῆς· ἡ ἔννοια καταστατικὴ καὶ σχετλιαστική. ἔστι δὲ ἡ μὲν καταστατικὴ εὐκρινείας, ἡ δὲ σχετλιαστικὴ ἐνδιαθέτου λόγου. Δάφνη, φασί, γῆς προῆλθε καὶ Λάδωνος, καὶ τὰ ἑξῆς· ἀνωτέρω μὲν τῇ τῶν φησάντων ἐχρήσατο διαβολῇ· νῦν δὲ καὶ τῆς τοῦ πράγματος ἐκθέσεως ἄρχεται· ἔφαμεν δὲ ἤδη τὴν τῶν φησάντων δια-

1 Initio.

βολὴν ἀναλογεῖν προοιμίῳ, τὴν δὲ τοῦ πράγματος ἔκθεσιν διηγήσει· ἡ ἔννοια δὲ γλυκύτητος. ἔννοιαι γὰρ γλυκύτητος πρῶτον μὲν αἱ μυθικαὶ, οἷός ἐστιν ὁ τῆς ἀλώπεκος μῦθος τῆς τᾷ κόρακι ὁμιλούσης, καὶ ὁ τοῦ μυλωροῦ· δεύτερον δὲ τὰ διηγήματα ὅσα μύθων ἐγγύς εἰσι, τουτέστι τὰ ἀμφίδοξα. ἔστι δὲ αὕτη τῆς δευτέρας τάξεως· ἀμφίδοξος γάρ ἐστι καὶ οὐ τελείως μυθική· εἰ γὰρ τοιαύτη ἦν, οὐκ ἂν ἐδέχετο ἀνασκευὴν, τοῦ Ἀφθονίου λέγοντος δεῖν ἀνασκευάζειν τὰ μήτε λίαν σαφῆ μήτε ἀδύνατα παντελῶς. τὸ σχῆμα γλυκύτητος· ἡ μέθοδος γλυκύτητος· ἀφήγησις γάρ ἐστιν ἀπ' αὐτοῦ ἀρχομένη τοῦ πράγματος, εἰ καί τινα προϊοῦσα τῶν περιστατικῶν προσλαμβάνει· ἡ δὲ τοιαύτη μέθοδος καθαρότητος οὖσα καὶ ἀφελείας ἐστὶν καὶ γλυκύτητος. Καὶ τὴν ὄψιν τῶν πολλῶν διαφέρουσα· ὁ δὲ ἐρῶν μὲν ἐδίωκε, διώκων δὲ οὐχ ἥρει· τὸ σχῆμα τὸ καλούμενον ἐπαναστροφή· ἔστι δὲ τοῦ κάλλους, πρὸς δὲ τῆς γλυκύτητος, κοινὰ γὰρ ἔχει ἡ γλυκύτης τῷ κάλλει τὰ σχήματα. Καὶ τὸ φυτὸν στέφανος εἰς Πύθιον τὸν τρίποδα· τῆς συνηθείας τὸν τρίποδα ἀπαιτούσης οὗτος εἰς Πύθιον τρίποδα εἶπε. Καὶ τὸ βλάστημα γνώρισμα ποιεῖται τῆς τέχνης· Καὶ γὰρ ὁ μάντις καὶ ὁ μαντικὸς τρίπους ἐκ τοῦ δάφνῃ ἐστεφανῶσθαι ἐχαρακτηρίζοντο. Καὶ ἃ μὲν μυθολογοῦσι τάδε, πάρεστι δὲ ἔλεγχον λαβεῖν ἐκ τῶν ἑφεξῆς· ἡ καλουμένη συμπλήρωσις καὶ κατὰ τὴν ἔννοιαν καὶ κατὰ τὴν μέθοδον εὐκρινῆ ποιοῦσα τὸν λόγον.

Λάφνη, φησὶ, γῆς προῆλθε καὶ Λάδωνος· τίνα τοῦ γένους ἔχουσα πίστιν; κατὰ μέρος τιθεὶς τὸ διήγημα ἀγωνίζεται, καὶ οὐχὶ πρὸς ὅλον ὁμοῦ. ζητεῖται δὲ διατί οὕτως καὶ οὐχὶ ἐκείνως ποιεῖ μᾶλλον· καί φησιν ὁ Γεωμέτρης δύο τούτων τὰ αἴτια, ἓν μὲν τὸ ἀσαφῆ τὸν λόγον γίνεσθαι, μὴ δυναμένων τῶν ἀκροατῶν

συνορᾶν, οἷον τῆς ἀνασκευῆς ἀνατρεπομένης διὰ πόσων τῶν ἐπιχειρημάτων. ἕτερον δὲ καὶ τὸ δυσχερὲς καθεστάναι τὸ τοιοῦτον καὶ παγχάλεπον· πολὺ γάρ, φησὶ, ῥᾷον κατ' ὀλίγον ἐπαγωνίζεσθαι καὶ συνιστᾶν ἢ διαβάλλειν, ἥπερ ἀθρόως ὅλον ἀναδέχεσθαι τὸν ἀγῶνα, ὥσπερ καὶ ἐπὶ στρατεύματος πολὺ μᾶλλον εὐκολώτερον κατὰ μέρος αὐτοῦ τὰς δυνάμεις τέμνειν, καὶ πρὸς ἕνα ἕκαστον αὐτῶν διαγωνίζεσθαι, καὶ οὕτω τὴν νίκην αἱρεῖσθαι, ἢ πρὸς πᾶσαν ἀθρόως ἀποκινδυνεύειν τὴν δύναμιν.

Τίνα τοῦ γένους ἔχουσα πίστιν. Τοῦτό ἐστιν ἡ πρότασις τοῦ κεφαλαίου τοῦ ἀσαφοῦς, καὶ ἔστιν οἰκεία τῷ κεφαλαίῳ· αἱ δὲ κατασκευαὶ τῆς προτάσεως, οἷον „ἡ μὲν γὰρ ἄνθρωπος, οἱ δὲ φύσιν ἄλλην παρὰ ταύτην ἐκτήσαντο," καὶ τὰ ἑξῆς, δοκοῦσι μᾶλλον ἐκ τοῦ ἀδυνάτου προχωρεῖν. ἔστι γὰρ ὅτε τῷ ἀσαφεῖ ἐμφανίζεται τὸ ἀδύνατον διὰ τὸ τὸν μελετῶντα τιθέναι τινὰς τῶν κατασκευῶν τοῦ ἀδυνάτου ἐν τῷ ἀσαφεῖ, οἷον ὡς ἐπὶ τοῦ ὅτι ἡ Πασιφάη προῆλθεν ἀπὸ τοῦ ἡλίου· εἰ μὲν γὰρ εἴπομεν ἄπιστον εἶναι διὰ τὸ μήτε τὸν χρόνον, καθ' ὃν ὁ παῖς ἐτέχθη, εἶναι φανερὸν, μήτε τὸν τόπον ἐν ᾧ, μήτε τὸν τρόπον, καθ' ὃν συνῆλθεν ὁ ἥλιος τῇ Κλυμένῃ, ἐκ τοῦ ἀσαφοῦς κατασκευάζομεν καθαρῶς. εἰ μέντοι μέσον τούτων τῶν ἐπιχειρημάτων ἐκεῖνο, ἐροῦμεν, ὅτι ἄλλως τε ὁ μὲν ἀστὴρ ἦν ὁ ἥλιος, ἡ δὲ κόρη ἄνθρωπος, πῶς οὖν ὁ ἄνθρωπος ἐξ ἀστέρων ἐτέχθη; παρενείρομεν τοῖς τοῦ ἀσαφοῦς ἐπιχειρήμασι τὸ ἐκ τοῦ ἀδυνάτου, καὶ κατὰ τοῦτο ἐμφαίνεται τῷ ἀσαφεῖ τὸ ἀδύνατον. Ἐπὶ τοίνυν τοῦ παρόντος ἡ μὲν πρότασις ὧν ἔφαμεν τοῦ κεφαλαίου ἐστὶν ἐκ τοῦ ἀσαφοῦς· οἰκεία γὰρ τοῦ κεφαλαίου ἡ πρότασις· ἢ ὅτι ἄπιστόν ἐστι τὸ λεγόμενον, καὶ ὅτι οὐδεμίαν ἔχει πίστιν, καὶ ὅτι οὐδεὶς ἂν τῷ τοιούτῳ νοῦν ἔχων πιστεύσειε, καὶ ὅσα τοιαῦτα· καὶ ὥσπερ τοῦ ἀδυνάτου πάλιν ἰδιάζουσαί εἰσι προτάσεις τὸ λέγειν, ὅτι

οὐκ εἶχε φύσιν τὸ πρᾶγμα γενέσθαι, ἀδύνατον τὴν ἀρχὴν τὸ λεγόμενον, καὶ τὰ παραπλήσια· ἀλλ' ἡ μὲν πρότασις ἡ „τίνα τοῦ γένους ἔχουσα πίστιν," τοῦ ἀσαφοῦς ἐστιν οἰκεία· τὸ δὲ „ἡ μὲν γὰρ ἄνθρωπος, οἱ δὲ φύσιν ἄλλην παρὰ τούτων ἐκτήσαντο," ἐκ τοῦ ἀδυνάτου δοκεῖ εἶναι· ἀδύνατον γὰρ ὅλως τὸ ἄνθρωπον ἐξ οὐκ ἀνθρώπων γενέσθαι. Πῶς δὲ ὁ Λάδων συνάπτεται γῇ; καὶ τοῦτο κατασκευή ἐστι τῆς προτάσεως· ἔστι δὲ καὶ αὐτὴ ἐκ τοῦ ἀδυνάτου· εἰπὼν γὰρ, ὅτι ἄπιστόν ἐστι τὸ τὴν Λάφνην ἐκ γῆς προελθεῖν καὶ Λάδωνος, κατασκευάζει τοῦτο πρῶτον μὲν ἀπὸ τῆς τῶν προσώπων ποιότητος· ἡ μὲν γὰρ, φησὶν, ἄνθρωπος, οἱ δὲ οὐκ ἄνθρωποι· ἔπειτα καὶ ἀπὸ τοῦ λέγειν, ὅτι ἄλλως ἀδύνατον ἦν τὸ Λάδωνα συνελθεῖν τῇ γῇ, ὥστε τεχθῆναι τὴν κόρην· πῶς γὰρ ποταμὸς τῇ γῇ συνέλθοι; καὶ ἔστω αὕτη ἡ κατασκευὴ ἀπὸ προτάσεως, εἶτα ἑτέρα κατασκευὴ ἀπὸ τοῦ ἐναντίου· εἰ δὲ ποταμοῦ προελήλυθεν ἄνθρωπος, ἄρα καὶ ποταμόν ἐστιν ἐξ ἀνθρώπων προελθεῖν. εἶτα ἑτέρα κατασκευὴ τῆς αὐτῆς προτάσεως, καὶ αὐτὴ ἀπὸ τῆς τῶν προσώπων ποιότητος· ἄλλως τε ὁ μὲν λάδων καὶ ἡ γῆ τῶν ἀναισθήτων εἰσὶν, ὁ δὲ γάμος τῶν αἰσθανομένων, καὶ κατὰ τοῦτο ἀδύνατον γεννηθῆναι τὴν κόρην ἐκ τῶν μηδὲ τὴν ἀρχὴν δυναμένων εἰς γάμον συνελθεῖν. εἶτα ἑτέρα κατασκευὴ τῆς αὐτῆς προτάσεως ἀπὸ τοῦ τόπου. Ἡ παῖς τεχθεῖσα παρὰ τίσιν ἐτρέφετο. Κἂν γὰρ συγχωρήσω τὴν γένεσιν, ἡ τροφὴ προῆλθεν ἀδύνατος, καὶ τὰ ἑξῆς μέχρι καὶ τοῦ βούλει καὶ τοῦτο συγχωρήσομεν τοῖς ποιηταῖς· τινὲς δὲ τὰ μὲν „τίνα τοῦ γένους ἔχουσα πίστιν, ἡ μὲν γὰρ ἄνθρωπος, οἱ δὲ φύσιν ἄλλην παρὰ ταύτην ἐκτήσαντο," ἐκ τοῦ ἀσαφοῦς νομίζουσιν εἶναι· τὰ δὲ ἑφεξῆς μέχρι „ἡ παῖς τεχθεῖσα παρὰ τίσιν ἐτρέφετο;" ἐκ τοῦ ἀπιθάνου· τὰ

δ'

δ' ἐντεῦθεν μέχρι τοῦ „βούλει καὶ τοῦτο συγχωρῶμεν [2] τοῖς ποιηταῖς, πῶς ἄρα θεὸς καὶ πόθεν τὴν φύσιν ἐψεύδετο;" ἐκ τοῦ ἀδυνάτου· ἐμοὶ παντελῶς ἀπαρέσκοντα λέγοντες· εἰ γὰρ πιθανόν ἐστι τὸ δυνάμενον μὲν γενέσθαι, μὴ πεῖθον δὲ τοὺς ἀκροατὰς ὅτι ἐγένετο, πῶς δυνατὸν τοῦτο ἐκ τοῦ ἀπιθάνου εἶναι, ὅπου οὐδόλως δυνατὸν τὸ γενέσθαι γάμον ποταμοῦ τε καὶ γῆς; Εἰ δέ τις τὴν φυσικὴν τοῦ ὕδατος καὶ τῆς γῆς μίξιν ἐρεῖ σημαίνειν ἐνταῦθα τὸ λεγόμενον, πρῶτον μὲν ἀγνοεῖ, ὡς οὐ δοκεῖ τοῦτο τῷ ἀνασκευάζοντι Ἀφθονίῳ, ἔπειτα δὲ καὶ ὅτι οὐδὲ οὕτω δύναται εἶναι ἐκ τοῦ ἀπιθάνου· πῶς γὰρ ἂν ἀπιστήσῃ τὶς τῷ μίγνυσθαι τὸ ὕδωρ τῇ γῇ; οἶμαι δὲ μᾶλλον τὸ μὲν „τίνα τοῦ γένους ἔχουσα πίστιν;" πρότασιν εἶναι ἐκ τοῦ ἀσαφοῦς, ὡς καὶ προλαβὼν εἶπον· τὸ δὲ „ἡ μὲν γὰρ ἄνθρωπος, οἱ δὲ φύσιν ἄλλην παρὰ ταύτην ἐκτήσαντο," καὶ τὸ, „πῶς δὲ ὁ Λάδων συνάπτεται γῇ" καὶ τὰ ἑξῆς μέχρι δὲ τοῦ „βούλει καὶ τοῦτο συγχωρῶμεν τοῖς ποιηταῖς," κατασκευὰς ἐκ τοῦ ἀδυνάτου τῆς ἐκ τοῦ ἀσαφοῦς προτάσεως. οἱ δὲ ἐκ τοῦ ἀπιθάνου εἰπόντες τὸ „πῶς δὲ ὁ Λάδων συνάπτεται γῇ" καὶ τὰ ἑξῆς, οἶμαι ἐπλανήθησαν εἰς τοῦτο, ἐκ τοῦ τὸν Ἀφθόνιον ἐν τῇ ἀπαριθμήσει τῶν τῆς ἀνασκευῆς κεφαλαίων εἰπεῖν. δεῖ δὲ τὸν ἀνασκευάζοντα κεφαλαίοις χρήσασθαι τοῖσδε, πρῶτον μὲν ἀσαφεῖ καὶ ἀπιθάνῳ· εἶτα πρὸς τούτοις, ἐπειδὴ γὰρ ἐκεῖνοι μετὰ τὸ ἀσαφὲς οὐχ εὕρισκον κεφάλαιον ἕτερον ἐκ τοῦ ἀπιθάνου, ἀλλὰ τὸ ἀδύνατον, ἐν τῷ „ἡ παῖς τεχθεῖσα παρὰ τίσιν ἐτρέφετο; κἂν συγχωρήσῃ τὴν γένεσιν, ἡ τροφὴ προῆλθεν ἀδύνατος," καίτοι τοῦ Ἀφθονίου μετὰ τὸ ἀσαφὲς τὸ ἀπίθανον ἐμπίπτει εἰπόντος, εἶθ' οὕτως τὸ ἀδύνατον, διὰ τοῦτο ἠναγκάσθησαν τὰς ἐκ τοῦ ἀδυνάτου κατασκευὰς

2 Vind. *συγχωρῶμεν* h. l. et paullo inferius.

τῆς τοῦ ἀσαφοῦς προτάσεως εἰπεῖν κεφάλαιον ἐκ τοῦ ἀπιθάνου, ὡς ἂν μεταξὺ τοῦ ἀσαφοῦς καὶ ἀδυνάτου τὸ ἀπίθανον ἀποδῶσι κεφάλαιον. Εἰ δέ τις εἴπῃ, καὶ πῶς μετὰ τὸ ἐκ τοῦ ἀσαφοῦς κεφάλαιον οὐκ ἐχρήσατο τῷ ἐκ τοῦ ἀπιθάνου, καί τοι ἐν τῇ μεθόδῳ μετὰ τὸ ἀσαφὲς δεῖν εἰπὼν τάττεσθαι τὸ ἀπίθανον, ἐροῦμεν, ὅτι ἐν τῇ μεθόδῳ, ἐπεὶ ἐτεχνολόγει, παρεδίδου ἅπαντα τὰ κεφάλαια, ὅσα ἐγχωρεῖ ἐμπίπτειν ταῖς ἀνασκευαῖς, ὡς ἂν τελεία αὐτῷ ἡ διδασκαλία γένηται· ἐν δὲ τῇ μελέτῃ, ἐπειδὴ ἡ φύσις τῶν πραγμάτων ἐναντιοῦτο αὐτῷ, ἠναγκάσθη τινὰ τῶν κεφαλαίων παραλιπεῖν, τὰ μὴ ἐγχωροῦντα δηλονότι ἐν τῇ μετὰ χεῖρας τεθῆναι ἀνασκευῇ· οὐδὲ γὰρ πάντα τὰ κεφάλαια ἁπάσαις ταῖς ἀνασκευαῖς ἀνάγκη ἐμπίπτειν, ἀλλ' ἐν μὲν τῇδε, εἰ τύχοι, πάντα, ἐν δὲ τῇδε οὐ πάντα, ἀλλ' ἔνια, τὰ ἐγχωροῦντα ἀμέλει, καὶ τοῦ σοφωτάτου Ἑρμογένους διδάσκοντος καὶ λέγοντος ἐν τῷ περὶ εὑρέσεων βιβλίῳ τῆς ῥητορικῆς αὐτοῦ τέχνης τὰ κεφάλαια ἐκ τῶν ἓξ περιστατικῶν κατασκευάζεσθαι εὑρίσκεταί τινα ἔσθ' ὅτε κεφάλαια, ἅπερ οὐκ εὐποροῦμεν ἐκ τῶν ἓξ περιστατικῶν κατασκευάσαι, ἀλλ' ἐκ τῶν πέντε μόνων, εἰ τύχῃ, ἢ καὶ ἐλαττόνων, καὶ ἐν τῷ περὶ στάσεων δὲ πάλιν λέγοντος, „πᾶς στοχασμὸς ἔχων πρόσωπα καὶ πράγματα κρινόμενα ἐπιδέχεται κεφάλαια [3] τάδε· παραγραφικὸν, ἐλέγχων ἀπαίτησιν, ἀντίληψιν, μετάληψιν, μετάθεσιν τῆς αἰτίας, πιθανὴν ἀπολογίαν, ποιότητα κοινήν," εὑρίσκεται πολλάκις στοχαστικὰ ζητήματα ἔχοντα καὶ τὸ πρόσωπον καὶ τὸ πρᾶγμα κρινόμενον, καὶ οὐ δυνάμεθα ἅπασι τοῖς ἐκ τῆς τέχνης κεφαλαίοις χρήσασθαι ἐν αὐτοῖς, ἀλλ' ἐνίοις, οἷόν ἐστιν ἐκεῖνο· σκηπτοῦ κατενεχθέντος εἰς τὴν Περικλέους οἰκίαν εὕρηνται χίλιαι πανοπλίαι καὶ φεύγει τυραννίδος ἐπιθέσεως· τοῦ-

3 Vind. κεφάλαιον.

το γὰρ τὸ ζήτημα στοχαστικὸν μέν ἐστιν, ἔχον καὶ τὸ πρόσωπον καὶ τὸ πρᾶγμα κρινόμενον, ἀλλ' οὔτε τὸ παραγραφικὸν ἐμπίπτει αὐτῷ, οὔτε ἡ πιθανὴ ἀπολογία, οὔτε ἡ μετάληψις, οὔτε ἡ ἀντίληψις· τοιοῦτόν ἐστι καὶ τὸ, „μειράκιον καλλωπιζόμενον φεύγει πορνείας·“ ἐκλείπει γὰρ κἀνταῦθα τὰ τέσσαρα ταῦτα κεφάλαια, καὶ τὸ, „τρισαριστέως εἰκόνα ἔστησαν οἱ πολέμιοι καὶ φεύγει αὐτὸς προδοσίας,“ κἀκεῖνο τοιοῦτόν ἐστιν· ἐκλείπει γὰρ καὶ ἐν αὐτῷ ἥ τε ἀντίληψις καὶ ἡ μετάληψις· τὸ μὲν γὰρ ὁδὸν τῆς διαιρέσεως κατ' αὐτὸν φάναι τὸν Ἑρμογένην ἡ τέχνη δίδωσι, τῇ φύσει δὲ τοῦ πράγματος τὴν τέχνην προσακτέον κατὰ τὸ ἐγχωροῦν. ταῦτα μὲν ἡμῖν περὶ τούτων ἀφ' ὧν τοῖς παλαιοῖς τῶν ἐξηγητῶν ἐντυχόντες καὶ τῶν ἡμετέρων διδασκάλων ἀκούσαντες ὠφελήθημεν, εἴρηται. τῷ δὲ Γεωμέτρῃ ὅρα περὶ τούτων τίνα δοκεῖ· φησὶ γὰρ περὶ τοῦ „τίνα τοῦ γένους ἔχουσα πίστιν“ καὶ τῶν ἑξῆς, οὐκ οἶδα πότερον ἠγνόησε τὴν τῶν κεφαλαίων φύσιν ὁ Ἀφθόνιος, καὶ κακῶς τὴν ἑαυτοῦ τάξιν ἐτήρησεν, ὅπερ ἐν τῇ ἀπαριθμήσει τὸ ἀσαφὲς λέγω πρῶτον ἔταξε, τοῦτο καὶ τῇ τοῦ πράγματος φύσει πρῶτον καταναγκάσας λέγεσθαι, ἢ καὶ οἱ μετ' αὐτὸν ἐκ τῆς παρ' αὐτοῦ τῶν κεφαλαίων ἀπαριθμήσεως πλανηθέντες, καὶ τὸ ἀσαφὲς πρῶτον εὑρόντες καὶ τὸ ἀδύνατον ὡς πρῶτον ἀσαφὲς ἐπέγραψαν. ἔστι γὰρ ἐνταῦθα φανερὸν τὸ ἀτόπημα· οὐ γὰρ τοῦ ἀσαφοῦς, ἀλλὰ τοῦ ἀδυνάτου, καὶ τυφλῷ φασι δῆλον ἡ ἐπιχείρησις. Τὸ γὰρ ἐκ γῆς τε καὶ ὕδατος ἄνθρωπον ἀναδοθῆναι, καθὼς ὁ μῦθός φησι, τῶν ἀδυνάτων πάντῃ καὶ παρὰ φύσιν· ἄλλοι δέ τινες καὶ διὰ τὸ „τίνα τοῦ γένους ἔχουσα πίστιν“ τοῦ ἀπιθάνου τοῦτο μᾶλλον ὑπέλαβον, ἀγνοήσαντες, ὡς ἡ πίστις κοινὴ τῶν κεφαλαίων ἐστὶν ἀπόδοσις, ὥστε καὶ τὸ ἀντίθετον τούτου ἄπιστον κοινῇ κατὰ πάντων τῶν κεφαλαίων φέρεσθαι. οὐ γὰρ τὸ ἀπίθανον μόνον ἄπιστον,

ἀλλὰ καὶ τὸ ἀδύνατον, καὶ ὅσα συντόμως εἰπεῖν πίστεως ἀπεστέρηνται, ὥστε οὐ τῇ τῶν κεφαλαίων ἀπαριθμήσει, ἀλλὰ τῇ φύσει τοῦ πράγματος προσεκτέον, καὶ αὐτούς τε οὕτω ταῖς ἐπιχειρήσεσι χρηστέον, τῷ πράγματι προσάγοντας τὰ κεφάλαια, ἀλλὰ μὴ τοὐναντίον πρὸς τὴν τάξιν τῶν κεφαλαίων τὴν φύσιν τῶν πραγμάτων καταβιάζεσθαι· ὅρα δὲ καὶ τὰς ἐπιχειρήσεις τοῦ ἀδυνάτου, ὅπως οὐκ ἀπὸ τοῦ πράγματος ἀλλὰ καὶ τῶν λοιπῶν περιστατικῶν λαμβάνονται· τὸ γὰρ „πῶς δὲ ὁ ποταμὸς συνάπτεται γῇ“ τοῦ τρόπου τὸ ἐπιχείρημα, εἰ δὲ ποταμοῦ προελήλυθεν ἄνθρωπος, τοῦτο οὐκ ἐπιχείρημα ἀλλ' ἐργασία μᾶλλον.

Τί δὲ γάμον ποταμοῦ καὶ γῆς ὀνομάζουσι; Ἐνταῦθα τὸ ἀσαφὲς καὶ ἡ ἀσάφεια διὰ τὸ λίαν σκληρὸν τοῦ τρόπου, ὃ καὶ αὐτὸς ὁ σοφιστὴς ἄγαν ἐπισημαίνεται, ὅτι τῶν αἰσθανομένων ὁ ὑμέναιος· αὐτὸ γάρ, φησὶ, τὸ τοῦ γάμου ὄνομα ἐπὶ τῶν ἐμψύχων ὀφεῖλον τίθεσθαι κυρίως μὲν ἐπὶ τῶν λογικῶν, καταχρηστικώτερον δὲ καὶ ἐπὶ τῶν ἀλόγων, ἐπὶ τῶν ἀψύχων τεθὲν τὴν ἀσάφειαν ἀπειργάσατο. Ἡ παῖς τεχθεῖσα παρά τίσιν ἐτρέφετο; καὶ τοῦτο τοῦ ἀδυνάτου· καὶ γὰρ τῶν μὴ ἐνδεχομένων τὸ ἐνδιαιτᾶσθαι ῥεύμασιν ἄνθρωπον, ἀλλὰ τοῦτο μὲν καὶ αὐτὸς ὁ σοφιστὴς ἀναφανδὸν ὠνόμασε, κἂν συγχωρήσῃ, φησὶ, τὴν γένεσιν ἡ τροφὴ προῆλθεν ἀδύνατος, τοῦτο γὰρ τὸ ἀδύνατον ἀπὸ τοῦ τρόπου· τοῦτον γὰρ τὸν τρόπον ἡ ἐργασία τοῦ δυνατοῦ καὶ τοῦ ἀδυνάτου πλατύνεται.

Ἀλλ' ὑπὸ γῆν ἡ παῖς διητᾶτο. Ἠδύνατο μὲν κἀνταῦθα τὸ ἀπὸ τοῦ ἀδυνάτου λαβεῖν ἐπιχείρημα· ἀδύνατον γὰρ καὶ ὑπὸ γῆν ἄνθρωπον τρέφεσθαι, καὶ μήτε ὁρῶντα μήτε ὁρώμενον, ἀλλὰ μήτε τοῖς ἐν τῇ ἐπιφανείᾳ καρποῖς τρεφόμενον· ὁ δὲ τοῦτο παριδὼν, τάχα διὰ τὸ λίαν ἔνδηλον εἶναι, ἢ καὶ διὰ τὸ σπεύδειν αὐτὸν ἐπὶ τὴν

τῶν λοιπῶν κεφαλαίων ἔνδειξιν τὴν ἀπὸ τοῦ ἀπιθάνου μᾶλλον ἰσχὺν ἐνέφηνε· τὸ γὰρ εἰπεῖν, ὅτι ἐλάνθανε, καὶ ὅτι λανθάνουσα θεατὴν οὐκ εἶχε, διόπερ οὐδὲ ἐραστήν, τοῦ ἀπιθάνου πάντως καὶ τῆς ἐντεῦθεν ἐπιχειρήσεως, εἰ καὶ τοῦτο τοῖς προλαβοῦσιν ὁμοίως τῶν σοφιστῶν τινες ἀγνοήσαντες ἀπὸ τοῦ ἐναντίου καὶ ἀνακολούθου μᾶλλον ἐπέγραψαν. Ὅρα γὰρ πῶς οὐκ ἀδύνατον, ἀλλ' ἀπίθανον, οὐ γὰρ πάντη καὶ κατὰ πάντα καιρὸν ἀληθές· ἐπεὶ καὶ λανθάνοντές τινες ἐραστὰς ἐκτήσαντο διὰ τὴν φήμην τῶν ἐν αὐτοῖς ἀρετῶν ἢ καὶ τῶν κατὰ φύσιν, ὥσπερ τοῦ κάλλους ἐνταῦθα πλεονεκτήματα. ταῦτα μὲν οὖν καὶ ὁ Ἰεωμέτρης, καὶ πειστέον γε αὐτῷ πάνυ καλῶς καὶ ὀρθῶς λέγοντι, πλὴν ἐπίστησον καὶ σὺ ὁ ἀναγινώσκων, μήποτε ὅπερ αὐτὸς ἐκ τοῦ ἀσαφοῦς λέγει εἶναι κεφάλαιον, ἔστι δὲ τοῦτο, „τί δὲ γάμον ποταμοῦ καὶ γῆς ὀνομάζουσιν;" οὐκ ἔστι κεφάλαιον ἐκ τοῦ ἀσαφοῦς, ἀλλὰ μᾶλλον ἐπιχείρημα ἀπὸ τοῦ προσώπου, κατασκευαστικὸν καὶ αὐτὸ τοῦ ἐκ τοῦ ἀδυνάτου κεφάλαιον· οὐ γὰρ ἐν τῇ ἐκθέσει τοῦτο ἔκειτο, φημὶ δὴ τοῦ γάμου ὄνομα, ἵν' αἰτιάσηται τὴν λέξιν ὁ σοφιστὴς, ὡς τροπικῶς τεθειμένην, καὶ πάνυ σκληρῶς, ἀλλ' αὐτὸς ταύτην τέθεικε μεμφόμενος τῷ ῥητῷ τῷ λέγοντι, ὅτι ἡ Δάφνη γῆς προῆλθε καὶ Λάδωνος· ἐπίστησον οὖν, μήποτε καὶ αὐτὸ ἐπιχείρημά ἐστι καὶ οὐχὶ κεφάλαιον, ὥστε εἶναι ἓν μὲν κεφάλαιον ἐκ τοῦ ἀδυνάτου ἀπὸ τοῦ, „τίνα τοῦ γένους ἔχουσα πίστιν," μέχρι τοῦ, „ἀλλ' ὑπὸ τὴν γῆν ἡ παῖς διῃτᾶτο παρὰ τὴν φύσασαν·" πρότασις δὲ τοῦ κεφαλαίου τὸ, „τίνα τοῦ γένους ἔχουσα πίστιν," καὶ τὰ ἑξῆς, κατασκευαστικὰ τῆς προτάσεως· τὸ μὲν, „ἡ μὲν γὰρ ἄνθρωπος, οἱ δὲ τὴν φύσιν ἄλλην παρὰ ταύτην ἐκτήσαντο," ἐπιχείρημα ἀπὸ τοῦ προσώπου, τὸ δὲ „πῶς ὁ Λάδων συνάπτεται γῇ ἐπικλύζων τοῖς ὕδασιν, οὐκοῦν ἅπαντες ποταμοὶ γῆς ἄνδρες ἐπονομάζονται·" ἐπιχείρημα δὲ αὐτὸ ἀπὸ τοῦ τρόπου τόδε·

εἰ δὲ ποταμοῦ προελήλυθεν ἄνθρωπος, ἆρα καὶ ποταμόν ἐστιν ἐξ ἀνθρώπων προελθεῖν, ἐργασίαν ἀπὸ τοῦ ἐναντίου, τὸ δὲ „τί δὲ γάμον ποταμοῦ καὶ γῆς ὀνομάζουσι, τῶν αἰσθανομένων ὁ ὑμέναιος· ἡ δὲ γῆ τῶν αἰσθανομένων οὐ πέφυκεν. ἢ τοίνυν τὸν Λάδωνα θετέον εἰς ἄνθρωπον, ἢ τὴν Λάφνην λογιστέον ἐν ῥεύμασιν“ ἐπιχείρημα καὶ αὐτὸ ἀπὸ τοῦ προσώπου· τὸ δὲ „ἡ παῖς τεχθεῖσα παρὰ τίσιν ἐτρέφετο; νὴ Δία παρὰ τῷ φύσαντι, καὶ τίς ἀνθρώπων ἐν ποταμῷ φέρει τὴν δίαιταν;“ καὶ αὐτὸ ἐπιχείρημα ἀπὸ τοῦ τόπου· τὸ δὲ, „ἀλλ᾽ ὑπὸ γῆν ἡ παῖς διητᾶτο παρὰ τὴν φύσασαν· οὐκοῦν ἐλάνθανε καὶ θεατὴν οὐκ εἶχε λανθάνουσα,“ κεφάλαιον ἐκ τοῦ ἀπιθάνου, τῆς αὐτῆς δὲ προτάσεως κατασκευαστικόν, ἧς καὶ τὸ πρὸ αὐτοῦ κεφάλαιον ἦν τὸ ἐκ τοῦ ἀδυνάτου, καὶ τοῦ αὐτοῦ μέρους τοῦ διηγήματος ἀνασκευαστικὸν, φημὶ δὴ τοῦ „Λάφνη γῆς προῆλθε καὶ Λάδωνος.“ ἐγχωρεῖ γὰρ τὸ αὐτὸ διαφόροις ἀνασκευασθῆναι τοῖς κεφαλαίοις, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν.

Πῶς δὲ ὁ Λάδων συνάπτεται γῇ, ἐπικλύζων τοῖς ὕδασιν; οὐκοῦν ἅπαντες οἱ ποταμοὶ γῆς ἄνδρες ἐπονομάζονται· πάντες γὰρ αὐτὴν ἐπικλύζουσι· τοῦτο ὡς μέθοδός ἐστι γοργότητος, τῷ ταῖς ἀπαντήσεσι ταχείαις χρῆσθαι καὶ βραχείαις, ταῖς τε ἀντιθέσεσιν ὡσαύτως, οἷον· τί γὰρ καὶ βουλόμενοι αὐτοὺς μετεπέμπεσθε;[4] ἐπὶ τὴν εἰρήνην; ἀλλ᾽ ὑπῆρχεν ἅπασιν. ἀλλ᾽ ἐπὶ τὸν πόλεμον; ἀλλ᾽ αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. Πῶς δὲ ὁ Λάδων συνάπτεται γῇ· τὸ συνάπτεται ἀντὶ τοῦ συνουσιάζεται.

Τῶν αἰσθανομένων ὁ ὑμέναιος. Ὑμέναιον ἐνταῦθα ἤτοι τὸν ἐπιθαλάμιον ὕμνον καὶ τὴν ὀρχήστραν λέγει ἢ τὴν σίζευγον καὶ τὴν μίξιν, ἵν᾽ ἢ ἀπὸ τοῦ συμ-

4 Vind. μεταπέμπεσθαι. — Dem. pro cor. p. 233.

βεβηκότος τὸ παρεπόμενον. ἢ τοίνυν τὴν Δάφνην λογιστέον ἐν ῥεύμασιν, ἢ τὸν Λάδωνα θετέον εἰς ἄνθρωπον· τὸ σχῆμα ἐπαναφορά. Ἀλλ' ἤτω, διδόσθω τοῖς ποιηταῖς γενέσθαι τὴν Δάφνην ἐκ γῆς τε καὶ Λάδωνος· ἡ ἔννοια ἐπιεικείας· ἐν γὰρ τῷ περὶ ἐπιεικείας φησὶν ὁ Ἑρμογένης, „καὶ μὴν καὶ τὸ συγχωρεῖν[5] τῷ ἐχθρῷ τι πλέον ἑκόντα ἐπιεικές." σημειωτέον δὲ, ὅτι αἱ μὲν πρὸ τούτου κατασκευαὶ εἰκόνα[6] ἐνστάσεως ἔσωζον, τὰ δὲ μετὰ τοῦτο ἀντιπαραστάσεως ἔχουσι λόγον. ἀλλ' ἐπειδὴ τῆς ἀντιπαραστάσεως εἴδη δύο, ἥ τε συνδρομὴ καὶ ἡ συγχώρησις, ὧν ἡ μὲν συνδρομὴ τοῖς τοῦ ἐχθροῦ λόγοις μετὰ ἀληθείας τίθεται, καὶ συντίθεται μήτ' ἀληθῆ λέγειν αὐτὸν, ὥσπερ ὁ Δημοσθένης,[7] „κακοδαιμονοῦσι Βυζάντιοι," καὶ ἡ συνδρομή· „καὶ σφόδρα γε, ἀλλ' ὅμως δεῖ αὐτοὺς σῶς εἶναι·" ἡ δὲ συγχώρησις μετὰ τὴν ἀνασκευὴν τῶν ἀντιδίκου λόγων ὥσπερ ἐκ περιουσίας τινὸς ἐπάγεται. τὸ νῦν δὲ ἡ ἀντιπαράστασις οὐ κατὰ συνδρομὴν ἀλλὰ κατὰ συγχώρησίν ἐστι, μετὰ τὴν ἀνατροπὴν τοῦ μέρους τοῦ διηγήματος ἐπὶ τὴν δευτέραν τοῦ σοφιστοῦ ἐρχομένου, καὶ ὥσπερ χαριζομένου τὰ προειρημένα τοῖς ποιηταῖς. ὅρα δὲ ὅπως καὶ αὐτὸς τοῦτο ἐνέφηνε, φημὶ δὴ τὴν συγχώρησιν ἐν τῷ εἰπεῖν, „ἀλλ' ἤτω, συγκεχωρείσθω τοῖς ποιηταῖς γενέσθαι τὴν Δάφνην ἐκ γῆς τε καὶ Λάδωνος· κἂν γὰρ συγχωρήσῃ τὴν γένεσιν, ἡ τροφὴ προῆλθεν ἀδύνατος." Ποῦ γὰρ ἡ παῖς εἶχε τὴν δίαιταν; Νὴ Δία παρὰ τῷ φύσαντι. μέθοδος γοργότητος· ἔστι δὲ τὸ καλούμενον σχῆμα διλήμματον. ἧς τὸ κάλλος ἀντὶ τοῦ οὐκ ἂν ταύτης τις ἐπόθησεν, οὐδὲ ἂν ἐγενήθη ἔν τινι πόθος τῆς κόρης ἐκείνης, ἧς τὸ κάλλος οὐχ ἑωρᾶτο. Βούλει καὶ

5 Herm. p. 329. 15. ἐπεὶ καὶ τὸ διδόναι τι πλέον τῷ ἐχθρῷ ἑ. ἑ. 6 Vind. εἰκόνες. 7 de Chers. p. 93.

τοῦτο συγχωρῶμεν τοῖς ποιηταῖς· ἡ ἔννοια ἐπιεικὴς καὶ ἔστιν ὁμοία τῇ ὄπισθεν. Πῶς ἥρα θεὸς, καὶ πόθῳ τὴν φύσιν ἐψεύδετο; Ἐνταῦθα ἄρχεται ἀνασκευάζειν ἐκεῖνο τὸ μέρος τοῦ διηγήματος, τὸ λέγον, ὅτι ἐραστὴν ἑαυτῆς ἡ Δάφνη ἐποιεῖτο τὸν Πύθιον, καίτοι ἔδει πρότερον τὸ καὶ τὴν ὄψιν τῶν πολλῶν διαφέρουσαν ἀνασκευάσαι, ἀλλ' ἐπειδὴ οὐκ ἐδίδου αὐτῷ ἡ τοῦ πράγματος φύσις εὐπορίαν ἀνασκευῆς, ἐταμιεύσατο αὐτὸ ἐν τῇ κατασκευῇ ὡς χρησιμώτατον αὐτῷ ἐκεῖσε γενησόμενον. ἀνασκευάζει τοίνυν, τὸ ὅτι ἡ Δάφνη ἐραστὴν ἑαυτῆς ἐποιεῖτο τὸν Πύθιον, ἐκ τοῦ ἀπρεποῦς, καὶ πόθῳ τὴν φύσιν ἐψεύδετο; φύσιν δὲ τῆς θεότητος λέγει.

Πῶς ἥρα θεὸς καὶ πόθῳ τὴν φύσιν ἐψεύδετο; τοῦτο ἡ τοῦ κεφαλαίου τοῦ ἀπρεποῦς πρότασις· τὸ δὲ ἑξῆς ἐπιχείρημα κοινὸν δύο γενέσεων, προσώπου φημὶ καὶ πράγματος. Ἔρως τῶν ὄντων τὸ χαλεπώτατον. ποιότης πράγματος· καὶ θεοῖς ἐπιμαρτυρεῖν ἀσεβὲς τὰ δεινότατα. Ἐπίκρισις τὸ σχῆμα. Εἰ μὲν γὰρ πάντα νοσοῦσιν οἱ θεοὶ, τί θνητῶν ἔτι διοίσουσιν; εἰ δὲ τὸ χαλεπώτατον ἔρωτα φέρουσι, καὶ τὰ ἑξῆς· τὸ σχῆμα τὸ καλούμενον καθ' ὑπόθεσιν μετὰ μερισμοῦ ἐξενεχθὲν, ἔστι δὲ ἴδιον τῆς περιβολῆς. ἔστι δὲ ἐν αὐτῷ καὶ τὸ διλήμματον. Ἀλλ' οὔτε τὸ πάθος οἶδεν ἡ φύσις· τὸ κατὰ ἄρσιν χωρὶς θέσεως, ἔστι δὲ ἐπισφράγισμα τοῦτο τῶν διὰ τοῦ ἀπρεποῦς ἀποδείξεων ἐνστατικῶς, κατὰ ἀπόφασιν εἰρημένον. Εἰ μὲν γὰρ πάντα νοσοῦσιν οἱ θεοὶ, τί θνητῶν, καὶ τὰ ἑξῆς. Ὁ νοῦς τοιοῦτος. εἰ πάντα τὰ πάθη ὑπομένει ἡ θεία φύσις, τί λοιπὸν τῶν ἁπλῶς διαφέρει ἀνθρώπων ἡ θεία φύσις; εἰ δὲ μόνον τὸ χαλεπώτατον τῶν παθῶν τὸν ἔρωτα, ἠλλοτρίωνται, τουτέστι, κατὰ τί ἀπεοίκασι τῶν πολλῶν ἦγουν τῶν ἀθλίων ἀνθρώπων, ὡς τῶν τοιούτων δεδουλευμένων ἑξαι-

ρέτως τῷ πάθει τοῦ ἔρωτος. τινὲς δὲ τὸ ἠλλοτρίωνται τὸ ἐστέρηνται, φασὶ, σημαίνει, ἵν' ᾖ ὅτι εἰ τὸ χαλεπώτατον τῶν παθῶν τὸν ἔρωτα ὑπομένουσι, διὰ τί τῶν ἄλλων παθῶν ἐστέρηνται καὶ οὐχ' ὑπομένουσι κἀκεῖνα. Πῶς δὲ διώκων τὴν κόρην ὁ Πύθιος θνητῆς ἐγένετο δεύτερος; Ἐντεῦθεν πάλιν ἀνασκευάζει τὸ μέρος τῆς ἐκθέσεως τὸ λέγον, ὅτι ὁ δὲ ἐρῶν μὲν ἐδίωκε, διώκων δὲ οὐχ ἥρει· καί τινες μὲν ἐκ τοῦ ἀνακολούθου ἐπέγραψαν τὴν τούτου ἀνασκευὴν, ἀλλ' ἔστι ψευδεπίγραφος αὕτη ἡ ἐπιγραφή· δεῖ οὖν αὐτὸ μᾶλλον ἐπιγράφειν, ὡς καὶ τῷ Γεωμέτρῃ δοκεῖ, ἢ ἐκ τοῦ ἀπιθάνου (ἀπίθανον γὰρ τὸ διώκουσαν ἀσώματον φύσιν μὴ καταλλαγεῖσαν τὴν εὐσώματον), ἢ καὶ ἐκ τοῦ ἀδυνάτου· παρατηρητέον γὰρ, ὡς ἐπὶ τῆς θείας φύσεως οὐκ ἔχει χώραν τὸ πιθανὸν ἢ ἀπίθανον, ἀλλὰ τὸ δυνατὸν ὡς τὰ πολλὰ καὶ ἀδύνατον. ἐπεὶ γὰρ μὴ κατὰ προαίρεσιν ἀλλὰ κατὰ φύσιν τὰ θεῖα πλεονεκτήματα, διὰ τοῦτο πάντα τὰ παρὰ τὴν φύσιν αὐτοῦ λεγόμενα ταῖς ἐκ τοῦ ἀδυνάτου ἢ δυνατοῦ κατασκευαῖς ὑποπίπτουσιν. ἐφ' ἡμῶν γὰρ μάχεται πολλάκις τοῖς τῆς φύσεως τὰ τῆς προαιρέσεως, τὸ πιθανὸν ἢ ἀπίθανον, ὡς ἄλλα μὲν τὰ τῆς δυνάμεως ἡμῶν ἐχούσης, ἄλλα δὲ τῆς ψυχικῆς διαθέσεως ὑποβαλλομένης· ἐπὶ δὲ τῶν θείων, ἐπεὶ σύνδρομος τῇ φύσει ἡ προαίρεσις, ταὐτὸν κατὰ φύσιν τε εἰπεῖν καὶ κατὰ προαίρεσιν, καὶ ὅσα μὲν κατ' αὐτὴν τοῦ δυνατοῦ λέξομεν, ὅσα δὲ παρὰ ταύτην τοῦ ἀδυνάτου. ὅρα δὲ πῶς οὐ φυλάττει τὴν τάξιν τῶν κεφαλαίων, ἣν ἐν τῇ μεθόδῳ ἐφαίνετο παραδιδούς. ἐκεῖ γὰρ πρῶτον τάξας τὸ ἀσαφὲς καὶ δεύτερον τὸ ἀπίθανον, καὶ τρίτον τὸ ἀπρεπὲς, καὶ πάλιν τὸ ἀδύνατον μετὰ τὸ ἀπρεπὲς, ἐνταῦθα τὴν τάξιν ἐνήλαξεν. Ἄνδρες γυναικῶν ὑπερέχουσι,[9] καὶ γυ-

9 Vind. ὑπάρχουσι.

ναῖκες θεῶν μεῖζον εἰλήφασι· τοῦτο ἐργασία ἐστὶν ἀπὸ τοῦ μικροτέρου· ἐλάττων γὰρ ἄνθρωπος τοῦ θεοῦ. εἰ δέ τις ἐρεῖ, καὶ πῶς ἐπιχειρήματος μὴ τεθέντος ἐργασία ἐτέθη, (αἱ γὰρ ἐργασίαι τῶν ἐπιχειρημάτων εἰσὶ κατασκευαστικαὶ,) ἐροῦμεν, ὅτι τὸ „πῶς δὲ διώκων τὴν κόρην ὁ Πύθιος θνητῆς ἐγένετο δεύτερος," ἐπιχειρήματι ἀπὸ τοῦ προσώπου ἀναλογεῖ. εἰ δὲ πάλιν ζητήσει, ὅτι τοῦτό ἐστιν ἐπιχείρημα, ποία λοιπὸν ἡ τοῦ κεφαλαίου πρότασις, ἐροῦμεν, ὅτι, ὅτε μὴ κεῖται πρότασις ἐν τῷ κεφαλαίῳ, εἶθ' οὕτως ἐπιχείρημα, ἀλλ' ἐπιχείρημα ἐξ ἀρχῆς, τότε ἐπιχείρημα καὶ τὸν τῆς προτάσεως καὶ τὸν τοῦ ἐπιχειρήματος ἀναπληροῖ λόγον. ἦν δὲ ἂν πλῆρες τὸ κεφάλαιον, εἰ [10] οὕτως εἶπεν· οὐκ εἰκὸς δὲ ἦν οὐδὲ τὴν κόρην διωκομένην ὑπὸ τοῦ Ἀπόλλωνος ἐκφυγεῖν· τοῦτο ἡ πρότασις· εἶτα ἐπιχείρημα ἀπὸ τοῦ προσώπου· ὁ μὲν γὰρ θεὸς ὁ Ἀπόλλων, ἡ δὲ θνητὴ ἡ Δάφνη· θεὸς δὲ θνητῆς γυναικὸς οὐκ ἄν ποτε γίνοιτο δεύτερος· εἶτα ἡ ἐργασία, ἐπεὶ καὶ οἱ ἄνδρες τῶν γυναικῶν ὑπερέχουσιν· εἰ [11] δὲ ἐβούλετο ἐπιθεῖναι καὶ ἐνθύμημα, εἶπεν ἂν οὕτως· εἰ δὲ οἱ ἄνδρες τῶν θνητῶν γυναικῶν ὑπερτρέχουσι, πολλῷ μᾶλλον οἱ θεοὶ αὐτῶν τούτων ὑπερτρέχοιεν ἄν. Τί δὲ ἡ μήτηρ τὴν κόρην ἐδέχετο φεύγουσαν. ἐντεῦθεν λύει τὸ „ἀλλ' ἡ γῆ τὴν παῖδα δεξαμένη·" ἡ δὲ λύσις διὰ τοῦ διλημμάτου αὐτοῦ προβέβηκε σχήματος, καὶ σκόπησον ὅτι τὸ μὲν ἓν μέρος τοῦ διλημμάτου τὸ „τῶν φαύλων ὁ γάμος" καὶ τὸ „πῶς αὐτὴ μήτηρ ἐγένετο," ἐκ τοῦ μαχομένου ἐστίν· τὸ δὲ ἕτερον „ἀλλὰ τῶν ἀγαθῶν; καὶ τί τὴν παῖδα τῶν καλῶν ἀπεστέρησεν" ἐκ τοῦ ἀπιθάνου, τοῦτο γὰρ οὐχ οἷς ἐποίησεν ἡ μήτηρ μάχεται, ἀλλ' οἷς οὐκ ἐνδέχεται μητέρα φθονεῖν τῶν ἀγαθῶν τῇ παιδί, τὸ δὲ παρὰ διάθεσιν ἀπίθανον.

10 εἰ abest a Vind. 11 Vind. τί.

Εἰς τὸ αὐτό. Τί δὲ ἡ μήτηρ τὴν κόρην ἐδέχετο φεύγουσαν· ἐν τούτῳ ἀποδείκνυσιν ἐναντίον τὸ „ἀλλ' ἡ γῆ τὴν παῖδα δεξαμένη," τῷ „Λάφνη Λάδωνος προῆλθε καὶ γῆς·" ἐν μὲν γὰρ ἐκείνῳ λέγεται ἡ γῆ μήτηρ τῆς Λάφνης γενέσθαι, ἐν δὲ τούτῳ φαίνεται κωλύουσα τὴν θυγατέρα γενέσθαι μητέρα· ἐναντίον δὲ τὸ φιλεῖν τὸν γάμον τῷ μισεῖν αὐτόν. Τί δὲ τοῖς οἰκείοις ἔργοις ἡ γῆ διεμάχετο· ἐντεῦθεν λύει τὸ ὅτι ἄνθος ὁμώνυμον τῇ κόρῃ ἡ γῆ ἀνέδωκεν. ἔστι δὲ καὶ αὕτη ἡ λύσις ἐκ τοῦ μαχομένου· δείκνυσι γὰρ δι' αὐτῆς ἐναντίον τὸ „ὅτι ἄνθος ὁμώνυμον τῆς κόρης ἀνέδωκε" τῷ „ἀλλ' ἡ γῆ τὴν παῖδα δεξαμένη". Ἐλύπει τὸν Πύθιον σώζουσα, δεχομένη τὴν κόρην διωκομένην ὑπὸ τοῦ Ἀπόλλωνος, καὶ τὸν αὐτὸν πάλιν ἐψυχαγώγει παράγουσα, τὸ φυτὸν τὴν δάφνην ἀναδιδοῦσα· τὸ δὲ ψυχαγωγεῖν σημαίνει καὶ τὸ ἀνδραποδίζειν [12] καὶ τὸ ἥδειν καὶ τέρπειν καὶ τὸ ἀπαντᾷν καὶ τὸ διαπορθμεύειν τὰς ψυχὰς καθ' ὃ σημαινόμενον ψυχαγωγεῖν ὁ Χάρων λέγεται. Τὸ δὲ „ἐψυχαγώγει" ἐνταῦθα κατὰ τὸ δεύτερον σημαινόμενον εἴληπται. τὸ γὰρ ἦδε καὶ ἔτερπε ἐνταῦθα σημαίνει. Τῶν φαύλων ὁ γάμος; καὶ πῶς αὐτὴ μήτηρ ἐγένετο. ἀλλὰ τῶν ἀγαθῶν; καὶ τί τὴν παῖδα τῶν καλῶν ἀπεστέρησεν; Μέθοδος γοργότητος· ἐξενήνεκται διὰ τοῦ διλημμάτου καὶ τοῦτο σχήματος. Τί δὲ ὁ θεὸς ἐστεφανοῦτο τὸ δένδρον παρὰ τοὺς τρίποδας· ἐντεῦθεν λύει καὶ τὸ „καὶ τὸ φυτὸν στέφανον εἰς Πύθιον τὸν τρίποδα·" λύεται δὲ τοῦτο, ὡς μέν τινες ψευδῶς ἐπέγραψαν, διὰ τοῦ ἀσυμφόρου, ὡς δὲ ἡ ἀλήθεια ἔχει, διὰ τοῦ μαχομένου· μάχεται γάρ, φησὶν, ὁ Πύθιος ἑαυτῷ ἢ καὶ πάντες οἱ στεφανοῦντες τῇ Λάφνῃ τὸν τρίποδα, πῇ μὲν τοῦ κατὰ τὴν Λάφνην ἔρωτος τοὺς ἀνθρώπους ὑπομιμνήσκοντες,

12 Vind. ἀνδροπίζειν.

καὶ ὡς ἡδονῆς τοῦτο προφέροντες σύμβολον, πῇ δὲ τοὺς αὐτοὺς ἐπὶ ἀγνείαν καὶ ἀρετὴν προτρέποντες, δι' ὧν ἡ μαντεία θηράσιμος γίνεται. Ἡδονῆς τὸ βλάστημα γέγονε σύμβολον, ἀρετῆς δὲ μαντεία τεκμήριον γίνεται. Πέντε τινὰ παράκεινται ἀλλήλοις, σύμβολον, σημεῖον, εἰκὼν καὶ ὁμοίωμα καὶ τεκμήριον· διαφέρουσι δὲ ἀλλήλων, καθὸ τὰ μὲν δύο τὰ πρῶτα τό τε σύμβολον καὶ τὸ σημεῖον ἐπὶ τῶν θέσει λέγεται, καὶ ἐκ τῆς ἡμετέρας ἐστὶ διανοίας, οἷον σύμβολα καὶ σημεῖα τοῦ πολέμου, σάλπιγγος ἦχος ἢ πυρὸς αὐγὴ καὶ ἐπὶ τοῖς δόρασι σημαῖαι· τὰ δὲ τελευταῖα τρία, ἥ τε εἰκὼν καὶ τὸ ὁμοίωμα καὶ τὸ τεκμήριον ἐπὶ τῶν φύσει. διαφέρει δὲ πάλιν ἥ τε εἰκὼν καὶ τὸ ὁμοίωμα τοῦ τεκμηρίου, κοινωνοῦντα κατὰ τὸ φύσει, ὅτι τὰ μὲν τὴν φύσιν τοῦ πράγματος ἐξεικονίζουσιν, οὐ μέντοι ἀπαράλλακτον,[13] ὥσπερ εἰκὼν τοῦ Σωκράτους οὐκ εἰκονίζει κυρίως καὶ φίσει τὸν Σωκράτην, εἰ μὴ ἀπαραλλάκτως σώζει πάντα τὰ αὐτῷ συμβεβηκότα, τὸ δὲ τεκμήριον ἀναγκαίως μόνον τοῖς πράγμασιν ἕπεται, μηδὲν τῶν αὐτοῖς συμβεβηκότων φέρον ἐν ἑαυτῷ, οἷον τεκμήριον μὲν τοῦ τετοκέναι τὴν γυναῖκα τὸ γάλα καὶ τοῦ πυρὸς ὁ καπνός, καὶ ἡ σκιὰ σώματος ἐν φωτὶ ὄντος· ἡ τοίνυν μαντεία οὐ τεκμήριόν ἐστιν ἀρετῆς· οὐ γὰρ ἐξ ἀνάγκης αὐτῇ παρέπεται, ὥσπερ τῷ τετοκέναι τὸ γάλα, καὶ τῷ πυρὶ ὁ καπνός, ἀλλὰ σύμβολον ἢ σημεῖον. ὁ γοῦν Ἀφθόνιος ἀφειδέστερον καὶ τολμηρότερον ἐνταῦθα τῇ λέξει κατὰ τὴν ῥητορικὴν μεγαλοφωνίαν κατεχρήσατο.

Τί δὲ θνητοῦ μὲν ἡ πρόφασις, τὸ δὲ πάθος ἀθάνατον· οἱ τῶν θνητῶν σωμάτων ἐρῶντες θνητοί εἰσι καὶ αὐτοὶ ὡς ἐπὶ τὸ πλεῖστον, μαραινομένων τῶν ποθουμένων σωμάτων, ὡς καὶ ἡ θεολόγος λέγει φωνή·

13 Vind. ἀπαράλλακτος. Ad rem cf. Tzetz. Chil. 7, 152.

οἱ γὰρ τῶν σωμάτων ἔρωτες ἐπειδὴ ῥεόντων εἰσὶ καὶ ῥέουσιν ἴσα καὶ ὁμοίοις ἄνθεσιν· οὔτε γὰρ φλὸξ μένει[14] τῆς ὕλης δαπανηθείσης, ἀλλὰ τῷ ἀνάπτοντι συναπέρχεται, οὔτε πόθος ὑφίσταται μαραινομένου τοῦ ὑπεκκαύματος. ὁ τοίνυν Ἀφθόνιός φησιν, ὅτι εἰ τοῦτο ὡμολόγηται τὸ τοὺς τῶν θνητῶν σωμάτων ἔρωτας θνητοὺς εἶναι, πῶς ὁ ἔρως, ὃν ἔσχεν ἐπὶ τῇ Δάφνῃ ὁ Ἀπόλλων θνητῇ οὔσῃ, ἀθάνατος μένει διὰ τῆς τοῦ φυτοῦ ἀναδόσεως. Τί δὲ θνητὴ μὲν ἡ πρόφασις· ἡ ἀφορμή, τουτέστιν ἡ Δάφνη. τὸ δὲ πάθος ἀθάνατον· πάθος τὸν ἔρωτα λέγει, ὅστις ἀθάνατος γέγονε τῇ μνήμῃ διὰ τῆς τοῦ φυτοῦ ἀναδόσεως. Ἔτι. Τί δὲ θνητὴ μὲν ἡ πρόφασις, τὸ δὲ πάθος ἀθάνατον· διὰ τοῦ ἀπιθάνου καὶ τοῦτο ἀνασκευάζει· τὸ γὰρ θνητὴν μὲν εἶναι τὴν ἀφορμὴν καὶ τὴν πρόφασιν τοῦ ἔρωτος, αὐτὸν δὲ τὸν ἔρωτα ἀθάνατον, τοῦ ἀπιθάνου. Πέρας ἔστω τῶν ποιητῶν, μὴ κατὰ ποιητὰς δόξω φθεγγόμενος· οὐ συμφέρον φησὶν ἀντιλέγειν τοῖς ποιηταῖς, ἵνα μὴ κἀγὼ εἰς τὴν ὁμοίαν αὐτοῖς ἀσέβειαν ἐκκυλισθῶ. τινὲς εὐκτικῶς ἀνέγνων τὸ δόξω ἀντὶ τοῦ δόξαιμι.

ΑΝΑΣΚΕΥΗ ΤΟΥ ΚΑΤΑ ΤΟΝ ΓΑΝΥΜΗΔΗΝ ΔΙΗΓΗΜΑΤΟΣ.

Τοῖς μυθολογεῖν κατὰ κρειττόνων τολμῶσι τὰ χείριστα ἀντιλέγειν ἅπαντας δίκαιον, εἴπερ μὴ μέλλοιμεν παραπλησίως αὐτοῖς ἀσεβεῖν, μηδὲ κοινωνοὶ τῆς ἐκείνων καθεστάμεθα ἀνοσιότητος·[15] καὶ πάντας μὲν τοὺς τὰ ψευδῆ κατὰ θεῶν τολμῶντας μυθολογεῖν ἐξελέγχεσθαι δίκαιον, μάλιστα δὲ τὸν κατὰ τοῦ Διὸς βλασφημήσαντα. ὕσῳ γὰρ τῶν λοιπῶν θεῶν ὁ Ζεὺς ὑπῆρξεν ἀνώτερος,

14 Vind. μένει εἰ. 15 Vind. ἀνωσιότητα. Vitium ortum, ut saepe, ex more Cod. Laur., terminationes has non plenas scribendi.

τοσούτῳ καὶ τοὺς κατ᾽ αὐτοῦ βλασφημοῦντας τῶν ἄλλων μᾶλλον προσῆκον ἐλέγχεσθαι. καὶ ἄλλοι μὲν ἄλλα κατ᾽ αὐτοῦ λέγειν ἐτόλμησαν, ὁ δέ γε τὸν τοῦ Γανυμήδους[16] ἔρωτα τούτου καταψευσάμενος πάντων τὰ χαλεπώτερα. οἷα γὰρ περὶ τούτου τετόλμηκεν. Ἔκθεσις. Γανυμήδης, φησὶ, Τρωϊκὸν ἦν μειράκιον ὡραιότατον· τούτου ἤρα ὁ Ζεὺς, καὶ συνδιάγειν τῷ ἐρωμένῳ βουλόμενος καὶ τῶν[17] ἐπὶ γῆς διατριβῶν ὑπολαμβάνων[18] ἀνάξιον, τοιοῦτόν τι μηχανᾶται, ὡς ἂν ἐν οὐρανῷ διατρίβῃ αὐτῷ ὁ ἐρώμενος. ἀετοῦ γὰρ σχῆμα λαβὼν καὶ ἐπὶ τῶν ὀρέων γινόμενος, ἐφ᾽ ὧν ἐποίμανε τὸ μειράκιον, τοῖς οἰκείοις αὐτὸ ἥρπασεν ὄνυξι, καὶ πρὸς τὸ μετεωρότερον ἔφερε, καὶ φόβου πλησθὲν τὸ μειράκιον ἱδρῶτά τινα κατὰ γῆς ἀφίησιν ἄνωθεν, ὃν ἡ γῆ δεξαμένη ἄνθος ἀνέδωκεν ἴον καλούμενον. καὶ ταῦτα μὲν, ἅπερ οὗτος τοῦ μεγίστου τῶν θεῶν κατεψεύσατο, ἡμεῖς δὲ, ὡς οὐκ ἀληθῶς ἔχει τὰ εἰρημένα, ἐν τοῖς ἑξῆς ἀποδειξομεν. Γανυμήδης, φησὶ, Τρωϊκὸν ἦν μειράκιον ὡραιότατον· καὶ πῶς ὁ Γανυμήδης Τρωϊκὸς ἐγεγένητο; ὁ μὲν γὰρ ἀπὸ τοῦ τοῖς βουλεύμασι χαίρειν οὑτωσὶ παρωνόμασται, τὸ δὲ βουλευτικοῖς εἶναι οὐ τοῖς βαρβάροις ἀλλὰ τοῖς Ἕλλησι μᾶλλον ἀπονενέμηται· οὗτοι γὰρ καὶ φρονήσεως καὶ τῆς ἄλλης παιδεύσεως τῶν ἄλλων μᾶλλον μετέχειν πιστεύονται. ἄλλως τε δὲ τῶν ὡραίων οὐ τὸ βουλευτικὸν ἀλλὰ τὸ περὶ ἔρωτας ἐπτοῆσθαί ἐστιν οἰκειότατον· πῶς οὖν ὁ Γανυμήδης ὡραῖός τε ἦν ὁμοῦ καὶ τοῖς βουλεύμασιν ἔχαιρεν; ἀλλὰ δεδόσθω τὸν Γανυμήδην καὶ βουλευτικὸν ἐν ταὐτῷ γενέσθαι καὶ συνετὸν καὶ τῶν βαρβάρων ἕνα καὶ ὡραιότατον, πῶς οὖν ὁ Ζεὺς ἤρα τοῦ μειρακίου καὶ τοῦ ἐκείνου πόθῳ κατείληπτο; ὁ μὲν γὰρ σαρκικόν ἐστι πά-

16 Laur. et Vind. constanter *Γαννυμήδης*. 17 Vind. τῷ.
18 Vind. ὑπολαμβάνειν.

θος, τὸ δὲ θεῖον ἀσώματον εἶναι πιστεύεται· εἰ μὲν οὖν ἐνσώματός ἐστιν ὁ Ζεύς, πῶς θεὸς εἶναι πιστεύεται; εἰ δὲ ἀσώματος, πῶς τοῖς τῶν σωμάτων ὑπόκειται πάθεσιν; ἢ τοίνυν θεὸς οὐκ ἔστιν ὁ Ζεύς, ἢ θεὸς ὢν ἔρωτος οὐδέποτε πεῖραν ὑπέμεινεν. Ἀλλ' ἔστω καὶ ἀσώματον εἶναι τὸν Δία καὶ τοῖς σωματικοῖς ὑποπίπτοντα πάθεσι, πῶς θεὸς ὢν οὐκ ἦρα θεοῦ, ἀλλ' ἀνθρωπίνης συνουσίας κατείληπτο ἔρωτι; ἢ πῶς οὐκ αὐτοῦ μᾶλλον ἐρῶν ἦν το μειράκιον; οὐ γὰρ τὰ κρείττονα τῶν χειρόνων, ἀλλὰ τῶν κρειττόνων μᾶλλον ἐρῶσι τὰ χείριστα· εἰ δὲ καὶ θεὸς ὢν ἀνθρωπίνης συνουσίας ἐδεδούλωτο[19] ἔρωτι, οὐκ ἄρρενος ἦν αὐτὸν εἰκὸς ἐρᾶν, ἀλλὰ θήλεος, εἴπερ μὴ μόνον ἐρωτικὸν οἱ ταῦτα ληροῦντες, ἀλλὰ καὶ παιδοφθόρον τὸ θεῖον νομίζουσι, καὶ παρὰ τοῦτο καὶ τῶν ἀθλίων ἀνδρῶν ἀθλιώτερον. τίς οὖν τοιαῦτα πλημμελοῦντα τῶν θεῶν ἀκούων τὸν μέγιστον, οὐκ ἂν πρὸς τὴν κακίαν παρασυρῇ καὶ πρὸς τὴν ἐσχάτην ἀτοπίαν ἐκκυλισθήσεται; ἀλλ' ἤτω καὶ ἐρωτικὸν εἶναι τὸν Δία, καὶ ἀνθρωπίνης θεὸν ὄντα συνουσίας ἐρᾶν, καὶ τῷ ἀρρενοφθόρων ἐνέχεσθαι ἀτοπήματι, πῶς οὖν οὐκ ᾐδεῖτο θεὸς ὢν θνητοῦ μειρακίου ἐρῶν, οὐδὲ συγκαλύπτειν τὸ πάθος ἐπείγετο, ἀλλὰ φανερῶς συνεῖναι καὶ συνδιάγειν τῷ ἐρωμένῳ ἐβούλετο; ἄνδρες γυναικῶν ἐρῶντες αἰδοῦνται καὶ λανθάνειν ἐφ' οἷς ποιοῦσιν ἐπείγονται, καὶ θεὸς θνητοῦ μειρακίου ἐρῶν οὐκ ᾐδεῖτο, ἀλλ' οἰονεὶ μέγα ἐπὶ τῷ πάθει ἐφρόνει καὶ ἐσεμνύνετο. ἀλλ' οὔτε Ζεὺς θεὸς ὢν μειρακίου ἦρα θνητοῦ, οὔτε ἐρῶν κατάδηλον ἑαυτὸν ἐπὶ τῷ πάθει ποιεῖν ἐβούλετο· εἰ δὲ καὶ ἦρα τοῦ μειρακίου καὶ τῷ ποθουμένῳ συνεῖναι ἐβούλετο, ἀλλ' οὐκ εἰς οὐρανὸν τοῦτο εἰκὸς βουληθῆναι ἀγαγεῖν, ἀλλ' ἐν τῇ γῇ μένειν ἐᾷν. Πρῶτον μὲν γὰρ καὶ θεοῖς καὶ βροτοῖς οὗ-

19 Vind. ἐδεδούλετο.

τως ἔμελλεν εἶναι κατάδηλος· εἰ μὲν γὰρ ἐκποδὼν τοῖς ἀνθρώποις γενέσθαι ἤμελλε τὸ μειράκιον, τοὺς ἐν τῇ γῇ πρὸς αἴσθησιν ἦγε τοῦ πράγματος· εἰ δὲ πάλιν ἐν οὐρανῷ συνδιάγειν τῷ ἐραστῇ, τοῖς θεοῖς κατεμήνιε τὸ ἀτόπημα. ἔπειτα δὲ καὶ ἐν σώματι ὄντα τὸν οὐρανὸν οἰκεῖν ἀδύνατον· ὥσπερ γὰρ τοῖς ἀσωμάτοις θεοῖς ἡ ἐπὶ γῆς διατριβὴ ἀπρεπὴς, καὶ ἄλλως οὐχ ἁρμόδιος, οὕτω καὶ τοῖς ἐν σώματι οὖσι βροτοῖς ἡ ἐν οὐρανῷ διαγωγὴ τῶν ἀδυνάτων πάντη καθέστηκε. Πῶς δὲ θεὸς ὢν εἰς ἀετὸν μετεσχηματίζετο; εἰ μὲν γὰρ ὡς πάντα δυνάμενος, τί μὴ μᾶλλον ἑαυτοῦ ἀπεσόβει τὸν ἔρωτα, ἀλλ' εἰς τὴν ἄλογον φύσιν μετέπιπτεν. εἰ δὲ καὶ τοσοῦτον τῷ ἔρωτι ἐδεδούλωτο, ὥστε καὶ εἰς ἀλόγους φύσεις δι' αὐτὸν μετασχηματίζεσθαι καὶ πτηνὸν εἶναι δοκεῖν διὰ πόθον ἐρωτικὸν, τί μὴ μᾶλλον τὸν ἔρωτα πατέρα πάντων τῶν θεῶν καὶ βασιλέα καὶ ὕπατον εἶναι νομίζομεν; εἰ γὰρ μείζων ὁ Ζεὺς τῶν ἄλλων τυγχάνει θεῶν, οὐκ ἄν ποτε τῷ αἰσχίστῳ πάντων καθειστήκοι πειθήνιος, ἢ τῶν λοιπῶν ἐλάττων ὑπάρχων μάτην ὑπερέχων ἁπάντων νομίζεται· τί δὲ καὶ μὴ εἰς ἄνθρωπον μᾶλλον ἀλλ' εἰς ἀετὸν μετεβάλλετο; ἐκδειματῶσαι γὰρ οὕτω καὶ ἐκφοβῆσαι τὸ μειράκιον ἔμελλεν· θεραπεύειν δὲ μᾶλλον ἔδει, οὐκ ἐκφοβεῖν τὸν ἐρώμενον. πῶς δὲ καὶ ἀετὸς ὢν ἠδυνήθη ἁρπάσαι τὸν παῖδα τοῖς ὄνυξι καὶ τῆς γῆς ἀποσπᾶσαι, καὶ ἀγαγεῖν πρὸς τὸ μετεωρότερον· πτῶμα μὲν γὰρ ἴσως ἢ ἄλλο τι τῶν ἀσθενεστάτων καὶ κουφοτάτων ζώων δύναιτ' ἂν ἀετὸς ἐξαρπάσαι τῆς γῆς, ἄνθρωπον δὲ οὐδέποτε ὑπ' αὐτοῦ πρὸς τὸ ἄνω φερόμενόν τις τεθέαται. πῶς δὲ καὶ τὸν τοῦ παιδὸς ἱδρῶτα ἡ γῆ δεξαμένη ἄνθος ἀντ' αὐτοῦ ἀναδέδωκε; τί φυτῷ καὶ ἱδρῶτι κοινὸν, ἵν' ἐξ ἱδρῶτος ἄνθος ἀναφυῇ; εἰ δ' οὐδέν ἐστι τούτοις κοινὸν,

20 Vind. ἤ.

νὸν, πῶς ἐξ ἱδρῶτος ἄνθος ἀναφυὲν [20] ἡ γῆ ἀναδέδωκε; τὰ γὰρ φυτὰ ἐκ τῶν ὁμοίων σπερμάτων φυόμενα ἔγνωμεν. μηδεὶς τοιγαροῦν τοῖς τοιούτοις πιστευέτω ψευδολογήμασιν, ἵνα μὴ τῷ πιστεύειν πρὸς τὴν ὁμοίαν τοῖς εἰρηκόσιν ἐκκυλισθείη ἀσέβειαν.

Cap. VI.

ΠΕΡΙ ΚΑΤΑΣΚΕΥΗΣ.

Ὁ μὲν Ἀφθόνιος ἰδίᾳ περὶ ἀνασκευῆς καὶ περὶ κατασκευῆς ἰδίᾳ πάλιν διδάσκει. ὁ μέντοι Ἑρμογένης μίαν διδασκαλίαν ἀμφοτέραις ἀπονέμει ταῖς γυμνασίαις· φησὶ γὰρ οὕτως· ἀνασκευή ἐστιν ἀνατροπὴ τοῦ προκειμένου πράγματος, κατασκευὴ δὲ τοὐναντίον βεβαίωσις· τὰ δὲ πάνυ ψευδῆ οὔτε ἀνασκευαστέον οὔτε κατασκευαστέον, ὥσπερ τοὺς μύθους, ἀλλὰ δεῖ δήπου τὰς ἀνασκευὰς τῶν ἐφ' ἑκάτερα τὴν ἐπιχείρησιν δεχομένων ποιεῖσθαι· ἀνασκευάσεις δὲ ἐκ τοῦ ἀσαφοῦς, ἐκ τοῦ ἀδυνάτου, ἐκ τοῦ ἀνακολούθου τοῦ καὶ ἐναντίου λεγομένου, ἐκ τοῦ ἀπρεποῦς· ἐκ τοῦ ἀσυμφόρου· κατασκευάσεις δὲ ἐκ τῶν ἐναντίων· τὴν δὲ τάξιν τῆς κατασκευῆς τὴν μὲν πρὸς τὰς ἄλλας γυμνασίας οὐκ ὀφείλομεν ζητῆσαι, τὴν δὲ πρὸς αὐτὴν τὴν ἀνασκευὴν ζητητέον ἡμῖν ἐστι, διατί μετ' αὐτὴν καὶ οὐ πρὸ αὐτῆς τέτακται· ἡ γὰρ πρὸς τὰς ἄλλας γυμνασίας τῆς κατασκευῆς τάξις τότε ἐδείκνυτο, ὅτε καὶ ἡ τῆς ἀνασκευῆς ἐζητεῖτο· συγγενῆ γὰρ ἀλλήλοις τὰ δύο ταῦτα γυμνάσματα. Τινὲς μὲν οὖν τῶν ἐξηγησαμένων τὰ τοῦ Ἀφθονίου φασὶν [1] ἀδιάφορον εἶναι τὴν τάξιν τῶν δύο τούτων προγυμνασμάτων, τῆς ἀνασκευῆς φημι

21 Vind. ἀναφῇ. 1 Vind. φασὶν δέ.

καὶ κατασκευῆς· οὔτε, γάρ, φασὶ, τὴν ἀνασκευὴν πάντως προτάξαντες μετ' αὐτὴν κατασκευάσομεν, οὔτε αὖ τὸ ἐναντίον ὡρισμένως ποιήσομεν, ἀλλ' ἔχομεν ἐπὶ πολλῆς ἀδείας, ὁποτέρᾳ ἂν αὐτῶν ἐθέλομεν, προτέρᾳ χρήσασθαι. Ἕτεροι δὲ πάλιν τὴν κατασκευὴν τῆς ἀνασκευῆς προτάττουσι· πῶς γὰρ οἷόν τέ φασιν προϋπάρχειν τὴν ἀνασκευήν; μήπω γάρ τι μαθόντες περὶ αὐτῆς πῶς ἀνασκευάζειν δυνάμεθα; λέγεται οὖν πρὸς αὐτοὺς, ὅτι ἡ ἀνασκευὴ περὶ ἐγνωσμένα καὶ πρόδηλα πράγματα κατα-
γίνεται, πῶς δὲ δυνατὸν κατασκευάζειν τὰ μὴ ἀνασκευαζόμενα; ταῦτα γὰρ ἀφ' ἑαυτῶν τὴν σύστασιν ἔχουσι καὶ τῆς κατασκευῆς ὡς ἥκιστα χρῄζουσι. κατά τε οὖν ταῦτα δικαίως ἡ ἀνασκευὴ πρὸ τῆς κατασκευῆς φαίνεται τατ-τομένη καὶ κατ' ἐκεῖνο. εἰ γὰρ ὁ ἀνασκευάζων ἀναλογεῖ
τῷ κατηγοροῦντι, ὁ δὲ κατασκευάζων τῷ ἀπολογουμένῳ, πρῶτος δὲ ὁ κατήγορος εἰς τὸ δικαστήριον ἀπαντᾷ τοῦ φεύγοντος, εἰκότως καὶ κατὰ τοῦτο πρῶτον ἀνασκευάσομεν, εἶθ' οὕτως κατασκευάσομεν, ἄλλως τε δὲ ὥσπερ τὰ σαθρὰ τῶν οἰκημάτων καταλύοντες πρῶτον ἐκ καινῆς κα-
τασκευάζομεν, οὕτω καὶ τῶν διηγημάτων τὰ μὴ πάντῃ ἀληθῆ ὡς τὰ ἱστορικὰ, ἀλλὰ ἀμφίδοξα, ὡς ἔχει τὰ δραματικὰ, πρῶτον ἀνασκευάζοντες ἐλέγχομεν, καὶ οὕτω διὰ τῆς κατασκευῆς βέβαια δείκνυμεν· ἢ ἐπειδὴ ἀπὸ τῶν εὐκολωτέρων ἀρχόμενοι πρὸς τὰ δυσκολώτερα καταντῶμεν,
εὐκολώτερον δὲ δήπουθέν ἐστι τὸ ἀνασκευάζειν ἥπερ [2] τὸ κατασκευάζειν τὰ δραματικὰ διηγήματα, εἰκότως τὴν ἀνασκευὴν τῆς κατασκευῆς ὡς εὐκολωτέραν προτάττομεν. ἄλλως τε πρὸ τῆς ἀνασκευῆς εἰ κατασκευάσομεν, τἀναντία δόξομεν ποιεῖν τῷ σκοπῷ, εἴ γε καὶ ἀπὸ ἀναμφιβό-
λου ἀμφίβολον τὸ πρᾶγμα κατασκευάζοντες δείκνυμεν. Δείξομεν γὰρ δι' οὐδὲν ἕτερον τῇ κατασκευῇ ἐπιχειρῆσαι τοῦ πράγματος, ἢ διότι σαθρὸν αὐτὸ καὶ ἀβέβαιον ἐνο-

2 Vind. ὅπερ.

μίζομεν. μετὰ μέντοι τὴν ἀνασκευὴν εἰ κατασκευάσομεν, δόξομεν περὶ τὸ πρᾶγμα βεβαίαν ἔχειν ὑπόληψιν, καὶ μὴ ἄν ποτε αὐτοὶ πρῶτοι πρὸς συνηγορίαν ἐλθεῖν, εἰ μήγε πρὸς ἔλεγχον ἀπηντήκασιν ἕτεροι. ὁ μέντοι Γεωμέτρης οἴεται τὴν διδασκαλίαν τῆς τοῦ διηγήματος κατασκευῆς 2* πρὸ τῆς ἀνασκευῆς τῷ Ἀφθονίῳ τετάχθαι· φησὶ γὰρ οὕτως. ἀκριβεῖ δὲ λόγῳ μᾶλλον λεκτέον, ὡς ἤδη καὶ πρὸ τῆς ἀνασκευῆς τὴν τοῦ διηγήματος κατασκευὴν ἐδίδαξε. τίς δὲ διδασκαλία κατασκευῆς; ἢ δῆλον ἡ πρώτη διδασκαλία τοῦ διηγήματος· ἐκεῖ γὰρ κατασκευάζειν τοῦτο μανθάνομεν, ὅθεν τε συνίσταται τὸ διήγημα καὶ ἐξ ὅσων καὶ ὅπως καὶ πιθανὸν καὶ σύντομον καὶ σαφὲς γίνεται, διδασκόμενοι. ἡ μὲν οὖν πρώτη διδασκαλία τῆς κατασκευῆς ἐκείνη, μετὰ ταύτην δὲ εὐλόγως ἡ ἀνασκευὴ μεσολαβησάντων ἑτέρων τινῶν διὰ τὸ ἁπλούστερον, διὸ καὶ ἀνασκευὴ δικαίως ὀνομάζεται τῶν συνελθόντων εἰς τὸ διήγημα πρὸς τὴν τούτου σύστασιν, ἀνατρεπτική τις οὖσα, καὶ τὸ ἀπίθανον ἢ τὸ ἀσαφὲς ἢ τὸ ἀδύνατον ἢ τἆλλα τῶν ἐν ταύτῃ φαινομένων ἐλέγχουσα καὶ ἀποδεικνύουσα. μετὰ γοῦν ταύτην τὴν ἀνασκευὴν καὶ ἐπὶ τὴν κατασκευὴν προέρχεται, κατασκευὴν οὐ τῆς πρώτης συνθέσεως οὖσαν, ἀλλὰ τῆς δευτέρας ἀναλύσεως.

Κατασκευή ἐστι προκειμένου τινὸς βεβαιώσις πράγματος· ὥσπερ τὴν κατασκευὴν ἔφη βεβαίωσιν, οὕτως τὴν ἀνασκευὴν ἔδει ἔλεγχον εἰπεῖν καὶ μὴ ἀνατροπὴν ἤγουν ἀναίρεσιν, ἢ εἰ ἐκείνην ἀνατροπὴν ἐβούλετο εἰπεῖν, ὤφειλε καὶ ταύτην εἰπεῖν ποίησιν, ἤ τι τοιοῦτον εἰπεῖν, εἰ γὰρ ἐναντία ἡ κατασκευὴ τῇ ἀνασκευῇ, ἀντίκειται δὲ καὶ τὸ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν τῇ ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ εἶναι παραγωγῇ, λέγεται δὲ ἡ ἀνασκευὴ ἀναίρεσις πράγματος, ὤφειλε δὲ καὶ ἡ κατασκευὴ ποίησις λέγεσθαι πράγματος, εἴ γε ποι-

2* Codd. μετασκευῆς.

εἶν ἐστι τὸ ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγειν, ἀλλὰ τὴν μὲν κατασκευὴν οὐκ ἐγχωρεῖ οὕτω λέγεσθαι, ἐπειδήπερ οὐδὲ μὴ ὄντων πάντως πραγμάτων, ἀλλὰ προκειμένων ἐστὶ βεβαίωσις· τὸ δὲ προκείμενον πῶς ἂν λέγοιτο ποιεῖν; ἡ δὲ ἀνασκευὴ ὡς οὐ πάνυ ἀπεικότως ἀνατροπὴ καὶ [3] οὐκ ἔλεγχος ἐρρέθη, ἐν τῷ περὶ ἐκείνης λόγῳ φθάσαντες εἴπομεν. τινὲς μέντοι οὕτω καὶ τὴν κατασκευὴν ὡρίσαντο· κατασκευή ἐστι λόγος κατασκευαστικὸς τοῦ πιθανῶς προτεθέντος λόγου, τὸ πιθανῶς προθέντες, ἵνα γνῶμεν, ὡς οὔτε τὰ ὁμολογουμένως ἀληθῆ κατασκευάζεται, οὔτε τὰ ὁμολογουμένως ψευδῆ, ἀλλὰ τὰ μέσην ἔχοντα φύσιν. Κατασκευαστέον δὲ τὰ μήτε λίαν σαφῆ, μήτε ἀδύνατα παντελῶς· ὥσπερ ἐν τῇ ἀνασκευῇ ἠξίου μήτε τὰ λίαν σαφῆ ἀνασκευάζειν μήτε τὰ πάντη ἀδύνατα, ἀλλὰ τὰ ἀμφίδοξα, οὕτω κἀνταῦθα τὸ αὐτὸ τοῦτο ἀξιοῖ· ὥσπερ οὖν ἐκεῖ ἐζητεῖτο, διατί τὰ λίαν ἀδύνατα οὐκ ἀνασκευάζομεν, καίτοι πολλὴν εὐπορίαν ἐν αὐτοῖς ἔχοντες τῶν ἐλέγχων, οὕτω κἀνταῦθα ζητεῖται, διατί τὰ λίαν σαφῆ οὐ κατασκευάζομεν, καίτοι πολλὴν εὐπορίαν διδούσης ἡμῖν τῆς φύσεως τῶν πραγμάτων. καὶ λέγομεν καὶ πρὸς τὴν τοιαύτην ζήτησιν τὴν αὐτὴν λύσιν, ἣν καὶ πρὸς τὸ τῇ ἀνασκευῇ ἀπορούμενον εἴπομεν, ὅτι ὥσπερ ἐκείνας τὰς ὑποθέσεις μελετᾷν διδασκόμεθα, ἐν αἷς κατηγορεῖν καὶ ὑπεραπολογεῖσθαι ἰσχύομεν, οὕτω δὴ καὶ τῶν διηγημάτων ἐκεῖνα πάντως κατασκευάσομεν, ὅσα καὶ ἀνασκευάσαι δυνάμεθα· τὰ δὲ λίαν σαφῆ διηγήματα κατασκευάσαι μὲν δυνατὸν, ἀνασκευάσαι δὲ οὐδαμῶς.

Ἀλλ' ὅσα μέσην ἔχει τάξιν. Τίνα εἰσὶ τὰ μέσην ἔχοντα τάξιν; ἢ ὅτι τὰ ἀμφίδοξα καὶ τὰ τὴν ἐφ' ἑκάτερον ἐπιχείρησιν παρεχόμενα, καθὼς ἐν τοῖς περὶ

3 Vind. δέ.

ἀνασκευῆς μεμαθήκαμεν. Καὶ πρῶτον μὲν εἰπεῖν εὐφημίαν τοῦ φήσαντος· οἷον ὅτι ἐπὶ πολλοῖς ἔχων τοὺς ποιητὰς καὶ τὰ τῶν ποιητῶν ἐπαινεῖν, ἐπ' ἐκείνῳ μᾶλλον θαυμάζειν τούτους προῄρημαι, ἐφ' ᾧ περὶ θεῶν φιλοσοφοῦσι τὰ κάλλιστα, ἢ καὶ οὕτω ἅπαντας τοὺς σοφοὺς ἐπαινῶν τοσοῦτον τοὺς ποιητὰς μᾶλλον τεθαύμακα, ὅσῳ καὶ τῶν ἄλλων σοφώτεροι καθεστήκασι, καὶ πάντας μὲν τοὺς ποιητὰς καὶ ὅσα τούτοις πεφιλοσόφηται ἀποδέχομαι, μάλιστα δὲ τὸν τάδε περὶ τοῦ δεῖν φιλοσοφήσαντα. Εἶτα ἐν μέρει θεῖναι τὴν ἔκθεσιν. Ἐν τῇ ἀνασκευῇ οὐκ εἶπε δεῖν ἐν μέρει ποιεῖσθαι τὴν ἔκθεσιν, ἀλλ' ἐν τῇ κατασκευῇ δι' αἰτίαν τοιαύτην. ἐπειδὴ γὰρ τὰ αὐτὰ δέον ἀνασκευάζειν, ἅπερ καὶ κατασκευάζειν ἐνδέχεται, πρῶτον δὲ ανασκευάζομεν καὶ οὕτω κατασκευάζομεν, διὰ τοῦτο ἐν μὲν τῇ ἀνασκευῇ ὁλοσχερῶς τὸ πρᾶγμα ἐκτιθέμεθα, διὰ τὸ ἤδη τοὺς ἀκροατὰς αὐτὸ μαθεῖν ἐν τῇ ἀνασκευῇ, καὶ μὴ πάλιν χρείαν ἔχειν τὰ αὐτὰ μανθάνειν· ἢ ἐπειδὴ τὰ δραματικὰ διηγήματα εὐκόλως ἀνασκευάζεται, κατασκευάζεται δὲ δυσκόλως, διὰ τοῦτο ἐν μὲν τῇ ἀνασκευῇ ἀθρόον ἐκτιθέμεθα τὸ πρᾶγμα, ἅτε δὴ καὶ πάντα τὰ ἐν τῇ ἐκθέσει ἀνασκευάσαι δυνάμενοι, ἐν δὲ τῇ κατασκευῇ οὐκ ἐκτιθέμεθα αὐτὸ ἀθρόον, ἀλλ' ἔσθ' ὅτε καί τινα τῶν ἐν τῇ κατασκευῇ ἐκτεθέντων παραλιμπάνομεν, ἅτε δὴ μὴ εὐπόρως τῆς πρὸς πάντα κατασκευῆς ἔχοντες. Καὶ κεφαλαίοις χρήσασθαι τοῖς ἐναντίοις· οἷον ἀντὶ μὲν ἀσαφοῦς ζητεῖται, διατί τὴν τῶν φησάντων εὐφημίαν καὶ διαβολήν, ἔτι δὲ καὶ τὴν τοῦ πράγματος ἔκθεσιν οὐκ ὀνομάζει κεφάλαια, ἀλλὰ τὰ ἑξῆς μόνα· οὕτω γὰρ καὶ ἐν τῇ ἀνασκευῇ ἔφη, „δεῖ δὲ ἀνασκευάζοντα πρῶτον εἰπεῖν τὴν τῶν φησάντων διαβολήν, εἶτα ἐπιθεῖναι τὴν τοῦ πράγματος ἔκθεσιν, καὶ κεφαλαίοις χρήσασθαι τοῖσδε," κεφάλαια τὸ ἀσαφὲς καὶ τὸ ἀπίθανον καὶ τὰ τοιαῦτα

ὀνομάζων, καὶ ἐν τῇ κατασκευῇ πάλιν τὸ σαφὲς καὶ τὸ πιθανὸν καὶ τὰ τοιαῦτα ὀνομάζει κεφάλαια, οὐ μέντοι τὴν τῶν φησάντων εὐφημίαν καὶ τὴν τοῦ πράγματος ἔκθεσιν. Ζητεῖται οὖν πῶς οὐχὶ καὶ ταῦτα ὀνομάζει κεφάλαια, καὶ λέγομεν, ὅτι διὰ τοῦτο τὴν τῶν φησάντων εὐφημίαν καὶ διαβολὴν, ἔτι δὲ καὶ τὴν τοῦ πράγματος ἔκθεσιν οὐκ ὀνομάζει κεφάλαιον, διότι ἡ μὲν τῶν φησάντων εὐφημία καὶ ἡ διαβολὴ προοιμίοις ἀναλογοῦσιν, ἡ δὲ τοῦ πράγματος ἔκθεσις διηγήσει, οὔτε δὲ ἡ τῶν φησάντων εὐφημία, οὔτε ἡ διαβολὴ, ἀλλ' οὐδὲ ἡ τοῦ πράγματος ἔκθεσις πρὸς ἀγωνιστικὴν πίστιν συμβάλλονται· ἐκεῖνα δὲ δήπουθεν κεφάλαια ὀνομάζονται, τὰ πρὸς πίστιν ἀγωνιστικὴν συμβαλλόμενα, ὡς ὁ τοῦ κεφαλαίου ὁρισμὸς δηλοῖ· κεφάλαιον γάρ ἐστι μέρος λόγου ἀπόδειξιν ἔχον τοῦ προκειμένου πράγματος ἐκ νοημάτων καὶ ἐπιχειρημάτων συγκείμενον. ἔστιν οὖν εἰπεῖν πρὸς τὸν Ἀφθόνιον, ὅτι κατὰ τοῦτον τὸν λόγον οὐδὲ τὸ ἐγκωμιαστικὸν οὔτε μὴν [4] τὸ παραφραστικὸν ὤφειλες ὀνομάσαι κεφάλαιον, εἴ γε τὸ μὲν ἐγκωμιαστικὸν προοιμίῳ ἀναλογεῖ, τὸ δὲ παραφραστικὸν διηγήματι. Οἷον ἀντὶ μὲν ἀσαφοῦς τῷ σαφεῖ· ὥσπερ ἀσαφὲς ἐλέγετο τὸ μὴ ὂν φανερὸν διὰ τὴν τῶν εἰκότων ἀπουσίαν, οὕτω καὶ σαφὲς λέγομεν, ὅπερ εἰκός ἐστι πιστευθῆναι ὅτι ἐγένετο, διὰ τὴν ἐκ τῶν εἰκότων μαρτυρίαν. ἐνδέχεται τοίνυν τὸ αὐτὸ μέρος τοῦ διηγήματος ἐκ τοῦ ἀσαφοῦς ἀνασκευασθῆναι καὶ ἐκ τοῦ σαφοῦς κατασκευασθῆναι· ἐπειδὴ γάρ τινα μὲν τῶν εἰκότων οὐκ ἔχει, ἔνια δὲ ἔχει, ἀφ' ὧν μὲν οὐκ ἔχει, ἀνασκευασθήσεται ἐκ τοῦ ἀσαφοῦς, ἀφ' ὧν δὲ ἔχει, κατασκευασθήσεται ἐκ τοῦ σαφοῦς, οἷον ὡς ἐπὶ τοῦ „Ἥρα ἡ Ἀφροδίτη τοῦ Ἀδώνιδος" τοῦτο γὰρ ἀνασκευασθήσεται μὲν ἀπὸ τοῦ χρόνου, λεγόντων ἡμῶν

4 Vind. μέν.

ὅτι ὁ χρόνος, καθ' ὃν ἦρα ἡ Θεὸς τοῦ Ἀδώνιδος, οὐκ ἔστι σαφὴς, κατασκευασθήσεται δὲ λεγόντων πάλιν ἡμῶν σαφὲς εἶναι, ὅτι ἡ Ἀφροδίτη ἦρα τοῦ Ἀδώνιδος ἐκ τοῦ τὴν Θεὸν σύνεργον φανῆναι τῇ γενέσει αὐτοῦ. τὴν γὰρ καὶ πρὸ τοῦ γεννηθῆναι τὸν Ἄδωνιν ἀντιποιουμένην αὐτοῦ οὐδὲν ἄπιστον καὶ ἀνδρωθέντος ἐρᾶν αὐτοῦ. ἄλλως τε οὐδὲν ἄπιστον τὴν Ἀγχίσῃ μὲν συνελθοῦσαν, τεκοῦσαν δὲ τὸν Αἰνείαν ἐρασθῆναι τοῦ Ἀδώνιδος· ἢ οὖν τοιοῦτον ποιήσομεν τὸ ἀσαφὲς, ἢ ὥσπερ τῷ Γεωμέτρῃ δοκεῖ ἐκ τοῦ ἀσαφοῦς τότε ἀνασκευάζεσθαί τι, ὅτε ἀσαφὲς ᾖ τὸ ῥητὸν, ἢ διὰ τὸ τὰς λέξεις τροπικὰς εἶναι καὶ πάνυ σκληρὰς, ἢ διὰ τὸ ἐν αὐτῷ δύσκολα νοήματα εἶναι, ἢ διὰ τὴν ἐν αὐτῷ τοῦ λόγου σύνταξιν· οὕτω καὶ τὸ σαφὲς πρὸς ταῦτα γενήσεται ἀποδεικνύντος τοῦ κατασκευάζοντος, μήτε τὰς λέξεις εἶναι ἀσαφεῖς διὰ τὸ, εἰ τύχῃ, ἐκ τῶν ἑξῆς ἑρμηνεύεσθαι, μήτε τὰ νοήματα διὰ τὸ κατὰ ἀλληγορίαν εἶναι τοιαύτην τῆς ἀλληγορίας ὀφείλουσιν ἔχειν φύσιν, ὥστε ἄλλο μὲν λέγειν δοκεῖν, ἄλλο δὲ σημαίνειν· ἀλλὰ μὴν τὴν τοῦ λόγου σύνταξιν ἀσαφείας εἶναι παραίτιον διὰ τὸ φανερὰ ἢ σαφῆ γίνεσθαι τὰ λεγόμενα ἐν αὐτῷ, εἰ τῇ ἀκολουθίᾳ τῆς ἐννοίας δηλαδὴ προσέχειν ἐθέλομεν ἢ τῇ παραδιδομένῃ περὶ αὐτῶν ἱστορίᾳ, ἢ καὶ τῇ ἐπὶ τῇ ἀληθείᾳ γνώσει τῶν παρόντων. Ἀντὶ δὲ τοῦ ἀπιθάνου τῷ πιθανῷ· ὥσπερ ἀπίθανον ἐλέγομεν τὸ ὡς ἐπὶ τὸ πλεῖστον μὲν μὴ γινόμενον, ἔστι δὲ ὅτε καὶ γινόμενον, οὕτω πάλιν πιθανὸν λέγομεν τὸ ὡς ἐπὶ τὸ πλεῖστον μὲν γινόμενον, ἔστι δ' ὅτε καὶ μὴ γινόμενον ἐκ τοῦ παραδόξου, ὡς ἔχει καὶ τὸ „τοιοῦτός ἐστιν ἕκαστος, οἷσπερ ἥδεται ξυνών.“ τοῦτο γὰρ πιθανόν ἐστι, καθὸ ὡς ἐπὶ τὸ πλεῖστον μὲν γίνεται, ἔστι δ' ὅτε καὶ οὐ γίνεται ἐκ τοῦ παραδόξου. Ἀντὶ δὲ ἀδυνάτου δυνατόν. Δυνατόν ἐστι τὸ ἐγχωροῦν γενέσθαι, οἷον δυνατὸν ἦν μεταλαβεῖν τὸ ῥόδον τῆς τοῦ

αἵματος βαφῆς τοῦ καταῤῥεύσαντος ἐκ τοῦ ποδὸς τῆς Ἀφροδίτης· εἰ γὰρ καὶ τῆς τοῦ ἀνθρωπίνου αἵματος βαφῆς μεταλαμβάνει τὰ πλησιάζοντα, πόσῳ μᾶλλον τῆς τοῦ θείου αἵματος ἐκείνου οὐκ ἂν τὸ ῥόδον πλησιάσαν μετέλαβε.

Τῷ ἀκολούθῳ ἀντὶ τοῦ ἀνακολούθου. Ἐκ τοῦ ἀνακολούθου κατασκευάζομεν, ὅτε δείκνυμεν τόδε τὸ μερικὸν τοῦ διηγήματος τοῖς πρὸ αὐτοῦ σύμφωνον. οἷον ἀκόλουθόν ἐστι τὸ τὸν Ἄρην ἐρᾶν τῆς Ἀφροδίτης τῷ βούλεσθαι τὸν Ἄδωνιν ἀνελεῖν διὰ τὸ τοῦτον τὸν τρόπον δυνηθῆναι πέρας ἐπιθεῖναι τῷ ἔρωτι. Ἀντὶ δὲ ἀπρέποῦς τῷ πρέποντι. ἐκ τοῦ πρέποντος κατασκευάσομεν, ἂν λέγωμεν, ὅτι οὐδὲν αἰσχρὸν, εἰ ἡ θεὸς ἥρα τοῦ Ἀδώνιδος, εἴ γε καὶ ὁ Ἀπόλλων ἥρα τῆς Δάφνης καὶ ὁ Ζεὺς τῆς Λήδας καὶ τῆς Δανάης, καὶ ἡ Θέτις συνεζύγη τῷ Πηλεῖ θνητῷ καὶ αὐτῷ ὄντι. Ἡ γυμνασία δὲ αὕτη πᾶσαν περιέχει τὴν τῆς τέχνης ἰσχύν. ὥσπερ τὴν ἀνασκευὴν ἔλεγεν ἔχειν τὴν τῆς τέχνης πᾶσαν ἰσχὺν, οὕτω καὶ τὴν κατασκευήν· τοῖς γὰρ αὐτοῖς διαιρεῖται κεφαλαίοις ἡ κατασκευὴ τῇ ἀνασκευῇ κατὰ τὸ ἐναντίον.

Η ΜΕΛΕΤΗ ΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΟΣ.

Ὁ ποιητὰς ἀντερῶν αὐταῖς ἀντερεῖν δοκεῖ μοι ταῖς Μούσαις· τὸ αὐτὸ διήγημα κατασκευάζει, ὅπερ ἀνεσκείασε· τοιαύτη γὰρ ἡ τέχνη, κατηγορίας εἰς τὸ αὐτὸ καὶ ἀπολογίας ἁφορμὰς τοῖς βουλομένοις παρέχουσα. Εἰς τὸ αὐτό. Ὁ ποιητὰς ἀντερῶν αὐταῖς ἀντερεῖν δοκεῖ μοι ταῖς Μούσαις. τοῦτό ἐστιν ἡ τοῦ προοιμίου πρότασις· ἐξενήνεκται δὲ σεμνῶς εἰς τὴν ἑαυτοῦ γνώμην ἀνάγοντος τὸ πρᾶγμα τοῦ λέγοντος· τοῦτο δὲ ἀξιωματικόν ἐστι καὶ σεμνόν. Εἰ γὰρ ὅσα ποιῆται φθέγγονται. τοῦτό ἐστιν ἡ κατασκευὴ τοῦ προοιμίου·

ἐξενήνεκται δὲ διὰ τοῦ καθ' ὑπόθεσιν σχήματος χωρὶς μερισμοῦ. Πάντων μὲν οὖν ἐγὼ τὴν γνώμην ἀποδέχομαι τῶν ποιητῶν. Ἑτέρα προοιμιακὴ πρότασις ἔχουσα τὴν μὲν ἔννοιαν προβλητικήν, σχήματι δὲ τῆς λεγούσης τρία ἐν ταὐτῷ, τὸ κατ' ἐπαναφορὰν, τὸ κατὰ μερισμὸν, τὸ κατὰ προτίμησιν.

Οἷα γὰρ εἰπόντες τινὲς ἀπιστοῦσι τοῖς λεγομένοις· Λάφνη, φησὶ, γῆς προῆλθε καὶ Λάδωνος· τοῦτό ἐστιν ἡ μερικὴ ἔκθεσις, ἧς ἐν τῇ μεθόδῳ ἐμνημόνευσε λέγων, ὅτι ἐν μέρει δὲ θεῖναι τὴν ἔκθεσιν. Τί τοῦτο πρὸς θεῶν ἄπιστον; ἔννοια ἀφελής· τὸ γὰρ εἰς ὅρκον ἀνάγειν τὸν ἀντίδικον ἢ ὁντιναοῦν ἔννοια[1] ἀφελής ἐστιν· περὶ δὲ τοῦ „πρὸς Θεῶν" λέγει τις τῶν ἐξηγητῶν· ἢ ὅρκος ῥητορικός ἐστι τοῦτο, ἢ τὸ πρὸς ἐγγύτητα σημαίνει, καθὰ ἐγγὺς ἡ ἀκοὴ τῶν Θεῶν, τὸ δὲ „οὐχ ἅπασι γένεσις ὕδωρ καὶ γῆ" καὶ τὰ ἑξῆς μέθοδος βαρύτητος· τὸ γὰρ περὶ τῶν ὁμολογουμένων ὡς ἀμφισβητουμένων εἰς διαπόρησιν καθίστασθαι βαρύτητος ἴδιον. Οὐ σπέρμα τοῦ βίου τὰ στοιχεῖα προέρχεται; οὐκ ἀρχὴ, φησὶ, πάντων τῶν ἐν τῷ βίῳ τὰ στοιχεῖα; εἰ δὲ γῆς τε καὶ ὕδατος πᾶν ὃ γίνεται πρόεισι, βεβαιοῖ Λάφνη τὴν κοινὴν ἁπάντων γονὴν γῆς προελθοῦσα καὶ Λάδωνος· ἡ Λάφνη, φησὶ, γῆς προελθοῦσα καὶ ὕδατος δηλονότι· σὺ δὲ ἐπίστησον, ὅτι ἅπερ ἐνταῦθα λέγει κατασκευάζων ὁ διδάσκαλος, δοκοῦσι μὲν ἔχειν τινὰ δύναμιν ἐξεπιπολῆς ἐξεταζόμενα, λίαν δ' εἰσὶ σαθρὰ καὶ ἀνίσχυρα· αὐτίκα γὰρ εἰ ἐκ σωμάτων γινόμενα ἐκ γῆς καὶ ὕδατος ἐχόντων τὴν σύστασιν, ὅμως οὐκ ἐκ τούτων μόνων συνίσταται τὰ γινόμενα, ἀλλὰ καὶ ἐκ πυρὸς καὶ ἐξ ἀέρος. ἔπειτα δὲ οὐδὲ ἐξ ἁπλῆς γῆς καὶ

1 Vind. ἔννοιαν.

ὕδατος γινόμεθα, ὥσπερ ἡ Δάφνη λέγεται γενέσθαι, ἀλλ' ἐκ σωμάτων ἐκ γῆς καὶ ὕδατος συνεστώτων.

Ζητοῦσι δέ τινες, διατί τεσσάρων ὄντων στοιχείων, γῆς, ὕδατος, πυρὸς, ἀέρος, τῶν δύο μόνων μνημονεύειν νῦν ὁ διδάσκαλος βούλεται, τῆς γῆς καὶ τοῦ ὕδατος. καί τινες μὲν λέγουσιν, ὅτι διὰ τοῦτο τὰ δύο μόνα ταῦτα εἶπε, διότι πλεῖστον ἡμῶν μετέχει τὰ σώματα· τὸ μὲν γὰρ πυρῶδες, φασὶ, καὶ ἀερῶδες ὡς ἀφανῶς ὑπεξιόντα παρῆκε, τὸ δὲ γεῶδες καὶ ὑδατῶδες ὡς φανερὰ καὶ ἐν γῇ διαμένοντα εἶπεν. ἡμεῖς δὲ λέγομεν, ὅτι διὰ τοῦτο τὰ δύο μόνα ταῦτα παρέλαβε, διότι καὶ πρὸς τὴν κατασκευὴν ταῦτα μόνα αὐτῷ συνεβάλλοντο τοῦ ὅτι ἡ Δάφνη γῆς προῆλθε καὶ Λάδωνος. Δάφνη, φησὶ, γῆς προῆλθε καὶ Λάδωνος· τοῦτο οἱ μὲν παλαιοὶ τῶν ἐξηγητῶν ἐκ τοῦ ἀσαφοῦς εἶπον εἶναι τὸ κεφάλαιον, ἄλλοι δὲ πάλιν τὴν μὲν πρότασιν εἶναι τοῦ ἀσαφοῦς, τὴν δὲ „τί τοῦτο πρὸς θεῶν ἄπιστον“ καὶ τὰ ἑξῆς κατασκευὴν ἐκ τοῦ δυνατοῦ. Τῷ μέντοι Γεωμέτρῃ ἐκ τοῦ δυνατοῦ εἶναι δοκεῖ τὸ ὅλον κεφάλαιον. Γεγοννῖα δὲ ὅθεν ἅπαντα γίνεται, τὴν ὄψιν προεῖχε τῶν ἄλλων. Τὸ ζητούμενον ἦν, εἰ ἡ Δάφνη προῆλθε τῆς γῆς, καὶ ἀποδείξας τοῦτο αὐτὸ ἄνωθεν ἀληθὲς ὂν νῦν ὡς ὁμολογούμενον λαμβάνει ἐν τῇ καταμέρος ταύτῃ ἐκθέσει. Καὶ μάλα εἰκότως. Ἐπίκεισις μετὰ ἐπιτάσεως. ἃ γὰρ πρῶτα γῆς ἀναδίδοται· εἰπὼν ὅτι „γεγοννῖα δὲ ὅθεν ἅπαντα γίνεται τὴν ὄψιν προεῖχε τῶν ἄλλων,“ τὸ μὲν ὅτι ἐκεῖθεν ἐγένετο, ὅθεν καὶ τὰ λοιπὰ, οὐ κατασκευάζει, κατεσκεύασε γὰρ τοῦτο ἀνωτέρω, εἰ δὲ τὴν ὄψιν προεῖχε τῶν ἄλλων, συνιστάμενος κατασκευάζει καθαρῶς διὰ τοῦ πιθανοῦ· τὸ γὰρ τὰ πρῶτα τῆς γῆς ἀναδιδόμενα ὡραιότερα εἶναι τῶν ἄλλων ὡς ἐπὶ τὸ πλεῖστον μὲν γινόμενον, οὐ μὴν ἀεὶ οὕτως ὡς ἀεὶ γινόμενον.

Ἃ γὰρ πρῶτα γῆς ἀναδίδοται, μετὰ τοῦ τῆς φύσεως κάλλους προέρχεται· ὁ νοῦς τῶν λεγομένων τοιοῦτος. ὥσπερ ἐπὶ τῶν λοιπῶν τῶν ἀναδιδομένων ἀπὸ τῆς γῆς ὅπερ πρῶτον προέλθοι, ἐκεῖνο εὐειδέστερόν ἐστι τῶν λοιπῶν, οὕτω καὶ ἐπὶ τῆς Λάφνης, ἐπεὶ μὴ ἕτερος ἄνθρωπος πρὸ αὐτῆς ἐγεννήθη ἐκ τῆς γῆς καὶ τοῦ Λάδωνος, εἰκότως εὐειδὴς ἦν. ἢ τοῦτο λέγει, ὅτι ἐπεὶ μὴ ἀνεδόθη φυτὸν ἕτερον πρὸ ἐκείνης ἢ τῆς δάφνης, διὰ τοῦτο τῶν μετέπειτα γενησομένων ἦν ἀξιεραστότερον· τινὲς δέ φασι τὸν Ἀφθόνιον μηδόλως ἐν τῇ κατασκευῇ ὡς ἄνθρωπον ἐκλαμβάνειν τὴν δάφνην, ἀλλὰ ποτὲ μὲν ὡς φυτὸν, ποτὲ δὲ ὡς ἀρετήν· ἐλέγχονται δὲ οἱ τοιοῦτοι καὶ ἐξ ἄλλων μὲν, μάλιστα δὲ ἐξ ὧν ἐπιφέρει συνιστάμενος τῷ „καὶ δεξαμένη τὴν κόρην ἡ γῆ φυτὸν ἀνέδωκε·“ τὸ δὲ πρῶτον φανὲν τῶν ἄλλων ἐστὶν ὡραιότερον. διά τοι τοῦτο καὶ τὰ πρωτότυπα τῶν παραδειγμάτων ἀκριβέστερα, καὶ οὐδὲν οὕτως παράδειγμα γένοιτο, ὥστε τοῦ ἀρχετύπου μὴ λείπεσθαι· σημείωσαι δὲ, ὅτι τὸ παρὸν μέρος τοῦ διηγήματος, ὅπερ κατασκευάζεται διὰ τοῦ πιθανοῦ, ἔστι δὲ τοῦτο τὸ „καὶ τὴν ὄψιν προεῖχε τῶν ἄλλων“ ἐν τῇ ἀνασκευῇ οὐκ ἀνεσκεύασεν ὁ Ἀφθόνιος, ἐπεὶ μηδὲ ἀφορμὰς αὐτῷ τῶν εἰς ἀνασκευὴν ἐπιχειρημάτων παρεῖχεν. εἰκότως αὖτη τῶν ἄλλων προεῖχε τὴν ὄψιν· ἄλλων δὲ ποίων; τῶν μετὰ ταῦτα ἐσομένων τέκνων τῇ γῇ καὶ τῷ Λάδωνι.

Πρώτη τῶν ἄλλων γενομένη τῆς γῆς. Συνεξακοίεται, ὥς φησί τις τῶν ἐξηγητῶν, καὶ τοῦ Λάδωνος. οὐδεὶς γὰρ πρὸ αὐτῆς ἐκ ποταμοῦ καὶ γῆς γεγένηται. Διαφερούσης δὲ τὴν ὄψιν τῆς Λάφνης ἠράσθη τῆς παιδὸς ὁ Πύθιος· τὸ ὅτι ἡ Δίφνη διαφέρουσα ἦν τῶν λοιπῶν κατὰ τὴν ὄψιν, κατασκευάσας ἀνωτέρω διὰ τοῦ πιθανοῦ κεφαλαίου, νῦν ὅτι ἠράσθη τῆς παιδὸς

ὁ Πύθιος, μέλλει δεῖξαι διὰ τοῦ πρέποντος· εἰ γὰρ τὸ ἐρᾶν ἀνθρώπου θεὸν ἐπὶ τῆς ἀνασκευῆς ἀπρεπὲς, ὡς ἀνθρωποπρεπὲς μᾶλλον εἴληπται, τὸ εἰκότως ἐρᾶν καὶ θεοπρεπῶς τοῦτο γίνεσθαι ἐκ τοῦ πρέποντος ἂν εἴη πάντως αὐτῷ λαμβανόμενον. Σημείωσαι δὲ, ὅτι ὥσπερ „Λάφνη Λάδωνος προῆλθε καὶ γῆς“ ἐκ τοῦ ἀδυνάτου ἀνασκευάσας, ἐκ τοῦ δυνατοῦ κατὰ τὸ ἀντίθετον κατεσκεύασεν, οὕτω καὶ τὸ ἠράσθη τῆς Λάφνης ὁ Ἀπόλλων ἐκ τοῦ ἀπρεποῦς ἀνασκευάσας ἐκ τοῦ πρέποντος κατεσκεύασεν. Οἷς τὸ κάλλος δωρεὰ τῶν θεῶν, ἐραστὴν εἶχε τὸ κάλλος θεόν· τὸ οἷς αἰτιολογικός ἐστι σύνδεσμος ἀντὶ τοῦ διότι· ἃ γὰρ θεοὶ δωροῦνται, στέργουσιν ἅπαντες· ἅπερ, φησὶ, δωροῦνται οἱ θεοὶ, τοσοῦτόν εἰσιν ἀγαθὰ, ὥστε μὴ μόνον τοὺς ἀνθρώπους, ἀλλὰ καὶ τοὺς αὐτῶν δοτῆρας θεοὺς πρὸς τὸν οἰκεῖον ἐπαίρειν ἔρωτα. Ἔρῶν δὲ ὁ θεὸς προῃρεῖτο τὸ πάθος ἰάσασθαι. ὅπερ ἐν τῇ ἐκθέσει εἴρηκε τῆς κατασκευῆς, ὅτι „ὁ δὲ ἐρῶν μὲν ἐδίωκε,“ τοῦτο ἐνταῦθα παραφράζων φησὶν· „ἐρῶν δὲ ὁ θεὸς προῃρεῖτο τὸ πάθος ἰάσασθαι“ ἀλλὰ τοῦτο μὲν οὐκ ἀνεσκεύασε μὲν ἐν τῇ ἀνασκευῇ· μετὰ γὰρ τὸ ἀνασκευάσαι ἐν ἐκείνῃ τὸ „ἐραστὴν ἑαυτῆς ἐποιεῖτο τὸν Πύθιον,“ διὰ τοῦ „πῶς ἦρα θεὸς“ καὶ τῶν ἑξῆς, εὐθὺς ἐπεχείρησεν ἀνασκευάζειν τὸ „διώκων δὲ οὐχ ἥρει,“ διὰ τοῦ „πῶς δὲ διώκων τὴν κόρην ὁ Πύθιος“ καὶ τῶν ἑξῆς· ἐνταῦθα δὲ κατασκευάζει αὐτὸ ἐκ τοῦ εὐπρεποῦς· εἰ ἐβουλήθη αὐτὸ ἀνασκευάσαι ἐκ τοῦ ἀπρεποῦς, ἀνεσκεύασεν ἄν, ἀπρεπὲς γὰρ τὸ θεὸν ὄντα διώκειν τὴν παῖδα καὶ ταύτης ἐφίεσθαι· οὕτω καὶ κατασκευάζων ἐκ τοῦ πρέποντος κατὰ τὸ ἀντίθετον κατασκευάζει· τὸ μὲν διῶκον εἰς θεὸν ἀνάγων, τὸ δὲ διωκόμενον, εἰς ἀρετήν· τί οὖν, εἴπῃ τις ἄν, οὐχὶ δὲ τοῦτο ἀπρεπὲς τὸ ἀτελῆ λέγειν ἀρετῆς τὸν θεὸν, καὶ τὸ, ταύτης οἷα μὴ κεκτημένον ἐφίεσθαι; καὶ φαμὲν, ὅτι παρά γε τοῖς Ἕλλησιν οὐ τῆς

αὐτῆς πάντες οἱ θεοὶ φύσεως, ἀλλ' οἱ μὲν μείζονες, οἱ δὲ ἐλάττονες, ὥστε καὶ τὴν ἀρετὴν μὴ τοὺς αὐτοὺς εἶναι, ἀλλὰ τοὺς μὲν εὐτελεστέρους, τοὺς δὲ ἀτελεστέρους, κατὰ τὴν οἰκείαν ἀναλογίαν τῆς ἑκάστου δυνάμεώς τε καὶ φύσεως.

Καὶ ποθῶν οὐ κατείληφε. Τοῦτο ἐπειδὴ ἐκ τοῦ ἀδυνάτου ἀνεσκεύασεν, ὡς ἐδείξαμεν, κατασκευάζει κατὰ τὸ ἀντίθετον ἐκ τοῦ δυνατοῦ· εἰ γὰρ ἀδύνατον τὸ θεὸν διώκοντα θνητὴν κόρην μὴ καταλαβεῖν, πάντως δυνατὸν εἴη ἂν τῆς κόρης εἰς ἀρετὴν ἡμῖν νοηθείσης τὸ θεὸν ἀτελῆ κατ' ἀρετὴν διώκοντα ταύτην μὴ καταλαβεῖν. Τοιαῦται γὰρ αἱ ἀρεταὶ πρὸς βίαν ἔχουσι κτώμεναι· ἢ ἀντὶ τοῦ πρὸς βίαν κτῶνται, ἵν' ᾖ περιττὸν τὸ ἔχουσι κατ' ἔθος Ἀττικόν. ἢ μᾶλλον ἡ πρόθεσις παρέλκει, ἵν' ᾖ „βίᾳ ἔχουσι κτώμεναι." Οὐ γῆν, οὐ τὴν φύσιν τῶν θεῶν ἐξελέγχοντες· οὐ τὴν γῆν ἐλέγχοντες πρὸς τοὺς θεοὺς ἐμπαθῆ φέρειν νοήματα, οὐδὲ τὸν θεὸν πρὸς ἐμπαθῆ ὁρμᾷν. Καὶ χαρακτηρίζει τὸ διῶκον τὸ διωκόμενον. πόθεν, φησὶ, δῆλον ὅτι ἀρετὴ ἦν ἡ κόρη; ἐκ τοῦ διώκειν αὐτὴν τὸν θεόν· εἰ γὰρ μὴ τοιαύτη ἦν, οὐκ ἄν ποτε αὐτὴν θεὸς ὢν ὁ Ἀπόλλων ἐδίωκε. Φευγούσης δὲ τῆς παιδὸς ἡ μήτηρ ἐδέχετο. Τοῦτο ἐκ τοῦ ἀκολούθου κατασκευάζει· ἀκόλουθον γὰρ τῷ προελθεῖν ἐκ γῆς τὴν Δάφνην τὸ καὶ εἰς αὐτὴν ἀπελθεῖν. Καὶ δεξαμένη τὴν κόρην ἡ γῆ φυτὸν ἀνέδωκε. Καὶ τοῦτο ἐκ τοῦ ἀκολούθου κατασκευάζει. Καὶ περὶ ταύτην ἄνθρωποι πίπτοντες, καὶ δένδρα παρ' ἐκείνης φυόμενα· φησὶν ὁ Γεωμέτρης, ὅτι οὐ διαφορὰν οὐδὲ τομὴν πρὸς ἑαυτὴν τῆς γῆς διὰ τούτων ἐνέφηνε τῷ εἰπεῖν „καὶ παρὰ ταύτην ἄνθρωποι πίπτοντες, καὶ δένδρα παρ' ἐκείνης φυόμενα," ἀλλὰ τὴν αὐτὴν μὲν, φησὶ, διαφορὰν δὲ μόνην τῶν τόπων ἐσήμανε,

ὡς εἰ καὶ οὕτως εἴρηκεν, ὡς πῇ μὲν ἄνθρωποι πίπτοντες, πῇ δὲ ἀνιστάμενοι· καὶ ἐν τῇδε μὲν γῇ πίπτοντες, ἐν ἐκείνῃ δὲ ἀνιστάμενοι. Καὶ φανὲν τὸ φυτὸν Ἀπόλλωνι τιμῆς γέγονεν αἴτιον.[2] Καὶ τοῦτο ἀπὸ τοῦ ἀνακολούθου ἀνασκευάζει. Ἀκόλουθον γὰρ τῷ πρόνοιαν ποιεῖσθαι τῶν φυτῶν τοὺς θεοὺς τὸ εἰς τιμὴν αὐτῶν ταῦτα εἶναι.

Καὶ μαντικῆς γέγονε σύμβολον· καὶ τοῦτο ἐκ τοῦ ἀκολούθου· ἀκόλουθον γὰρ τῷ σωφρονεῖν τὸ μαντεύεσθαι.

Οὐ γὰρ ἦν ἰδεῖν[3] τὸ μέλλον ἀκρασίαν νοσήσαντα. Τινὰ τῶν βιβλίων νοσήσασαν ἔχει, τινὰ δὲ νοσήσαντα, ἀλλὰ κρείττων ἡ πρώτη γραφή. Καὶ διὰ τοῦτο τὸ μέτρον τιμῶ· μέτρον λέγει τὰ τῶν ποιητῶν ποιήματα. ἔμμετρα γάρ εἰσιν.

ΚΑΤΑΣΚΕΥΗ ΤΟΥ ΚΑΤΑ ΓΑΝΥΜΗΔΗΝ[4] ΔΙΗΓΗΜΑΤΟΣ.

Τοῖς φιλοσοφεῖν ἐγνωκόσι τὰ κάλλιστα συνιστάμενοι[5] οὐχ ὡς αὐτῶν τῆς παρ' ἡμῶν δεδεημένων ἐπικουρίας συνηγορεῖν οἷς φθέγγονται προαιρούμεθα, ἀλλ' ὡς μὴ καὶ αὐτοὶ παραπλησίως τοῖς ταῖς αὐτῶν ἀντιλέγουσι γνώμαις δόξωμεν φληναφεῖν,[6] μηδὲ τοῖς ἐκείνων τῷ σιωπᾷν ὑπαχθῶμεν ἐγκλήμασι. Καὶ πᾶσι μὲν τοῖς ἀληθῆ καὶ τὰ πρέποντα περὶ θεῶν εἰρηκόσι συνηγορεῖν εἰμι[7] ἕτοιμος, μάλιστα δὲ τῷ περὶ τοῦ Διὸς καὶ τοῦ Γανυμήδου φιλοσοφήσαντι. ὅσον γὰρ οὗτος τῶν ἄλλων κρεῖττον ἐφθέγξατο, τοσοῦτον καὶ πρὸς τὰς συνηγορίας

---

2 Vind. αἴτιος. 3 Vind. ἰδῆ. 4 Vind. constanter Γαννυμήδην. 5 Vind. συνιστάμενα. 6 Vind. φληνεφρεῖν. 7 Vind. εἰ μή. et paullo post εἰ μὴ προθυμότατος.

τῶν αὐτῷ πεφιλοσοφημένων εἰμὶ προθυμότατος. καὶ τί φησι; Γανυμήδης ἦν Τρωϊκὸν μειράκιον ὡραιότατον· ἔδει γὰρ τὸν Γανυμήδην μειράκιον ὄντα εἶναι καὶ ὡραιότατον· οἱ γὰρ ἄνθρωποι τὸν μὲν τῶν μειρακίων ἔλκοντες χρόνον καὶ παῖδες ὄντες τὴν φυσικὴν ἔχουσιν ὡραιότητα, πρὸς δὲ τὸ γῆρας ἐρχόμενοι ἀποβάλλουσι ταύτην, καὶ πρὸς τὸ δυσειδέστερον μετατρέπονται· οὐκ ἀπεικὸς τοίνυν τὸν Γανυμήδην μειράκιον ὄντα [εἶναι καὶ ὡραιότατον] [8] ἄλλως τε καὶ Τρωϊκὸν ὄντα εἶναι καὶ ὡραιότατον· καὶ τούτου πίστις ὁ Πάρις Ἀλέξανδρος, ὃς καὶ αὐτὸς ἐν Τροίᾳ γενόμενος τῶν ἄλλων ἀνθρώπων γέγονεν ὡραιότερος. τοιούτου δὲ ὄντος τοῦ Γανυμήδους ἤρα ὁ Ζεύς· ἔδει γὰρ τὸν Δία θεὸν ὄντα καὶ τῶν θεῶν ἁπάντων σοφώτερον χαίρειν τῷ Γανυμήδει σοφῷ τε ὄντι καὶ ὡραίῳ τυγχάνοντι· κρεῖττον μὲν γὰρ οὐδὲν ἀρετῆς· τῶν δ' ἀρετῶν πάλιν πρῶτα καὶ κάλλιστα ἡ φρόνησις καὶ τὸ κάλλος πεφύκασιν· ὥσπερ γὰρ τῶν τῆς ψυχῆς μείζων ἡ φρόνησις, οὕτω καὶ τῶν τοῦ σώματος τὸ κάλλος εἶναι κρεῖττον ἀνωμολόγηται· εἰ οὖν ἁπάντων τῶν ὄντων κρειττων ἡ ἀρετὴ, τῶν δ' ἀρετῶν πάλιν αἱ πρῶται σοφία τε καὶ τὸ κάλλος πεφύκασιν, εἰκὸς ἦν τὸν Δία θεὸν ὄντα καὶ τῶν καλῶν ἐραστὴν τοῦ Γανυμήδους ἐρᾶν, σοφοῦ ἅμα καὶ ὡραίου τυγχάνοντος· ἐρῶν δὲ τῷ ἐρωμένῳ συνεῖναι ἐβούλετο· ἃ μὲν γὰρ μισεῖ τις, ταῦτα καὶ ἀποστρέφεται, ὧν δὲ πόθον ἔχει, τούτων καὶ τὴν συναυλίαν ἀσπάζεται. ὥστε εἰκὸς ἦν τὸν Δία κάλλος καὶ σοφίαν ποθοῦντα καὶ τοῦ καλὸς εἶναι δοκεῖν καὶ σοφὸς ἐφίεσθαι τυγχάνειν. Τὴν δὲ ἐπὶ γῆς διατριβὴν ἀνάξιον νομίζων εἰς ἀετὸν μεταβαλὼν ἑαυτὸν, εἰς οὐρανὸν τὸν Γανυμήδην ἀνήρπασε, καὶ τοῦτο εἰκότως. ἐπεὶ γὰρ ἅπερ ὁ Ζεὺς ἐπόθει, οὐκ ἐν οὐρανῷ ἀλλ' ἐν τῇ γῇ μᾶλλον ἐτύγχανεν,

8 uncinis sepsi haec verba; debebam fortasse ejicere.

ἔδει δὲ ταῦτα καὶ τῇ τῶν θεῶν ἀνακοινώσασθαι φύσει, ἔσπευδε, μὴ θνητοὺς τοὺς θεοὺς διὰ ταῦτα εἶναι δοκεῖν, τὸν οὐρανὸν μὲν καταλιπόντας, τὴν δ' ἐπὶ γῆς ποθήσαντας δίαιταν, ἀλλ' αὐτοὺς μὲν ἐν οὐρανῷ μένειν ἐᾷν, εἰς οὐρανὸν δὲ ἐκ γῆς ἀναγαγεῖν τὰ ποθούμενα. ὅθεν καὶ βασιλεὺς ὢν εἰς βασιλικὸν εἶδος πάλιν μετέπιπτε· βασιλεὺς μὲν γὰρ πάντων τῶν θεῶν ὁ Ζεὺς εἶναι λέγεται, τῶν δὲ πτηνῶν πάλιν ὁ ἀετὸς βασιλεύειν νομίζεται. ἔδει οὖν τὸν Δία βασιλέα μὲν ὄντα θεῶν μεταβαλεῖν ἑαυτὸν εἰς ἑτέραν φύσιν θελήσαντα βασιλικὴν καὶ πάλιν φύσιν ἀμείψασθαι· τοιοῦτος δὲ γενόμενος, ἅπερ ἐπόθει ἀνήρπασεν· ἔστι μὲν γὰρ καὶ ἄλλως ὁ ἀετὸς ζῶον ἁρπακτικόν, καὶ πᾶν ὅπερ βούλεται πρὸς τὸ ἄνω φέρειν δυνάμενον. ἦν δὲ τότε οὐκ ἀετὸς μόνον ὁ Ζεύς, ἀλλὰ καὶ Θεός· σχῆμα μὲν γὰρ μόνον ἔφερεν ἀετοῦ, τὰ δ' ἄλλα πάντα ὑπῆρχε Ζεὺς καὶ Θεός· ὥστε καὶ ῥᾷστον ἦν ἀετοῦ καὶ Θεοῦ ἐν ταυτῷ δύναμιν ἔχοντος πρὸς οὐρανὸν ἐκ γῆς ἀναγαγεῖν τὸ μειράκιον. φόβου δὲ πλησθὲν [9] τὸ μειράκιον ἱδρῶτα κατὰ τῆς γῆς ἀφίησιν, ὃν ἡ γῆ δεξαμένη ἄνθος ἀνέδωκε, καὶ τοῦτο εἰκότως· ἔδει γὰρ τὸν Γανυμήδην περιδεῆ καὶ πλήρη φόβου γενέσθαι ἐπὶ τῷ ἐξαισίῳ τοῦ πράγματος, καὶ τοιοῦτον γενόμενον ἱδρῶτι φανῆναι περιῤῥεόμενον· φόβος μὲν γὰρ ἀγωνίαν ἐμποιεῖν εἴωθεν τοῖς μέλεσιν, ὁ δὲ ἱδρὼς ταύτης ὑπάρχει τεκμήριον· εἰκὸς οὖν καὶ περιδεῆ γενέσθαι τὸν Γανυμήδην, εἰς οὐρανὸν ἁσπαζόμενον, καὶ ἱδρῶτι ἐπὶ τῇ ἀγωνίᾳ περιῤῥεόμενον· καὶ τὸ τὴν γῆν τε τὴν ἐκ τοῦ ἱδρῶτος δεξαμένην ὑγρότητα ἄνθος ἀναδοῦναι οὐκ ἄπιστον, ἐπεὶ καὶ τἄλλα πάντα φυτὰ οὐκ ἄλλως ἐκ γῆς φύεσθαι πέφυκεν, εἰ μὴ τοῦ ὕδατος ἡ ὑγρότης τῇ τῆς γῆς συνελθοῦσα ξηρότητι ταῦτα ἀναδοθῆναι ποιήσει. εἰ γοῦν μίξει τοῦ ξηροῦ

9 Vind. πλησιὲν.

ξηροῦ καὶ ὑγροῦ ἅπαντα φύεται, βεβαιοῖ καὶ τὸ ἴον τὴν κοινὴν γονὴν τῶν φυτῶν ἐκ γῆς καὶ ἱδρῶτος γενόμενον· ἐπὶ τούτοις καὶ τὸν εἰρηκότα θαυμάζω, καὶ τοῖς αὐτῷ ἀντιλέγουσι μέμφομαι.

Cap. VII.

ΠΕΡΙ ΚΟΙΝΟΥ ΤΟΠΟΥ.

Τινὲς μὲν τὸν κοινὸν τόπον πρὸ τῆς ἀνασκευῆς καὶ κατασκευῆς ἔταξαν, δι' αἰτίαν τοιαύτην· εἰ γὰρ ἀπὸ τῶν εὐκολωτέρων, φασὶν, δεῖ μεταβαίνειν ἐπὶ τὰ δυσκολώτερα, εὐκολώτερον δὲ ὁ κοινὸς τόπος, ἀναλογῶν ἐπιλόγοις, τῆς ἀνασκευῆς ἢ κατασκευῆς ἀναλογουσῶν ἀγῶσιν· εἴπερ καὶ τὸ ἀγωνίσασθαι δυσκολώτερον τοῦ ἀνακεφαλαιώσασθαι τὰ ἐν τοῖς ἀγῶσι, τοῦτο γὰρ ἔργον τῶν ἐπιλόγων· εἰκότως ἀπὸ τοῦ κοινοῦ τόπου τοῦ εὐκολωτέρου ἐπὶ τὰ δυσκολώτερα τὴν ἀνασκευὴν καὶ τὴν κατασκευὴν μεταβαίνομεν· ἕτεροι δὲ πάλιν μετὰ τὴν ἔκφρασιν τὸν κοινὸν τόπον ἔταξαν· ὥσπερ γὰρ ἡ θέσις καὶ ἡ τοῦ νόμου εἰσφορὰ διὰ τοῦτο μετὰ τὴν ἔκφρασιν ἐτάχθησαν, διὰ τὸ ὡσανεὶ τελείους λόγους εἶναι, οὕτω καὶ τὸν κοινὸν τόπον μετὰ τὴν ἔκφρασιν δέον ταχθῆναι. διότι καὶ αὐτὸς ὡσπερεὶ τέλειος λόγος ἐστίν· εἴγε καὶ τῶν τεσσάρων μερῶν τοῦ λόγου φέρει τόπους· τῶν μὲν προοιμίων διὰ τῶν ἐν αὐτῷ πλαττομένων ἡμῖν προοιμιακῶν τόπων· τῆς δὲ διηγήσεως διὰ τῆς ἐκθέσεως, τῶν δὲ ἀγώνων καὶ τῶν ἐπιλόγων διὰ τῶν ἑξῆς κεφαλαίων. Ὁ μέν τοι Ἀφθόνιος μετὰ τὴν ἀνασκευὴν καὶ τὴν κατασκευὴν αὐτὸν τάττει διὰ δύο αἰτίας· πρώτην μὲν ὅτι

ὥσπερ ὁ μῦθος πρῶτος ἐτάχθη διὰ τὸ [1] τοῖς προοιμίοις ἀναλογεῖν, τὸ δὲ προοίμιον δεύτερον διὰ τὸ διηγήσεως σώζειν τόπον, τὴν δὲ χρείαν καὶ τὴν γνώμην καὶ τὴν ἀνασκευὴν καὶ τὴν κατασκευὴν μετὰ ταῦτα διὰ τὸ τοῖς ἀγῶσιν ἐοικέναι, ἔδει καὶ τὸν κοινὸν τόπον ἐπιλόγων ἔχοντα δύναμιν μετὰ ταῦτα τεθῆναι· εἴγε καὶ ἐν τοῖς πολιτικοῖς λόγοις πρώτην μὲν τάξιν εἰλήχασι τὰ προοίμια, δευτέραν αἱ διηγήσεις, τρίτην οἱ ἀγῶνες καὶ τετάρτην οἱ ἐπίλογοι. διά τε οὖν ταύτην τὴν αἰτίαν τὸν κοινὸν τόπον φαίνεται τάξας ἐνταῦθα, καὶ δι' ἐκείνην. εἰ γὰρ τὸν μῦθον ὡς τοῦ συμβουλευτικοῦ εἴδους πρῶτον ἔταξε, καὶ τὸ διήγημα ὡς τοῦ δικανικοῦ εἴδους ὂν δεύτερον ἔταξε, καὶ τὴν χρείαν ὡς τοῦ πανηγυρικοῦ εἴδους οὖσαν τρίτην, καὶ πάλιν τὴν γνώμην ὡς τοῦ συμβουλευτικοῦ εἴδους οὖσαν προέταξεν τῆς ἀνασκευῆς καὶ κατασκευῆς, δικανικοῦ εἴδους οὐσῶν τούτων, πῶς οὐχὶ καὶ τὸν κοινὸν τόπον ὤφειλε τῇ ἀνασκευῇ καὶ κατασκευῇ συντάξαι, δικανικοῦ εἴδους ὄντα καὶ αὐτόν· καὶ ὁ Ἑρμογένης δὲ τὴν αὐτὴν τάξιν φαίνεται τῷ κοινῷ τόπῳ ἀποδιδούς, ἣν καὶ ὁ Ἀφθόνιος. Οἱ μέντοι διὰ τοῦτο μετὰ τὴν ἔκφρασιν τιθέντες αὐτὸν διὰ τὸ φέρειν εἰκόνα τῶν τεσσάρων μερῶν τοῦ λόγου, ὤφειλον καὶ τὴν χρείαν καὶ τὴν γνώμην καὶ τὴν ἀνασκευὴν καὶ κατασκευὴν μετὰ τὴν ἔκφρασιν τάξαι, εἴγε καὶ τούτων τῶν γυμνασμάτων ἕκαστον σκιὰς τῶν τεσσάρων μερῶν τοῦ λόγου φέρει, ὡς ἐν τῷ περὶ αὐτῶν λόγῳ ἐδείκνυμεν. καὶ οἱ λέγοντες δὲ πάλιν, „διὰ τοῦτο τὸν κοινὸν τόπον δεῖ προτάττεσθαι τῆς ἀνασκευῆς καὶ τῆς κατασκευῆς, διὰ τὸ τὸν μὲν ἀναλογεῖν εὐκολωτέρῳ μέρει τοῦ λόγου, τοῖς ἐπιλόγοις, τὰ δὲ δυσκολώτερα τοῖς ἀγῶσιν," ὤφειλον τὸν κοινὸν τόπον

---

1 τὸ abest a Vind.

μὴ τῆς ἀνασκευῆς καὶ τῆς κατασκευῆς μόνον προτάττειν, ἀλλὰ καὶ τῆς χρείας καὶ τῆς γνώμης, εἴγε κἀκεῖνα τῷ ἀγωνιστικῷ ἡμᾶς γυμνάζουσι μέρει· ἔπειτα δὲ καὶ ἡ ἔκφρασις πρὸς τὴν διήγησιν ἡμῖν συμβάλλεται, ἥτις εὐκολωτέρα τῶν ἀγώνων ὑπάρχειν δοκεῖ· ὤφειλον οὖν καὶ αὐτὴν τῶν ἀναλογούντων τοῖς ἀγῶσι γυμνασμάτων προτάξαι, τῆς χρείας δηλονότι καὶ τῆς γνώμης καὶ τῆς ἀνασκευῆς καὶ τῆς κατασκευῆς, ὥσπερ τὸν κοινὸν τόπον· ὥσπερ δὲ ἡ τάξις τοῦ παρόντος γυμνάσματος ἦν διάφορος, οὕτω καὶ ὁ δηλωτικὸς αὐτοῦ λόγος διάφορός ἐστιν καὶ αὐτός· οἱ μὲν γὰρ αὐτὸν ὡρίσαντο αὔξησιν καὶ καταδρομὴν ὁμολογουμένου ἀδικήματος· Σώπατρος δὲ οὕτως αὐτὸν ὁρίζεται· κοινός ἐστι τόπος αὔξησις ὁμολογουμένου ἀδικήματος ἢ ἁμαρτήματος ἢ εὐεργετήματος. ὁ μὲν οὖν πρῶτος ὁ λέγων τὸν κοινὸν τόπον αὔξησιν καὶ καταδρομὴν ὁμολογουμένου ἀδικήματος ἁμαρτάνει· καθὸ τοῦ κοινοῦ τόπου τῷ μέρει τοῦ λόγου ὥσπερ ἐπίλογος ὄνομα ἀναλογοῦντος ἐπιλόγῳ, καὶ ἐν τοῖς κατηγορικοῖς λόγοις καὶ ἐν τοῖς ἀπολογητικοῖς τιθεμένου, ὁ τοιοῦτος ὁρισμὸς πρὸς τοὺς ἐν κατηγορικῷ λόγῳ ἐπιλόγους τὸν κοινὸν τόπον δείκνυσι χρήσιμον· καὶ οὐδὲ πρὸς ἐκείνους πάντας, ἀλλὰ καὶ πρὸς μόνους τοὺς ἐν τοιούτοις κατηγορικοῖς λόγοις ὄντας, ἐν οἷς κατηγορεῖταί τις ὡς ἀδικήσας τινὰ, οὐ μὴν ὡς ποιήσας πρᾶγμα μεμισημένον, καὶ ἡμαρτηκώς, οἷον ὡς πορνεύσας ἢ μέθην ἐπιτηδεύσας· ὁ δὲ δεύτερος πάλιν, ὁ λέγων τὸν κοινὸν τόπον αὔξησιν ὁμολογουμένου ἀδικήματος ἢ ἁμαρτήματος ἁμαρτάνει, καθὸ καὶ ὁ πρῶτος ἡμάρτανεν ἐν τῷ λέγειν τὸν κοινὸν τόπον ἀδικήματος μόνου καταδρομὴν, ἀλλ' οὐχὶ καὶ ἁμαρτήματος· διαφέρει γὰρ ἀδίκημα ἁμαρτήματος, καθὸ τὸ μὲν ἀδίκημα τιμωρίαν ἔχει ὡρισμένην παρὰ τῶν νόμων παρά τινος εἰς ἑτέρου βλάβην γινόμενον, ὡς ἔχει ὁ φόνος καὶ ἡ μοιχεία καὶ ἡ ὕβρις καὶ ἡ τυμβωρυχία,

καὶ ὅσα τοιαῦτα· τὸ δὲ ἁμάρτημα τιμωρίαν μὲν ὡρισμένην παρὰ τῶν νόμων οὐκ ἔχει, οὐδὲ παρ᾽ ἑτέρου εἰς ἑτέρου βλάβην γίνεται, μεμίσηται δὲ ὅμως παρὰ πάντων, καὶ παρ᾽ ἡμῶν εἰς ἡμᾶς γίνεται, ὡς ἔχει ἡ ἀσωτία, ἡ μέθη, ἡ πορνεία, ἡ ἀργεία, καὶ ὅσα τοιαῦτα· ὁ γοῦν κοινὸς τόπος ὥσπερ ἐπὶ τῶν ἀδικημάτων πρὸς τιμωρίαν παροξύνει τοὺς δικαστάς, οὕτω καὶ ἐπὶ τῶν ἁμαρτημάτων, οἷον πορνείας, μέθης, παροξύνει τοὺς ἀκροατὰς εἰς τὸ μισεῖν καὶ ἀποστρέφεσθαι τὸν τοιαῦτα διαπραττόμενον. ὁ δὲ τρίτος πάλιν ὁρισμὸς ὁ λέγων τὸν κοινὸν τόπον αὔξησιν ὁμολογουμένου ἀδικήματος ἢ ἁμαρτήματος, ἁμαρτάνει καὶ αὐτὸς κατ᾽ αὐτὸ τοῦτο, καθὸ καὶ ὁ πρὸ αὐτοῦ ἡμάρτανεν. ἀποτέμνει γὰρ καὶ αὐτὸς τὸ τῆς συνηγορίας μέρος τοῦ κοινοῦ τόπου· ἀλλ᾽ ἐπειδὴ τοὺς παρὰ τῶν ἄλλων ἀποδοθέντας ὁρισμοὺς τῷ κοινῷ τόπῳ διηλέγξαμεν, φέρε καὶ τὸν παρὰ τοῦ Ἀφθονίου ἀποδοθέντα θεωρήσωμεν· ἴδωμεν οὖν, τί φησιν οὗτος· κοινός ἐστι τόπος λόγος αὐξητικὸς τῶν προσόντων καλῶν ἢ κακῶν· οὐκ εἶπεν αὔξησις, ἀλλὰ λόγος αὐξητικός, ἵνα μὴ τὴν αὔξησιν ἀντὶ γένους ἐν τῷ ὁρισμῷ παραλάβῃ· ἤ τις ὡς ὁμώνυμος φωνὴ διαφόρων κατηγορεῖται σημαινομένων, τῆς τε δεινώσεως καὶ τῆς εἰς τὰ ἄνω κινήσεως· ἀλλὰ τὸν λόγον, ὃς ὡς γένος κατηγορεῖται διαφόρων εἰδῶν, ὡς προλαβόντες εἰρήκαμεν· παρείληπται οὖν αὐτῷ τὸ μὲν λόγος ἀντὶ γένους, τὸ δὲ αὐξητικὸν ὡς διαφορὰ χωρίζουσα τὸν κοινὸν τόπον ἀπὸ τῶν ἄλλων λόγων, οἷον τοῦ μύθου, τοῦ διηγήματος καὶ τῶν λοιπῶν. τὸ δὲ προσόντων τινὶ καλῶν ἢ κακῶν, ἵν᾽ ἐκφύγῃ τὸ ἁμάρτημα τῶν ἐκτεινόντων [2] τὸ τῆς συνηγορίας μέρος τοῦ κοινοῦ τόπου, καὶ τὸ τῆς κατηγορίας τῆς ἐν ἁμαρτήματι· διὰ γὰρ τοῦ εἰπεῖν „ἢ κακῶν“ καὶ τὰ ἀδικήματα καὶ τὰ ἁμαρ-

2 Vind. *ἐκτηνόντων*.

τήματα περιέλαβε· κακὰ γὰρ ἀμφότερα· ὁ μέντοι Ἑρμογένης ὁρισμὸν μὲν οὐ φαίνεται ἀποδιδοὺς τῷ κοινῷ τόπῳ, φησὶ δὲ περὶ αὐτοῦ τόδε, ὁ τόπος ὁ κοινὸς προαγορευόμενος [3] αὔξησιν ἔχει τοῦ ὁμολογουμένου πράγματος, ὡς τῶν ἀποδείξεων ἤδη γεγενημένων· οὐ γὰρ ἔτι ζητοῦμεν, εἰ οὗτος ἱερόσυλός ἐστιν, ἢ οὗτος ἀριστεύς, ἀλλ' ὡς ἀποδεδειγμένου τὴν αὔξησιν ποιούμεθα.

ΟΡΟΣ ΚΟΙΝΟΥ ΤΟΠΟΥ.

Φασίν τινες, ἐπεὶ τὰ ὁμολογούμενα τοῖς ῥήτορσιν ἄχρηστα, ἄχρηστος τοῖς ῥήτορσιν ὁ κοινὸς τόπος. εἴγε ὡς περὶ προαποδεδειγμένων διαλαμβάνει πραγμάτων, ἅτινα φανερά τέ ἐστιν ἤδη, καὶ οἱ νόμοι τὰ προσήκοντα παρ' αὐτοῦ εἰσπράττονται, καὶ ἔστιν εἰπεῖν, ὅτι καὶ δήλου τοῦ πράγματος ὄντος, ὅτε ῥᾳθύμως περὶ αὐτὸ διακείμεθα, χρεία λόγων. Εἰς τὸ αὐτό· λόγος αὐξητικός· οὐκ εἶπεν ἀποδεικτικὸς οὐδὲ ἐξεταστικὸς, ἀλλὰ αὐξητικὸς, διότι οὐ γίνεται ἐνταῦθα ἐξέτασις, οὔτε ἀπόδειξις, ὥσπερ ἐν τοῖς ἀγῶσιν, ἀλλὰ αὔξησις καὶ δείνωσις. [4] Εἴρηται δὲ οὕτως ἀπὸ τοῦ κοινῇ πᾶσιν ἁρμόττειν τοῖς μετασχοῦσι τοῦ αὐτοῦ πράγματος· μετὰ τὸ παραστῆσαι καὶ δηλῶσαι τί ἐστιν ὁ κοινὸς τόπος, τρέπεται καὶ ἐπὶ τὸ αἴτιον τῆς ὀνομασίας, καὶ λέγει διατί ὀνομάζεται κοινὸς τόπος, εὐλόγως τῇ τάξει ταύτῃ χρώμενος· εἰ γὰρ μὴ μάθωμεν πρῶτον τὴν φύσιν τοῦ πράγματος, πῶς δυνάμεθα τὴν ἐτυμολογίαν τοῦ ὀνόματος αὐτοῦ συνιδεῖν. οἷον εἰ μὴ μάθωμεν, ὅτι βοῦς τρέφει ἡμᾶς, ἢ ὅτι ὁ ἄνθρωπος ἄνω βλέπει τῶν ἄλλων ζώων κάτω νευόντων, πῶς δυνάμεθα συνιδεῖν, ὅτι ὁ μὲν παρὰ τὸ βῶ τὸ τρέφω ὠνόμασται, ὁ δὲ παρὰ τὸ ἄνω ἀθρεῖν· λέγουσι δέ τινες,

3 Vind. προαγορ. 4 Vind. δείνησις.

ὅτι οὐκ ὤφειλεν ὁ διδάσκαλος ἐτυμολογεῖν ἐνταῦθα, οἷον ὅτι ἡ χρεία διὰ τὸ χρειώδης εἶναι χρεία ὠνόμασται, καὶ ὁ κοινὸς τόπος διὰ τοῦτο λέγεται κοινὸς τόπος, διότι κοινῶς πᾶσιν ἁρμόττει τοῖς μετασχοῦσι τοῦ αὐτοῦ πράγματος· καὶ τὸ ἐγκώμιον οὕτω λέγεται ἀπὸ τοῦ ἐν κώμῃ ᾄδεσθαι τὸ παλαιόν· τὸ γὰρ τὰ ὀνόματα ἐτυμολογεῖν γραμματικῆς ἐστιν οὐ ῥητορικῆς ἴδιον· ἔστιν οὖν εἰπεῖν πρὸς τοὺς τὸ τοιοῦτον λέγοντας, ὅτι κατὰ τοῦτον τὸν λόγον οὐδὲ ὁρίζεσθαι ὤφειλε τὸ καθέκαστον τῶν γυμνασμάτων, οὐδὲ διαιρεῖν αὐτὸ εἰς τὰ ὑποκείμενα εἴδη, εἴγε καὶ τὸ διορίζεσθαι καὶ τὸ διαιρεῖν φιλοσόφων οὐ ῥητόρων ἴδιόν ἐστιν· εἰ δὲ καὶ μὴ ταῦτα ἐποίει, πῶς ἂν εἴχομεν ὅλως τὰς φύσεις μανθάνειν τῶν γυμνασμάτων· ἄλλως τε οὐδὲν ἄτοπον τὴν ἐργασίαν τοῦ προκειμένου παραδιδόντας[5] πράγματος· ὅπερ ἐστὶ ῥητορικῆς ἴδιον, καὶ ἄλλα τινὰ παρακολουθοῦντα ὠφέλιμα ἐκδιδάσκειν· εἰ μὲν γὰρ τὰ ἀναγκαιότατα παραλιμπάνων, οἷον τὰς ἐργασίας τῶν γυμνασμάτων, περὶ τὰ οἱονεὶ πάρεργα ταῦτα ἀσχόλητο, εἶχεν ἄν τινα λόγον ἡ[6] κατὰ τούτου μέμψις· ἐπειδὴ δὲ τὰ δι' ὧν εἰς τὴν ῥητορείαν γυμναζόμεθα παραδιδοὺς, καί τινα ὠφέλιμα[7] ἔξωθεν παρεπόμενα διδάσκει, ἐκ περιουσίας τοῦτο ποιῶν οὐ μέμψεως μόνον πάσης ἀνώτερος, ἀλλὰ καὶ ἐπαίνων μεγίστων καθέστηκεν ἄξιος. δυνατὸν δέ ἐστι λέγειν, ὅτι καὶ πρὸς εἰσαγομένους κἀκ τῆς γραμματικῆς ἄρτι ἐλθόντας καὶ διὰ τοῦτο ταῖς ἐτυμολογίαις ἔτι ἐνειθισμένους,[8] οὐδὲν ξένον ποιεῖν, εἰ τὰ ὀνόματα τῶν γυμνασμάτων ὡς ἀσυνήθη αὐτοῖς τυγχάνοντα ἐτυμολογεῖ, παραπλήσια ποιῶν οἷς καὶ ὁ Πορφύριος ἐν τῷ περὶ εἰσαγωγῆς αὐτοῦ βιβλίῳ ἐποίησε· κἀκεῖνος γὰρ ἐκεῖ λέγων, τὸ ᾧ ὑποτάσσεται τὸ

5 Vind. παραδιδόντος. 6 Vind. ὅ. 7 Vind. ὠφέλημα.
8 Vind. ἐνεθισμ.

εἶδος γένος ὀνομάζεσθαι, διδάσκει καὶ τὴν αἰτίαν τῆς ὀνομασίας, λέγων ὅτι καθ' ὁμοιότητα τοῦ γένους τοῦ σημαίνοντος τὴν ἄθροισιν τῶν ἐχόντων πως[9] πρὸς ἕν τι καὶ πρὸς ἀλλήλους, καὶ τοῦ σημαίνοντος τὴν ἀρχὴν τῆς ἑκάστου γενέσεως, γένος καὶ αὐτὸ ὠνόμασται. Εἴρηται τὸ αὐτό. Εἴρηται δὲ οὕτως· ὁ μὲν Ἀφθόνιος διὰ τοῦτο κοινὸν τόπον φησὶν εἰρῆσθαι τὸ παρὸν γύμνασμα, διότι μὴ κατά τινος ὡρισμένου προσώπου λέγεται, οἷον Αἰσχίνου προδότου, ἢ Φιλοκράτους, ἀλλὰ κατὰ πάντων τῶν τῷ αὐτῷ ἐγκλήματι ὑποβαλλομένων· ὁ δὲ Γεωμέτρης καὶ ἑτέρας τούτου αἰτίας προστίθησιν, ἐκ τῶν εἰρημένων τοῖς ἐξηγηταῖς τοῦ περὶ τῶν στάσεων βιβλίου ἐν τῷ περὶ τῆς κοινῆς ποιότητος λόγῳ ταύτας συλλέξας· καί φησιν εἰρῆσθαι τὸ γύμνασμα κοινὸν τόπον καὶ δι' αὐτὸ τοῦτο, δι' ὃ φησιν ὁ Ἀφθόνιος. ὅτι δὲ καὶ δι' ἐκεῖνα, οὐ γὰρ μόνον κατὰ τυράννου, φησὶ, λέγεται κοινὸς τόπος, ἀλλὰ καὶ ὑπὲρ τυραννοκτόνου καὶ οὐδὲ κατὰ λειποτάκτου μόνον, ἀλλὰ καὶ ὑπὲρ ἀριστέως, καὶ ἁπλῶς ἐπὶ πάντων· τοῖς γὰρ αὐτοῖς ἐφ' ἑκάτερον χρώμεθα κατὰ τέχνην καὶ τάξιν ἐπιχειρήμασιν. ἔτι δὲ καὶ ὅτι κοινῇ καὶ ἐπὶ πάντων καὶ τῶν δικανικῶν καὶ τῶν συμβουλευτικῶν ἐπὶ τέλους τίθεται ζητημάτων· ἔτι δὲ καὶ ὅτι καθάπερ ἀπὸ κοινοῦ τινος ὁρμώμενοι τόπου καὶ τὰς ἀφορμὰς ἐκεῖθεν λαμβάνοντες, καὶ κατ' ἰδικῶν ἐπιχειροῦμεν προσώπων· οἷον ἐκ τῶν κατὰ τοῦ κοινοῦ ὑβριστοῦ λόγων καὶ κατὰ Μειδίου καὶ Κόνωνος ἐπιχειροῦμεν, καὶ προσάπτομεν αὐτοῖς καὶ μερικὰς τῶν ἐπιχειρήσεων ἰδιότητας. Εἴρηται δὲ ἀπὸ τοῦ κοινῇ πᾶσιν ἁρμόττειν τοῖς μετασχοῦσι τοῦ αὐτοῦ πράγματος, ἐπειδὴ ὁ Ἀφθόνιος τοῦτο μόνον δοκεῖ λέγων, διατί εἴρηται κοινὸς, οὐ μὴν διατί τόπος λέγεται· φέρε ἡμεῖς τοῦτο εἴπωμεν.[10] τινὲς μὲν οὖν τόπον εἰρῆ-

9 Vind. πῶς. 10 Vind. ἔπωμεν.

σθαι τὸ παρὸν γύμνασιά φασι διὰ τὸ περιέχειν τὰ ἐν αὐτῷ κεφάλαια, εἰ γὰρ τόπων φασὶν ἴδιον τὸ περιέχειν τινά, περιέχει δὲ καὶ τὸ παρὸν γύμνασμα τὰ ἐν αὐτῷ κεφάλαια, εἰκότως τόπος λέγεται. εἶτα ἐπειδὴ καὶ τὰ λοιπὰ γυμνάσματα περιέχουσι τὰ ἐν αὐτοῖς κεφάλαια, καὶ δύνανται [11] καὶ ἐκεῖνα τόποι ὀνομάζεσθαι, προσετέθη τὸ κοινός· ἐκεῖνοι μὲν γὰρ οἱ τόποι κατὰ ὡρισμένων προσώπων λέγονται, οἷον ἡ ἀνασκευὴ καὶ ἡ κατασκευὴ κατὰ τοῦδε τοῦ ποιητοῦ τοῦ τόδε τὸ διήγημα εἰρηκότος· καὶ ἡ χρεία ὁμοίως, εἰς γὰρ ὡρισμένον πρόσωπον ἀναφέρεται καὶ αὕτη· τὸ μέντοι παρὸν γύμνασμα οὐ κατὰ τοῦδε τοῦ φονέως λέγεται, ἢ κατὰ τοῦδε τοῦ ἱεροσύλου, ἀλλὰ κοινῶς κατὰ πάντων τῶν μετασχόντων [12] τῆς προδοσίας ἢ τῆς ἱεροσυλίας· ἕτεροι δὲ πάλιν φασὶ, τόπον αὐτὸ εἰρῆσθαι οἱονεὶ ἐπιχείρημα· τόποι γὰρ τὰ ἐπιχειρήματα λέγονται. διότι ἀπ' αὐτῶν ὡς οἷον ἐκ τόπου ἐπιτηδείου ὁρμώμενοι, ὅπερ ἡμῖν δοκεῖ, βεβαιοῦμεν. Εἰς τὸ αὐτό. Εἴρηται δὲ οὕτως ἀπὸ τοῦ κοινοῦ πᾶσι. Τοῦτο ἀπὸ τοῦ Ἑρμογένους ἔσχεν εἰπεῖν· ἐκεῖνος γὰρ οὕτω φησί. λέγεται δὲ κοινὸς τόπος, διότι ἁρμόττει κατὰ παντὸς μὲν ἱεροσύλου, ὑπὲρ παντὸς δὲ ἀριστέως· ζητοῦσι δέ τινες, πῶς λέγεται ὁ κοινὸς τόπος γυμνάζειν ἡμᾶς πρὸς τὸν ἐπίλογον. ὅπου ἐν μὲν τοῖς ἐπιλόγοις ὡρισμένον ἐστὶν πρόσωπον, καθ' οὗ λέγομεν, οἷον Αἰσχίνης ἢ Περικλῆς, ἤ τι τοιοῦτον, ἐν δὲ τῷ κοινῷ τόπῳ ἀόριστον· καὶ φαμὲν, ὅτι γυμναζόμενοι ἐν τῷ κοινῷ τόπῳ κατὰ πάντων προδοτῶν λέγειν δυνηθείημεν ἂν ἐντεῦθεν ὁρμώμενοι καὶ κατὰ τοῦδε τοῦ προδότου, οἷον Αἰσχίνου ἢ Φιλοκράτους εἰ τύχῃ εἰπεῖν· ἄλλως τε δὲ καὶ ἐν ἐπιλόγοις καθολικῶς κατὰ πάντων τῶν μετασχόντων τοῦ

α

11 Vind. δύναινται. 12 Vind. μεταχόρτων.

πράγματος λέγειν οὐ κεκώλυται· ἐν γὰρ τοῖς ἀγῶσι μερικῶς εἰπόντες καὶ ἀποδείξαντες τὸν Αἰσχίνην, εἰ τύχοι, προδότην, ἐν τοῖς ἐπιλόγοις κατὰ πάντων τῶν προδοτῶν ἐροῦμεν. ὥστε ἐκ τούτου δείκνυται, ὅτι γυμνάζει ἡμᾶς ὁ κοινὸς τόπος πρὸς τοὺς ἐπιλόγους. Ἰστέον δέ, ὅτι κἂν ὁ Ἀφθόνιος οὐ χρῆται διαιρέσει ἐπὶ τοῦ κοινοῦ τόπου, ὅμως ἕτεροί τινες καὶ τοῦτον διαιροῦσι, λέγοντες τῶν κοινῶν τόπων τοὺς μὲν ἁπλοῦς, τοὺς δὲ διπλοῦς, τοὺς δὲ τριπλοῦς εἶναι, καὶ ἁπλοῦς μὲν λέγουσι τοὺς περὶ ἓν στρεφομένους ἀδίκημα μόνον, οἷον κατὰ φονέως, κατὰ πόρνου, κατὰ ἱεροσύλου· διπλοῦς δὲ λέγουσι τοὺς μετὰ τοῦ ἀδικήματος καὶ κοινὴν προσλαβόντας προσώπων ποιότητα· οἷον κατὰ φιλοσόφου πόρνου, καὶ ἰατροῦ φονέως, κατὰ ἱερέως ἱεροσύλου· κοιναὶ γὰρ αὗται ποιότητες, καὶ οὐχ ὡρισμένον ἔχουσι πρόσωπον· ὡς Σωκράτης φιλόσοφος, ἢ Ἱπποκράτης ἰατρός· τριπλοῦς δὲ τοὺς μετὰ τοῦ ἀδικήματος καὶ τῆς κοινῆς τοῦ προσώπου ποιότητος, καὶ ἑτέρου τινὸς περιστατικοῦ κοινὴν ποιότητα ἔχοντος. οἷον κοινὸς τόπος κατὰ φονέως ἱερέως ἐν ἱερῷ φονεύσαντος· πάντα γὰρ ἐνταῦθα κοινά, καὶ οὐδὲν ὡρισμένον, ὅ τε ἱερεύς, οὐ κεῖται γὰρ ὄνομα, τίς· καὶ ὁ φόνος κοινός, οὐ πρόδηλον γὰρ, ποῖον ἱερόν· καὶ πάλιν κοινὸς τόπος κατὰ φονέως ἱερέως ἐν ἡμέρᾳ ἑορτῆς φονεύσαντος· κἀνταῦθα γὰρ πάντα κοινά. δύναται οὖν κατὰ τοῦτον τὸν λόγον καὶ τετραπλοῦς εἶναι κοινὸς τόπος. καὶ ἐπὶ πλέον, οἷον ὡς ἵνα εἴπῃ τις κατὰ ἱερέως φονέως ἐν ἡμέρᾳ ἑορτῆς ἐν ἱερῷ φονεύσαντος. Τοῖς μετασχοῦσι τοῦ αὐτοῦ πράγματος. Οὐκ εἶπε τοῦ ἀδικήματος, ἀλλὰ πράγματος, ἵνα διὰ τούτου καὶ τὸ ἀδίκημα καὶ τὸ ἁμάρτημα συμπεριλάβῃ καὶ τὸ εὐεργέτημα. Δευτερολογίᾳ δὲ ἔοικε καὶ ἐπιλόγῳ. Ἐπειδὴ δευτερολογίας ἐμνημόνευε καὶ ἐπιλόγου, φέρε τὴν διαφορὰν πρῶτον τῆς δευτερολογίας καὶ τοῦ ἐπιλόγου ἐπιζητήσωμεν. εἶθ'

οὕτως ἐροῦμεν πῶς ὅμοιοῖ αὐτοῖς ὁ κοινὸς τόπος. ἀλλὰ καὶ πρὸ τούτου ἴδωμεν, πόσους ἡμῖν τρόπους δευτερολογίας οἱ ἐξηγούμενοι παραδεδώκασι· φασὶ δὴ δευτερολογίας τρόπους εἶναι τέσσαρας· ἢ γὰρ τοῦ αὐτοῦ μένοντος προσώπου καὶ πράγματος δύο γίνονται λόγοι, ὡς ἵνα κατηγορήσαντος τοῦ κατηγόρου καὶ ἀπολογησαμένου τοῦ φεύγοντος πάλιν κατηγορήσῃ ὁ διώκων ἀνατρέπων τὴν ἀπολογίαν, καὶ ὁ φεύγων πάλιν ἀπολογήσηται πρὸς τὴν δευτέραν κατηγορίαν· ὡς εἶχον αἱ τοῦ Ἀντιφῶντος δευτερολογίαι. ἢ τοῦ αὐτοῦ προσώπου μένοντος, τὸ ζητούμενον πρᾶγμα διάφορον εὑρίσκεται, καὶ τοῦτο σχεδὸν ἐν ἑκάστῃ εὑρίσκεται ὑποθέσει κρίσιν ἀναδεχομένῃ· ποιήσομεν γὰρ πρῶτον λόγον περὶ τοῦ ἐγκλήματος, καὶ δεύτερον περὶ τοῦ ἐπιτιμίου· πρῶτον γὰρ ἀποδεῖξαι χρεών, ὅτι προδέδωκε, καὶ τελευταῖον εἰπεῖν, ποία προσήκουσά ἐστιν αὐτῷ τιμωρία· τὸ μὲν οὖν πρόσωπον ἐν τοῖς τοιούτοις τὸ αὐτὸ μένει, τὸ δὲ πρᾶγμα διάφορον· ποτὲ μὲν γὰρ περὶ προδοσίας εἰ τύχοι ἢ τυραννίδος ἢ καὶ ἑτέρου τινὸς ἐγκλήματος τὸν λόγον ποιούμεθα, ποτὲ δὲ περὶ τοῦ προστιμήματος, ἐν οἷς ἔξεστιν εἰπεῖν τὸν πρῶτον λόγον μεταστῆναι· ἢ τοὐναντίον τοῦ αὐτοῦ πράγματος μένοντος τὸ πρόσωπον ἐναλλάττεται, ὥσπερ ἔχουσιν αἱ καλούμεναι πρωτολογίαι· γίνεται δὲ τὸ τοιοῦτον, ὅταν δύο τινὲς μίαν μερίζονται ὑπόθεσιν, καὶ ὁ μὲν πρῶτος λέγει, ὁ δὲ δεύτερος, καὶ τὸ μὲν πρόσωπον διάφορον, πρᾶγμα δὲ τὸ αὐτό, ὡς ἔχει ὁ κατὰ Ἀνδροτίωνος, καὶ ὁ πρῶτος τῶν κατὰ Ἀριστογείτονος· ἐμερίσαντο γὰρ τὴν ὑπόθεσιν· ἐν μὲν γὰρ τῷ κατὰ Ἀνδροτίωνος ὅ τε Εὐκτήμων καὶ ὁ Διόδωρος· καὶ περὶ τοῦ αὐτοῦ πράγματος ἔφη πρότερος μὲν ὁ Εὐκτήμων, δεύτερος δὲ ὁ Διόδωρος· ἐν δὲ τῷ κατὰ Ἀριστογείτονος Λυκοῦργος πρῶτος καὶ

13 Cfr. Hermog. περὶ δεινότητος. c. 27.

ἐπ' ἐκείνῳ Δημοσθένης. Λέγεται δευτερολογία καὶ ἡ διττολογία, καὶ γὰρ δευτερολογεῖν φαμεν τὸ διττολογεῖν καὶ δεύτερον τὰ αὐτὰ λέγειν. γίνεται δὲ κατὰ τοῦτο τὸ σημαινόμενον ἡ δευτερολογία, ἡνίκα τοῦ πράγματος ἀποδειχθέντος ἀνακεφαλαίωσιν ποιούμεθα τῶν προειρημένων καὶ οἱονεὶ δεύτερον τὰ αὐτὰ λέγομεν· ὡς ἔχει ἐν τῷ παραπρεσβείας[14] τῷ ῥήτορι· „συλλογίσασθαι δὴ βούλομαι τὰ κατηγορούμενα" καὶ τὰ ἑξῆς, καὶ ἐν τῷ περὶ συμμοριῶν,[15] „ἵνα δ', ὦ Ἀθηναῖοι, μὴ μακρὰ λέγων ἐνοχλῶ, τὰ κεφάλαια ὧν συμβουλεύω φράσας ἄπειμι. παρασκευάζεσθαι μὲν γὰρ πρὸς τοὺς ὑπάρχοντας κελεύω ἐχθροὺς, ἀμύνεσθαι δὲ βασιλέα καὶ πάντας, ἐὰν ἀδικεῖν ἐπιχειρῶσι ταύτῃ τῇ δυνάμει φημὶ δεῖν, ἄρχειν δὲ μηδενὸς μήτε λόγου μήτε ἔργου ἀδίκου. τὰ δὲ ἔργα ἡμῶν, ὅπως ἄξια ἔσται τῶν προγόνων σκοπεῖν, μὴ τοὺς ἐπὶ τοῦ βήματος λόγους·" ἅπερ γὰρ ἔλεγεν ἐν τοῖς ἀγῶσιν ἀποδεικνὺς, τὰ αὐτὰ πάλιν καὶ ἐν ἐπιλόγοις λέγει ἀνακεφαλαιούμενος· πολλὰ τοιαῦτα καὶ ἐν τῇ θείᾳ γραφῇ, καὶ μάλιστα ἐν τῷ Χρυσοστόμῳ. τεσσάρων οὖν τρόπων ὄντων τῆς δευτερολογίας, ὡς δέδεικται, τῷ τελευταίῳ φησὶν ὁ Ἀφθόνιος τὸν κοινὸν ἐοικέναι τόπον· ἴδωμεν οὖν τί διαφέρει ὁ τοιοῦτος τρόπος τῆς δευτερολογίας τοῦ λόγου· διαφέρει δὲ καθὸ καὶ τοῦ ὅλου τὸ μέρος διαφέρει· ἐπειδὴ γὰρ μετὰ τὰς ἀποδείξεις πρῶτον ἀνακεφαλαιούμεθα τῶν ἐν ἀγῶσι τὰ καιριώτερα, εἶθ' οὕτως αὔξομεν τὰ ἀποδεδειγμένα εἴτε ἱεροσυλία τυχὸν εἴη, εἴτε φόνος, δευτερολογία μὲν λέγεται ἡ ἀνακεφαλαίωσις μόνη· ἐπίλογος δὲ ἀμφότερα, ἥ τε δευτερολογία, καὶ ἡ τοῦ πράγματος αὔξησις· ἀλλ' ἐπειδὴ τὴν διαφορὰν τῆς δευτερολογίας καὶ τοῦ ἐπιλόγου παρεστήσαμεν, φέρε ἴδωμεν καὶ πῶς ἔοικεν ἑκατέρῳ αὐτῶν ὁ κοινὸς τόπος· τῇ μὲν οὖν

14 p. 396. 15 p. 189.

δευτερολογίᾳ ἔοικε, καθὸ περὶ τῶν οἰονεὶ ἀποδεδειγμένων ἐν αὐτῷ λέγοντες διὸ τὰ αὐτὰ λέγειν δοκοῦμεν μάλιστα ἐν τῇ ἐκθέσει. τοῦτο γὰρ δευτερολογίας ἔργον, τὸ περὶ τῶν ἤδη ἀποδεδειγμένων διαλαβεῖν· εἰ δὲ τῇ δευτερολογίᾳ ἔοικε, πάντως καὶ τῷ ἐπιλόγῳ· μέρος γὰρ τοῦ ἐπιλόγου ἐστὶν ἡ δευτερολογία· ἄλλως[16] τε ὥσπερ ἐν τοῖς ἐπιλόγοις οὐ μόνον ἀνακεφαλαιούμεθα, ἀλλὰ καὶ αὔξομεν τὰ πράγματα, οὕτω κἀνταῦθα ποιοῦμεν· αὔξομεν γὰρ τὰ προσόντα καλὰ ἢ κακά· διαφέρει δὲ αὐτῶν τούτων ὁ κοινὸς τόπος, πρῶτον μὲν ὅτι ἐκεῖνα μέρη εἰσὶ τοῦ λόγου, ὁ δὲ κοινὸς τόπος ὁ ἐν γυμνάσμασιν ὅλον ἐστίν· ἔπειτα ἐν μὲν ἐκείνοις μερικῶς λέγομεν, καὶ κατὰ ὡρισμένου προσώπου· οἷον κατὰ Αἰσχίνου προδότου, κατὰ Τιμάρχου ἀσώτου· ἐν δὲ τῷ κοινῷ τόπῳ ἀορίστως λέγομεν κατὰ πάντων προδοτῶν, καὶ κατὰ πάντων ἀσώτων· ταῦτα μὲν οἶν περὶ τοῦ τὸν κοινὸν τόπον δευτερολογίᾳ ἐοικέναι καὶ ἐπιλόγῳ· ἔστι δὲ καὶ ἄλλως αὐτῷ ἑρμηνεῦσαι· ὁ γὰρ περὶ τοῦ προτιμήματος αὐξητικὸς λόγος μετὰ τὸν ἀποδεικτικὸν γινόμενος, ὅτε μὲν ἰδίᾳ διαιρεθεὶς τεθῇ, δευτερολογία λέγεται, ὅταν δὲ συνημμένως τῷ λοιπῷ τοῦ λόγου σώματι, μέρος τε αὐτοῦ καλεῖται καὶ ἔστιν ἐπίλογος. τούτῳ οὖν τῷ περὶ προστιμήματος αὐξητικῷ λόγῳ ἐοικέναι τὸν κοινὸν τόπον φησὶν ὁ Ἀφθόνιος τῷ πῇ μὲν τῷ τῆς δευτερολογίας, πῇ δὲ καὶ τῷ τοῦ ἐπιλόγου ὀνομαζομένῳ ὀνόματι.

Διὸ προοίμια μὲν ὁ κοινὸς τόπος οὐκ ἔχει· διότι, φησὶ, δευτερολογίᾳ καὶ ἐπιλόγῳ ὁ κοινὸς τόπος ἀναλογεῖ, διὰ τοῦτο οὐδὲ καθαρῶς ἐστι προοίμιον ἐν αὐτῷ· τὰ γὰρ προοίμια οὐκ ἐν τοῖς ἐπιλόγοις, ἀλλὰ πρὸ παντὸς τοῦ λόγου τιθέναι ὀφείλομεν· ὅμως δὲ, φησὶν, ἕνεκεν τοῦ γυμνάζεσθαι τοὺς νέους εἰς τὸ προοιμιάζε-

16 Vind. ἄλλης.

σθαι ἀναγκάζομεν αὐτοὺς προοιμίων τόπους πλάττειν· τουτέστιν οὐ πάντως ἀπαιτοῦμεν αὐτοὺς τιθέναι ἐν τῷ κοινῷ τόπῳ προοίμια ἀκριβῆ καὶ τεχνικά, οἷά ἐστιν τὰ ἐξ ὑπολήψεως, τὰ ἐξ ὑποδιαιρέσεων, τὰ ἐκ περιουσίας, τὰ ἀπὸ καιροῦ, ἅτινα τὸ περὶ εὑρέσεων τοῦ Ἑρμογένους βιβλίον ἡμῖν παραδίδωσιν· ἀλλ' ἕτερά τινα εὔληπτα καὶ εὐμεταχείριστα· καὶ οἷα εἰκὸς ταῖς τῶν νέων διανοίαις χορηγηθῆναι, σχῆμα μόνον καὶ εἶδος ἔχοντα,[1] πλὴν ἵνα ὦσιν ἁρμόδια τῷ γυμνάσματι, οἷον ἵν' εἰ κατὰ ἱεροσύλου τύχοιμεν λέγοντες, προοιμιασώμεθα οὕτως· πάντας γὰρ προσήκει μισεῖν,[2] ἄνδρες δικασταὶ, τοὺς κακούργους, μάλιστα δὲ τοὺς κατὰ θεῶν τολμῶντας· ὅσῳ καὶ χεῖρον ἀδίκημα τῶν ἄλλων τὸ τούτων καθέστηκεν· οἱ μὲν γὰρ εἰς ἀνθρώπους, εἰ τύχοι, τολμῶσιν, οἱ δὲ εἰς θεοὺς παροινοῦσιν· ἕτερον· τῷ μὲν οὖν δοκεῖν ὁ κρινόμενος κινδυνεύει μόνος, τῇ δ' ἀληθείᾳ καὶ ἡμεῖς οἱ δικάζοντες, τὸ γὰρ περὶ τοὺς ὅρκους, οὓς ὑμεῖς ὠμόσατε, πλημμεληῆσαι οὐκ οἶδα φαυλοτέραν δίκην τῆσδε τῆς παρανομίας. εἰ δὲ περὶ τἄλλα συμπαθεῖς ὑμεῖς καὶ συγγνώμονες, ἀλλὰ περὶ τοὺς ἀνδροφόνους οὐ τοιούτους δέον ὑμᾶς καθεστάναι· οἳ γὰρ κατὰ τῶν μηδὲν ἠδικηκότων ἀπηνεῖς ἐφάνησαν καὶ ἀνήμεροι, οὗτοι τηλικαῦτα ἠδικηκότες πῶς ἂν δικαίως ἐλέους καὶ συμπαθείας παρ' ὑμῶν ἐπιτύχωσιν; Ζητοῦσι δέ τινες, τίνος χάριν ἐν μόνῳ τῷ παρόντι γυμνάσματι εἶπε μὴ εἶναι προοίμια, ὅπου γε οὐδὲ ἐν τοῖς προλαβοῦσιν· ἢ οὖν καὶ ἐν ἐκείνοις ὤφειλεν εἰπεῖν, ὅτι προοίμια μὲν οὐκ εἰσὶν ἐν τοῖς παροῦσι γυμνάσμασι, χρὴ δὲ ὅμως προοιμιακοῖς χρῆσθαι τόποις τοὺς γυμναζομένους, ἢ καὶ ἐνταῦθα σιωπῆσαι· ἔστι δὲ εἰπεῖν πρὸς τὴν τοιαύτην ζήτησιν, ὅτι ἐπεὶ ἐν μὲν τοῖς ἄλλοις

1 Codd. ἔχουσα. 2 Codd. μιγεῖν. Cfr. Hermog. Prog. p. 30.

γυμνάσμασιν, οἷον ἐν τῇ χρείᾳ καὶ ἐν τῇ γνώμῃ καὶ τῇ ἀνασκευῇ καὶ τῇ κατασκευῇ ἦσάν τινα κεφάλαια προοιμίοις ἀναλογοῦντα, ἐν μὲν τῇ χρείᾳ καὶ τῇ γνώμῃ τὰ ἐγκωμιαστικά, ἐν δὲ τῇ ἀνασκευῇ ἡ τῶν φησάντων διαβολή, καὶ ἐν τῇ κατασκευῇ ἡ τῶν φησάντων εὐφημία, διὰ τοῦτό φησιν, ὅτι ἐνταῦθα οὐκ ἔστι τοῦτο· ἡ δὲ αἰτία ἐστὶ τὸ ἐοικέναι μὲν τὸν κοινὸν τόπον ἐπιλόγῳ, μὴ εἶναι δὲ ἀναγκαῖον ἐν ἐπιλόγοις προοιμιάζεσθαι· ἢ τούτου χάριν τοῦτο εἶπεν ἐνταῦθα· ἐπειδὴ γὰρ τελεώτερον δοκεῖ εἶναι τὸ παρὸν γύμνασμα τῶν φθασάντων, διὰ τοῦτό φησιν, εἰ καὶ τοιοῦτόν ἐστιν, ὅμως προοίμια οὐκ ἔχει· ἡμεῖς δὲ θέλοντες τοὺς νέους ἐγγυμνασθῆναι τοῖς προοιμίοις ἀπαιτοῦμεν αὐτοὺς ἐνταῦθα προοιμίων τόπους· ἢ ἐπειδὴ γυμνασθεῖσιν ἤδη διὰ τῶν φθασάντων προγυμνασμάτων καὶ ἕξιν τινὰ ἐσχηκόσιν ἔδει καὶ προοιμιακῶν ἐννοιῶν ἅψασθαι, διὰ τοῦτό φησιν, ὅτι ἡ φύσις μὲν τοῦ παρόντος γυμνάσματος οὐκ ἀπαιτεῖ προοίμια, ὥσπερ οὐδὲ ἡ τῶν φθασάντων, ἀλλ' ἐν ἐκείνοις μὲν οὐκ ἀπητοῦντο οἱ νέοι προοίμια, διὰ τὸ ἀρτιπαγεῖς ἔτι πρὸς τὰ τοιαῦτα εἶναι· νῦν δὲ ἕξιν τινὰ διὰ τῶν φθασάντων λαβόντας ἀναγκαῖον προοιμίων ἐκθεῖναι τύπους.

Μεθ' ἃ θήσεις κεφάλαια πρῶτον ἐκ τοῦ ἐναντίου. Τὸ ἀπὸ τοῦ ἐναντίου κεφάλαιον ἀναλογεῖν λέγει ἐν τῇ παρούσῃ γυμνασίᾳ τῇ προκαταστάσει, τῇ καὶ προδιηγήσει λεγομένῃ, ἥ τις τὰ πρὸ τῆς διηγήσεως ἐν τοῖς πολιτικοῖς λόγοις ἐκληρώσατο τάξιν, ὡς δηλοῖ καὶ τὸ ὄνομα αὐτῆς. ὥσπερ γὰρ ἐν τῇ προδιηγήσει τὰ πρεσβύτερα τῶν ἐν τῇ διηγήσει διεξερχόμεθα, οὕτω καὶ κοινὸν τόπον κατὰ τυράννου λέγοντες ἀνατρέχομεν ἐν τῷ ἀπὸ τοῦ ἐναντίου κεφαλαίῳ εἰς πρεσβύτερά τινα ὧν νῦν αὔξομεν· οἷον εἰς τὰς τῶν προγόνων γνώμας, καθ' ἃς νόμους ἔθεντο καὶ δημοκρατίαν κατέστησαν· εἶτα κατερχόμεθα εἰς τὴν ἔκθεσιν ἀναλογοῦσαν διηγήσει, λέ-

γοντες, ὅτι τούτων οὕτως ἐχόντων οὐκ ἠθέλησεν οὗτος τοῖς τῶν προγόνων βουλήμασιν ἕπεσθαι, ἀλλὰ τὴν τε δημοκρατίαν ἐβουλήθη μεταθεῖναι καὶ τοὺς νόμους ἐκποδὼν ποιήσασθαι· ὁμοίως δὲ κατὰ ἱεροσύλου κοινὸν τόπον λέγοντες ἐν μὲν τῷ ἀπὸ τοῦ ἐναντίου κεφαλαίῳ ἀναδράμωμεν ἐπὶ τοὺς νόμους· ἢ λέγοντες, ὅτι οἱ νόμοι τῆς θεραπείας τῶν θεῶν προνοήσαντες [3] βωμοὺς ἔστησαν καὶ ἀναθήμασιν ἐκόσμησαν, θυσίαις ἐτίμησαν, πανηγύρεσι, προσόδοις· ἐν δὲ τῇ ἐκθέσει κατέλθωμεν ἐπὶ τὰ νεώτερα, φάσκοντες ὅτι τούτων οὕτως ἐχόντων οὗτος τί ἐτόλμησεν; παρεισδῦναι λάθρα εἰς τὸν ναὸν ἐμελέτησε, καὶ γυμνῶσαι τοῦτον τὸν εἰς κόσμον ἀνατεθέντα ἀναθημάτων. ὁμοίως κἂν κατὰ προδότου κοινὸν τόπον ποιῶμεν, τὸ μὲν ἀπὸ τοῦ ἐναντίου κεφάλαιον ἐργαζόμενοι ἐροῦμεν, ὅτι ἅπαντες μὲν οἱ λοιποὶ ἄνθρωποι περὶ πλείστου τὰς αὐτῶν πατρίδας τίθενται, καὶ ὅτι προπολεμοῦσιν αὐτῆς, καὶ θανεῖν ὑπὲρ αὐτῆς δεῆσαν οὐκ ἀπαναίνεται· ἐν δὲ τῇ ἐκθέσει εἴπωμεν, ὅτι τούτων οὕτως ἐχόντων οὗτος τί κατὰ τῆς πατρίδος τῆς ἑαυτοῦ ἐβουλεύσατο· προπολεμῆσαι μὲν αὐτῆς καὶ ὑπεραποθανεῖν εἰ δεήσει, οὐδεὶς νοῦν ἔθετο πώποτε, προδοῦναι δὲ τοῖς πολεμίοις ταύτην καὶ δούλην ἐξ ἐλευθέρας ἐργάσασθαι ἐμελέτησεν· ὁμοίως ἐὰν κατὰ λειποτάκτου ὁ κοινὸς ἢ τόπος, τὸ μὲν ἀπὸ τοῦ ἐναντίου τοιοῦτον ποιήσομεν· οἱ ἀριστεῖς καρτεροῦσιν ἐν ταῖς μάχαις, καὶ προπολεμοῦντες τῶν οἰκείων πατρίδων φιλοτιμοῦνται, καὶ σπεύδουσι δόξαι τῶν λοιπῶν γενναιοτέρους, θέλοντες ἅπασιν δεῖξαι, ὡς οὐδὲ τὸ ζῆν αὐτὸ τοῦ τῆς πατρίδος φίλτρου ἔμπροσθεν τίθενται· διά τοι τοῦτο καὶ γερῶν μεγίστων οἱ νόμοι αὐτοὺς ἠξίωσαν· εἶτα κατέλθωμεν εἰς τὴν ἔκθεσιν λέγοντες, ὅτι μιμητὴς οὗτος μὴ θελήσας γενέσθαι τόλμαν τε-

3 Cfr. Hermog. Prog. p. 30.

τόλμηκε κάκιστον· τὴν γὰρ τάξιν τὴν οἰκείαν λιπὼν, καὶ ὅτι τὸ κατ᾽ αὐτὸν τὸ ἡμέτερον προδοὺς στράτευμα ἐπελάθετο τῆς πατρίδος· οὐκ ἐζήλωσε δὲ τοὺς στρατιώτας οὐδ᾽ εἰς ἵμερον ἦλθε τῶν τοῖς ἀριστεῦσι διδομένων γερῶν. Ζητεῖται, τί διαφέρει τὸ παρὸν ἐναντίον τοῦ ἐν τῇ χρείᾳ καὶ τῇ γνώμῃ ἐναντίου, καὶ πῶς ἐκεῖνο μὲν ἐργασίᾳ, τοῦτο δὲ προδιηγήσει ἀναλογεῖν λέγεται· καὶ εἰ προδιηγήσει ἀναλογεῖ, πῶς κεφάλαιον αὐτὸ λέγει ὁ σοφιστής· φησὶ γὰρ μεθ᾽ ἃ θήσεις κεφάλαια· πρῶτον μὲν τὸ ἀπὸ τοῦ ἐναντίου, εἶτα ἐποίσεις τὴν σύγκρισιν· καὶ περὶ τῆς ἐκθέσεως δὲ τὸ αὐτὸ ζητεῖται, πῶς καὶ αὐτὴν κεφάλαιον λέγει διηγήσει ἀναλογοῦσαν, καὶ πῶς ἐν τῇ ἀνασκευῇ τὴν ἔκθεσιν, ἥτις καὶ αὐτὴ διηγήσεως ἔσωζε τόπον, οὐκ ὠνόμασε κεφάλαιον. ἐνταῦθα δὲ αὐτὴν οὕτως ὀνομάζει. φαμὲν δὲ διαφέρειν τὸ ἐν κοινῷ τόπῳ ἐναντίον τοῦ ἐν τοῖς προλαβοῦσι γυμνάσμασιν, τῇ χρείᾳ λέγω καὶ τῇ γνώμῃ, καθὸ ἐκεῖνο μὲν τὰ ἐναντία παρίστησι τοῦ προ αὐτοῦ κεφαλαίου, τοῦτο δὲ τοῦ μετ᾽ αὐτὸ, κἀκεῖνο δὲ τἀναντία λέγει οὐ τοῦ ἀναλογοῦντος κεφαλαίου τῇ διηγήσει, ὅπερ ἦν τὸ παραφραστικὸν, ἀλλὰ τῆς αἰτίας αὐτοῦ· τοῦτο δὲ τῆς ἐκθέσεως λέγει τὰ ἐναντία, ἥτις διηγήσεως σώζει λόγον· ἔτι δὲ καὶ καθὸ τοῦτο μὲν τὰ πρεσβύτερα τῶν προκειμένων διέξεισιν, ἐναντία μὲν καὶ αὐτὸ λέγον τῶν προκειμένων, ἀλλ᾽ οὐχὶ καὶ προγεγενημένα· τὰ γὰρ ἐν τῇ μελέτῃ τῆς χρείας καὶ τῆς γνώμης τεθέντα ἐκ τοῦ ἐναντίου κεφάλαια τἀναντία μὲν παριστῶσι τῆς αἰτίας, οὐ μὴν δὲ τὰ πρεσβύτερα· εἰκότως δὲ ἐκεῖνο μὲν ἐργασίᾳ ἀναλογεῖν ἐλέγετο· τὰ γὰρ κατασκευαστικὰ τῶν ἐπιχειρημάτων ἐργασίαι εἰσὶ, τοῦτο δὲ ὡς τὰ πρεσβύτερα τῆς ἐκθέσεως ἀναλογούσης διηγήσει διεξιὸν, προδιηγήσεως ἔχει τόπον. τὸ δὲ ἀπὸ τοῦ ἐναντίου καὶ τὴν ἔκθεσιν τὸ μὲν προδιηγήσει τὸ δὲ διηγήσει ἀναλογοῦν κεφάλαιον ὀνομάζει· τὴν ἐν τῇ ἀνασκευῇ καὶ τῇ κατα-

κατασκευῇ ἔκθεσιν μὴ ὀνομάζων τούτῳ ὀνόματι, διότι ἐκεῖναι μὲν οὐ κατασκευάζονται, ὅπερ κεφαλαίων ἔργον, μᾶλλον δὲ διὰ τῶν ἐξῆς κεφαλαίων ἀνασκευάζονται ἢ κατασκευάζονται· ταῦτα δὲ κατασκευαστικά εἰσι τούτου, οὗπερ καὶ τὰ μετὰ ταῦτά εἰσι κατασκευαστικὰ, φημὶ δὴ τοῦ μὴ δεῖν κατηγορηθῆναι τὸν κατηγορούμενον. Εἶτα ἐποίσεις τὴν ἔκθεσιν. Ἔκθεσιν ὀνομάζει τὸ κεφάλαιον τὸ ἀναλογοῦν τῇ διηγήσει, διότι ἐν αὐτῷ τὰ γεγονότα πράγματα ἐκτιθέμεθα· οὕτω δὲ καὶ τὸ διήγημα ἔκθεσιν πράγματος ὠνόμασε, καὶ τὸ ἀναλογοῦν διηγήσει ἐν τῇ ἀνασκευῇ ἔκθεσιν καὶ αὐτὸ ὠνόμασιν. Εἰς τὸ αὐτό. Εἶτα ἐποίσεις τὴν ἔκθεσιν. Ὥσπερ τὸ ἀπὸ τοῦ ἐναντίου κεφάλαιον προδιηγήσει ἀναλογοῦν μετὰ τοὺς προοιμιακοὺς ἔταξε τόπους, ἐπεὶ καὶ ἐν τοῖς πολιτικοῖς λόγοις ἡ προδιήγησις μετὰ τὰ προοίμια τίθεται· καὶ τὴν ἔκθεσιν διηγήσει ἀναλογοῦσαν μετὰ τὸ ἀπὸ τοῦ ἐναντίου τίθησι, δέον ὂν καὶ τὴν διήγησιν εὐθὺς μετὰ τὴν προδιήγησιν τάττεσθαι. Οὐχ ὡς διδάσκων, ἔγνωσται γάρ. Ἐπειδὴ καὶ ἐν τῇ διηγήσει καὶ ἐν τῷ παρόντι κεφαλαίῳ τὰ πράγματα ἐκτιθέμεθα, διὰ τὸ διδάξαι ταῦτα τοὺς ἀκροατὰς, ἐνταῦθα δὲ οὐ διὰ τοῦτο, ἀλλὰ διὰ τὸ παροξύναι αὐτούς· διὸ ἐν μὲν τῇ διηγήσει ἁπλῶς τὸ πρᾶγμα ἐροῦμεν, ἐνταῦθα δὲ μετὰ δεινώσεως καὶ αὐξήσεως· οἷον ἔστω ὑπόθεσις κατὰ προδότου ἐκείνη· πᾶσαν μὲν τὴν Ἀττικὴν τοῦ Ἀρχιδάμου δῃώσαντος, τοὺς δὲ τοῦ Περικλέους μόνους ἀγροὺς ὡς εἶχον ἐάσαντος, κρίνεται ὁ Περικλῆς προδοσίας· οὐκοῦν ἐν μὲν τῇ διηγήσει ἁπλῶς οὕτως ἐροῦμεν τὸ πρᾶγμα, ὅτι ὁ Ἀρχίδαμος εἰδὼς φίλον ὄντα τῶν Λακεδαιμονίων τὸν Περικλῆν, καὶ τὰ ἐκείνων φρονοῦντα, τὴν ἄλλην Ἀττικὴν, ὡς ἠδύνατο, λυμηνάμενος, μόνους τοὺς αὐτοῦ ἀγροὺς ἀβλαβεῖς διετήρησιν· εἰς δὲ τοὺς ἐπιλόγους ἐλθόντες καὶ τοπικῶς τοῦ ἐγκλήματος κατατρέχοντες οὐχ ἁπλῶς οὕτως ἐροῦ-

μεν, ἀλλὰ μετὰ δεινώσεως καὶ αὐξήσεως φήσομεν, δεινὸν καὶ πέρα δεινῶν, τὴν γὰρ ἐνεγκαμένην αὐτὴν καὶ τὴν θρέψασαν ταύτην προδοῦναι τοῖς πολεμίοις μελετᾷ, καὶ δούλην ποιῆσαι σκέπτεται· καὶ μὴν εἴπῃ τις, ὅτι ἐν τῇ γυμνασίᾳ τοῦ κοινοῦ τόπου, μὴ προειρηκότων ἡμῶν ἀνώτερόν τι περὶ τοῦ πράγματος ὅμως ὡσανεὶ καὶ διηγησώμεθα τὸ πρᾶγμα ἀνωτέρω, καὶ ἀπεδείξαμεν αὐτό, οὕτω ἐν τῷ κοινῷ τόπῳ τὸν λόγον προάγομεν. διὰ τοῦτο γὰρ καὶ ἐπιλόγῳ ἀναλογεῖν ὁ κοινὸς τόπος λέγεται, καὶ οὐδὲ προοίμια φυσικῶς ἐπιδέχεται. Ἔγνωσταὶ γάρ· πόθεν ἔγνωσται; ἀπὸ τῶν ἐν τῷ διηγήματι δηλονότι εἰρημένων. Οὐχ ὡς διδάσκων, ἔγνωσται γὰρ, ἀλλ' ὡς παροξύνων τὸν ἀκροώμενον. τὴν ἔκθεσίν τινες τῶν σοφιστῶν ἀποδοκιμάζοντές φασι διαφθείρειν αὐτὴν τὸ ἴδιον τοῦ γυμνάσματος διὰ τὸ τὸν κοινὸν τόπον μὴ διδασκαλίαν πραγμάτων ἀλλ' αὔξησιν ἔχειν βούλεσθαι· πρὸς δὴ τούτοις ὁ μὲν Ἀφθόνιός φησιν, ὅτι ἀλλ' οὐχ ὥσπερ διδάσκοντες τὴν ἔκθεσιν ἐπιφέρομεν, ἀλλ' ὡς τὸν ἀκροώμενον παροξύνοντες· ὁ μέντοι Γεωμέτρης τἀναντία οἱονεὶ τούτῳ λέγει, καί φησιν, ὅτι ἐπειδὴ μὴ φαινόμεθα τῷ πρώτῳ μέρει τοῦ λόγου χρησάμενοι ἢ μηδὲ τὸ πρᾶγμα διηγησάμενοι, τοῦτο γὰρ τῶν προγυμνασμάτων ἴδιον, διὰ τοῦτο καὶ ταῦτα ὡς ἀγνοουμένου τοῦ πράγματος οὐδὲν κωλύει καὶ τοῦτο παραλαμβάνεσθαι. Εἶτα ἐποίσεις τὴν σύγκρισιν. Κρίσις μὲν γὰρ λέγεται ἡ ἁπλῶς δοκιμασία τινὸς καὶ ἐξέτασις· σύγκρισις δὲ ἡ τοῦδε πρὸς τόδε παραβολὴ καὶ ἀντιπαράθεσις· οὐ γὰρ ἑνὸς [4] ἐν αὐτῇ μόνου ἐξέτασις, ἀλλὰ δύο τινῶν ἀντιπαράθεσις πρὸς ἄλληλα γίνεται· διὸ καὶ σύγκρισις μετὰ τῆς συν προθέσεως εἴρηται· ἡ γὰρ συν πρόθεσις, ὅπου ἂν τεθῇ, πλῆθος σημαίνει, οἷον σύμβιος, συνόμι-

4 ἑνὸς Vind. om.

λος, σύμψηφος· φασὶ δὲ οἱ ἐξηγούμενοι γίνεσθαι τὰς συγκρίσεις τριχῶς, ἀπὸ τοῦ μείζονος, ἀπὸ τοῦ ἴσου, ἀπὸ τοῦ ἐλάττονος, προστίθησι δὲ ὁ Γεωμέτρης καὶ ἀπὸ τοῦ ἐναντίου, οἷον ὑποκείσθω τὴν ἱεροσυλίαν μεῖζον μὲν ἀδίκημα εἶναι κλοπῆς, ἧττον δὲ τῆς ἀσεβείας, ἴσον δὲ τῇ ὑφαιρέσει τῶν τοῖς ἥρωσιν ἀνατεθειμένων, εἰ γὰρ καὶ τούτου μεῖζον ἀδίκημα ἡ ἱεροσυλία ἐστὶν, ὅμως μελέτης[5] χάριν ὑποκείσθω αὐτῷ ἴσον εἶναι, οὐκοῦν κατὰ ἱεροσύλου μελετῶντες κοινὸν τόπον, εἰ μὲν ἀπὸ τοῦ μείζονος βουλόμεθα ποιῆσαι τὴν σύγκρισιν, ἐροῦμεν οὕτως· δεινὸν ἡ ἀσέβεια, καὶ τιμωρίας μεγίστης παρὰ τῶν νόμων τετιμημένη, καὶ ἡ ἱεροσυλία δὲ οὐδὲν ἧττον δεινὸν ἐκείνης καθέστηκεν, ἴσα γὰρ ἀμφότερα, παρόσον καὶ εἰς τοὺς αὐτοὺς ἐνυβρίζουσιν· εἰ δὲ ἀπὸ τοῦ ἴσου πάλιν βουλόμεθα ποιῆσαι τὴν σύγκρισιν, οὕτως ἐροῦμεν· εἶτα τίς τὸν ἱερόσυλον τῷ ὑφαιρουμένῳ τὰ τοῖς ἥρωσιν ἀνατεθειμένα ἐξισῶσαι θελήσει· ἀλλ' ὁ μὲν εἰς θεοὺς ἁμαρτάνει· ὁ δὲ εἰς ἥρωας· ὅσον δὴ μείζους τῶν ἡρώων οἱ θεοὶ καθεστήκασι, τοσοῦτον καὶ ἱερόσυλος τυμβωρύχου δεινότερον. εἰ δὲ ἀπὸ τοῦ ἐλάττονος βουλόμεθα συγκρῖναι, οὕτως εἴπωμεν· δεινὸν ὁ κλέπτης· ὁ δὲ ἱερόσυλος μείζων καθέστηκεν. ἀπὸ δὲ τοῦ ἐναντίου ἔσται σύγκρισις, οἷον εἰ κατὰ λειποτάκτου κοινὸν μελετῶντες τόπον τὸν λειποτάκτην τῷ ἀριστεῖ συγκρίνομεν λέγοντες, ὡς εἰ μέγιστον ὁ ἀριστεὺς ἀγαθὸν, οὐδὲν ἔλαττον ὁ λειποτάκτης κακόν· πλὴν τοῦτο σημειωτέον, ὅτι τὰς συγκρίσεις οὕτως ὀφείλομεν σχηματίζειν, ἵνα τὸ μεῖζον ἐν αὐταῖς μόνῳ τῷ προβαλλομένῳ συνάγηται, μὴ μέντοι καὶ τιμωρίας αὐτὸν ἢ τινος ἄλλου ἄξιον ἀποφαίνωμεν· αὐτίκα γὰρ, εἰ οὕτως ἐροῦμεν, εἰ ὁ κλέπτης κολάσεως ἄξιος, οὐ πολλῷ μᾶλλον ὁ ἱερόσυλος, ἐργασίαν ἀπὸ τοῦ μικροτέρου ποιοῦ-

5 μελέτης Codd. om.

μεν, οὐ σύγκρισιν, καὶ πάλιν, εἰ μὲν οὖν τὸν ἀριστέα τιμᾷν ἄξιον, τὸν λειποτάκτην κολάζεσθαι λείπεται· καὶ τοῦτο γὰρ οὐ σύγκρισις ἀλλ' ἐργασία μᾶλλόν ἐστιν ἀπὸ τοῦ ἐναντίου· ἰστέον δὲ καὶ τοῦτο, ὅτι ὅτε μὲν ἀπὸ τοῦ μείζονος συγκρίνομεν, ἴσον τὸν παραβαλλόμενον τῷ μείζονι ποιήσομεν, ἀλλ' οὐχὶ μείζονα, ὡς ἂν μὴ ἀπίθανα δόξωμεν λέγειν, καὶ καταγέλαστοι παρὰ τοῦτο ἐσόμεθα· ἀρκοῦσα γὰρ αὔξησις ἡ τοῖς ταπεινοῖς τὸ ἴσον πρὸς τὸ ἄγαν ὑπερέχον παρεχομένη· εἰ δὲ καὶ μείζονα βουλόμεθα ἀποδεῖξαι, οὐχ ἁπλῶς τοῦτο ποιήσομεν, ἀλλὰ πρῶτον ἴσον ἀποδείξαντες, οὕτως ἐπὶ τὸ μεῖζον χωρήσομεν, οἷον ὡς ἐπὶ τοῦ ἱεροσύλου καὶ τοῦ μοιχοῦ· φήσομεν γὰρ τὴν μοιχείαν τῇ ἱεροσυλίᾳ συγκρίνοντες, πρῶτον μέν, ὅτι οὐδὲν ἔλαττον ἱεροσυλίας μοιχεία, κακεῖνος γὰρ τὸν Θεὸν ἀδικεῖ, καὶ οὗτος δὲ τὸν Θεῖον πατεῖ νόμον· εἶτα καὶ πρὸς τὸ μεῖζον· εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν καὶ πολλῷ μεῖζον· ὁ μὲν γὰρ περὶ χρήματα μόνον ἀδικεῖ καὶ ἀναθήματα, εἰ καὶ Θεῖα· οὗτος [6] δὲ περὶ αὐτὸ [7] τῶν τοῦ Θεοῦ κτημάτων τὸ τιμιώτατον, τὸν ἄνθρωπον καὶ τὴν περὶ αὐτὸ σωφροσύνην· καὶ ταῦτα μὲν ὅτε ἀπὸ τοῦ μείζονος συγκρίνομεν, μεῖζον τὸ παραβαλλόμενον τοῦ ἴσου ἀποδειξομεν. ἐπὶ μέντοι τῶν ἀπὸ τοῦ ἐλάττονος συγκρίσεων ἐπιτιμητικῶς τὸν λόγον προσάγομεν λέγοντες, εἶτα τὸν κλέπτην δεινὸν ἡγούμενοι οὐ πολλῷ τούτου δεινότερον τὸν ἱερόσυλον ὑπολάβωμεν, οὐκ ἀτέχνως δὲ κατ' ἐπιτίμησιν καὶ ἐλεγκτικῶς τὰς ἀπὸ τοῦ ἥττονος συγκρίσεις ἐκφέρομεν, ἀλλὰ καὶ πάνυ τεχνικῶς· ἢ γὰρ διὰ τὸ ἄγαν τῆς ἐπιχειρήσεως ἰσχυρὸν τοῦτο ποιοῦμεν, ἢ διότι καθαιρεῖ τὸν ὑπάρχοντα ὄγκον ἀπὸ τῆς φύσεως, ἀπὸ τοῦ ἥττονος τῆς συγκρίσεως τρόπος. ὅτε γὰρ λέγωμεν, ὅτι ὁ

6 Vind. οὕτως. Laur. οἵτος. 7 Laur. περὶ αὐτὸ τῶν τοῦ Θεοῦ. Vind. περὶ αὐτῶν τοῦ Θεοῦ.

ἱερόσυλος μείζων ἐστὶ τοῦ κλέπτου, οὐ μᾶλλον αἴξεται ἢ καθαιρεῖται τῆς ἱεροσυλίας τὸ μέγεθος· περὶ μέντοι τῆς τάξεως τῶν τεσσάρων τούτων τῆς συγκρίσεως τρόπων, καὶ περὶ τοῦ τρόπου, οἷον τί πρὸ τίνος τακτέον, καὶ εἰ κατὰ τοὺς τρεῖς τρόπους αἱ [8] συγκρίσεις ποιοῦνται, ἢ τίνα τούτων ἐκλείψουσιν, ἡμεῖς μὲν οὐδὲν ἔχομεν βέβαιον εἰπεῖν· ὁ [9] μέντοι διαιρῶν πρὸς τὴν φύσιν τῶν πραγμάτων εἴσεται σκοπῶν· πλὴν τοῦτο γνωστέον, ὅτι τῶν ὁμοιογενῶν ἐν ταῖς συγκρίσεσι πρὸ παντὸς δεῖ φροντίζειν, ὡς ἂν πρὸς ταῦτα ἡ σύγκρισις γίνηται. ὁμοιογενῆ δέ ἐστι τὰ ἐν ταῖς αὐταῖς αἰτίαις ἐξεταζόμενα· οἷον εἰ κατὰ τυμβωρύχου λέγομεν, τὴν σύγκρισιν πρὸς κλέπτας ἐργασόμεθα καὶ ἱεροσύλους καὶ πάντας τοὺς κέρδους ἕνεκα τοιαῦτα τολμῶντας· δεῖ δὲ κἀκεῖνο γινώσκειν, ὅτι ὁ Ἀφθόνιος ἐν τῷ περὶ συγκρίσεως λόγῳ οὐ διαιρεῖ τὴν σύγκρισιν εἰς τὸ ἀπὸ τοῦ ἴσου καὶ ἀπὸ τοῦ μείζονος, καὶ τὸ ἀπὸ τοῦ ἐλάττονος, ἀλλ' εἴς τε τῶν χρηστῶν πρὸς τὰ χρηστὰ παράθεσιν, καὶ εἰς τὴν τῶν φαύλων πρὸς φαῦλα, καὶ εἰς τὸν τῶν χρηστῶν πρὸς πονηρὰ, καὶ εἰς τὴν τῶν μικρῶν πρὸς μείζονα. Ἐκ παραθέσεως. Παράθεσιν ἔνιοι τὴν ὁμοίωσιν σημαίνουσι. Δέον γὰρ ἐξ ὁμοίων τὴν σύγκρισιν γίνεσθαι· οἷον ἵνα εἰ κατὰ κλέπτου λέγομεν, συγκρίνομεν αὐτὸν ἱεροσύλῳ· ὅμοιον γὰρ κλέπτης καὶ ἱερόσυλος, εἰ μὴ καὶ ἴσον, παρόσον καὶ ὁ ἱερόσυλος κλέπτης ἐστὶν ἱερῶν πραγμάτων· ἢ καὶ βιαίῳ, ὅμοιον γὰρ πάλιν ὁ κλέπτης καὶ ὁ βίαιος, εἰ καὶ μὴ ἴσον, παρόσον καὶ τὸν βίαιον ἀναιδῆ ἴσασι κλέπτην. Τὸ συνάγων φωνὴ τῶν φιλοσόφων ἐστὶν, ἐπὶ τοῦ συμπεράσματος ἐξενηνεγμένη· συνάγειν γὰρ τὸ ἐπάγειν τὸ συμπέρασμά φασι· συμπέρασμα δέ ἐστιν ὁ μιγνύων τὰς δύο προτάσεις λόγος· πρότασις δὲ ἐκ δύο γίνεται

8 Codd. ἡ. 9 Codd. ἡ.

ὅρων, ἑνὸς μὲν τοῦ ἄνθρωπος, ἑτέρου δὲ τοῦ ζῶον· ἑτέρου δὲ τοῦ οὐσία. εἶτα ἡ συναγωγὴ εἴτουν τὸ συμπέρασμα, συνάγον τὰς δύο προτάσεις καὶ παριστῶν τὴν ἀλήθειαν, ἀναγκαίως ὁ ἄνθρωπος ἄρα οὐσία. ἐπειδὴ γὰρ ὁ μὲν ἄνθρωπος ζῶον, τὸ δὲ ζῶον οὐσία, ἀναγκαῖον τὸ ἑπόμενον, τὸ τὸν ἄνθρωπον οὐσίαν εἶναι· καθὸ οὖν ἐκ δύο προτάσεων συνάγεται, συναγωγὴ λέγεται καὶ καλεῖται· καθὸ δὲ συμπεραίνει καὶ ἀπαρτίζει τὸ ἀληθὲς, συμπέρασμα ὀνομάζεται. καὶ ἐπὶ τῆς συγκρίσεως οὖν τοῦτο θεωρεῖται, ὡς ἐὰν εἴπω· ὁ Ἔχετος ἀπάνθρωπος καὶ ὠμὸς καὶ ἀνηλεής τις ἦν· ὁ Φάλαρις τὴν ἐκείνου κακίαν παρήλασεν· ὁ Φάλαρις ἄρα τοῦ μισεῖσθαι καὶ διαβάλλεσθαι κατὰ τὸν Ἔχετον ἄξιος. Τῷ κατηγορουμένῳ. Τί λέγεις τῷ κατηγορουμένῳ; καὶ μὴν ὁ κοινὸς τόπος οὐκ ἀεὶ αὔξησιν ἔχει κακῶν, ἵνα ἐν τῷ αὐτῷ κατηγορῶμεν, ἀλλὰ καὶ ἀγαθῶν· οὐκ ὤφειλεν οὖν εἰπεῖν τῷ κατηγορουμένῳ, ἀλλὰ τῷ παραβαλλομένῳ, ἤ τι τοιοῦτον· ἀποτέμνεις γὰρ οὕτω τὸ ἀπολογητικὸν μέρος τοῦ κοινοῦ τόπου, καὶ τῷ αὐτῷ ὑποπίπτεις ἁμαρτήματι τοῦτο ποιῶν, ἢ οὐκ ἀποτέμνει τὸ τῆς συνηγορίας μέρος τοῦ κοινοῦ τόπου τοῦτο λέγων· ἀλλ' ἐκ τοῦ εἰπεῖν, ὅτι τῷ κατηγορουμένῳ δέον συνάγειν τὸ μεῖζον, δίδωσιν ἡμῖν ἔξωθεν νοῆσαι, ὅτι κἂν μὴ κατηγορούμενος ἦ ὁ παραβαλλόμενος καὶ τούτῳ τὸ μεῖζον συνάξομεν πάντως. Τινὲς μέντοι τὸ τῆς συνηγορίας μέρος τοῦ κοινοῦ τόπου ἐκτέμνοντες φασὶ τὸ ὑπέρ τινος τὸν κοινὸν τόπον μὴ ἔχειν· μηδὲ αὔξησιν ἐν αὐτῷ ἀνδραγαθήματος γίνεσθαι, τοῦτο γάρ φασιν ἐγκωμίων ἔργον· εἰ δὲ πρόκειται, φασὶν, ὑπέρ τινος ἐν κοινῷ τόπῳ λέγειν, πάντως ἢ ὑπὲρ αὐτῶν ἐροῦμεν, καθ' ὧν ἤδη εἰρήκαμεν, ἢ ὑπὲρ ἑτέρων. ἀλλ' εἰ μὲν ὑπὲρ τούτων, καθ' ὧν καὶ προείρηται, οἷον κατὰ φονέως καὶ ὑπὲρ φονέως, οὐκέτι τὸ πρᾶγμα ὁμολόγηται, τοῦ κοινοῦ τόπου ὁμολογουμέ-

νου πράγματα ὀφείλοντος αὔξειν. εἰ δὲ ὑπὲρ ἑτέρων τῶν τὰ ὁμολογούμενα ἀγαθὰ διαπεπραγμένων τῷ ἐγκωμίῳ μᾶλλον ἁρμόζων ὁ τοιοῦτος λόγος φανεῖται· φαμὲν οὖν πρὸς ταῦτα· ὅτι οὐκ εἰ πάντως ἐν κοινῷ τόπῳ τὸ προκείμενον αὔξομεν ἀνδραγάθημα· οἷον ὡς ὅτε ὑπὲρ ἀριστέως ἢ τυραννοκτόνου λέγωμεν, ἤδη καὶ ἐγκωμίου χρείαν ἀποπληροῦμεν. ὥσπερ οὔδ' ὅτε κοινὸν τόπον κατὰ προδότου ἢ τυράννου μελετῶμεν, τὴν τυραννίδα ἢ τὴν προδοσίαν ψόγου ἔργον ποιοῦμεν. ἐν μὲν γὰρ τῷ ψόγῳ ἄλλως τὸν λόγον προφέρομεν, διαβάλλοντες τὰ πρόσωπα, οἷον τὸν προδότην ἢ τὸν τύραννον. ἐν δὲ τῷ κοινῷ τόπῳ καὶ πρὸς τὸ κολάσαι τοὺς τοιούτους, τοὺς δικαστὰς ἐπαλείφομεν· ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ ἐγκωμίου· ἐγκωμιάζοντες γὰρ τὸν ἀριστέα εἰ τύχοι, ψιλῶς μόνον τὰ προσόντα καλὰ τῇ τοῦ προσώπου ποσότητι διέξιμεν, κοινὸν δὲ τόπον ὑπὲρ αὐτοῦ λέγοντες καὶ πρὸς στεφάνους αὐτοῦ καὶ ἀναῤῥήσεις τοὺς ἀκροατὰς διεγείρομεν. ἄλλως τε δὲ ἐν μὲν τῷ ἐγκωμίῳ τοῖς ἐγκωμιαστικοῖς χρώμεθα κεφαλαίοις, γένει, ἀγωγῇ, πράξεσιν· ἐνταῦθα δὲ ἑτέροις τρισὶ κεφαλαίοις οἰκείοις οὖσι τοῦ προγυμνάσματος· ἐροῦμεν δὲ ἐν τῷ κοινῷ τόπῳ οὐχ ὑπὲρ τούτων καθ' ὧν καὶ εἰρήκαμεν, εἰ ἐγχωρεῖ εἰπεῖν, οἷον ὑπὲρ ἱεροσύλου ἢ προδότου· ἀναιδὲς γὰρ τοῦτο· ἀλλ' ὑπὲρ ὁμολογουμένων ἀνδραγαθημάτων· οἷον ὑπὲρ ἀριστέως, ὑπὲρ τυραννοκτόνου· ἐροῦμεν δὲ καὶ ψιλῶς οὕτω διεξερχόμενοι τὰ προσόντα τοῖς τοιούτοις καλά. τοῦτο γὰρ ἐγκωμίων ἔργον· ἀλλ' αὔξοντες καὶ δεινοῦντες, καὶ πρὸς τὸ δωρεαῖς ταῖς πρεπούσαις τοὺς τοιούτους ἀμείψασθαι τοὺς ἀκροατὰς διεγείροντες. Ἐκ παραθέσεως συνάγων τῷ παραβαλλομένῳ τὸ μεῖζον. ἀποροῦσί τινες λέγοντες· εἰ τριχῶς κατὰ τὸ ποσὸν ἡ σύγκρισις γίνεται, ἀπὸ γὰρ τοῦ μείζονος καὶ ἀπὸ τοῦ ἴσου καὶ ἀπὸ τοῦ ἐλάττονος. ἐν δὲ τῇ ἀπὸ τοῦ μείζονος συγκρίσει οὐ

μείζονα τὰ πάνυ μικρὰ τῶν μεγίστων [10] ἀποφαινόμεθα, ἀναιδὲς γὰρ τοῦτο, ἀλλ' ἴσα αὐτοῖς, πῶς οὗτός φησιν, ὅτι ἀεὶ ἐν ταῖς συγκρίσεσι δέον τὸ μεῖζον τῷ κατηγορουμένῳ συνάγειν. ἔστι δὴ πρὸς τοῦτο εἰπεῖν, ὅτε τὰ μικρὰ τοῖς μεγάλοις παρατιθέντες ἴσα δείκνυμεν, τὸ μεῖζον τοῖς μικροῖς συνάγομεν. εἰ δέ γε καὶ μείζονα αὐτά, παρόεἰσι, δείκνυμεν· ἄλλως τε δὲ οὐ μόνον ἴσα τὰ μικρὰ τοῖς μεγάλοις δείκνυμεν, ἀλλὰ καὶ μείζονα αὐτῶν· μετὰ γὰρ τὸ ἀποδεῖξαι ἴσα καὶ μείζονα πειρώμεθα ἀποδεῖξαι ὡς καὶ ἀνωτέρω εἰρήκαμεν. Εἶτα γνώμην κεφάλαιον οὕτω καλούμενον. ἐν τῇ γνώμῃ τῷ κεφαλαίῳ ἤτοι τοῦτο λέγομεν, ὅτι οὐκ ἄκων τὸ δεινὸν οὗτος πεποίηκεν, ἀλλ' ἑκὼν καὶ παρὰ τοῦτο τιμωρίας μεγίστης ἄξιος, ἢ ὅτι πονηρὸς ὢν καὶ τὰ πονηρὰ ἐθισθεὶς πράττειν, καὶ γεωργίᾳ μὴ βουλόμενος προσενέχειν ἢ ἐμπορίᾳ· ἀπὸ δὲ τῶν δεινῶν πλουτεῖν βούλεται, οἷον εἰ κατὰ ἱεροσύλου ἢ τυμβωρύχου ἢ κλέπτου ἢ βιαίου ἢ ἅρπαγος λέγοντες ἐροῦμεν· οἱ μὲν ἄλλοι ἄνθρωποι κἂν ἄκοντες πταίσωσι, τιμωροῦνται· οὗτος δὲ μὴ ἔχων εἰπεῖν ὡς ἄκων ἥμαρτε, πῶς οὐ τιμωρηθήσεται· ἢ ὅτι μὴ θέλων τὰ προσήκοντα πράττειν μηδὲ τὸν βίον ἐκ δικαίας ἔχειν προφάσεως, ἐκ τῶν ἀλλοτρίων πλουτεῖν ἐσκέψατο· εἰκότως δὲ καὶ τούτῳ τῷ κεφαλαίῳ ἐν τῷ παρόντι γυμνάσματι χρώμεθα· ἐπειδὴ γάρ, ὅταν ἄκων φαίνηταί τις ἡμαρτηκὼς, συγγνώμης ἔσθ' ὅτε ἀξιοῦται, διὰ τοῦτο θέλοντες τὴν ἐκ τούτου προσγενησομένην, βοήθειαν τοῖς ἡμαρτηκόσιν ἀποκεκλεῖσθαι, χρώμεθα τῷ παρόντι κεφαλαίῳ, ἀποδεικνύντες, ὅτι οὐκ ἀκουσίως τόδε τι ἔπραξιν· ὥσπερ δὲ, ἡνίκα κατά τινος λέγομεν, χρώμεθα τούτῳ τῷ κεφαλαίῳ, οὕτως καὶ ὅτε ὑπέρ τινος λέγομεν, οἷον ὑπὲρ ἀριστέως, ὑπὲρ τυραννοκτόνου, χρησόμεθα λέγοντες, ὅτι

---

10 Codd. *μειζόνων* superscripto *μεγίστων*.

ἐκὼν τόδε καὶ οὐκ ἄκων ἐποίησεν· εἰ γὰρ μὴ τοῦτο βεβαιώσομεν, ἀλλ' ἐκ ταυτομάτου φανείη κατορθωκὼς καὶ οἰχ ἑκὼν ἐλάττων αὐτῷ ἔσται ἡ χάρις· ἢ οὖν οὕτως ἐροῦμεν ἐν τῷ παρόντι κεφαλαίῳ, ὅτε ὑπέρ τινος λέγομεν, ἢ ἐξετάσομεν κἀνταῦθα τὴν αἰτίαν, καθ' ἣν τόδε τὸ εὐεργέτημα ἔπραξεν. οἷον ἐὰν ὑπὲρ τυραννοκτόνου λέγωμεν, ἐροῦμεν ὅτι φιλόπολις ὢν καὶ μὴ φέρων ὁρᾷν τὴν πόλιν δουλεύουσαν καὶ τυραννικοῖς ὑπηρετοῦσαν προστάγμασιν, ἀφειδήσας ἑαυτοῦ καὶ τὸν θάνατον παρ' οὐδὲν θέμενος ἐπὶ τὴν ἀκρόπολιν ὥρμησε, καὶ τὸν τύραννον, ὃν ὁπλιτῶν τόσαι καὶ τόσαι ἐτήρουν φάλαγγες, λαθὼν ἀπέκτεινεν· οὕτω δὲ καλεῖται τὸ κεφάλαιον γνώμη, διότι ἐν αὐτῷ τὴν τοῦ προσώπου ἐξετάζομεν γνώμην, καθ' ἣν τόδε τι ἔπραξεν· εἰκότως δὲ καὶ ταύτην τὴν τάξιν ἔλαχε· μετὰ γὰρ τὸ κεφάλαιον τὸ ἀναλογοῦν προδιηγήσει, ὅπερ ἦν τὸ ἀπὸ τοῦ ἐναντίου, καὶ μετὰ τὴν ἔκθεσιν, ἥτις ἦν οἰκυῖα διηγήσει, αὐξήσαντες τὸ πρᾶγμα διὰ συγκρίσεως καὶ μέγα αὐτὸ δείξαντες, ἵνα μήτις ὑπολάβῃ ἀκουσίως τὸν πράξαντα τοῦτο δρᾶσαι, καὶ παρὰ τοῦτο εἰ καὶ μέγιστον ἥμαρτεν, ὅμως συγγνώμης αὐτὸν ἀξιώσῃ. διὰ τοῦτο μετὰ ταῦτα τὰ κεφάλαια κεχρήμεθα εὐθὺς τῇ γνώμῃ, δεικνύντες, ὅτι ἑκὼν ὁ κατηγορούμενος ἠδίκησεν, ἢ ἥμαρτε καὶ οὐκ ἄκων. *Εἰς τὸ αὐτό.* Εἶτα γνώμην κεφάλαιον· ἀπὸ κοινοῦ τὸ ἐποίσεις, ἵν' ᾖ· εἶτα ἐποίσεις κεφάλαιον καλούμενον γνώμην. *Διαβάλλων τὴν τοῦ πράξαντος διάνοιαν.* ὁ μὲν ἐξηγητὴς τὴν τοῦ πράγματος διάνοιαν ἀνέγνω, καί φησιν, ὅτι πρᾶγμα λέγει ὁ Ἀφθόνιος αὐτὸ τὸ ὑποκείμενον, καθ' οὗ τὸν λόγον ποιούμεθα, τυραννίδα, μοιχείαν, τὸ λιπεῖν τὴν τάξιν· τῶν δὲ βιβλίων τὰ πλείω τὴν τοῦ πράξαντος διάνοιαν ἔχει, καὶ ἔστιν κρείττων ἡ τοιαύτη γραφή. *Διαβάλλων τὴν τοῦ πράξαντος διάνοιαν·* ἐν τούτῳ τῷ κεφαλαίῳ διαβάλλομεν τὴν τοῦ πράξαντος διάνοιαν, δει-

κνύντες, ὅτι οὐκ ἐκ τοῦ παρατυχόντος τόδε τὸ δεινὸν εἰργάσατο, ἀλλὰ πονηρὸς ὤν, καὶ τάδε τὰ φαῦλα διανοούμενος, οὐκ ἀεὶ δὲ ἐν τῷ παρόντι κεφαλαίῳ τὴν τοῦ πράξαντος διάνοιαν διαβάλλομεν, ἀλλ' ἔστιν ὅτε καὶ ἐπαινοῦμεν, ὡς ὅταν ὑπέρ τινος ὁ κοινὸς τόπος ὑπάρχῃ, οἷον ὑπὲρ ἀριστέως ἢ τινος τοιούτου· ὥστε λέγων ὁ Ἀφθόνιος τὸ „εἶτα γνώμην κεφάλαιον ἐποίσεις, διαβάλλων τὴν τοῦ πράξαντος διάνοιαν," παραπλήσιόν τι λέγει οἷς εἴρηκεν ἀνωτέρω· εἶτα ἐποίσεις τὴν σύγκρισιν ἐκ παραθέσεως συνάγων τῷ κατηγορουμένῳ τὸ μεῖζον· ἐλλιπῶς γὰρ εἴρηκε κατ' ἀμφότερα. *Εἶτα παρέκβασιν, στοχαστικῶς, κακίζων τὸν φθάσαντα βίον·* ἐπειδὴ διὰ τῶν προλαβόντων κεφαλαίων αὐξήσει καὶ καταδρομῇ κατὰ τοῦ προκειμένου πράγματος ἐχρησάμεθα, ἵνα μήτις οἰηθῇ αὐτὸ μόνον πρᾶξαι τὸ δεινὸν τὸν κρινόμενον, τὸν δὲ φθάσαντα βίον ἐπ' ἀγαθοῖς διανῦσαι, καὶ παρὰ τοῦτο συγγνώμης ἄξιος νομισθείη αὐτῷ ὁ κατηγορούμενος, διὰ τοῦτο καὶ τῷ παρόντι κεχρήμεθα κεφαλαίῳ ἀνατρέχοντες ἐν αὐτῷ εἰς τὸν φθάσαντα τοῦ κατηγορουμένου βίον, καὶ ἕτερα λέγοντες πλείω ὅμοια τῷ παρόντι ἐν τοῖς προλαβοῦσι τολμῆσαι αὐτὸν, καὶ ἄξιον εἶναι καὶ δι' ἐκεῖνα οὐ διὰ τὸ παρὸν αὐτὸ μόνον κολασθῆναι· οἷον ὑποκείσθω κατὰ ἱεροσύλου μελετᾶν ἡμᾶς κοινὸν τόπον, οὐκοῦν ἐν τῷ παρόντι κεφαλαίῳ ἀναδραμόντες ἐς τὸν φθάσαντα βίον ἐροῦμεν οὕτως· δοκεῖ μοι ὁ τηλικοῦτον τολμήσας τόλμημα πολλὰς κλοπὰς καὶ τυμβωρυχίας ἐργάσασθαι πρότερον, ἀφ' ὧν ὥσπερ ὁδῷ προϊὼν καὶ ἐπὶ τὴν παροῦσαν ἀφορμὴν τοῦ κέρδους ἀπήντησεν, ὥστε δίκαιός ἐστι καὶ τῶν φθασάντων, οὐ τοῦ παόντος μόνου δίκην ἐκτῖσαι. *Παρέκβασιν* καὶ ὁ Ἑρμογένης ἐν τῷ περὶ τῶν στάσεων βιβλίῳ πλὴν στοχασμοῦ καὶ τῆς πραγματικῆς. ἀλλὰ τὴν μὲν γνώμην οὕτω καὶ αὐτὸς ὀνομάζει γνώμην, τὴν δὲ παρέκβασιν ποιότητα ὀνομάζει, διότι

ἐν αὐτῇ τὴν τοῦ προσώπου ποιότητα ἐξετάζομεν· ὁ μέντοι Ἀφθόνιος παρέκβασιν ὀνομάζει τὸ τοιοῦτον κεφάλαιον, διότι ἐν αὐτῷ τῶν προκειμένων ἐξιστάμενοι περὶ τῶν φθασάντων σκοποῦμεν· καὶ ὁ μὲν Ἀφθόνιος τὸν φθάσαντα μόνον βίον τοῦ κρινομένου ἀξιοῖ κακίζεσθαι ἐν τῷ παρόντι κεφαλαίῳ, σὺ δὲ εἰ θέλεις καὶ τὸν μέλλοντα ἐξετάσεις, λέγων ὅτι, εἰ μὲν ἀφεθείη ἀτιμώρητος, καὶ χείρονα ὧν ἔπραξε, πράξει, εἰ δὲ τιμωρηθείη, εἰς τὸ κρεῖττον μεταβληθήσεται· εἰκότως δὲ αὕτη ἡ τάξις τῷ παρόντι κεφαλαίῳ ἀπονενέμηται, οὔτε γὰρ πρὸ τοῦ ἐναντίου ἔδει ταχθῆναι αὐτὸ διὰ τὸ ἐναντίον προδιηγήσει ἀναλογοῦν, ὡς ἐδείκνυμεν, μετὰ τὰ προοίμια προσήκειν τάττεσθαι, ἀλλ' οὐδὲ πρὸ τῆς ἐκθέσεως, δέον γὰρ καὶ αὐτὴν διηγήσει ἀναλογοῦσαν μετὰ τὴν οἱονει προδιήγησιν ταχθῆναι· ἀλλ' οὐδὲ πρὸ τῶν ἄλλων οἷον τῆς συγκρίσεως καὶ τῆς γνώμης, ἐπειδὴ περὶ τοῦ νυνὶ κρινομένου πράγματος ταῦτα διαλαμβάνοντα καὶ κατὰ τοῦτο κοινωνοῦντα τῇ ἐκθέσει καὶ αὐτῇ περὶ τούτου διαλαμβανούσῃ οὐκ ἔδει διαζευχθῆναι αὐτῆς διὰ τῆς παρεκβάσεως, ἥ τις οὐ περὶ τοῦ νυνὶ κρινομένου καὶ αὐτὴ διαλαμβάνει, ἀλλὰ περὶ τοῦ πρὸ αὐτοῦ· ἀλλ' οὐδὲ μετὰ τὰ ἐπιφερόμενα ἐπιχωρεῖ τὴν παρέκθεσιν τεθῆναι, οἷον μετὰ τὸ νόμιμον καὶ τὰ ἑξῆς· ἐκεῖνα γὰρ ἐν τῷ τέλει τοῦ λόγου ὀφείλουσι τίθεσθαι, διὰ τοῦτο γὰρ καὶ τελικὰ ὀνομάζεται. Εἰς τὸ αὐτό. Εἶτα παρέκβασιν· ἀπὸ κοινοῦ τὸ ἐποίσεις· στοχαστικῶς κακίζων τὸν φθάσαντα βίον. εἰκότως ἔφη τὸ στοχαστικῶς· εἰ μὲν γὰρ ἦν τὸ πρόσωπον, καθ' οὗ ἐν τῷ κοινῷ τόπῳ λέγομεν, ὡρισμένον, οἷον Περικλῆς, Δημοσθένης, οὐκ ἂν στοχαστικῶς ἐλέγομεν ἀλλ' ἀποφαντικῶς, καὶ ὡς ἀκριβῶς εἰδέ τις· ἐπειδὴ δὲ οὐχ ὡρισμένον ἐστὶν, εἰκότως ἀπὸ τοῦ νῦν πεπραγμένου στοχαζόμενοι ἐροῦμεν, τίς ἦν ὁ τοιοῦτος κατὰ τὸν παρελθόντα βίον. Κακίζων

τὸν φθάσαντα βίον· κἀνταῦθα ἐλλιπῶς εἴρηκεν· οὐ γὰρ ἀεὶ ἐν τῷ παρόντι κεφαλαίῳ κακίζομεν τὸν φθάσαντα βίον τοῦ περὶ οὗ ὁ λόγος· ἔστι δὲ ὅτε καὶ μεγαλύνομεν, ὡς ὅτε ὑπέρ τινος λέγομεν· εἶτα ἐλέου ἐκβολὴν, πάσας τὰς ἄλλας προφάσεις, δι' ὧν εἰκός ἐστι τὸν κατηγορούμενον συγγνώμης ἀξιωθῆνα διὰ τῶν προλαβόντων ἡμῶν ἀνελόντων κεφαλαίων. οἷον τὴν ἐκ τοῦ ἀκουσίως ἡμαρτηκέναι διὰ τοῦ ἐκ τοῦ κεφαλαίου τῆς συγγνώμης, καὶ τὴν ἐκ τοῦ μὴ τὸ παρὸν μόνον πλημμελῆσαι διὰ τῆς παρεκβάσεως· ἐπειδὴ εἰκός ἐστιν καὶ διὰ φιλανθρωπίαν τῶν δικαζόντων συγγνώμης τινὸς ἀξιωθῆναι καὶ μάλιστα εἴ τις ἐξεταζόμενος ἔχει γυναῖκα οἰμώζουσαν καὶ παῖδας παραγομένους καὶ πρεσβύτας ἱκετεύοντας, διὰ τοῦτο δίδωσιν ἡμῖν ἡ τέχνη ἀφορμὰς, δι' ὧν καὶ τὴν ἐκ τῆς τοιαύτης αἰτίας συμπάθειαν τοῖς κινδυνεύουσιν ἀποκλείσομεν· ἐροῦμεν γὰρ ἐν τῷ παρόντι κεφαλαίῳ κατὰ μὲν ἱεροσύλου λέγοντες, μή μοι τὴν νῦν δακρύουσαν ὁρᾶτε γυναῖκα, μηδὲ τοὺς ἄλλους, ὅσοι ἐν προσχήματι κατηφεῖ τοῦτον δὴ τὸν πονηρὸν ἐξαιτοῦνται, ἀλλ' ἐκεῖνον τὸν καταφρονοῦντα τῶν θεῶν, τὸν προσιόντα τοῖς ἀνακτόροις, τὸν ἀνασπῶντα τὰς θύρας, τὸν τῶν ἀναθημάτων ἁπτόμενον· ἢ καὶ οὕτως· ἴσως δέ τινες αὐτὸν ἐξαιτήσονται, γυνὴ κλαίουσα,[11] καὶ παῖδες ὀρφανίαν ἀποδυρόμενοι, ἀλλ' ὑμεῖς, ὅτε τούτους ὁρᾶτε δακρύοντας, τότε καὶ τοὺς θεοὺς ἀγανακτοῦντας ἐφ' οἷς ὑβρίσθησαν ὑπολάβετε, καὶ τὴν παρ' ἡμῶν ζητοῦντας ἐκδίκησιν· οὕτω γὰρ ἂν ἐκείνοις καὶ οὐ τοῖς τούτου παισὶ τὴν ψῆφον ἐξενέγκοιτε· ὡσαύτως ἂν κατὰ ἀνδροφόνου λέγωμεν, ἐροῦμεν, ἀλλὰ δεήσεται γυνὴ ὀδυρομένη καὶ χηρείαν προβαλλομένη· καὶ παῖδες ὀρφανίαν καὶ ἀνηλικιότητα προβαλλόμενοι, σκοπήσατε δὴ, ποῖός ἐστιν ὁ ἐλεεινότερος,

11 Vind. κλέουσα.

ὁ παρὰ τούτου οἰκτρῶς ἀναιρεθεὶς, καὶ τῆς ζωῆς ἀδίκως στερηθεὶς, ἢ οἱ τούτου παῖδες καὶ ἡ γυνή· πάντως ἐκεῖνος, οὐκοῦν καὶ τὴν ψῆφον ἐκείνῳ ἐνεγκεῖν προθυμήθητε. Ἰστέον δὲ, ὅτι ἡ τοῦ ἐλέου ἐκβολὴ, ὡς φησιν ὁ Γεωμέτρης, διπλῆ ἐστιν· ἡ μὲν ἐκ τοῦ ὁμοίου, ἡ δὲ ἐκ τοῦ ἀνομοίου. ἐκ τοῦ ὁμοίου μέν, ὅτε τοῖς ὁμοίοις ὅμοια συμπαραβάλλομεν, οἷον παιδία οὖν καὶ γυναῖκα καὶ φίλους παραστήσεται, καὶ κλαύσει καὶ τούτοις ἑαυτὸν ἐξαιτήσεται· ἀλλ' ὅταν ταῦτα ποιῇ, ὥσπερ εἰ κατὰ προδότου ἢ τυράννου λέγομεν, τότε νομίσατε καὶ τοὺς ὑμῶν παρεστάναι παῖδας καὶ τὴν γυναῖκα καὶ πρὸς τὸ ἐναντίον ὑμᾶς ἐκκαλεῖσθαι. καὶ ἡ τούτου δὲ τῶν γονέων καὶ τῶν παίδων παραγωγὴ τῆς τῶν ἡμετέρων παίδων ἢ ὕβρεως ἢ σφαγῆς γινέσθω πάντων ἀνάμνησις, καὶ ὁ κατὰ ἀνδροφόνου δὲ τὸν αὐτὸν οἰκειότατα ἕξει λόγον, ὅταν λέγωμεν τοὺς τοῦ πεφονευμένου παῖδας καὶ τοὺς γονέας κατανοήσατε ἢ θεάσασθε, οἷς πολλῷ φιλανθρωπότερον καὶ δικαιότερον δοῦναι τὴν ψῆφον ἢ τούτοις, καὶ οὕτως μὲν ἀπὸ τοῦ ὁμοίου· ἀπὸ δὲ τοῦ ἀνομοίου, ὅταν τείχη καὶ χώρας καὶ στρατόπεδον καὶ συμμάχους [12] παραβάλλωμεν καὶ νόμους, ὥσπερ καὶ ὁ Δημοσθένης μετεχειρίσατο· [13] τοῦ γὰρ Μειδίου ταῦτα παριστῶντος καὶ δεομένου τῶν δικαστῶν, αὐτός φησιν, ὅτι καὶ τοὺς νόμους ἐκ τοῦ ἑτέρου μέρους νομίσατε παρεστάναι· οἷς πολλῷ δικαιότερον ἢ τοῖς τούτου παισὶ τὴν ψῆφον ἐπενεγκεῖν. ζητήσῃ δ' ἄν τις, εἰ ἐν τοῖς ὑπέρ τινων κοινοῖς τόποις τὸ τοιοῦτον ἐμπίπτει κεφάλαιον· καὶ ἔστιν εἰπεῖν, ἢ μηδόλως ἐμπίπτειν αὐτὸ τοῖς τοιούτοις τῶν κοινῶν τόπων, ἐπεὶ μηδὲ πάντα ἀνάγκη ἐμπίπτειν πᾶσιν, ἢ καὶ εἰ ἐμπίπτει, μετά τινος μεθόδου ἢ θεραπείας ἐμπεσεῖ-

12 Post συμμ. Vind. repetit καὶ χώρας. 13 In Mid. p. 575.

ται, ὅτε οὐδὲ ἐλέου ἐκβολὴ ἀλλ' εἰσβολὴ μᾶλλον ἐλέου γενήσεται, λεγόντων ἡμῶν οὕτως, οἷον ἐὰν ὑπὲρ τυραννοκτόνου λέγωμεν· ἐνθυμήθητε, ὦ ἄνδρες, ἐν ὅσῃ μὲν εὐθυμίᾳ[14] οἱ τοῦ τυραννοκτόνου παῖδες καὶ ἡ γυνὴ τῇ προσδοκίᾳ τοῦ γέρως καὶ τῇ τῶν δωρεῶν ἐλπίδι γεγόνασιν· ἐν ὅσῃ δὲ πάλιν ἀθυμίᾳ καὶ λύπῃ γενήσονται, εἴ τι παρὰ τὰς ἐλπίδας αὐτῶν συμβαίη γενέσθαι· ταῦτα δὴ πάντα ἐνθυμηθέντες καὶ τήν τε γυναῖκα τοῦ εὐεργέτου ἐλεήσαντες καὶ τοὺς αὐτοῦ παῖδας οἰκτείραντες ἀπόδοτε τῷ τὴν πόλιν ἐλευθερώσαντι ἀξίαν τῆς εὐεργεσίας τὴν ἀμοιβήν· οὕτω γὰρ ἂν αὐτά τε πάλιν ἐπὶ μειζοσι τὴν πόλιν εὐεργετήσῃ καὶ τοὺς οἰκείους παῖδας ζηλωτὰς τῆς ἰδίας ἀρετῆς γενέσθαι ἐκπαιδεύσῃ. ἀλλ' εἰ καὶ μόνον ἐκβάλλομεν ἐν τοῖς κοινοῖς τόποις τὸν ἔλεον, ἀλλ' ἔστιν ὅτε καὶ αὐτοὶ ἐλεεινολογούμεθα, καὶ πρὸς ἔλεον τὸν δικάζοντα φέρειν πειρώμεθα, ἢ πῶς τὸ παρὸν ἐλέου ἐκβολὴ ὠνόμασται ἢ οὐδὲν θαυμαστὸν τοῦτο; ὥσπερ γὰρ ἐν τῇ κατὰ νόμου εἰσφορὰν γυμνασίᾳ οὐ μόνον συνηγορεῖν ἐγχωροῦν νόμῳ τεθέντι,[15] ἀλλὰ καὶ κατηγορεῖν καὶ λύειν, ὅμως ἀπὸ τοῦ εἰσφέρειν μόνου εἰσφορὰ νόμου ὠνόμασται, οὕτω κἀνταῦθα, εἰ καὶ μόνον τὸν ἔλεον ἐν τῷ παρόντι κεφαλαίῳ ἐκβάλλομεν, ἀλλ' ἔστιν ὅτε καὶ ἐλεεινολογούμεθα, ὅμως ἀπὸ τοῦ μόνου τὸν ἔλεον ἐκβάλλειν ἐλέου ἐκβολὴ ὀνομάζεται τὸ κεφάλαιον. ἢ ὅτι ὥσπερ ἐπὶ τῶν ἄνω κεφαλαίων, οἷον τῆς γνώμης, τῆς παρεκβάσεως τὴν διδασκαλίαν ἐφαίνετο ποιούμενος ὁ Ἀφθόνιος μόνοις τοῖς κατά τινων κοινοῖς τόποις ἁρμόδιον, καίτοι μηδὲν ἧττον καὶ τοῖς ὑπέρ τινων κοινοῖς τόποις τῶν τοιούτων ἐμπιπτόντων, οὕτω καὶ τὸ παρὸν κεφάλαιον, ὡς πρὸς τοὺς κατά τινων τόπους ἐλέου ἐκβολὴ ὠνόμασται. Τί οὖν τοῦτο ποιεῖ καταλιμπάνων ἡμᾶς τὰ ἐναντία ἐξω-

14 Vind. εὐθυμείᾳ. 15 Vind. τιθέντι habet: νόμῳ om.

θεν προσεπινοεῖν· εἰ γὰρ ἐν τοῖς κατά τινων κοινοῖς τόποις ἐν τῷ κεφαλαίῳ τῇ γνώμῃ τὴν τοῦ πράξαντος διαβάλλειν διάνοιαν διδασκόμεθα, ἐν τοῖς ὑπέρ τινων τὸ ἐναντίον ποιήσομεν· οὐ γὰρ διαβαλοῦμεν τὴν τοῦ πράξαντος διάνοιαν, ἀλλ' ἐπαινέσομεν καὶ θαυμάζομεν. καὶ εἰ ἐν τοῖς κατά τινων κοινοῖς τόποις πάλιν ἐν τῷ κεφαλαίῳ τῇ παρεκβάσει τὸν φθάσαντα βίον τοῦ ὑποκειμένου προσώπου κακίζομεν, ἐν τοῖς ὑπέρ τινων τοὐναντίον ποιήσομεν, ἐπαινοῦντες τὸν ἄνωθεν βίον καὶ μεγαλύνοντες, καὶ ἐν τοῖς κατά τινων πάλιν τόποις τὸν ἔλεον ἐκβάλλομεν, ἐν τοῖς ὑπέρ τινων οὐκ ἐκβαλοῦμεν, ἀλλ' εἰσενέγκωμεν μᾶλλον τὸν ἔλεον· καὶ παρὰ τοῦτο οὐκ ἐκβολὴν ἐλέου ἀλλ' εἰσφορὰν ἐλέου ἤ τι τοιοῦτον τὸ κεφάλαιον ὀνομάσομεν.

Καὶ τελευταῖα τοῦ προγυμνάσματος τὰ τελικὰ[16] ἐποίσεις κεφάλαια· Ζητεῖται διατί τὰ τοιαῦτα κεφάλαια τελικὰ ὀνομάζεται· καί τινες λέγουσι διὰ τοῦτο τελικὰ αὐτὰ ὀνομάζεσθαι, διότι τὰ τέλη πάντων περιέχουσι τῶν πραγμάτων· ἃ γὰρ ἐξετάζονται πράγματα, κατὰ ταύτας δὴ τὰς δυνάμεις ἐξετάζονται πάντως, ὡς νόμιμον ἢ ἄνομον, ὡς δίκαιον ἢ ἄδικον καὶ τὰ λοιπά· ἢ οὖν διὰ ταῦτα τελικὰ ὀνομάζονται, ἢ ὅτι ἕκαστον τῶν τοιούτων αὐτὸ καθ' ἑαυτὸ δύναται ἐπιθεῖναι πέρας τῷ λόγῳ. οὕτω γὰρ καὶ ὁ Δημοσθένης τῷ συμφέροντι κεφαλαίῳ μόνῳ χρησάμενος τοὺς Ὀλυνθιακοὺς λόγους ἐξεπλήρωσεν. ἀλλ' εἰ τὰ παρόντα κεφάλαια τηλικαύτην δύναμιν ἔχουσιν, ὥστε καὶ ἕκαστον αὐτῶν δίχα τῶν ἄλλων τιθέμενον ἐκπληροῦν δύνασθαι τέλεον λόγον, πῶς ἐν τῷ τέλει τοῦ παρόντος γυμνάσματος ἁπλοῦ ὄντος πάντα τιθέναι δυνάμεθα, καθὰ διδασκόμεθα· συμβαίνει γὰρ παρὰ τοῦτο μόνον μὴ εἶναι γύμνασμα ἀτελὲς

16 Vind. τελευταῖα.

τὸ παρὸν, ἀλλὰ καὶ τῶν τελείων λόγων τελειότερον· εἴγε ἐκείνων μέν τινας καὶ δι' ἑνὸς τῶν τελικῶν κεφαλαίων ἐκπληροῦμεν ἔσθ' ὅτε· τὸν δὲ κοινὸν τόπον μελετῶντες οὐ μόνον τὰ ἓξ ἀπαιτούμεθα τιθέναι, ἀλλὰ καὶ ἑτέροις κεφαλαίοις ἀναγκαζόμεθα ἐν αὐτῷ [17] πρὸς τοῖς τελικοῖς χρῆσθαι· λέγω δὴ τῷ ἀπὸ τοῦ ἐναντίου, τῇ ἐκθέσει, τῇ συγκρίσει, τῇ γνώμῃ, τῇ παρεκβάσει, τῇ [18] τοῦ ἐλέου ἐκβολῇ· λέγομεν οὖν πρῶτον μὲν, ὅτι οὐ πάντα ἀναγκαῖον πάντως τὰ τελικὰ κεφάλαια ἐν τῷ κοινῷ τόπῳ τίθεσθαι, ἐπεὶ μηδὲ αὐτὸς ὁ Ἀφθόνιος ἐν τῇ μελέτῃ αὐτοῦ τοῖς πᾶσι χρῆται· ἄλλως τε δὲ ὥσπερ ἐπὶ τέλει τῶν τελείων λόγων μετὰ τὴν ἀγωνιστικὴν κεφάλαια τελευταῖα τὰ τελικὰ τίθεμεν, οὕτω καὶ ἐν τῷ παρόντι γυμνάσματι γυμναζόμεθα, μετὰ τὰ προηγησάμενα κεφάλαια τελευταῖα τὰ τελικὰ τιθέναι. ἔτι δὲ καὶ εἰ τοιούτοις κεφαλαίοις τινὰς τῶν πολιτικῶν διαιροῦμεν λόγων καὶ κατὰ ταὐτὰ [19] μελετῶμεν ἐκείνοις, ἀλλ' ἐκεῖ μὲν ἄλλως αὐτὰ μεταχειριζόμεθα, ἐπιχειρήμασιν, ἐργασίαις, ἐνθυμήμασι, καὶ μάλιστα ἐν τοῖς κατὰ τὴν πραγματικὴν ζητήμασιν· ὅτε καὶ ἕκαστον τῶν τελικῶν κεφαλαίων τελείας στάσεως ἔχει διαίρεσιν. οἷον τὸ νόμιμον μιᾶς τῶν νομικῶν, ἢ ῥητοῦ καὶ διανοίας, ἢ συλλογισμοῦ ἢ ἀντινομίας ἢ ἀμφιβολίας· τὸ δίκαιον πάλιν μιᾶς τῶν δικαιολογικῶν, ἢ ἀντιλήψεως, ἢ ἀντιστάσεως, ἢ ἀντεγκλήσεως ἢ μεταστάσεως, ἢ συγγνώμης· ἐν μέντοι τῷ κοινῷ τόπῳ οὐχ οὕτω τὰ τοιαῦτα κεφάλαια πλατύνειν κελευόμεθα ἀπαιτούμενοι, ἀλλ' εἰς τοσοῦτον αὐτὰ μεταχειριζόμεθα, ὅσον δεῖξαι μόνον εἰς γνῶσιν ἐλθόντες τῆς τῶν κεφαλαίων φύσεως, καὶ ὅρα καὶ αὐτὸν τὸν διδάσκαλον, ὅπως ἐν τῇ μετέ-

17 Vind. αὐτῷ τῷ. 18 Vind. τὸ τοῦ ἐλαίου. 19 Vind. ταῦτα.

μελέτῃ αὐτὰ τίθησι. Νόμιμον· ἐν τῷ νομίμῳ κεφαλαίῳ εἰ μὲν ἔχομεν νόμον κείμενον, ἐκείνῳ χρησόμεθα, οἷον ὑποκείσθω μελετᾶν ἡμᾶς κατὰ ἱεροσύλων κοινὸν τόπον· εἰ γοῦν ἔχομεν νόμον κελεύοντα τοὺς ἱεροσύλους τεθνάναι, ἐροῦμεν, ὅτι οἱ νόμοι τοσοῦτον τὴν ἱεροσυλίαν ἐμίσησαν, ὥστε καὶ θάνατον τὸ ἐπιτίμιον ταύτης ὡρίσαντο· ὑμεῖς τοίνυν, εἰ μὲν τοῖς νόμοις πειθόμενοι τὸν ἱερόσυλον ἀποκτείνητε, ὀρθῶς ποιήσετε, εἰ δ' ἀπολῦσαί τε καὶ τὸ ζῆν αὐτῷ χαρίσασθαι θελήσετε, ἀναξίως τε ἑαυτῶν καὶ τῶν νόμων φανῆτε δικάζοντες. εἰ δὲ μὴ ἔχομεν νόμον κείμενον, τότε τὸ ἐναντίον τῷ προκειμένῳ σκοπήσομεν· καὶ εἰ εὕροιμεν ἐπ' ἐκείνῳ νόμον κείμενον, ἀπὸ τοῦ τοιούτου ἐπιχειρήσομεν· οἷον ἔστω μελετᾶν ἡμᾶς κοινὸν τόπον κατὰ λειποτάκτου· ἐναντίον δὴ τῷ λειποτάκτῃ ὁ ἀριστεύς· εἰ γοῦν ἔχομεν νόμον κελεύοντα τοὺς ἀριστεῖς στεφανοῦσθαι, ἀπ' ἐκείνου ἐπιχειροῦντες ἐροῦμεν, ὅτι οἱ νόμοι τοσοῦτον τοὺς τὴν οἰκείαν τάξιν καταλιμπάνοντας ἐν πολέμῳ καὶ ὅσον τὸ ἐπ' αὐτοῖς τοὺς συστρατιώτας προδιδόντας ἐμίσησαν, ὅσον τοὺς ἀριστεῖς ἠγάπησαν. εἰ οὖν ἐκείνους στεφάνων ἀξιοῦσθαι καὶ γερῶν διορίζονται, πάντας τοὺς λειποτάκτας κολάζεσθαι βούλονται· εἰ δὲ μηδ' ἐπὶ τοῦ ἐναντίου ἔχομεν νόμον κείμενον, ταῖς καθολικαῖς ταύταις ἐννοίαις χρησόμεθα λέγοντες, ὅτι οἱ νόμοι τοὺς τὰ φαῦλα πράττοντας μισοῦσι καὶ παρὰ τοῦτο κολάζουσι, καὶ ὑμεῖς τοίνυν, εἰ μὲν τοῦτον πονηρὸν ὄντα κολάσετε, τὸ τοῖς νόμοις δοκοῦν ποιήσετε. εἰ δ' ἀνεύθυνον αὐτὸν ποιήσετε, τῶν τε νόμων ἀπεναντίας χωρήσητε, καὶ οὐ πρὸς τὸ δοκοῦν τούτοις φανῆτε τὰς ψήφους ποιούμενοι.

Τὸ δίκαιον ἐν μὲν τοῖς κατά τινων ἀντεγκληματικὸν ἐμπεσεῖται, λεγόντων ἡμῶν· δίκαιόν ἐστι τὸν τόδε δεινὸν τετολμηκότα ἀξίαν ὧν ἔπραξεν ὑποστῆναι τὴν δίκην· ἐν δὲ τοῖς ὑπέρ τινων ὡς ἀντιστατικόν· φήσομεν

γὰρ εἰ καὶ μεγάλα ἐστὶν ἅπερ αἰτεῖται, δίκαιόν ἐστιν ὅμως αὐτὰ δοῦναι τῷ εὐεργέτῃ, ἐπὶ μεγάλοις γὰρ καὶ αὐτὸς τὴν πόλιν ὠφέλησε. Τέτακται δὲ τὸ δίκαιον εἰκότως μετὰ τὸ νόμιμον· συγγενειάζουσι γὰρ ἀλλήλοις τὰ κεφάλαια· εἴ τι γὰρ νόμιμον, τοῦτο καὶ δίκαιον.

Συμφέρον· τῷ συμφέροντι ἐν μὲν τοῖς κατά τινων κοινοῖς τοιῶσδε χρησόμεθα· ἐροῦμεν γὰρ ὅτι εἰς πολλὰ ὠφελήσει τὴν πόλιν ἡ τοῦ προκειμένου τιμωρία· οὐδεὶς γὰρ τοῦτον τιμωρηθέντα ἰδὼν τοιοῦτόν τι τὸ ἀπὸ τοῦδε τολμήσει, δεδοικὼς μὴ τὰς αὐτὰς ὑποσταίη τούτῳ κολάσεις· ἐν δὲ τοῖς ὑπέρ τινων ἐκείνως· πολλοὺς καὶ ἄλλους εἰς τὸ τὴν πόλιν εὐεργετεῖν ἐπαλείψομεν, εἰ τὸ καταθύμιον τῷ νῷ εὐηργετηκότι ποιήσομεν· εἰ δὲ μὴ τάδε τελέσομεν, ἀποκλείσομεν τῇ πατρίδι τὰς εὐεργεσίας· καὶ οὐδεὶς μετὰ ταῦτα προθυμηθείη καλῶς τὴν πόλιν ποιῆσαι· εἰκότως δὲ αὐτὸ μετὰ τὰ προηγησάμενα, φημὶ τὸ νόμιμον καὶ τὸ δίκαιον, τέτακται, τὰ μὲν γὰρ ἀνωτέρω κεφάλαια ἀποφαντικῶς φασιν, ὅτι νόμιμον καὶ δίκαιόν ἐστι τὸ πρᾶγμα· τὸ δὲ συμφέρον, ἅτε δὴ περὶ τῶν ἐκβησομένων ἔχον τὴν ζήτησιν, στοχαστικῶς περὶ τὸν λόγον ἐκφέρεται, ἄδηλον γὰρ ἀνδρὶ τὸ μέλλον· ὅσον τοίνυν ἀσφαλέστερον τοῦ στοχαστικοῦ τὸ ἀποφαντικόν, τοσοῦτον προτακτέον τὰ ἀνώτερα κεφάλαια τοῦ συμφέροντος. Δυνατόν· ἐν τῷ δυνατῷ εἰ κατά τινος λέγομεν, ἐροῦμεν· εἰ μὲν μὴ δυνατῶς ἔχομεν τὸν τόδε εἰργασμένον [20] κολάσαι, ἴσως ἂν εἴχομέν τινα λόγον τοῦτον μὴ τιμωρήσαντες· ἐπεὶ δὲ κύριοί ἐσμεν τῆς [21] αὐτοῦ καὶ τιμωρίας καὶ ἀπολύσεως, τί ἂν εἴποιμεν τοὺς πονηροὺς ἐλευθεροῦντες καὶ ἀνευθύνους μένειν ἐῶντες; εἰ μέντοι περί τινος λέγοντες ἐροῦμεν· εἰ μὲν μὴ δυνατὸν ἦ ἡμῖν δοῦναι τῷ εὐεργέτῃ, ὅπερ αὐτὸς αἰτεῖ, εἴχομεν ἄν τινα

20 Vind. ἐργασμένον. 21 Vind. τοῖς.

πρόφασιν μὴ διδόντες. ἐπεὶ δὲ καὶ πολλῷ μείζονα ὧν αὐτὸς αἰτεῖ δοῦναι ἰσχύομεν, τί ἂν ἔχοιμεν εἰπεῖν, εὐτελεστέρων φειδόμενοι; συμπλέκεται δὲ τὸ δυνατὸν τῷ συμφέροντι εἰκότως, ἐπειδὴ καὶ θατέρου θάτερον ἀπολειφθὲν οὐδὲν ἰσχύει· εἰ γὰρ καὶ συμφέρει, μὴ δυνάμεθα δὲ, οὐ πράττομεν οὐδέν. Ἔνδοξον· ἐν τῷ ἐνδόξῳ ἐξετάσομεν, τίς δόξα τῇ πόλει καὶ τοῖς δικαιοῦσιν ἐπελεύσεται, εἰ τόδε ποιήσουσιν· οἷον εἰ κατά τινος λέγομεν, φήσομεν, μεγίστην ἡ τοῦ κρινομένου τιμωρία προξενήσει τῇ πόλει τὴν εὔκλειαν· δόξει γὰρ τούτου τιμωρηθέντος τοὺς πονηροὺς μὲν μισεῖν, τοὺς δ' ἀγαθοὺς ἀγαπᾷν· διαφέρει δὲ τοῦτο τοῦ συμφέροντος, κοινωνοῦν αὐτῷ κατὰ τὴν τῶν ἐκβησομένων ζήτησιν, καθὸ τὸ μὲν ἐν χρήμασιν ἢ τοιούτῳ τινὶ ἐστί· τὸ δὲ ἔνδοξον εἰς δόξαν ἢ ἀδοξίαν τείνει τῶν τοιούτων· τέθειται δὲ μετὰ τὸ συμφέρον τὸ ἔνδοξον, ὡς δυνατώτερον ἂν ἐκείνου πρὸς πειθώ, πλέον γὰρ πείθει τὸν ἀκροατὴν πρὸς τὸ ποιῆσαι τόδε τῷ [22] μέλλειν αὐτὸν ὠφεληθῆναι ἀπὸ τούτου, ὅπερ ἐστὶν τοῦ συμφέροντος, ἢ τῷ μέλλειν δόξαν κτήσασθαι, ὅπερ ἐστὶν τοῦ ἐνδόξου.

Ἐκβησόμενον· Τὸ ἐκβησόμενον τέλος ὂν τοῦ συμφέροντος, ζητούντων ἡμῶν, τί ἀγαθὸν ἐκ τοῦ ποιεῖν ἀποβήσεται, ἢ τί βλάβος ἐκ τοῦ μὴ ποιεῖν, ἰδίᾳ [23] τέθειται, καὶ οὐκ ἐν αὐτῷ τῷ συμφέροντι, διὰ τὸ διαφέρειν ἀλλήλων· καὶ γὰρ τὸ μὲν ἐν τῷ συμφέροντι ἀποβησόμενον ἐκ τῶν προσεχῶν λαμβάνεται, τοῦτο δὲ ἐκ τῶν ἀπωτέρων· [24] οἷον εἰ μὲν λέγομεν, ὅτι δεῖ τιμωρηθῆναι τύραννον, ἵνα μὴ καὶ ἕτερος τυραννήσῃ, ἐκ τοῦ συμφέροντος ἐπιχειροῦμεν· εἰ δέ τι πολυπραγμονοῦμεν, ἐκ τῶν

22 Vind. τό. Supra lineam τῷ. 23 Vind. οἰ δία. o natum videtur ex commate in Med. praecedente. 24 Vind. ἀποτέρων.

πορρώτερων πονήσομεν τὸ ἐκβησόμενον, οἷον ὅτι οὐκέτι καταλήψεταί τις τὴν ἀκρόπολιν, οὐκέτι τὴν πόλιν δουλώσει, οὐκέτι ἐκποδὼν τοὺς νόμους ποιήσει.

Η ΜΕΛΕΤΗ ΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΟΣ.

Κοινὸς τόπος κατὰ τυράννου· ἐκ τοῦ ἐναντίου.

Ὡς ἑστήκασι νόμοι. Ἐπειδὴ διπλοῦς ἐστιν ὁ κατὰ τυράννου τόπος, ὁ μὲν γὰρ κατὰ τοῦ ἤδη τυραννήσαντος καὶ καθαιρεθέντος τῆς τυραννίδος, ὁ δὲ κατὰ τοῦ μόνον μελετήσαντος τυραννῆσαι· ὥσπερ καὶ ὁ κατὰ προδότου διπλοῦς, ἢ γὰρ κατὰ τοῦ ἤδη προδεδωκότος ἢ κατὰ τοῦ μόνον μελετήσαντος προδοσίαν καὶ φωραθέντος, νῦν ὁ Ἀφθόνιος οὐ τὸν κατὰ τοῦ ἤδη τυραννήσαντος, ἀλλὰ κατὰ τοῦ μόνον μελετήσαντος τυραννῆσαι εἰς μελέτην μεταχειρίζεται. ἐπεὶ δὲ ἧττον δοκεῖ τὸ μελετῆσαι τυραννίδα τοῦ τυραννῆσαι, ὁ σοφιστὴς ἐν τῇ μελέτῃ σοφίζεται καὶ τὰ μήπω γεγενημένα ὡς γεγενημένα λέγειν· φησὶ γὰρ νόμοις ὑπεχέτω τὴν κόλασιν ὁ μηκέτι εἶναι τοὺς νόμους ποιῶν· ἀντὶ γὰρ τοῦ εἰπεῖν, ὁ μελετήσας ποιῆσαι τοὺς νόμους μηκέτι εἶναι, ὁ μηκέτι εἶναι τοὺς νόμους ποιῶν εἶπε, τὴν βουλὴν ἀντὶ πράξεως ἀπηρτισμένης λαβών· καὶ πάλιν ὑποκατιών φησιν, ὥστε ἀμφοτέρων ὑπεχέτω τὴν κόλασιν, ὧν τε πρότερον καὶ ὧν μετὰ ταῦτα λελύπηκεν· ἀντὶ γὰρ τοῦ εἰπεῖν καὶ ὧν λυπῆσαι ἔμελλε, λελύπηκεν εἶπε· καὶ πάλιν λέγει· δίκαιον δὲ τοσαύτην αὐτὸν ἐν ἡμῖν ὑποστῆναι τὴν κόλασιν, ὅσην αὐτὸς εἰς ἡμᾶς κατειργάσατο· κἀνταῦθα[25] γὰρ ἀντὶ τοῦ εἰπεῖν κατεργάσασθαι ἔμελλε, κατειργάσατο εἶπεν.

Εἰς τὸ αὐτό· ὡς ἑστήκασι νόμοι· τὸ προοίμιον ἐξενήνεκται κατὰ τὸ ἀντίθετον· ἔστι δὲ ἀντίθετον σχῆμα

25 Vind. καὶ ταῦθα.

κατ' αὐτὸν φάναι τὸν Ἑρμογένην[26] λόγος διπλασιάζων πάντα τὸν ὑποκείμενον νοῦν, οἷον ἡμέρας οὔσης δεῖ ποιεῖν τόδε· εἰ μὲν γὰρ μὴ ἦν ἡμέρα ἀλλὰ νύξ, οὐκ ἔδει τοῦτο γίνεσθαι· ἐπεὶ δὲ ἡμέρα ἐστὶν, δεῖ ποιεῖν αὐτό· ἐνταῦθα γὰρ εἷς μὲν νοῦς ὑπέκειτο, ὅτι ἡμέρας οὔσης δεῖ ποιεῖν τόδε· περὶ τούτου γὰρ ἦν ὁ λόγος· ἐδιπλασιάσθη δὲ, καθὸ οὐ μόνον ἐκεῖνο, περὶ οὗ ἦν ὁ σκοπὸς, εἴπομεν, ὅτι δεῖ γίνεσθαι, ἀλλὰ καὶ τὸ ἐναντίον αὐτῷ·[27] τὸ ἡμέρας δὲ μὴ οὔσης οὐ δεῖ ποιεῖν, ὃ ἀπεδείξαμεν μὴ δεῖν γίνεσθαι· τοῦτο δὲ τὸ σχῆμα ποτὲ μὲν ἔχει τὸ κατὰ φύσιν καὶ τὸ ἐναντίον, καὶ πάλιν τὸ κατὰ φύσιν ὡς προειρημένον ἔχει· ποτὲ δὲ λείπει τὸ πρῶτον μέρος, ὡς εἶναι τοιοῦτον· εἰ μὲν μὴ ἦν ἡμέρα, ἀλλὰ νύξ, οὐκ ἔδει ποιεῖν τόδε, ἐπεὶ δὲ ἡμέρα ἐστὶ, δεῖ ποιεῖν αὐτό· τοιοῦτόν ἐστι καὶ παρὰ τῷ Θεολόγῳ ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ τό· „εἰ μὲν οὖν ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον·“ κἀκεῖ γὰρ λείπει τὸ πρῶτον μέρος τοῦ ἀντιθέτου· τὸ τοίνυν ἐν τῷ παρόντι προοιμίῳ ἀντίθετον τέλειόν ἐστιν· ἔχει γὰρ τὸ κατὰ φύσιν καὶ τὸ ἐναντίον, καὶ πάλιν τὸ κατὰ φύσιν, καὶ τὸ μὲν πρῶτον κατὰ φύσιν ἐστὶν, τὸ ὡς ἐστήκασι νόμοι καὶ δικαστήρια παρ' ἡμῖν πολιτεύεται, νόμοις ὑπεχέτω τὴν κόλασιν, ὁ μηκέτι εἶναι τοὺς νόμους ποιῶν, εἶτα τὸ ἐναντίον, εἰ μὲν γὰρ ἔμελλε τὴν παροῦσαν δίκην διαφυγὼν δημοτικώτερος ἔσεσθαι, τυχὸν ἄν τις αὐτὸν ἀφῆκε τῆς δίκης· μετὰ τοῦτο πάλιν τὸ κατὰ φύσιν· ἐπειδὴ δὲ τὸ παρὸν ἐκφυγὼν βιαιότερος ἔσται, ποῦ δίκαιον ἀρχὴν τυραννίδος τὴν τοῦ παρόντος καταστῆναι συγγνώμην; εἰκότως δὲ διὰ τούτου τοῦ σχήματος τὸ προοίμιον ἐξενήνεγκεν ὁ Ἀφθόνιος· ἔστι μὲν γὰρ τὸ κάλλιστον σχῆμα καὶ ἀγωνιστικώτατον ἅμα, ὡς μὴ μόνον τὸ προκείμενον

26 p. 117. 27 In Vind. supra lin. οὗ.

ἀποδεικνύον, εἰ τύχοι, καλὸν, ἀλλὰ καὶ τὸ ἐναντίον τούτῳ κακόν· ἔστι δὲ καὶ εἰς τὸ κοσμεῖν τὰ προοίμια ἱκανώτατον διὰ τὸ ἔχειν καὶ πρότασιν ἐν ταὐτῷ καὶ κατασκευὴν καὶ ἀπόδοσιν. τὸ μὲν γὰρ πρῶτον κατὰ φύσιν, τὴν τῆς προτάσεως ἐκπληροῖ χρείαν. τὸ δὲ ἐναντίον τὴν τῆς κατασκευῆς· τὸ δὲ δεύτερον κατὰ φύσιν τὴν τῆς ἀποδόσεως. Εἰς τὸ αὐτό. ὡς ἑστήκασι νόμοι καὶ δικαστήρια παρ' ἡμῖν πολιτεύεται· τὸ ὡς οἱ μὲν ἀντὶ τοῦ ἐπεὶ παρέλαβον, οἱ δὲ ἀντὶ τοῦ ἕως· ὥστε εἶναι πρὸς διασυρμὸν καὶ χλευὴν τοῦ ἀδικήσαντος, ἵνα νοῆται οὕτως· ἕως, ἕως ἑστήκασι νόμοι καὶ δικαστήρια παρ' ἡμῖν πολιτεύεται, καὶ οὐχ ὥσπερ οὗτος ἤλπισε καταλέλυνται, νόμοις ὑπεχέτω τὴν κόλασιν· καὶ παραβολικὸν αὐτὸ εἶναι λέγει, ἀντὶ τοῦ, καθάπερ ἑστήκασι νόμοι καὶ δικαστήρια, οὕτως καὶ οὗτος ὑπεχέτω τὴν κόλασιν. ὡς γὰρ τοῦτο, φησὶ, βέβαιον ἔμεινε θεοῦ προνοίᾳ καὶ ἀμετακίνητον, οὕτω καὶ τοῦτο βέβαιον μεινάτω τὸ δίκην ὑποσχεῖν τὸν μηκέτι εἶναι τοὺς νόμους ποιοῦντα. Καὶ δικαστήρια παρ' ἡμῖν πολιτεύεται. Τινὲς λέγουσιν, ὅτι οὐκ ἔδει τῷ ὡς ἑστήκασι νόμοι, τὸ δικαστήρια παρ' ἡμῖν πολιτεύεται προστιθέναι, μία γὰρ, φασὶ, καὶ δι' ἀμφοτέρων τῶν κώλων δηλοῦται ἡ διάνοια· οἱ δ' αὐτοὶ ἀγνοεῖν μοι δοκοῦσιν, ὅτι ἀρετή ἐστι τῶν προοιμίων τὸ διπλασιάζειν τὰ κῶλα, καὶ δὶς τὰ αὐτὰ δι' ἄλλων καὶ ἄλλων λέγειν λέξεων· τινὲς δὲ ὑπεραπολογούμενοι πρὸς τοῦτο τοῦ σοφιστοῦ φασιν, ὅτι εἰκότως προσέθηκε τοῖς νόμοις τὰ δικαστήρια, καὶ γὰρ τῶν ἐνδεχομένων τοὺς μὲν νόμους κρατεῖν, τὰ δὲ δικαστήρια διαφθείρεσθαι, καθ' ὅσους ἂν τρόπους οἱ δικασταὶ διαφθείροιντο, καὶ φόβῳ καὶ κολακείᾳ καὶ φιλίᾳ καὶ χρήμασιν· ἐπεὶ οὖν ἐνδέχεται τὸν τύραννον πολλάκις προσποιεῖσθαι μὲν τοὺς νόμους τηρεῖν, καὶ ἀνοίγειν τὰ δικαστήρια, τοὺς δὲ δικαστὰς δια-

φθείρειν οἷς προειρήκαμεν, διὰ τοῦτο τοῖς νόμοις προσῆπται καὶ τὰ δικαστήρια.

Οὐκέτι εἶναι τοὺς νόμους ποιῶν· Λέον μελετήσας ποιῆσαι, ὁ δὲ ποιῶν εἶπε τὴν βουλὴν ἀντὶ πράγματος παραλαβών, τοῦτο δὲ ποιεῖ ἀδείᾳ ῥητορικῇ χρώμενος· ἐφεῖται γὰρ τοῖς ῥήτορσι πρὸς τὸ συμφέρον τοῖς ὀνόμασι χρῆσθαι. οὕτω γὰρ καὶ ἱερόσυλον μὲν τὸν κλέπτην, τὸν δὲ ἱερόσυλον ἀσεβῆ πάλιν ὀνομάζουσιν· Εἰ μὲν γὰρ ἔμελλε τὴν παροῦσαν δίκην διαφυγών· τοῦτό τινες τὸ ἀπὸ τοῦ ἐναντίου κεφάλαιον νενομίκασιν· ἔστι δὲ ἐναντίον μὲν τοῦτο· ἀλλ' οὐχὶ τὸ κεφάλαιον, ὅπερ ὁ Ἀφθόνιος ἐν τῇ μεθόδῳ ἐναντίον ὠνόμασιν, εἰπών· μεθ' ἃ θήσεις κεφάλαια πρῶτον ἀπὸ τοῦ ἐναντίου, ἀλλ' ἐναντίον τῷ ἐν τῷ ἀντιθέτῳ κατὰ φύσιν· ἔστι γὰρ καὶ ἐν τῷ ἀντιθέτῳ ἐναντίον ὡς ἐδείξαμεν· τὸ δὲ ἀπὸ τοῦ ἐναντίου κεφάλαιον κατωτέρω τέθειται.

Εἰς τὸ αὐτό· εἰ μὲν γὰρ ἔμελλε τὴν παροῦσαν δίκην διαφυγών· δίκην νῦν τὴν τιμωρίαν λέγει, δημοτικώτερος, λιτώτερος, μετριώτερος. εἰώθασι γὰρ οἱ παλαιοὶ δημοτικοὺς καλεῖν τοὺς μετρίους καὶ ταπεινούς, ὥσπερ κατὰ διαστολὴν καὶ τυραννικοὺς τοὺς ὑψηλοτέρους καὶ βιαιοτέρους, ὡς τῆς τῶν τυράννων ἀλαζονίας μετέχοντας.

Ἐπειδὴ δὲ τὸ παρὸν ἐκφυγὼν βιαιότερος ἔσται, ποῦ δίκαιον ἀρχὴν τυραννίδος τὴν τοῦ παρόντος καταστῆναι συγγνώμην· τοῦτο τὸ κατὰ φύσιν τοῦ ἀντιθέτου· ἔστι δὲ καὶ ἡ τοῦ προοιμίου ἐνταῦθα ἀπόδοσις. Οἱ μὲν οὖν ἄλλοι πάντες ὅσοι δικάζειν εἰλήχασι· τοῦτο δεύτερόν ἐστι προοίμιον. σημείωσαι δὲ ὅτι τὸ μὲν πρῶτον προοίμιον ὀργὴν κατὰ τοῦ τυράννου τοὺς ἀκροατὰς παρασκευάζει δέξασθαι, τοῦτο δὲ φόβον ὑπὲρ αὐτῶν· ἔστι γὰρ ὅτε καὶ φόβου ἕνεκα προοίμια λαμβάνεται, ὡς φησι καὶ ὁ Ἑρμογένης ἐν τῷ περὶ τῶν στάσεων ἐν τῷ περὶ

τῆς κοινῆς ποιότητος λόγῳ· ὅλως τε οἱ ἐπίλογοι λαμβάνονται μὲν ἀφ' ὧνπερ καὶ τὰ προοίμια, καὶ ἰσχύουσί γε τὰ αὐτά· πάθους γὰρ ψυχῆς ἕνεκα εἰσάγεται ἄμφω, οἷον φόβου καὶ ὀργῆς, ἢ ἐλέου ἢ φθόνου.

Οἱ μὲν οὖν ἄλλοι πάντες, ὅσοι τὸ δικάζειν εἰλήχασιν, οὐδέν τι βλάβος. ἡ μὲν ἔννοια τοῦ ῥητοῦ ἐστι τοιαύτη, οἱ μὲν ἄλλοι πάντες ὅσοι εἰσὶ κατάκριτοι, εἰ συγχωρηθεῖεν, οὐδὲν τοὺς δικαστὰς βλάψουσιν, ὁ δὲ τύραννος ἀφεθεὶς βλάψει τοὺς δικαστάς· καὶ ἡ μὲν ἔννοια τοιαύτη, ἡ δὲ φράσις ἐναντιοῦται· ἔδει γὰρ οὕτως εἰπεῖν, οἱ μὲν ἄλλοι πάντες, ὅσοι παρ' ἡμῖν κρίνονται, οὐδὲν ἡμᾶς συγχωρούμενοι βλάπτουσιν, ὁ δὲ τύραννος ἀφεθεὶς βλάψει τοὺς δικαστὰς, ἐπ' αὐτοὺς ἐπάγων τὴν βλάβην· τινὲς δὲ σχῆμα τοῦτο εἶναι ὑπέλαβον, τὸ οὕτω καλούμενον παράσημον, ὅπερ ἐν ταῖς κατά τινων σφοδρότησιν ἔξεστι χρήσασθαι, ὥσπερ Δημοσθένης ἐχρήσατο αὐτῷ κατ' Αἰσχίνου λέγων ἐν τῷ περὶ στεφάνου οὕτως εἰπών· [28] „ἐπειδὴ τοίνυν ἡ εὐσεβὴς καὶ δικαία ψῆφος ἅπασι δέδεικται, δεῖ μὲν, ὡς ἔοικε, καίπερ οὐ φιλολίδορον ὄντα φύσει διὰ τὰς ὑπὸ τούτου βλασφημίας ἀντὶ πολλῶν καὶ ψευδῶν αὐτὰ τὰ ἀναγκαιότατα εἰπεῖν περὶ αὐτοῦ καὶ δεῖξαι, τίς ὢν καὶ τίνων ῥᾳδίως ἄρχει τοῦ κακῶς λέγειν.“

Οὐδὲ γὰρ τὸ δικάζειν ἔτι καταλιμπάνεται τυράννου κρατήσαντος· τοῦτο κατασκευή ἐστι δευτέρου προοιμίου· Δοκεῖτε δέ μοι μᾶλλον περὶ τῆς τούτου διανοίας σκοπεῖν ἀκριβέστερον· τὸ σχῆμα τὸ ἀνάγον τὸ λεγόμενον εἰς τὴν τοῦ λέγοντος γνώμην, ἔστι δὲ σεμνότητος ἴδιον.

Ἡμῖν ὥσπερ καλῶς ποιοῦντες οἱ πρόγονοι. τὸ ὡς οὐ παραβολῆς ἐστιν ἢ ὁμοιώσεως, ὥσπερ φησὶν ὁ Γεωμέτρης, ἀλλ' ἐπιτάσεως, ἀντὶ τοῦ λίαν καλῶς ποιοῦντες.

---

28 p. 269.

οἱ πρόγονοι ἡμῶν ὥσπερ καλῶς ποιοῦντες· τοῦτο δέ ἐστι τὸ ἐκ τοῦ ἐναντίου κεφάλαιον· καὶ γὰρ ἐνταῦθα διηγεῖται ὁ σοφιστὴς τὰ ἐν τῇ καταστάσει τῆς δημοκρατίας, ἥτις ἐναντία ἐστὶ τῇ τυραννίδι. Ἐπειδὴ γὰρ ἄλλοτε ἄλλαι τύχαι τοῖς ἀνθρώποις προσπίπτουσαι. τὸ σχῆμα τὸ καλούμενον ἐπιτρέχον, ἴδιον ὂν περιβολῆς. Πολιτείαν εὗρον δυναστείας ἀπηλλαγμένην· τὴν δημοκρατίαν λέγει· εἰς τρία γὰρ ἡ πολιτεία διαιρεῖται, εἰς βασιλείαν, εἰς ἀριστοκρατίαν, εἰς δημοκρατίαν· ἢ γὰρ εἷς ὁ ἄρχων ἐστὶν, ἢ ὀλίγοι, ἢ πάντες οἱ ἐν τῇ πόλει· κοινωνοῦσι δὲ αὗται ἀλλήλαις τῷ ποιῷ· κοινὸν γὰρ αὐταῖς τὸ κατὰ νόμον ἄρχειν καὶ πολιτεύεσθαι· τῷ δὲ ποσῷ διαφέρουσι.

Καὶ τὸ τῆς τύχης ἀνώμαλον ἐπανορθούμενοι τῇ τῶν νόμων ἰσότητι· τὸ τῆς τύχης ἀνώμαλον εἶπε, παρόσον οὐκ ἐπίσης πάντας πένητας ἢ πλουσίους ἡ τύχη ποιεῖ, ἀλλὰ τοὺς μὲν πλουσίους, τοὺς δὲ πένητας· τῇ τῶν νόμων δὲ πάλιν ἰσότητι εἶπε, παρόσον οἱ νόμοι πάντας ἐξισοῦσι, μήτε τοὺς λίαν δυναμένους τῶν ἀσθενεστέρων κατεπαίρεσθαι, μήτε τοὺς λίαν ἀσθενεῖς τοὺς δυνατωτέρους παρορῶντες. Τί ταῦτα θεοὶ παρὰ τοὺς πολλοὺς ὀφθείς· τοῦτό ἐστιν ἡ ἔκθεσις, ἐπειδὴ ἡ ἔκθεσις ἀναλογεῖν λέγεται τῇ διηγήσει· τῆς δὲ διηγήσεως τρεῖς εἰσι τρόποι, ἁπλοῦς, ἐνδιάσκευος, ἐγκατάσκευος· καὶ ζητεῖται κατὰ ποῖον τρόπον ἐνταῦθα ἡ ἔκθεσις γέγονε· καί φαμεν, ὅτι καθὸ μὲν λέγει, τί ἐλογίζετο ὁ τύραννος, δοκεῖ ἐγκατάσκευος εἶναι· οἱ γὰρ συλλογισμοὶ τοῦ ἐγκατασκεύου εἰσὶ τρόπου, ὡς τὸ περὶ εὑρέσεων ἡμᾶς διδάσκει βιβλίον· καθὸ δὲ πάλιν κατὰ προσωποποιΐαν εἰσήνεκται, τοῦ ἐνδιασκεύου ἐστίν· ἴδιαι γάρ εἰσι τῆς ἐνδιασκεύου διηγήσεως αἱ προσωποποιΐαι· ἀλλ' ἐπειδὴ καὶ τὸ ἀπὸ τοῦ ἐναντίου κεφάλαιον προδιηγήσει ἐλέγομεν ἀναλογεῖν, ἴδωμεν, ποίῳ τρόπῳ καὶ ἐν ἐκείνῳ ὁ σοφιστὴς κέχρηται· ἢ φανερὸν ὅτι τῷ ἐγκατασκεύῳ κατασκευάζων ταῖς αἰ-

τίαις τὰ λεγόμενα. Ὧν οὗτος οὐδὲν ἐνθυμούμενος βουλεύεταί τι βούλευμα κάκιστον. Δύο τινὰ ζητεῖται ἐνταῦθα, πρῶτον μὲν διὰ τί βουλευόμενον εἰσάγει τὸν τύραννον, ἔπειτα δὲ καὶ διὰ τί εἶπεν, ὧν οὐδὲν ἐνθυμούμενος. δοκεῖ γὰρ ἐνταῦθα ἄγνοιαν τῷ τυράννῳ προσάπτειν τῶν μὴ προσηκόντων. καί φασί τινες πρὸς μὲν τὸ πρῶτον, ὅτι διὰ τοῦτο βουλευόμενον αὐτὸν εἰσάγεις ἵνα δείξῃ ὅτι οὐ τυχηρῶς, οὐδὲ κατὰ συναρπαγήν, οὐδὲ κατὰ ἄγνοιαν, οὐδὲ κατὰ τύχην ἐπὶ ταύτην τὴν ἀδικίαν ὁ τύραννος ὥρμησε, πρὸς δὲ τὸ δεύτερον, ὅτι κατὰ Ἀττικὸν ἔθος τὸ ἐνθυμούμενος ἀντὶ τοῦ ἐνθυμεῖσθαι βουλόμενος εἶπε. Καὶ τοιαῦτα πρὸς ἑαυτὸν διελέγετο. Ζητοῦσί τινες, ὅτι πόθεν δῆλον, ὅτι ταῦτα διελέγετο πρὸς ἑαυτὸν ὁ τύραννος· καί φαμεν, ὅτι ἐν ταῖς διασκευαῖς οὐ μόνον τὰ γεγονότα ἢ τὰ ῥηθέντα, ἀλλὰ καὶ ὅσα εἰκὸς ἦσαν γενέσθαι ἢ ῥηθῆναι, ἔξεστι λέγειν. καὶ ὁ Ἀφθόνιος τοίνυν, ἐπειδὴ εἰκὸς τοὺς τυράννους τοιάδε βουλεύεσθαι καὶ πρὸς ἑαυτοὺς διαλέγεσθαι, διὰ τοῦτο ταῦτά φησι. Παρὰ τοὺς πολλούς. ἢ παρὰ ἀντὶ τοῦ ὑπὲρ τοὺς πολλούς. Μὴ οὖν δι' ὧν χάριν τοῖς θεοῖς ἐποφείλομεν, ταῦτα τουτονὶ καὶ διασώσει σήμερον. Ἐπειδὴ ἀντέπιπτε τῷ ἀξιοῦντι τιμωρηθῆναι τὸν τύραννον τὸ μὴ τελεσθῆναι τὴν πρᾶξιν, καὶ τὸ μὴ ἐγκρατῆ γενέσθαι τὸν τύραννον τῆς ἀκροπόλεως, ὡσανεὶ τὸ τοιοῦτον λύων αὐτός φησιν, ὅτι διὰ τοῦτο χάριν ὀφείλομεν τοῖς θεοῖς, ὧν προνοίᾳ ἀτέλεστα ταῦτα ἔμεινεν. οὐ μὴν καὶ τὸν τύραννον σῶσαι. ἔστι δὲ ἀντίπτωσις τὸ δι' ὧν, ἀντὶ γὰρ τοῦ δι' ἃ τέθειται· περισσὸς δὲ καὶ ὁ καὶ σύνδεσμος κατ' ἔθος Ἀττικὸν ἐν τῷ ταῦτα τοῦτον καὶ διασώσειε σήμερον.

Δεινὸν ὁ φονεὺς, ἀλλ' ὁ τύραννος μείζων καθέστηκεν. ἡ σύγκρισις ἀπὸ τοῦ ἐλάττονός ἐστι· τὸν γὰρ τύραννον τῷ ἀνδροφόνῳ συγκρίνει, πολλῷ χαλεπώτερον τυγχάνοντα· ἔδει ἐν τῇ ἀπὸ τοῦ ἐλάττονος συγκρίσει τῷ

ἐλεγκτικῷ χρήσασθαι σχήματι, ὡς ἀνωτέρω ἐλέγομιν οὕτως εἰπόντες· δεινὸν ὁ φυνεὺς, ἀλλ᾽ ὁ τύραννος οὐ πολλῷ τυγχάνει δεινότερος; ἀλλ᾽ ἔστιν, ὥς φησιν ὁ Γεωμέτρης, τινὰ τῶν μελετώντων καὶ παρορώματα.

Ὅσῳ τοίνυν τὸ λυπεῖν ἐν βραχεῖ τοῦ πάντας μιαφονεῖν ὑπάρχει καταδεέστερον, μερικὸν γὰρ, τοσοῦτον ἀνδροφόνος τυραννίδος ἐπέλαττον. [29]

Cap. VIII.

ΠΕΡΙ ΕΓΚΩΜΙΟΥ.

Ἰστέον δὲ, ὅτι τινὰ καὶ τῶν πρὸ ἡμῶν, εἰ ἡ ῥητορικὴ τριμερὴς, ἐπίσης δὲ ἀλλήλων τὰ εἴδη μετέχουσι τῶν γενῶν, τῶν ἀτοπωτάτων ἐστὶ, τὸ μὲν δικανικὸν εἶδος καὶ συμβουλευτικὸν, ἐν ταῖς τελείαις ὑποθέσεσιν εἶναι, τὸ δὲ ἐγκωμιαστικὸν ἐν ταῖς ἀτελέσι τυγχάνειν, ἀτελῆ γὰρ τὰ προγυμνάσματα· ἐπελύθη δὲ παρὰ τῶν ἐξηγουμένων τὸ τοιοῦτον ἄπορον οὕτως· ἔφασαν γὰρ, ὅτι ὡς μὲν πρὸς τὴν τῆς ῥητορικῆς διαίρεσιν κατὰ τὸν τοῦ εἴδους λόγον ἐπίσης τὰ τρία τυγχάνει, ὡς δὲ πρὸς τὴν τελείαν ὑπόθεσιν ἀτελές ἐστι τὸ ἐγκώμιον· μέρος γὰρ καὶ αὐτὸ τῆς τελείας ἐστὶν ὑποθέσεως· καὶ γὰρ ἐν τοῖς δικανικοῖς λόγοις χρεία πολλάκις τῶν ἐγκωμίων ἐστὶν, ὡς ἐν τῷ περὶ τοῦ στεφάνου καὶ ἐν τῷ πρὸς Λεπτίνην καὶ ἐν τοῖς συμβουλευτικοῖς, ὥστε πως ὡς μέρος παραλαμβάνεται. ἢ ὡς ἐν ἐπιχειρήματος εἴδει συντελεῖ τῇ ὑποθέσει· ὥρα γὰρ οὕτω τελείαν ὑπόθεσιν καὶ τοὺς ἐπιχειρηματικοὺς τόπους καλεῖν. ἔτι πρὸς τούτοις κἀκεῖνο ῥητέον· εἰ κα-

---

29 Desunt plura ad finem hujus et ad initium sequentis capitis.

ταδιελόντες τὴν τελείαν ὑπόθεσιν ἐν τοῖς προγυμνάσμασιν ἕκαστον μέρος ἐτάξαμεν, οἷον διήγησιν, ἀνασκευήν, κατασκευήν, δηλονότι τὸ ἐγκώμιον ὡς ἐμπίπτον τῇ ὑποθέσει καὶ μέρος αὐτῆς τυγχάνον ἐν τοῖς προγυμνάσμασι τέτακται· ἔτι τελεία ἐστὶν ὑπόθεσις ἡ τοῖς τελικοῖς κεφαλαίοις τεμνομένη· τελικὰ δὲ κεφάλαιά ἐστι νόμιμον, δίκαιον, συμφέρον, δυνατὸν, ἔνδοξον, ἐκβησόμενον· τὸ δὲ ἐγκώμιον οὐ κεφάλαια ἔχει, ἀλλὰ τόπους, ὅ ἐστιν ἐπιχειρήματα· ἐκεῖνα γὰρ ὀνομάζεται κυρίως κεφάλαια, ὡς ἐν τῇ ὑποθέσει ζητούμενα· κεφάλαιον δὲ τὸ μερικὸν ζήτημά ἐστιν. Εἰ δὲ τούτων οὐδενὶ διῄρηται τὸ ἐγκώμιον, οὐδὲ τελεία ὑπόθεσις, καὶ δικαίως ἐν τοῖς ἀτελέσι τέτακται· ἔτι τελεία ἐστὶν ὑπόθεσις ἡ ἔχουσα τὸ ζητούμενον ἢ ἐν δικαστηρίῳ ἢ ἐν ἐκκλησίᾳ, ἢ ἐν βουλευτηρίῳ· ἐν ἐγκωμίῳ δὲ οὐδέν ἐστι ζητούμενον· ὁμολογούμενον γὰρ ἀγαθῶν αὔξησιν ἔχει, οὐκ ἄρα τελείας ἐστὶν ὑποθέσεως τὸ ἐγκώμιον. διατί μὲν οὖν τοῖς προηγησαμένοις γυμνάσμασιν ὑποτέτακται, εἴρηται· διατί δὲ τῶν ἐφεξῆς πρότάττεται, ἐν τῇ περὶ ἑκάστου ἐκείνων διδασκαλίᾳ εἰρήσεται. νῦν δὲ ἴδωμεν, πῶς ὁ Ἀφθόνιος ὁρίζεται τὸ ἐγκώμιον· ἐγκώμιον, φησὶν, ἐστὶ λόγος ἐκθετικὸς τῶν προσόντων τινὶ καλῶν· ἀλλ' εἰ καὶ τὸ διήγημα λόγος ἐκθετικός ἐστιν πραγμάτων, καὶ τὸ ἐγκώμιον ὁμοίως, τί διαφέρει ἀλλήλων, ζητήσειεν ἄν τις· φαμὲν δὴ κατὰ πολὺ διαφέρει ἀλλήλων αὐτά· τὸ μὲν γὰρ διήγημα λόγος ἐστὶν ἐκθετικὸς πραγμάτων ἁπλῶς, τὸ δὲ ἐγκώμιον καλῶν πραγμάτων· καὶ τοῦ μὲν διηγήματος, ἀλλ' ὁ σκοπὸς τὸ διδάξαι δηλαδὴ τὸν ἀκροατὴν τὴν πραγματείαν, τοῦ δὲ ἐγκωμίου τὸ θαυμασθῆναι ἐπὶ τοῖς λεγομένοις τὸ ἐγκωμιαζόμενον· καὶ ἐν μὲν τῷ διηγήματι κἂν τὰ προσόντα τινὶ διεξερχώμεθα, ἀλλ' οὐχὶ καὶ τὸν πράξαντα θαυμάζομεν ἐπ' ἐκείνοις· ἐν δὲ τῷ ἐγκωμίῳ οὐ μόνον τὰ προσόντα τινὶ καλὰ λέγομεν, ἀλλὰ καὶ ἐπ' ἐκείνοις

θαυμάζομεν. Ἐκθετικὸς. προστίθησι τῷ λόγος ὀνόματι ἀντὶ γένους παρειλημμένῳ τὸ ἐκθετικὸς, σημαῖνον τὸ ἀπαγγελτικὸς, διηγηματικός. χωρίζων διὰ τούτου τὸ ἐγκώμιον ἀπό τε τοῦ εὐκτικοῦ λόγου καὶ τοῦ προστακτικοῦ, καὶ τοῦ ἐρωτηματικοῦ καὶ τοῦ κλητικοῦ· οὐδεὶς γὰρ τούτων ἐστὶ διηγηματικός. τὸ δὲ τῶν προσόντων καλῶν προστίθησι διαστέλλων τὸ ἐγκώμιον ἀπό τε τοῦ λόγου καὶ τῶν ἄλλων ἀπαγγελτικῶν λόγων· ἰστέον δὲ, ὅτι τινὲς προστιθέασι τῷ λόγῳ τοῦ ἐγκωμίου τὸ αὐξητικὸς, ἵν' ᾖ τοιοῦτος· ἐγκώμιόν ἐστι λόγος ἐκθετικὸς καὶ αὐξητικὸς τῶν προσόντων τινὶ καλῶν· ἐπεὶ εἰ μὲν τοῦτο, φησὶ, προστεθῇ, οὐδὲν διοίσει ψιλῆς ἱστορίας τὸ ἐγκώμιον· ἡ μὲν γὰρ ἱστορία τὰ προσόντα τισὶν ἀγαθὰ ἐκτίθεται, τὸ δὲ ἐγκώμιον μετὰ αὐξήσεως καὶ κατασκευῆς προάγεσθαι δεῖ· ὁ δὲ Γεωμέτρης λέγει, ὅτι τὸ ἐκθετικὸς οἱ μέν φασι τὸ διηγηματικὸς καὶ ἀπαγγελτικὸς σημαίνειν, ἐμοὶ δὲ δοκεῖ μὴ τοῦτο μᾶλλον, οὐ γὰρ διήγησιν ἡμῖν ψιλὴν ἐπαγγέλλεται τὸ ἐγκώμιον, ἀλλ' αὔξησίν τε καὶ μέγεθος· ἐκθετικὸν οὖν νοητέον τὸ ἐμφαντικόν· ἐμφανίζομεν γὰρ δι' αὐτοῦ τὸ μέγεθος τῶν προσόντων ἑκάστῳ καλῶν. Τῶν προσόντων· τίνι δηλονότι ἤτοι προσώπῳ ἢ πράγματι, ἢ καιρῷ ἢ τόπῳ, ἢ τίνι τῶν ἄλλων, ὁπόσα ἐγκωμιάζομεν· ζητοῦσι δέ τινες τὴν διαφορὰν [1] τοῦ ἐγκωμίου, τὴν πρὸς τὸν ὑπέρ τινος λεγόμενον κοινὸν τόπον· ἔστι γὰρ καὶ ἀριστέως ἐγκώμιον, καὶ ὑπὲρ ἀριστέως κοινὸς τόπος. Καὶ λέγεται, ὅτι διαφορὰ αὐτῶν ἐν τῷ τέλει καὶ τῇ ἐκβάσει φαίνεται· ἐν μὲν γὰρ τῷ κοινῷ τόπῳ σκοπὸς ἐστι δωρεὰν λαβεῖν, τὸ δὲ ἐγκώμιον ψιλῆς ἀρετῆς ἔχει μαρτυρίαν.

Εἴρηται δὲ οὕτως. Τὴν φύσιν τοῦ ἐγκωμίου διὰ τοῦ ὁρισμοῦ δηλώσας ἑρμηνεύειν ἐπιχειρεῖ καὶ τὸ ὄνομα, εἰκό-

1 Hermogen. Prog. p. 36.

τως δὲ πρῶτον ὁρίζεται, ἵν' εἰδότες ἐκ τούτου τί ποτέ ἐστι τὸ ἐγκώμιον, οὕτω τὰ ἄλλα περὶ αὐτοῦ δεχώμεθα. Εἴρηται δὲ οὕτως ἀπὸ τοῦ ἐν κώμαις ᾄδειν τὸ παλαιόν· τινὲς μέν φασιν, ὅτι οὐκ ἐν ταῖς κώμαις οἱ ποιηταὶ ᾖδον, ἀλλ' ἐν τοῖς κώμοις καὶ τοῖς συμποσίοις, καὶ ὅτι ἐντεῦθεν τὸ ἐγκώμιον ὠνομάσθη. τοῖς γὰρ παλαιοῖς, φησὶν, ἔθος ἦν, ἐν τοῖς πότοις τοὺς θεοὺς θεραπεύειν· ὡς καὶ Ὅμηρος λέγει· [2]

Οἱ δὲ πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο.

Ὁ μέντοι Ἀφθόνιος οὐ παρὰ τὸ ἐν κώμοις ᾄδεσθαι τὰ ἐγκώμιά φησιν οὕτως ὀνομασθῆναι, ἀλλὰ παρὰ τὸ ἐν κώμαις ἤτοι τοῖς στενωποῖς ᾄδεσθαι. καὶ γὰρ τὸ παλαιὸν ἐν ταῖς κώμαις ᾖδον τὰ ἐγκώμια, καὶ οὐδὲν ἐν τοῖς πότοις, ἢ διὰ τὸ τηνικαῦτα τὴν Ἑλλάδα κατὰ κώμας ᾠκίσθαι, ὥς φησιν ὁ συγγραφεὺς ἐν τοῖς προοιμίοις τῆς αὐτοῦ συγγραφῆς. ἢ ὅτι κατὰ κώμας περιϊόντες οἱ ποιηταὶ καὶ οἱ ῥήτορες πρὸς ἐπίδειξιν καὶ πρόσωπα καὶ πράγματα καὶ τὰ λοιπὰ τῶν ἐγκωμιαζομένων ἐνεκωμίαζον· ἢ ὅτι οἱ γεωργοὶ καὶ οἱ ἀγροῖκοι, οἵ τινες κατὰ κώμας οἰκοῦσιν εὐσεβεῖς ὄντες, ἐχρῶντο τῷ ἐγκωμίῳ, τὸ θεῖον ἐν τῇ τῶν καρπῶν εὐλογοῦντες εὐφορίᾳ· καὶ ὁ Ἑρμογένης δὲ οὕτω περὶ τῆς τοῦ ἐγκωμίου λέγει ὀνομασίας. κέκληται δὲ ἐγκώμιον ἐκ τοῦ τοὺς ποιητὰς ὕμνους τῶν θεῶν ἐν ταῖς κώμαις ᾄδειν· ἐκάλουν δὲ κώμας τοὺς στενωπούς. Ἀπὸ τοῦ ἐν κώμαις· κώμη λέγεται παρὰ τὸ κῶ τὸ κοιμῶμαι, κώσω, κῶμαι, ὡς ἂν εἴπῃ τις κοιμητήριον καὶ ἀνάπαυσις ζώων τε καὶ ἀνθρώπων ἐπὶ τῶν ἀγρῶν, ἢ ἀπὸ τοῦ χῶ τὸ χωρῶ, χώμη καὶ κώμη ἡ χωρητική.

Ἄλδειν ἀντὶ τοῦ ᾄδεσθαι ἐνταῦθα τέθειται· ἢ προσληπτέον τῷ ᾄδειν τὸ τοὺς ποιητὰς τὰ ἐγκώμια, ἵν' ᾖ· εἴρηται δὲ οὕτως ἀπὸ τοῦ ἐν κώμαις ᾄδειν τοὺς ποιητὰς

2 Il. α, 472.

τὸ παλαιὸν τὰ ἐγκώμια. Διενήνοχε δὲ ὕμνου καὶ ἐπαίνου. Ἐπειδὴ τῷ ἐγκωμίῳ δύο παράκεινται, ὕμνος καὶ ἔπαινος, εἰκότως καὶ τὴν πρὸς ἑκάτερα αὐτοῦ διαφορὰν ζητεῖ ὁ διδάσκαλος, καί φησι, διαφέρει τὸ ἐγκώμιον ἐπαίνου μέν, καθὸ ὁ μὲν ἔπαινος ἐν βραχεῖ γίνεται, τὸ δὲ ἐγκώμιον διεξοδικῶς· ὕμνου δέ, καθὸ ὁ μὲν ὕμνος θεῶν ἐστι, τὸ δὲ ἐγκώμιον θνητῶν ἀνθρώπων· εἴρηται δὲ ὕμνος τάχα μὲν καὶ ἀπὸ τῶν ὑμεναίων· οὐδὲν γὰρ τῶν γάμων πρὸς ἡδονὴν οἰκειότερον· κατὰ τοῦτο οὖν τὴν λίαν ἐμφαίνοντες ἡδονὴν, καὶ τούτους ὕμνους κατονομάζομεν. ἢ μᾶλλον καὶ ἀπὸ τοῦ ὑπομένειν· μεθ' ὑπομονῆς γὰρ ταῦτα καὶ προσεδρείας καὶ διατριβῆς τε καὶ προσοχῆς πᾶσιν ὀφείλεται· ἰστέον δὲ, ὅτι τὸ ἐγκώμιον γενικόν ἐστιν ὄνομα· διαιρεῖται γὰρ εἴς τε ἐπιβατηρίους λόγους, καὶ προσφωνηματικοὺς καὶ ἐπιθαλαμίους, ἔτι δὲ καὶ ἐπιταφίους· καὶ ἁπλῶς εἰς πάντας τοὺς εὐφημίαν περιέχοντας λόγους· περὶ τούτων δὲ πάντων ἐντελέστερον εἴρηται, τῷ περὶ ἐπιδεικτικῶν ἐντυχὼν τοῦ Μενάνδρου βιβλίῳ· πάλιν δὲ ὁ ὕμνος διαιρεῖται εἰς παιᾶνας, εἰς διθυράμβους, εἰς ἐρωτικούς· καὶ παιᾶνας μὲν ἐκάλουν τοὺς εἰς τὸν Ἀπόλλωνα· τοὺς δὲ αὐτοὺς τούτους καὶ ὑπορχηματικοὺς καὶ Σμινθιακοὺς ἐκάλουν· διθυράμβους δὲ τοὺς εἰς τὸν Διόνυσον, ἐρωτικοὺς δὲ τοὺς εἰς τὴν Ἀφροδίτην. Τῷ τὸν μὲν ἔπαινον ἐν βραχεῖ γίνεσθαι. Καὶ γὰρ ἐν τῷ ἐπαίνῳ μίαν πρᾶξιν ἢ μίαν ἀρετὴν διεξερχόμεθα, οἷον ὅτι Ἰσοκράτης σοφὸς ἦν, καὶ Θεμιστοκλῆς συνετὸς καὶ ἀγαθὸς στρατηγός. τοιαῦτα καὶ παρὰ τῇ θείᾳ γραφῇ μυρία· οἷόν ἐστι καὶ τό· ὁ μὲν σοφὸς Σολομῶν· καὶ τὸ, ὥς φησιν ὁ μέγας Βασίλειος, καὶ τὰ τοιαῦτα· ἁπλῶς γὰρ τοῦτό ἐστιν ἔπαινος, ὃς ἐν βραχεῖ περιέχει σπουδαίου τινὸς δήλωσιν· ὁ δὲ Γεωμέτρης φησὶ μὴ ταύτῃ διαφέρειν τὸ ἐγκώμιον τοῦ ἐπαίνου· ἔστι γὰρ, φησὶν, εὑρεῖν καὶ τὸν ἔπαινον πολλάκις ἐπεκτεινόμενον,

καὶ ὅλον συμπληροῦντα λόγου τόνον. ἀλλὰ τῷ τὸν μὲν μιᾶς πράξεως μάλιστα εὐφημίας ἔχειν, τὸ δὲ πολλῶν· οὐ γὰρ μιᾶς πράξεως ἐγκώμιον συστησώμεθα, καὶ τί λέγω πράξεως, ὁπότε μηδὲ ἀπὸ ἀρετῆς μιᾶς μηδὲ ἀπὸ ψυχῆς ὅλης μόνον, ἀλλὰ καὶ ἀπὸ πάντων τῶν ἀγαθῶν τῶν τε περὶ τὰ ἐκτὸς τῶν τε περὶ τὸ σῶμα. Ἔτι διαφέρειν φησὶ τοῦ ἐγκωμίου τὸν ἔπαινον καὶ τῇ κρίσει καὶ τῷ τέλει, τῷ τὸν μὲν ἔπαινον τῶν ἀληθῶν καὶ τῶν κεκριμένων ἔχεσθαι. λέγω δὲ ἀληθῶν, οὐ πρὸς τὴν φύσιν τῶν πραγμάτων ὁρῶν, ἀλλὰ πρὸς τὴν τῶν ἐπαινούντων διάθεσιν, ὅτι μὴ σοφιζόμενοι, ἀλλὰ περὶ τοῦ πράγματος οὕτως ἐνδιαθέτως καὶ ἀληθῶς δοξάζοντες καὶ συγκατατιθέμενοι τῷ οὕτως ἔχειν προφέρονται τοὺς ἐπαίνους. ὁ γὰρ τὸν Ἀριστείδην ὡς δίκαιον, τὸν Θεμιστοκλῆ δὲ ὡς σοφὸν, τὸν Σωκράτην δὲ ὡς πρᾷόν τε καὶ φιλόσοφον ἐπαινῶν, οὐ σοφιζόμενος, ἀλλὰ τῷ ἐπαίνῳ συγκατατιθέμενος, οὕτως αὐτὸν προφέρειν εἴωθε· τὸ δὲ ἐγκώμιον οὐ πάντως τῶν ἀληθῶν καὶ τῶν ἐξ ἀληθοῦς διαθέσεως, ἀλλὰ καὶ τῶν πιθανῶν ἔστιν ὅτε στοχάζεται. Τὸ δὲ ἐγκώμιον κατὰ τέχνην ἐκφέρεσθαι. καὶ γὰρ τὸ ἐγκώμιον διεξοδικῶς [3] ἐστιν προαγόμενον, καὶ κεφαλαίοις τισὶ τεχνικῶς διαιρούμενον.

Ἐγκωμιαστέον δὲ πρόσωπά τε καὶ πράγματα. Τῶν πραγμάτων τὰ μὲν μόνῃ τῇ διανοίᾳ θεωρεῖται, οἷά εἰσι τὰ ἀσώματα, οἷον ῥητορικὴ, φιλοσοφία, τὰ δὲ καὶ ταῖς αἰσθήσεσιν ὑποπίπτουσιν, ὅσα ἐνσώματά [4] εἰσιν, οἷον ἀσπὶς, λίθος, δόρυ. εἰ καὶ ὁ Διονύσιος ἐν τῇ γραμματικῇ αὐτοῦ τέχνῃ τῇ διανοίᾳ μόνῃ θεωρούμενα ἔφησεν εἶναι πράγματα· λέγει γὰρ οὕτως· ὄνομά ἐστι μέρος λόγου πτωτικὸν, σῶμα ἢ πρᾶγμα σημαῖνον· σῶμα μὲν, οἷον

α.

3 Vind. ἐξοδικός. scr. διεξοδικῶς. 4 Vind. ἐνσώματι.

οἷον λίθος, πρᾶγμα δὲ, οἷον παιδεία· εἰπὼν οὖν ὁ Ἀφθόνιος, ἐγκωμιαστέον πράγματα, οὐ τὰ ἀσώματα καὶ τὰ τῇ διανοίᾳ ληπτά φησιν ἐγκωμιάζειν, ἀλλὰ καὶ τὰ ἐνσώματα, οἷον ἀσπίδα, δόρυ, λίθον καὶ τὰ τοιαῦτα· οὐδὲν γὰρ ἧττον καὶ τὰ τοιαῦτα ἐγκωμιάζεται. Ἄλογα ζῶα· ἓξ ὄντων τῶν περιστατικῶν προσώπων, πραγμάτων, χρόνου, τόπου, τρόπου, αἰτίας, τὰ τέσσαρα μόνα φησὶ δεῖν ἐγκωμιάζειν. πρόσωπον, πρᾶγμα, χρόνον, τόπον· τὴν δὲ αἰτίαν καὶ τὸν τρόπον οὐ λέγει ὑποπίπτειν τῷ ἐγκωμίῳ· εὐλόγως· τὸ μὲν γὰρ πρόσωπον καὶ τὸ πρᾶγμα καὶ ὁ χρόνος καὶ ὁ τόπος καθ' ἑαυτά εἰσιν, ἡ δὲ αἰτία καὶ ὁ τρόπος καθ' ἑαυτὰ μὲν οὐκ εἰσὶ, τοῖς πράγμασι δὲ συμφαίνεται. ὁ μέντοι Γεωμέτρης πάντα τὰ περιστατικὰ λέγει ἐγκωμιάζεσθαι· καὶ γὰρ, φησὶ, καὶ τὴν αἰτίαν ἐγκωμιάσομεν ἔστιν ὅτε, τυχὸν μὲν καθ' ἑαυτὴν, μάλιστα δὲ ὅτε διὰ ταύτης καὶ τὸ πρᾶγμα πᾶν ἐπαινοῦμεν καὶ τὸ πρόσωπον. Ζητοῦσί τινες εἰ πάντα τὰ ἐν ἡμῖν ὑποπίπτει τῇ περιστάσει, παρόσον καὶ πᾶν ὃν ἢ πρόσωπόν ἐστιν ἤ τι τῶν ἄλλων περιστατικῶν· τίνος χάριν εἰπὼν, ὅτι ἐγκωμιαστέον πρόσωπά τε καὶ πράγματα, καιροὺς καὶ τόπους, προσέθηκε τὰ ἄλογα ζῶα καὶ πρὸς τούτοις φυτά· πάντως γὰρ καὶ τὰ ἄλογα ζῶα καὶ τὰ φυτὰ ἢ τοῖς προσώποις ὑποβληθήσεται ἢ τοῖς πράγμασι. καί φαμεν, ὅτι, ἐπειδὴ τῷ μὲν τοῦ προσώπου ὀνόματι ἐπὶ τῶν ἀνθρώπων ἡ συνήθεια κέχρηται, τῷ δὲ τοῦ πράγματος ἐπὶ τῶν ἀψύχων, τὰ δὲ ἄλογα ζῶα οὔτε ἄνθρωποί εἰσιν, ἵνα τὸ τοῦ προσώπου ὄνομα αὐτοῖς προσαρμόσῃ, οὔτε ἄψυχα, ἵνα πράγματα λέγωνται, ἰδίᾳ τέθεικεν αὐτήν. Ζητεῖται διατὶ παρῆκε τὰ ζωόφυτα, καὶ ῥητέον, ὅτι ἐπειδὴ τὰ ζωόφυτα μετέχει καὶ τῶν ζώων καὶ τῶν φυτῶν, ὡς δηλοῖ τὸ ὄνομα, τῶν μὲν ζώων κατὰ τὸ αἰσθητὸν, τῶν δὲ φυτῶν κατὰ τὸ οὐκ αὐτοκίνητον, ζώων δὲ καὶ φυτῶν μνησθεὶς, καὶ τὰ ζωόφυτα τρόπον τινὰ συμ-

παρέλαβεν. Ἐγκωμιαστέον δὲ πρόσωπά τε καὶ πράγματα· ὁ μὲν Ἀφθόνιος εἰς ἓξ τὸ ἐγκώμιον διεῖλεν· ὁ δὲ Γεωμέτρης εἰς δύο αὐτὸ ἀξιοῖ διαιρεῖσθαι, εἰς ἔμψυχον καὶ ἄψυχον· ἑκάτερον δὲ σκέλος ὑποδιαιρεῖται εἰς δύο. τὸ μὲν ἔμψυχον εἰς ἀνθρώπους καὶ εἰς ἄλογα· τὸ δὲ ἄψυχον εἰς ἀσώματα καὶ εἰς σώματα. σώματα μὲν ὥσπερ ὅπλα καὶ δένδρα καὶ λιμένας καὶ χώρας καὶ πόλεις, ἀσώματα δὲ οἷον καιροὺς ἢ πράγματα· ἡμεῖς δὲ τὰ μὲν ἄλλα συμφερόμεθα τῷ ἀνδρὶ καλῶς λέγοντι· εἰς ἓν δὲ μόνον ἀμφιβάλλομεν, τὸ ὑπὸ τὸ ἄψυχον θεῖναι τὰ δένδρα· τὰ γὰρ δένδρα πάντα, ἤδη δὲ καὶ τὰ ἄλλα φυτὰ ἔμψυχά εἰσι.

Πρόσωπα μὲν ὡς Θουκυδιδην ἢ Δημοσθένην· Ἀμφοτέρους ὡς δοκιμωτέρους περὶ τὴν τέχνην παρέλαβε· ζητεῖται δὲ, πότερον ὡρισμένα καὶ κύρια πρόσωπα μόνον ἐγκωμιάσομεν, ἢ καὶ ἄλλα τινά· καί τινες μὲν ἀπὸ τοῦ τὸν Ἀφθόνιον ὡρισμένα πρόσωπα θεῖναι εἰς παράδειγμα, τὸν Δημοσθένην καὶ τὸν Θουκυδίδην, ἐνόμισαν περὶ μόνα τὰ ὡρισμένα γίνεσθαι τὰ ἐγκώμια. Τῷ δὲ Γεωμέτρῃ ἔδοξε, μὴ περὶ ταῦτα μόνα γίνεσθαι, ἀλλὰ καὶ περὶ τὰ ἀόριστα καὶ κοινά· οὕτω γὰρ, φησὶ, καὶ Λακεδαιμονίους ἐπαινοῦμεν καὶ Ἀθηναίους, ἤδη δὲ καὶ πάντας Ἕλληνας· πλὴν οὔτε τὰ διαβεβλημένα ἐγκωμιάσομεν, οὔτε τὰ πάντη ἀόριστα, οἷον τὸ τίς.

Πράγματα ὡς δικαιοσύνην ἢ σωφροσύνην. Ἰστέον ὅτι τέσσαρές εἰσι γενικαὶ ἀρεταὶ, φρόνησις, ἀνδρία, σωφροσύνη, δικαιοσύνη, τριμεροῦς καὶ οὔσης τῆς ψυχῆς. ἔστι γὰρ αὐτῆς τὸ μὲν λογικὸν, τὸ δὲ θυμικὸν, τὸ δὲ ἐπιθυμητικόν· καὶ τοῦ μὲν λογικοῦ ὄντος ἐν τῇ κεφαλῇ, τοῦ δὲ θυμικοῦ ἐν τοῖς στήθεσι, τοῦ δὲ ἐπιθυμητικοῦ ἐν τῇ ὀσφύϊ, ἑκάστῳ μέρει τῆς ψυχῆς ἔνεστι καὶ ἀρετὴ καὶ κακία· οἷον τῷ μὲν λογικῷ ἡ φρόνησις ἀρετὴ, κακία δὲ ἡ ἀφροσύνη, τῷ θυμικῷ δὲ ἀρετὴ ἡ ἀνδρία, κακία δὲ ἡ δειλία· τῷ ἐπιθυμητικῷ ἀρετὴ ἡ σωφροσύνη,

κακία δὲ ἡ ἀκολασία· ἡ δὲ δικαιοσύνη ἐν πᾶσιν ὁρᾶται· ὅτε γὰρ ἐπικρατοῦσιν αἱ ἐν ἡμῖν ἀρεταὶ τῶν κακῶν, τότε καὶ δικαίως λεγόμεθα κρίνειν καὶ δίκαιοι εἶναι· ὁ οὖν Ἀφθόνιος διδάσκει ἡμᾶς ἐγκωμιάζειν πράγματα, ἵνα μὴ πράγματα ἀκούσαντες νομίσωμεν καὶ τὰς ἀντικειμένας ταῖς ἀρεταῖς ἐφειμένον ἡμῖν εἶναι ἐγκωμιάζειν. καὶ ἁπλῶς πάντα τὰ φαῦλα ὑποτίθεται, καὶ οἷα τῶν πραγμάτων ἐγκωμιάσομεν. φησὶ γὰρ ὅτι πράγματα δεῖ ἐγκωμιάζειν, οἷον σωφροσύνην ἢ δικαιοσύνην. Ζητεῖται οὖν, εἰ τῶν πραγμάτων τὰ μὲν μόνως ψέγονται, ὡς αἱ κακίαι, οἷον ἀφροσύνη, δειλία, ἀκρασία· τὰ δὲ μόνως ἐπαινοῦνται, ὡς αἱ ἀντικείμεναι ταύταις ἀρεταί· τὰ δὲ ἐπαινοῦνται καὶ ψέγονται, ὡς τὰ μέσως ἔχοντα, οἷον εἰρήνη, πόλεμος καὶ τὰ ὅμοια· πῶς οὐχ ὑπέθετο ὁ Ὅμηρος ἐγκωμιάσαι τι τῶν μέσων καὶ δεχομένων τὴν εἰς ἑκάτερα ἐπιχείρησιν, τῆς ῥητορικῆς περὶ τὰ τοιαῦτα καταγινομένης· ἀλλὰ καὶ γενικὰς ἀρετάς, αἵ τινες ἐγκωμίων ἀφορμὰς μόνον, ἀλλ' οὐχὶ καὶ ψόγον τοῖς μελετῶσι παρέχουσι· λέγεται δὲ πρὸς τὴν τοιαύτην ἀπορίαν, ὅτι εἰ καὶ τὰ τοιαῦτα ἐγκωμιάζειν εἴρηκεν, ὅμως οὐχὶ καὶ τοῦ τοῖς μέσοις ἐπιχειρεῖν τοὺς γυμναζομένους ἀπέκλεισεν· ἄλλως τε δὲ ἐν κατηγορίαις καὶ ἀπολογίαις καὶ προτροπαῖς καὶ ἀποτροπαῖς νόμος τοῦτο τηρεῖν, φημὶ δὴ τὸ τοῖς μέσως ἔχουσιν ἐπιχειρεῖν· ἐν δὲ ἐγκωμίοις καὶ ψόγοις οὐκ ἀνάγκη· οὐ γὰρ ταῦτα ἀναγκαῖον ψέγειν ἅπερ ἐγκωμιάζειν δυνάμεθα, αὐτίκα γὰρ ὕμνους τῷ Θείῳ πλέκομεν, οὐ μὴν καὶ ψέγομεν αὐτό· ἄλλως τε δὲ ὥσπερ πολλάκις προτρέπομεν διὰ λόγων ἐπὶ πράγματά τινα, πῶς οὐχὶ καὶ ἀποτρέψαι δυνάμεθα, ὡς ἐπὶ τοῦ παραινετικοῦ εἴδους· οἷον ὡς ὅτε παραινεῖ τις, δεῖ τιμᾶν τὸ Θεῖον, τὴν ἀρετὴν καὶ τὰ τοιαῦτα, καὶ ὥσπερ καταδρομὰς ἔσθ' ὅτε τῶν ὁμολογουμένων ποιοῦμεν ἀδικημάτων, ὧν οὐκ ἂν ἕτερος ὑπεραπολογήσαιτο, οὕτως οὐδὲν θαυμαστὸν καὶ εἰ τοιαῦτα

ἐγκωμιάσομεν, ἅπερ οὐχὶ καὶ ψόγων ἀφορμὰς τοῖς μελετῶσι παρέχουσιν· ἢ καὶ ὥσπερ τῷ λέγοντι δεῖν τὸ δαιμόνιον σέβειν τῶν μὲν ἄλλων οὐδεὶς ἀντερεῖ, οἱ δὲ Ἐπικούρειοι ἀντιπέσωσιν, οὕτω καὶ τῷ τὴν σωφροσύνην καὶ τὴν δικαιοσύνην ἐγκωμιάζοντι τῶν μὲν ἄλλων οὐδεὶς ἐναντιωθήσεται, μόνοι δὲ, οἷς τὰ ἐναντία τούτων, ἡ ἀκρασία καὶ ἡ ἀδικία, πρεσβεύονται, ἀντιλέξουσι, καὶ τὴν δικαιοσύνην καὶ σωφροσύνην κακίσουσιν· ὥστε εἰ καὶ μὴ ἐνεργείᾳ ἡ σωφροσύνη καὶ ἡ δικαιοσύνη ἀλλὰ δυνάμει ψέγονται, καὶ κατὰ τοῦτο φαίνονται ἀφορμὰς τοῖς βουλομένοις εἰς ἑκάτερα διδοῦσαι ἐπιχειρήσεις. Καιροὺς δὲ ὡς ἔαρ ἢ Θέρος· τὸ ἔαρ καὶ τὸ Θέρος ὑπέθετο, ὡς πλείονας τῶν ἐγκωμίων ἀφορμὰς τοῖς ἐπιχειροῦσι παρέχοντα τοῦ χειμῶνος καὶ τοῦ μετοπώρου. Ἰστέον δὲ ὅτι καιρὸν θέλοντες ἐγκωμιάσαι οὐ μόνον ἔαρ καὶ Θέρος ἐγκωμιάσομεν, ἀλλὰ καὶ χειμῶνα καὶ μετόπωρον, καὶ ἑορτὴν καὶ τὰ ὅμοια. Τόπους δὲ ὡς λιμένας καὶ κήπους· τῶν τόπων εἰσὶ καὶ οἱ ναοὶ, καὶ αἱ στοαὶ καὶ αἱ ἀγοραὶ, καὶ αἱ πόλεις, καὶ τὰ θεωρεῖα, καὶ οἱ λειμῶνες καὶ τὰ ὄρη, καὶ ὁ τούτων τι ἐγκωμιάζων τόπον ἐγκωμιάζει. Ἐγκωμιαστέον δὲ καὶ κοινῇ καὶ καθέκαστον· τούτων, φησὶ, τῶν εἰρημένων ἕκαστον ἔξεστι καὶ καθολικῶς ἐγκωμιάζειν καὶ μερικῶς, καὶ καθολικῶς μὲν ὡς ὅτε τὸν ἁπλῶς ἄνθρωπον ἐγκωμιάσει τις, ἢ τὸν ἁπλῶς ἵππον· μερικῶς δὲ, ὡς ὅτε τὸν Σωκράτην ἐγκωμιάσει, ἢ τὸν Πηγασὸν ἵππον. Ἰστέον δὲ, οὐ μόνον τότε καθολικῶς ἐγκωμιάζομεν, ὅτε ἅπαντας τοὺς ἀνθρώπους, εἰ τύχοι, ἐπαινοῦμεν, ἀλλ' ὅτε καὶ ἅπαντας τοὺς ἐν τῷδε τῷ τόπῳ οἰκοῦντας, ἢ τόδε ἐπιτηδεύοντας· οἷον ὡς ὅτε πάντας τοὺς Ἀθηναίους ἢ τοὺς φιλοσόφους ἢ τοὺς ῥήτορας ἐγκωμιάζομεν· ὥσπερ πάλιν μερικῶς λεγόμεθα ἐγκωμιάζειν, οὐ μόνον ὅτε τὸν Σωκράτην ἢ τήνδε τὴν ἀσπίδα ἐγκωμιάζομεν, ἀλλ' ὅτε καὶ τὴν τοῦ Σωκράτους, εἰ τύχῃ, κεφαλὴν ἢ τὸν τῆσδε

τῆς ἀσπίδος ὀμφαλόν. Καὶ ἁπλῶς ὅταν μὲν τὰ ἐγκωμιαζόμενα πολλὰ ὑπάρχωσι κατ' ἀριθμὸν, κἂν τῷ εἴδει τὸ ἓν ἔχωσι κοινῇ, λεγόμεθα ἐγκωμιάζειν. ὅταν δὲ μὴ πολλὰ κατ' ἀριθμὸν ὑπάρχωσιν, ἀλλ' ἕν, τότε μερικῶς ἐγκωμιάζομεν. Εἰς τὸ αὐτό. Ἐγκωμιαστέον δὲ καὶ κοινῇ καὶ καθ' ἕκαστον. Τινὲς λέγουσιν, ὅτι ὤφειλε προστεθεῖναι καὶ μερικῶς· ἐπεὶ, φασὶ, καὶ μέρος ἐξ ἅπαντος σώματος ἀπολαβόντες ἐγκωμιάζομεν. οἷον χεῖρα ἀνθρώπου, ὦμους βοὸς, ὀμφαλὸν ἀσπίδος. λέγει δὲ πρὸς τοῦτο ὁ ἐξηγητὴς, ὅτι τὸ καθέκαστον καὶ τὸ μερικὸν ταὐτόν ἐστι καὶ οὐδὲν ἀλλήλων διαφέρει· καὶ γὰρ καὶ τοῦτο μέρος κἂν ὅτι λεπτομερέστατον ᾖ, ὑπὸ ταύτην ἐμπίπτει τὴν διαίρεσιν· ἢ γὰρ κοινόν ἐστιν ἢ ἴδιον. Ἡ μὲν οὖν διαίρεσις αὕτη τοῦ ἐγκωμίου. Αὕτη ποία; ἣν εἶπεν ἐν τῷ „ἐγκωμιαστέον δὲ πρόσωπά τε καὶ πράγματα, καιρούς τε καὶ τόπους, ἄλογα ζῶα καὶ πρὸς τούτοις φυτά·“ τὸ γὰρ καθόλου ἐγκώμιον διαιρεῖ εἰς τὸ τοῦ προσώπου ἐγκώμιον, εἰς τὸ τοῦ πράγματος καὶ τὰ λοιπά· δύναται μέντοι καὶ τὸ ἐγκωμιαστέον δὲ κοινῇ καὶ καθέκαστον διαίρεσις εἶναι, καὶ γὰρ κἀνταῦθα διαιρεῖται τὸ ἐγκώμιον εἴς τε τὸ καθολικόν τι ἐγκωμιάζον ἐγκώμιον καὶ εἰς τὸ μερικόν· ἀλλὰ γὰρ τοῦτο ἐπιδιαίρεσις μᾶλλόν ἐστιν οὐ διαίρεσις· τὸ γὰρ ἐγκώμιον ἀνωτέρω διελὼν εἴς τε τὸ τοῦ προσώπου ἐγκώμιον καὶ εἰς τὰ λοιπὰ, τὸ αὐτὸ τοῦτο πάλιν εἰς ἕτερον διαιρεῖ, ὅπερ ἐπιδιαιρέσεώς ἐστιν ἔργον· καὶ ταῦτα μὲν ἡμεῖς περὶ τούτου· ὁ δὲ Γεωμέτρης τάδε λέγει· δύο διαιρέσεων ταῖς τεχνολογίαις οὐσῶν, τῆς μὲν κατὰ τὴν ὕλην, τῆς δὲ κατὰ τὴν τέχνην, τὴν κατὰ τὴν ὕλην ἐνταῦθά φησι, καθ' ἣν τὸ ἐγκώμιον διαιρεῖται· πέντε γὰρ ταῦτα παρέλαβε τὰ κεφάλαια· πρῶτον μὲν ὅρον, τί ἐστι, λέγων ἐγκώμιον. δεύτερον κλῆσιν διατί λέγεται ἐγκώμιον· τρίτον διαφοράν, τί διαφέρει ὕμνου καὶ ἐπαίνου· τέταρτον, τίνα καὶ πόσα τὰ τούτῳ ὑποκεί-

μενα· πέμπτον καὶ τίς ἡ ὕλη, ὅτι γένος καὶ ἀγωγὴ καὶ τὰ τοιαῦτα· νῦν δὲ ἑτέραν εἰπεῖν διαίρεσιν βούλεται τὴν κατὰ τέχνην, πῶς ταύτην τὴν ὕλην οἰκονομήσομεν, καὶ πῶς διελόντες τάξομεν.

Προοιμιάσῃ μὲν πρὸς τὴν οὖσαν ὑπόθεσιν· ὁ μὲν Ἀφθόνιος τοῦτο δοκεῖ λέγειν, ὅτι δεῖ κἂν τοῖς ἐγκωμίοις ἰδιαζόντων τῇ προκειμένῃ ὑποθέσει εὐπορεῖν προοιμίων. Τῶν δὲ ἐξηγητῶν ἔνιοι τάδε φασὶ τὰ προοίμια τὰ ἐν τοῖς ἐγκωμίοις ἀεὶ τυγχάνει κοινὰ πάντων τῶν ἐγκωμίων· καὶ ἰδιάζον προοίμιον ἀδύνατον ἢ δυσκόλως εὑρεῖν ἐστι. πλὴν εἰ μήπω ἐκ περιστάσεως τοῦ λέγοντος ἀφορμή τις εὐρεθείη ἢ συγγενοῦς ὄντος ἢ ἐπιταχθέντος εἰπεῖν ἢ ἀμειβομένου χάριν ἢ τι τοιοῦτον, ὅπερ ἑτέρῳ λέγειν οὐχ ἁρμόσειε. καὶ ταῦτα μὲν ὁ Σαρδέων·[5] ὁ δὲ Γεωμέτρης καὶ αὐτὸς συνῳδὰ τούτοις φησί· λέγει γὰρ οὕτως· δυσχερὲς μὲν καὶ οὐ πάνυ τι ῥᾴδιον ἐπὶ τῶν ἐγκωμίων ἰδιάζον προοίμιον εὑρεῖν· κοινὰ γὰρ ταῦτα ὡς ἐπὶ τὸ πολὺ καὶ πάντα πᾶσιν ἁρμόζοντα· οἷον τὸ δίκαιον εἶναι, τοὺς μὲν ἀγαθοὺς ἐπαινεῖσθαι, τοὺς δὲ πονηροὺς διαβάλλεσθαι, καὶ ὅτι ἀφ' ἑκατέρων μέγα τὸ κέρδος, καὶ αὖθις, ὅτι μέγα τὸ τοὺς γονέας ἢ διδασκάλους ἢ τροφέας τὴν ὀφειλομένην εὐφημίαν παρὰ τῶν τραφέντων καὶ μαθόντων ὑπ' αὐτῶν παραλαμβάνειν, καὶ ἐπὶ τῶν ἐν πολέμῳ δὲ ἀνδραγαθησάντων ὁμοίως. ἔστι δέ τις προυμίων ἰδικῶν καὶ ἐπὶ τούτων εὕρεσις. ὅταν ὥσπερ ἐπιταχθέντες πρὸς τὸν λόγον ἐρχόμενοι φαινώμεθα ἢ συγγενῆ πολλάκις τιμῶντες, ἢ ἀμειβόμενοι φίλον, ἢ παρ' αὐτοῦ καλοῦ προκαλούμενοι· καὶ τούτων τὰ παραδείγματα πολλὰ παρὰ τῷ μεγάλῳ Γρηγορίῳ τῷ Θεολόγῳ· τῆς μὲν ἐπιταγῆς καὶ ἀνάγκης, ὥσπερ ὅταν λέγῃ, „τίς ἡ τυραννὶς, ἣν ἐξ ἀγάπης ἀεὶ τυραννούμεθα“[6] καὶ αὖθις, „τί λύετε

5 Vind. ὁ τῶν Σάρδεων. Alibi scribit ὁ Σάρδεων. 6 Or. VIII. init. Mox Vind. λύεται. — Or. XV. init.

τάξιν ἐπαινουμένην." τῆς δὲ τῶν φίλων τιμῆς, ὡς τό· „ἔμελλεν[7] ἄρα πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς ὁ μέγας Βασίλειος." οὕτω γὰρ ἐνταῦθα ἰδιάζον γέγονε τὸ προοίμιον, ὡς καὶ τὸ κύριον εὐθὺς παραλαμβάνον ὄνομα, καὶ ἄλλα δὲ τοῖς φιλομαθοῦσιν οὐκ ὀλίγα παραδείγματα. Εἶτα θήσεις τὸ γένος. Τοῦ γένους ὀνόματα τρία σημαίνοντος, ὡς ἐν τῇ τοῦ Πορφυρίου εἰσαγωγῇ ἐμάθομεν, τὴν ἄθροισιν τῶν ἐχόντων πῶς πρὸς ἔν τι καὶ πρὸς ἀλλήλους, καὶ τὴν ἀρχὴν τῆς ἑκάστου γενέσεως, καὶ τὸ παρὰ τοῖς φιλοσόφοις εἰς τὰς διαλέξεις παραλαμβανόμενον, τὸ δεύτερον σημαινόμενον προτίθησιν ὁ διδάσκαλος τὸ σημαῖνον τὴν ἀρχὴν τῆς γενέσεως ἑκάστου· τούτου δὲ διαιρουμένου εἰς ἔμψυχον καὶ ἄψυχον ἑκατέρου πάλιν σκέλους ὑποδιαιρουμένου εἰς δύο, εἵς τε τὸ προσεχὲς καὶ εἰς τὸ πόῤῥω, οἷον πόῤῥω μὲν εἰς τοὺς προγόνους, προσεχὲς δὲ εἰς τοὺς πατέρας, καὶ τοῦ ἀψύχου, εἰς πόῤῥω μὲν τὸ ἔθνος, εἰς προσεχὲς δὲ τὴν πατρίδα καὶ τὴν πόλιν, ὁ διδάσκαλος τελείως ὑπεξέρχεται τῇ διαιρέσει· διαιρήσεις γὰρ, φησὶν, εἰς ἔθνος, ὅπερ ἐστὶ, πόῤῥω ἄψυχον γένος· εἰς πατρίδα, ὅπερ ἐστὶ προσεχὲς ἄψυχον, εἰς προγόνους, ὅπερ ἐστὶ πόῤῥω ἔμψυχον, εἰς πατέρας, ὅπερ ἐστὶ προσεχὲς ἔμψυχον. ζητεῖται δὲ, διατί προτίθησι τὸ γένος τῶν λοιπῶν κεφαλαίων· καὶ φαμεν, ὅτι διὰ τοῦτο προτέτακται, διὰ τὸ καὶ τὰ ἐν αὐτῷ ἐπαινούμενα πρεσβύτερα εἶναι τῶν ἄλλων. Ἔτι ζητεῖται, διατὶ διαιρῶν τὸ γένος διαιρεῖ αὐτὸ εἰς τὰ ἄψυχα πρῶτον· οἷον εἰς τὸ ἔθνος εἰς τὴν πατρίδα· εἶθ' οὕτως εἰς τὰ ἔμψυχα, οἷον εἰς προγόνους, εἰς πατέρας καὶ τὰ τοιαῦτα, καὶ λέγομεν, ὅτι ἐπειδὴ καὶ πρῶτά ἐστι τῷ χρόνῳ ταῦτα, ἡ χώρα καὶ ἡ πατρὶς τῶν προγόνων καὶ τῶν πατέρων, διὰ τοῦτο καὶ προέταξεν αὐτά. ὥσπερ πάλιν

7 Epitaph. in Basil. M. init.

καὶ τὸ ἔθνος δι' αὐτὸ τοῦτο τῆς πατρίδος προτάσσει, καὶ τοὺς προγόνους τῶν πατέρων. διὰ τοῦτο καὶ προέταξεν αὐτά, ὥσπερ πάλιν καὶ τὸ ἔθνος δι' αὐτὸ τοῦτο τῆς πατρίδος προτάσσει, καὶ τοὺς προγόνους τῶν πατέρων. Ἔτι ζητεῖται, διατί τὸ ἔθνος καὶ τὴν πατρίδα τῷ γένει ἀπονέμει, καὶ λέγομεν τὸ τοῦ Πορφυρίου, ὅτι ἐπειδὴ καὶ ταῦτα ἀρχαί εἰσι τῆς ἑκάστου γενέσεως, ὥσπερ καὶ ὁ πατὴρ, διά τοι τοῦτο καὶ παρονύμως ὁ πατὴρ ἀπὸ τοῦ πατρὸς ὀνομάζεται. ἔτι κἀκεῖνο ζητεῖται, ὅτι διατί εἶπε πατέρας πληθυντικῶς, καὶ οὐχὶ ἑνικῶς πατέρα· προγόνους μὲν καλῶς εἶπε πληθυντικῶς, πολλοὺς γάρ τις ἔχει προγόνους, πατέρας δὲ οὐ πολλοὺς, ἀλλ' ἕνα· καὶ ἔστιν εἰπεῖν ὅτι τῷ τοῦ πατρὸς ὀνόματι καὶ τὴν μητέρα παραλαμβάνει. καὶ γὰρ οὐ μόνον ἀπὸ τοῦ πατρός τινα ἀλλὰ καὶ ἀπὸ τῆς μητρὸς ἐγκωμιάζομεν. Ὃ διαιρήσεις εἰς ἔθνος. εἰ μὲν πρόσωπον εἴη τὸ ἐγκωμιαζόμενον, οἷον Θουκυδίδης, ἐγκωμιάσομεν αὐτὸν, ἀπὸ μὲν ἔθνους, ὅτι Ἕλλην ἦν λέγοντες· οἱ δὲ Ἕλληνες συνετοὶ καὶ ἀνδρεῖοι καὶ ἐναφεῖς καὶ φιλάνθρωποι· ἀπὸ δὲ πατρίδος, ὅτι Ἀθηναῖος, οἱ δὲ Ἀθηναῖοι καὶ φιλέλληνες, ἐλευθερωταὶ τῆς Ἑλλάδος, δίκαιοι· ἀπὸ δὲ προγόνων, ὅτι ἀπὸ Μιλτιάδου καὶ Κίμωνος γέγονεν, ἀπέγγονος τῶν εὐδοκίμων στρατηγῶν, ἀπὸ δὲ πατέρων, ὅτι Ὀλόρου ἦν υἱὸς, ὃς εἶχεν ἐν Θρᾴκῃ πλοῦτον πολὺν καὶ περιουσίαν μεγάλην· εἰ μέντοι μὴ πρόσωπον εἴη τὸ ἐγκωμιαζόμενον, ἀλλὰ πρᾶγμα, οἷον φιλοσοφία, ἀπὸ ἔθνους ἐγκωμιάσομεν λέγοντες, ὅτι ἐν τῇ Ἑλλάδι εὑρέθη τοῦτο τὸ ἀγαθόν· ἡ δὲ Ἑλλὰς ἐστι τοιάδε καὶ τοιάδε· ἀπὸ δὲ πατρίδος, ὅτι ἐν Ἀθήναις, ἥ τις καὶ δικαιοσύνῃ καὶ φιλανθρωπίᾳ καὶ τοῖς ἄλλοις ἀγαθοῖς κρείττων ἐστὶν τῆς Ἑλλάδος. ἀπὸ δὲ προγόνων· ὅτι Εὐπεδοκλῆς καὶ Σωκράτης εἰς ἔννοιαν αὐτῆς ἦλθον τὸ πρῶτον· ἀπὸ δὲ πατέρων, ὅτι Πλάτων εἰς φῶς αὐτὴν ἤγαγε καὶ Ἀριστοτέ-

λης ὠργάνωσεν· ὁμοίως κἂν ῥητορικὴν ἐγκωμιάζωμεν, ἀπὸ μὲν ἔθνους ἐγκωμιάσομεν λέγοντες, ὅτι ἐν Σικελίᾳ τὸ πρῶτον ἐφάνη· ἡ δὲ Σικελία ἐστὶν εὐφορωτάτη, καὶ πρὸς φορὰν καρπῶν ἐπιτήδειος· ἀπὸ δὲ πατρίδος, ὅτι ἐν Συρακούσῃ πόλει· ἡ δὲ Συράκουσα ἰσχυροτέρα καὶ πολυανθρωποτέρα τῶν ἐν Σικελίᾳ πασῶν πόλεων. ἀντὶ δὲ προγόνων τὸν πρῶτον αὐτῆς εἰς φῶς τὰ ἔργα ἀγαγόντα Κόρακα ἐροῦμεν λέγοντες, ὅτι συνετὸς ἦν οὗτος καὶ τοῦ συμφέροντος τῇ πατρίδι ἀκριβὴς ἐξεταστής· ἀντὶ δὲ πατέρος τὸν ὀργανώσαντα Ἑρμογένην ληψόμεθα· εἰ δὲ καιρὸν ἐγκωμιάσομεν, οἷον ἔαρ ἢ Θέρος, ἀντὶ γένους τὸν εἰς τὰς τέσσαρας ὥρας τὸν ἐνιαυτὸν διελόντα λαβόντες ἐπαινέσομεν. πλὴν τοῦτο ἰστέον, ὅτι οὐ πάντα ἐν πᾶσιν ἀνάγκη ἐμπίπτειν, ἀλλ' ὅσα ἐνδέχεται, οἷον εἰ ἀπὸ γένους ἐγκωμιάζομεν, οὐκ ἀνάγκη ἐμπίπτειν πάντα τὰ τοῦ γένους, ἀλλὰ τὰ ἐγχωροῦντα· αὐτίκα γὰρ ὁ Ἀφθόνιος ἐν τῷ τοῦ Θουκυδίδου ἐγκωμίῳ οὐκ ἐπεξῆλθε τοὺς τέσσαρας τρόπους τοῦ γένους· οὔτε γὰρ ἀπὸ τοῦ ἔθνους τὸν Θουκυδιδην ἐγκωμιάζει, οὔτε ἀπὸ τῶν πατέρων, ἀλλὰ ἀπὸ τῆς πατρίδος καὶ τῶν προγόνων· καὶ ἐν τῷ τῆς σοφίας δὲ ἐγκωμίῳ οὔτε τῷ ἀπὸ τοῦ γένους, οὔτε τῷ ἀπὸ τῆς πατρίδος τρόπῳ χρῆται, ἀλλὰ μόνον λέγει, ὅτι ἀπὸ τῶν θεῶν ἐφάνη, καὶ οἱ θεοὶ ταύτην ἐκτήσαντο· ἀλλὰ καὶ ὁ Θεολόγος ἐν τῷ ἐπιταφίῳ τῷ εἰς τὸν μέγαν Βασίλειον τὸ παρὸν κεφάλαιον διαιρῶν τῷ ἀπὸ τοῦ ἔθνους καὶ τῷ ἀπὸ τῆς πατρίδος τρόπῳ οὐ χρῆται, μόνῳ δὲ τῷ ἀπὸ τῶν προγόνων καὶ τῷ ἀπὸ τῶν πατέρων, λέγων οὕτως· [8] „ἄλλου μὲν οὖν ἄλλο τι γνώρισμα καὶ διήγημα καὶ γένους καὶ τοῦ καθ' ἕκαστον ἢ μικρὸν ἢ μεῖζον, καθάπερ τις κλῆρος πατρῷος ἢ πόρρωθεν ἢ ἐγγύθεν ὁρμένος κάτεισιν εἰς τοὺς ὕστερον· τούτῳ δὲ

8 p. 319. A.

,τοῖν γενοῖν ἀμφοτέροιν τὸ εὐσεβὲς ἐπίσημον· δηλώσει
,δὲ νῦν ὁ λόγος. διωγμὸς ἦν καὶ διωγμῶν ὁ φρικωδέ-
,στατος καὶ βαρύτατος, εἰδόσι λέγω τὸν Μαξιμίνου, ὃς
,πολλοῖς τοῖς ἐγγύθεν γενομένοις ἐπιφυεὶς πάντας φι-
,λανθρώπους ἀπέδειξε, θράσει τε πολλῷ ῥέων, καὶ φιλο-
,νεικῶν τὸ τῆς ἀσεβείας κράτος ἀναδήσασθαι. τοῦτον
,πολλοὶ μὲν ὑπερέσχον τῶν ἡμετέρων ἀγωνιστῶν, καὶ
,μέχρι θανάτου διηγωνισμένοι καὶ πρὸ θανάτου μικρόν,
,τοσοῦτον ἀπολειφθέντες, ὅσον ἐπιβῶναι τῇ νίκῃ, καὶ
,μηδὲ συναπελθεῖν τοῖς παλαίσμασιν, ἀλλ' ὑπολειφθῆ-
,ναι τοῖς ἄλλοις, ἀλεῖπται τῆς ἀρετῆς, ζῶντες μάρτυρες,
,ἔμπνοοι στῆλαι, σιγῶντα κηρύγματα, σὺν πολλοῖς δὲ
,τοῖς ἀριθμουμένοις καὶ οἱ πρὸς πατρὸς τούτῳ πατέρες,
,οἷς πᾶσαν ἀσκήσασιν εὐσεβείας ὁδὸν καλὴν ἐπήνεγκεν ὁ
,καιρὸς ἐκεῖνος τὴν κορωνίδα· παρασκευῆς μὲν γὰρ οὕ-
,τως εἶχον καὶ γνώμης, ὡς πάντα ῥᾳδίως οἴσοντες, ἐξ
,ὧν στεφανοῖ Χριστὸς τοὺς τὴν ἐκείνου μιμησαμένους
,ὑπὲρ ἡμῶν ἄθλησιν. ἐπεὶ δὲ νόμιμον αὐτοῖς τὸν ἀγῶνα
,ἔδει γενέσθαι, νόμος δὲ μαρτυρίας, μήτε ἐθελοντὰς
,πρὸς τὸν ἀγῶνα χωρεῖν φειδοῖ τῶν διωκόντων καὶ τῶν
,ἀσθενεστέρων, μήτε παρόντας ἀναδύεσθαι, τὸ μὲν γὰρ
,θράσους, τὸ δὲ ἀνανδρίας ἐστί. καὶ τούτῳ τιμῶντες
,ἐκεῖνοι τὸν νομοθέτην, τί μηχανῶνται; μᾶλλον δὲ πρὸς
,τί φέρονται παρὰ τῆς πάντα τὰ ἐκεῖνα ἀγούσης προ-
,νοίας; ἐπί τινα τῶν Ποντικῶν ὀρῶν λόχμην (πολλαὶ
,δ' αὗται παρ' αὐτοῖς εἰσι καὶ βαθεῖαι καὶ ἐπὶ πλεῖστον
,διήκουσαι), καταφεύγουσι· λίαν ὀλίγοις χρώμενοι καὶ
,τῆς φυγῆς συνεργοῖς καὶ τῆς τροφῆς ὑπηρέταις· ἄλλοι
,μὲν οὖν θαυμαζέτωσαν τὸ τοῦ χρόνου μῆκος, καὶ γὰρ
,ἐπὶ πλεῖστον αὐτοῖς, ὥς φασι, τὸ τῆς φυγῆς παρετάθη,
,ἔτος που ἕβδομον καὶ μικρόν τι πρός· τό τε τῆς διαίτης
,σώμασιν εὖ γεγονόσι στενόν τε καὶ παρηλλαγμένον, ὡς
,τὸ εἰκός, καὶ τὸ ὑπαιθρίοις κρυμοῖς καὶ θάλπεσι καὶ

,ὄμβροις ταλαιπωρεῖν, ἥ τε ἄφιλος ἐρημία καὶ τὸ ἀκοι-
,νώνητόν τε καὶ ἄμικτον, ὅσον εἰς κακοπάθειαν τοῖς ὑπὸ
,πολλῶν δορυφορουμένοις καὶ τιμωμένοις. ἐρῶ δὲ, ὃ τού-
,των μεῖζόν ἐστι καὶ παραδοξότερον λέξων ἔρχομαι, ἀπι-
,στήσει δ' οὐδεὶς, ἢ ὅστις οὐδὲν μέγα οἴεται τοὺς ὑπὲρ
,Χριστοῦ διωγμοὺς καὶ κινδύνους, κακῶς γινώσκων καὶ
,λίαν ἐπικινδύνως. Ἐπόθουν τι καὶ τῶν πρὸς ἡδονὴν οἱ
,γεννάδαι, τῷ χρόνῳ κάμνοντες καὶ τῶν ἀναγκαίων ὄντες
,διακορεῖς· καὶ τὰ μὲν τοῦ Ἰσραὴλ οὐκ ἐφθέγξαντο, οὐ-
,δὲ γὰρ ἦσαν γογγυσταὶ κατ' ἐκείνους, ἐν τῇ ἐρήμῳ τα-
,λαιπωροῦντες μετὰ τὴν ἐξ Αἰγύπτου φυγήν, ὡς ἄρα βελ-
,τίων Αἴγυπτος αὐτοῖς εἴη τῆς ἐρημίας, πολλῶν [10] τῶν
,λεβήτων καὶ τῶν κρεῶν χορηγοῦσα τὴν ἀφθονίαν, τῶν
,τε ἄλλων ὅσα ἐκεῖσε ἀπέλιπον· ἡ γὰρ πλινθεία καὶ ὁ
,πηλὸς οὐδὲν ἦν αὐτοῖς τότε διὰ τὴν ἄνοιαν. ἄλλα δὲ
,ὡς εὐσεβέστερα καὶ πιστότερα· τί γάρ ἐστιν, ἔλεγον, τῶν
,ἀπίστων, εἰ ὁ τῶν θαυμασίων θεὸς, ὁ θρέψας ἐν ἐρή-
,μῳ πλουσίως ξένον λαὸν καὶ φυγάδα, ὥστε καὶ ἄρτον
,ὀμβρῆσαι καὶ βλύσαι ὄρνιθας, τρέφων οὐ τοῖς ἀναγ-
,καίοις μόνον, ἀλλὰ καὶ τοῖς περιττοῖς, εἰ ὁ τεμὼν θά-
,λασσαν καὶ στήσας ἥλιον καὶ ποταμὸν ἀνακόψας, καὶ
,τἄλλα δὴ ὑπειπόντες ὅσα πεποίηκε· (φιλεῖ γὰρ ἐν τοῖς
,τοιούτοις φιλιστορεῖν ἡ ψυχὴ, καὶ πολλοῖς θαύμασιν
,ἀνυμνεῖν θεὸν), οὗτος, ἐπῆγον, καὶ ἡμᾶς θρέψειε σή-
,μερον τοῖς τῆς τρυφῆς, τοὺς [11] εὐσεβείας ἀγωνιστάς·
,πολλοὶ μὲν θῆρες τὰς τῶν πλησίων διαφυγόντες τρα-
,πέζας, ἅπερ ἦν ποτε καὶ ἡμῖν, τοῖς ὄρεσι τούτοις ἐμ-
,φωλεύουσι· πολλοὶ δὲ καὶ ὄρνιθες τῶν ἐδωδίμων τοὺς
,πυθοῦντας ἡμᾶς ὑπερίπτονται· ὧν τί μὴ θηράσιμόν σοι
,θελήσαντι μόνον. ταῦτ' ἔλεγον, καὶ ἡ θήρα παρῆν,

10 Gregor. p. 320. B. πολλήν. 11 Vind. τῆς εὐσεβείας ἀγωνιστῆς. correxi ex Gregorio.

„ὄψον αὐτόματον, ἀπραγμάτευτος πανδαισία, ἔλαφοι τῶν „λόφων ποθὲν ὑπερφανέντες ἀθρόως. ὡς μὲν εὐμεγέθεις, „ὡς δὲ πίονες, ὡς δὲ πρόθυμοι πρὸς σφαγήν. μονονουχὶ „γὰρ καὶ τοῦτο εἰκάζειν ἦν, ὅτι μὴ τάχιον ἐκλήθησαν „ἐδυσχέραινον· οἱ μὲν εἶλκον τοῖς νεύμασιν, οἱ δὲ ἤρον„το· τίνος διώκοντος ἢ συναναγκάζοντος; οὐδενός. τίνων „ἱππέων ἢ ποίων κυνῶν; τίνος ὑλακῆς ἢ κραυγῆς, ἢ νέων „προκαταλαβόντων τὰς διεξόδους τῆς θήρας νόμους; εὐ„χῆς δέσμιοι, καὶ δικαίας αἰτήσεως. τίς ἔγνω τοιοῦτον „θήραμα τῶν νῦν ἢ τῶν πώποτε; ὦ τοῦ θαύματος, ἦσαν „ταμίαι, ὅσον φίλον εἶχετο θελήσασι μόνον, ὅσον περιτ„τὸν ἀπεπέμφθη ταῖς λόχμαις εἰς δευτέραν τράπεζαν· οἱ „ὀψοποιοὶ σχέδιοι, τὸ δεῖπνον εὐπρεπὲς, οἱ δαιτυμόνες „εὐχάριστοι, προοίμιον ἔχοντες ἤδη τῶν ἐλπιζομένων τὸ „παρὸν θαῦμα, ἐξ οὗ καὶ πρὸς τὴν ἄθλησιν, ὑπὲρ ἧς „ταῦτα ἦν αὐτοῖς, ἐγίνοντο προθυμότεροι.“ Καὶ οὗτος μὲν ὁ ἀπὸ τῶν προγόνων τρόπος· εἶτα χρῆται καὶ τῷ ἀπὸ τῶν πατέρων λέγων οὕτως· „τῆς δὲ τῶν πατέρων συζυγίας οὐχ ἧττον τὸ κατὰ τὴν ἀρετὴν ὁμότιμον ἢ τὰ σώματα,“ καὶ τὰ ἑξῆς· καὶ ἐν μὲν τῷ ἐπιταφίῳ τοῖς δυσὶ τόποις τοῦ γένους ἐχρήσατο, τῷ ἀπὸ τῶν προγόνων, καὶ τῷ ἀπὸ τῶν πατέρων, ἐν ἑτέροις δὲ λόγοις ἐγκωμιαστικοῖς ἢ οὐδόλως χρῆται τῷ γένει, ἢ ἐπ' ὀλίγον, ὡς ἐν τῷ εἰς τοὺς Μακκαβαίους, καὶ τῷ εἰς τὸν μάρτυρα Κυπριανὸν, καὶ τῷ εἰς τὸν μέγαν Ἀθανάσιον· καὶ οὕτως μὲν ἀπὸ γένους ἐγκωμιάσομεν πρόσωπα καὶ πράγματα καὶ καιρούς· εἰ δὲ τόπον ἐγκωμιάζομεν, οἷον πόλιν ἢ λιμένα, εἰ μὲν πόλις εἴη, ἀπὸ μὲν ἔθνους ἐγκωμιάσομεν τὸ μέρος τῆς γῆς, ἐν ᾧ ἐστι, τῆς Εὐρώπης, τῆς Ἀσίας, τῆς Λιβύης· ἀπὸ δὲ πατρίδος τῆς χώρας, ἀπὸ δὲ προγόνων τῶν ἀρξαμένων μὲν οἰκίζειν αὐτὴν, μὴ μέντοι τὸ ἔργον περανάντων, ἀπὸ δὲ πατέρων, τὸ τέλος ἐπιθέντων τῷ ἔργῳ. εἰ δὲ λιμὴν εἴη, τότε ἀντὶ μὲν ἔθνους

τὴν χώραν παραληψόμεθα· ἀντὶ δὲ πατρίδος τὴν ἐν ᾗ ἐστι πόλει. εἰ δὲ ἄλογα ζῶα ἐγκωμιάζομεν, ἐξετάσομεν, πότερον ἐν μιᾷ χώρᾳ τὸ ἐξεταζόμενον ζῶον γίνεται, ὡς ὁ ἐλέφας ἐν Ἰνδοῖς, καὶ ὁ κροκόδειλος ἐν Αἰγύπτῳ ἢ πανταχοῦ γίνεται, καὶ εἰ μὲν ἐν μιᾷ γίνεται, τότε ἀπὸ μὲν ἔθνους ἐπαινέσομεν αὐτὸ, ἀπὸ τοῦ μέρους τῆς γῆς, ἐν ᾧ ἐστι λέγοντες, ὅτι ἐν Λιβύῃ γίνεται, ἡ δὲ ἐστι τοιάδε, ἢ ἐν τῇ Εὐρώπῃ, ἢ ἐν τῇ Ἀσίᾳ, ἀπὸ δὲ πατρίδος τῆς χώρας ἐν ᾗ ἐστιν, ἀπὸ δὲ πατέρων, τοῦ θεοῦ ᾧ ἀνάκειται, πολλὰ γὰρ τῶν ζώων ἀνάκειται τοῖς θεοῖς· οἷον ἡ γλαὺξ τῇ Ἀθηνᾷ, ὁ ἵππος τῷ Ποσειδῶνι· εἰ μέντοι οὐκ ἐν μιᾷ χώρᾳ ἀλλὰ πανταχοῦ πέφυκεν, ἐπαινέσομεν ἀπὸ ἔθνους λέγοντες, ὅτι πατρίδα ἔσχεν ἅπασαν τὴν γῆν, καὶ ὅτι τὸ χρησιμώτατον τοῦ ζώου, ὅσον ἐστὶ τοῖς ἀνθρώποις εἰδότες οἱ θεοὶ, οὐχὶ τοῖσδε μόνοις τοῖς ἐν τῷδε τῷ τόπῳ οἰκοῦσι δεδώκασιν, ἀλλὰ κοινὸν δῶρον ἅπασιν αὐτὸ ἐχαρίσαντο· κἂν φυτὸν δὲ ἐγκωμιάζωμεν, ὁμοίως ποιήσομεν· τῶν φυτῶν γὰρ τὰ μὲν ἐν μιᾷ χώρᾳ γίνεται, τὰ δὲ ἀπανταχοῦ· μεθοδεύσομεν οὖν καὶ ἐπὶ τούτων τὸ παρὸν κεφάλαιον, ὥσπερ ἐπὶ τῶν ἀλόγων ἐδείχθη. Εἶτα ἀνατροφή· ὥσπερ τὸ γένος προέταξε τῶν λοιπῶν, διὰ τὸ τοῦτο πρῶτον εἶναι τῷ χρόνῳ τῶν ἐξῆς κεφαλαίων, οὕτω καὶ τὴν ἀνατροφὴν δευτέραν τίθησι διὰ τὸ τοῦ μὲν γένους ὑστέραν, τῶν δὲ πράξεων αὐτὴν πρῶτον εἶναι. Εἰς τὸ αὐτό· εἶτα ἀνατροφήν· οὐκ εἶπε τροφὴν, ἀλλὰ ἀνατροφήν· ἡ μὲν γὰρ τροφὴ τῶν βρωμάτων ἁπλῶς σημαίνει μετάληψιν, ἡ δὲ ἀνατροφὴ τὴν παίδευσιν καὶ τὴν ἐκ παίδων εἰς ἄνδρας δηλοῖ πρόοδον, ὥστε καὶ περιέχεσθαι τὴν τροφὴν ὑπὸ τῆς ἀνατροφῆς. Ἴν διαιρήσεις εἰς ἐπιτηδεύματα καὶ νόμους καὶ τέχνην· ἀπὸ ἐπιτηδευμάτων ἐπαινέσομέν τινα, ὅτε λέγομεν, ὅτι φιλοσοφίαν ἐπετήδευσε μετελθεῖν ἢ ῥητορικήν, ἢ τὸν στρατιωτικὸν εἵλετο βίον· ἀπὸ δὲ τῆς τέχνης, ὅτι ἐπιτηδεύ-

σας τήνδε τὴν τέχνην, οἷον τὴν γραμματικὴν εἰ τύχῃ, εἰς ἕξιν ἦλθεν αὐτῆς, καὶ πάντας ἐν αὐτῇ ὑπερέβαλε. καὶ ὅλως ἐπιτήδευμα μὲν λέγειν τοῦ βίου τὴν αἵρεσιν, οἷον ὅτι εἵλετο στρατεύεσθαι, τέχνην δὲ τὸ εἰς ἕξιν ἐλθεῖν τοῦ ἐπιτηδεύματος καὶ τέλειον κατὰ τοῦτο γενέσθαι, ἡ δὲ ἐνέργεια ἡ ἀπὸ τῆς τέχνης πρᾶξίς ἐστιν. Καὶ ταῦτα μὲν οἱ παλαιοὶ τῶν ἐξηγητῶν περὶ τέχνης καὶ ἐπιτηδεύματος· ὁ δὲ Γεωμέτρης διαφέρειν φησὶ τέχνην καὶ ἐπιτήδευμα, τῷ τὰς μὲν τέχνας διὰ μαθήσεως ἡμῖν μόνοις προσγίνεσθαι, τὰ δὲ ἐπιτηδεύματα καὶ ἀπὸ τῶν πραγμάτων αὐτῶν εἰς μεταχείρισιν ἥκειν· ἔστι μὲν οὖν τέχνη κατ' αὐτὸν ὅπερ ἁπλῶς τις ἔμαθεν, οἷον ὥσπερ ὁ Ἀριστοτέλης τὴν ῥητορικήν. ἐπιτήδευμα δέ, ὅπερ μᾶλλον ὧν ἔμαθεν ἐζήλωσε, καὶ εἰς ὃ ἅπαν τὸ φιλότιμον ἔτρεψεν. ὥσπερ Ἀριστοτέλης μὲν μᾶλλον ὧν μεμάθηκε τὴν φιλοσοφίαν ἐζήλωσεν, Ὅμηρος δὲ τὴν ποιητικὴν, ὁ δὲ Ἑρμογένης τὴν ῥητορικήν· πράξεις δέ εἰσι ἄλλα τέ τινα, καὶ ὅσα ἀφ' ὧν ἔμαθέ τις καὶ ἐπετήδευσεν, ἔπραξεν· οἷον ὅσα ἀπὸ τοῦ μαθεῖν τὴν ῥητορικὴν ἢ ἐπιτηδεῦσαι τὴν φιλοσοφίαν ἔγραψεν ὁ Ἀριστοτέλης, ὁμοίως καὶ ὅσα ὁ Θουκυδίδης ἀπὸ τοῦ μαθεῖν καὶ ἐπιτηδεῦσαι τὴν ῥητορικὴν συνέγραψε. Καὶ νόμους. Ἐκ τῶν νόμων ἐγκωμιάσομεν, εἰ, ὡς δοκεῖ, τοῖς νόμοις ἀπυδείξομεν ἀνατραφέντα τὸν ἐγκωμιαζόμενον. ἐκ τῶν νόμων ἐγκωμιάσομεν, εἰ τῇ τούτων μελέτῃ τὴν ἑαυτοῦ διάνοιαν κατεπύκνωσεν· εἰ μὴ τὴν ἐξ αὐτῶν ἐμφαινομένην ἰσχὺν δώροις διέφθειρε· ζητεῖται δὲ περὶ τῶν νόμων, διατί οὐ προσένειμεν αὐτοὺς τοῖς ἐπιτηδεύμασιν, ἢ ταῖς τέχναις, ἀλλ' ἰδίᾳ τέθεικε· καὶ λέγει πρὸς τοῦτο δύο αἰτίας ὁ Γεωμέτρης, μίαν μὲν ὡς ἐμπειρίαν οὖσαν τὴν τούτων εἴδησιν οὔτε τοῖς ἐπιτηδεύμασιν οὔτε ταῖς τέχναις προσένειμεν· ἑτέραν δὲ ὡς κοινὴν οὖσαν ἐπιτηδευμάτων καὶ τεχνῶν· οὐ γὰρ δεῖ, φησὶ, μόνον ἐν οὐδενὶ τῶν ἐπιτη-

δευμάτων ἢ τεχνῶν ἄνευ πολιτεύεσθαι νόμων, ἀλλὰ καὶ εἰς τέλος ταῖς ἐμπειρίαις τούτων καταπυκνοῦν τὴν διάνοιαν, ὡς ἅμα καὶ δικαίως τε καὶ ἀσφαλῶς καὶ ἐννόμως καὶ φρονίμως ζῇν. Ἤν διαιρήσεις εἰς ἐπιτηδεύματα καὶ νόμους καὶ τέχνην· εἰ μὲν πρόσωπον εἴη τὸ ἐγκωμιαζόμενον, οἷον Θουκυδίδης ἢ Δημοσθένης, ἐροῦμεν μετὰ τὸ ἀπὸ τοῦ γένους κεφάλαιον, ἀπὸ μὲν τοῦ ἐπιτηδεύματος ἐγκωμιάζοντες, ὅτι τοιούτων δὲ φανεὶς καὶ τοιούτους ἐσχηκὼς τοὺς προγόνους τρέφεται τῆς τε τῶν πατέρων καὶ τῆς ἀρετῆς ἀξίως καὶ τῆς τῶν προγόνων εὐκλείας· εὐθὺς γὰρ ἐκ παίδων φιλοσοφεῖν, εἰ τύχοι, ἢ ῥητορεύειν εἵλετο· ἀπὸ δὲ τῆς τέχνης, ὅτι καὶ σπουδὴν εὐφυΐᾳ μίξας, θᾶττον ἦλθεν εἰς ἕξιν οὗπερ ἐπόθει καὶ εἰς πᾶσαν αὐτοῦ τὴν κατάληψιν· εἰ μέντοι πρᾶγμα εἴη τὸ ἐγκωμιαζόμενον, ἢ θηρευτικὴ ἤ τι τοιοῦτον, τότε ἀντὶ ἀνατροφῆς τὴν ἐν αὐτῷ ἐροῦμεν ἄσκησιν· λέγοντες, ὅτι καὶ τοὺς τὸ τοιοῦτον ἀγαθὸν ποθοῦντας πολλῆς μὲν εἰκὸς τυγχάνειν ἐπιμελείας· διηνεκῶς δὲ καὶ τῆς σπουδῆς καὶ τῆς εἰς αὐτὸ ἀσχολίας· ὅσον γὰρ εὐτυχές ἐστι τοῦτο μαθεῖν, τοσοῦτο καὶ δυσχερὲς εἰς κατόρθωσιν· εἰ δὲ καιρὸν ἐγκωμιάζομεν, οἷον ἔαρ, τότε ἀντὶ ἀνατροφῆς τὴν ὡσανεὶ τούτου θαυμάσομεν αὔξησιν, οἷον ὅπως μὲν ἄρχεται, οἷον δέ ἐστι κατὰ τὸ μέσον, ὁποῖον δὲ κατὸ τὸ τέλος· εἰ μέντοι τόπον ἐγκωμιάζομεν, οἷον πόλιν ἢ λιμένα, τότε πάλιν ἀντὶ ἀνατροφῆς τὸν τόπον ἐροῦμεν, καθ' ὃν ἐκτίσθη ἡ πόλις, ἢ ὁ λιμὴν γέγονεν. καὶ εἰ μὲν ῥᾳδίως ἐκτίσθη, τοῦτο θαυμάσομεν, εἰ δὲ δυσχερῶς καὶ μετὰ δυσκολίας, καὶ τοῦτο. καὶ εἰ δὲ καὶ ἄλογον ζῶον ἐγκωμιάζομεν, ἐπὶ τοῦ παρόντος κεφαλαίου γενόμενοι ἐξετάσομεν τὸν τρόπον καθ' ὃν τρέφεται, κἀντεῦθεν αὐτὸ θαυμάσομεν· πλὴν τοῦτο ἰστέον, ὅτι τὰ ἐπιτηδεύματα ἐν τοῖς τοιούτοις χώραν οὐκ ἔχει· ἐπιτήδευμα μὲν γάρ ἐστι κρίσις ψυχῆς μετὰ λόγου καὶ αἵρεσις· τὰ δὲ

ἄλογα κρίνειν τὸ πρακτέον ἢ τὸ συμφέρον οὐκ οἶδεν· ὁμοίως δὲ οὐδὲ τὰ πράγματα, οὐδὲ οἱ καιροὶ, οὐδὲ οἱ τόποι, ἀλλ' οὐδὲ τὰ φυτά· κἂν τὰ φυτά τε εἴη τὰ ἐγκωμιαζόμενα, ἐξετάσομεν πῶς τρέφεται, πότερον ἐπιμελείας τῆς παρὰ τῶν ἀνθρώπων τυγχάνει, εἰ ἐξ αὐτομάτου φύεται, καὶ εἰ τῆς παρ' ἀνθρώπων ἐπιμελείας δεῖται, πότερον πολλῆς ἢ ὀλίγης, καὶ εἰ μὲν πολλῆς, ἐντεῦθεν αὐτὸ θαυμάσομεν, εἰ δὲ ὀλίγης, ἐξ ἐκείνου. ἐροῦμεν γὰρ, ὅτι μετὰ τῆς ἄλλης ὠφελείας, ἧς τὸ φυτὸν αἴτιον γίνεται τοῖς ἀνθρώποις, κἀκεῖνο τὸ ἀγαθὸν αὐτοῖς παρέχεται, τὸ μὴ πόνους πολλοὺς ὑφίστασθαι περὶ τὴν αὐτοῦ ἐπιμέλειαν· εἰ μέντοι ἐξ αὐτομάτου φύεται, ὥσπερ ἡ δρῦς, ἔτι μᾶλλον ἔχομεν ἐντεῦθεν αὐτὸ θαυμάζειν.

Εἶτα τὸ μέγιστον τῶν ἐγκωμίων κεφάλαιον ἐποίσεις τὰς πράξεις. Ζητοῦσί τινες, διατὶ μέγιστον τῶν κεφαλαίων εἶπεν εἶναι τὰς πράξεις· καὶ εἰ μέγιστον, πῶς τελευταῖον αὐτὸ λέγει τιθέναι. ὤφειλε γὰρ κατ' αὐτὸ τοῦτο μᾶλλον τῶν ἄλλων προτίθεσθαι. Πρὸς μὲν οὖν τὸ πρῶτον ἀπόρημα διαφόρους ἀποδίδωσι τὰς λύσεις ὁ Γεωμέτρης· φησὶ γὰρ διὰ τοῦτο μέγιστον αὐτὸ εἰρῆσθαι, διότι τὰ μὲν ἄλλα φύσεως ἢ τύχης καὶ πατέρων αὐτῶν δωρήματα, οἷον εὐγένεια καὶ ῥώμη καὶ πλοῦτος, καὶ ὅσα τοιαῦτα· αὗται δὲ τῆς ἡμῶν γνώμης εἰσὶ προαιρήματα, καὶ τῶν μὲν ἄλλων χωρὶς ἐπαινεῖν τις τὸν ἐγκωμιαζόμενον πολλάκις δύναται· καὶ γὰρ ἀφάνεια πολλάκις γένους εἰς ἐγκώμιον ἤρκεσε καὶ πενία καὶ ἀῤῥωστία· αὗται δὲ ἀπὸ μόνων τῶν ἀγαθῶν συνίστανται· οὐκ ἂν γὰρ ἀπὸ φαύλης πράξεως ἀγαθός τις ἐπαινεθείη· ἔτι δὲ καὶ ὅτι τὰ μὲν ἄλλα ἐπιτετμημένως κατὰ παραδρομὴν παρερχόμεθα· καὶ πρὸς τούτοις πᾶσιν, ὅτι τὸ μὲν γένος ἓν, καὶ ἡ ἀνατροφὴ ὁμοίως καὶ ἡ τέχνη καὶ τὸ ἐπιτήδευμα, αἱ δὲ πράξεις πολλαί· καὶ ταῦτα μὲν πρὸς τὸ πρῶτον ἄπορον ὁ Γεωμέτρης. πρὸς δὲ τὸ δεύτερον

ἡμεῖς

ἡμεῖς φαμεν δύο λύσεις· μίαν μὲν ὅτι ἰσχυρότερόν ἐστιν τὸ τῶν πράξεων κεφάλαιον, διὰ τοῦτο καὶ τελευταῖον τίθεται· αὕτη γὰρ τάξις ἀρίστη τὸ ἀπὸ τῶν ἀσθενεστέρων καὶ μικροτέρων ἐπὶ τὰ ἰσχυρότερα χωρεῖν καὶ ἀκμαιότερα· ἔπειτα δὲ κἀκεῖνο λέγομεν· ὥσπερ τὸ γένος ἔταξε πρῶτον, τὴν δὲ ἀνατροφὴν δεύτερον, διότι καὶ πρῶτόν ἐστι τὸ γένος τῷ χρόνῳ τῆς ἀνατροφῆς, οὕτω καὶ τὰς πράξεις τέθεικε τρίτον κεφάλαιον διὰ τὸ καὶ τῷ χρόνῳ ἐσχάτας εἶναι τὰς πράξεις τῆς τε ἀνατροφῆς καὶ τοῦ γένους. Ψυχὴν μὲν ὡς ἀνδρίαν καὶ φρόνησιν. Ζητεῖται διατί τὰς ἀρετὰς πράξεις λέγει, αἵτινες οὐ πράξεις, ἀλλ' ἕξεις μᾶλλον[12] εἰσί· καὶ περὶ τοῦ κάλλους καὶ τοῦ τάχους ταῦτα ζητεῖται· οὐδὲ γὰρ ταῦτα πράξεις, ἀλλὰ πλεονεκτήματά εἰσι σωμάτων· δῆλον δέ, αἱ μὲν γὰρ πράξεις τῆς προαιρέσεώς εἰσι, ταῦτα δὲ ἀπροαίρετα· πρὸς δὴ τοῦτο λέγεται, ὅτι οὐ τὰς τῆς ψυχῆς ἢ τοῦ σώματος ἐνταῦθα ἀρετὰς λέγει, ἀλλὰ τὰς διὰ τῶν ἀρετῶν τούτων πράξεις· καὶ γὰρ τῶν πράξεων αἱ μὲν κατὰ δικαιοσύνην, αἱ δὲ κατὰ ἀνδρίαν, αἱ δὲ καθ' ἑτέραν τῶν ἄλλων ἀρετῶν γίνονται. Ἂς διαιρήσεις εἰς ψυχὴν καὶ σῶμα καὶ τύχην. εἰ μὲν πρόσωπον εἴη τὸ ἐγκωμιαζόμενον, οἷον Θουκυδίδης ἢ Δημοσθένης, πάντα σχεδὸν ταῦτα ἐμπεσεῖται· εἰ δέ τι τῶν ἄλλων εἴη, οἷον πρᾶγμα ἢ καιρὸς ἢ τόπος ἢ ἄλογον ζῶον ἢ φυτόν, κατὰ τὰ εὑρισκόμενα χρησόμεθα· εἰ μὲν πράγματά τις ἐγκωμιάζειν βούλεται ἀντὶ τῶν πράξεων, ἵν' αὐταῖς λέξεσι τὰ τοῦ Γεωμέτρου ἐρῶμεν, τὰς ἡδονὰς τούτων καὶ τὰς προσόδους ἕξει· εἰ δὲ ἄλογα ζῶα εἴη τὰ ἐγκωμιαζόμενα, ἀντὶ τῶν πράξεων τὰς ἐνεργείας τούτων παραληψόμεθα· καὶ γὰρ ὁ μὲν ἵππος ἐν πολέμῳ καὶ ἐν ἑτέραις χρείαις ἐστὶ χρησιμώτατος, καὶ ὁ βοῦς δὲ ἐν γεωργίαις· εἰ δὲ φυτὰ

12 Laur. Vind. μόνον. supra lin. μᾶλλον.

εἴη τὰ ἐγκωμιαζόμενα, ἀντὶ τῶν πράξεων τὰς φορὰς τῶν καρπῶν ἐπαινέσομεν, καὶ τὰς δι' αὐτῶν τῶν καρπῶν γινομένας ἐνεργείας, ὥσπερ ἐπὶ τῆς ἀμπέλου οὐ μόνον τὴν τῶν σταφυλῶν φορὰν ἐπαινέσομεν, ἀλλὰ καὶ τὴν τοῦ οἴνου, πρός τε τἆλλα καὶ πρὸς αὐτάς τε τὰς θυσίας χρήσιμον οὖσαν ἀνθρώποις, καὶ ἐπὶ τῆς ἐλαίας τόν τε καρπὸν αὐτὸν καὶ τὴν τοῦ ἐλαίου χρῆσιν καὶ τὴν τοῦ φωτὸς χρείαν· εἰ δὲ καιρὸς πάλιν εἴη τὸ ἐγκωμιαζόμενον, οἷον ἔαρ, ἀντὶ πράξεων τὰ ἐν αὐτῷ γενόμενα ἀγαθὰ ληψόμεθα, λέγοντες ὅπως ἐν αὐτῷ ἀνθοῦσι τὰ λήϊα, ὅπως δὲ ἐν αὐτῷ καὶ ἡ θάλασσα ἡδεῖα τηνικαῦτα, καὶ ὁ οὐρανὸς ὡσανεὶ τῇ γῇ σπένδεται, καὶ τοιαῦτά τινα.

Εὐχῇ μᾶλλον προσήκοντα. Τὸ μᾶλλον προσέθηκεν, ἵνα δείξῃ, ὅτι οὐ πάντοτε εὐχῇ προσήκοντα ποίησομεν τὸν ἐπίλογον, διά τοι τοῦτο καὶ αὐτὸς ἐν τῇ μελέτῃ οὐ τοιοῦτον αὐτὸν ἐποίησεν.

ΕΓΚΩΜΙΟΝ ΘΟΥΚΥΔΙΔΟΥ.

Ἐπειδὴ ἀρκούντως ἐν τῇ μεθόδῳ διελέχθη περὶ τοῦ ἐγκωμίου, ὅτι τί ἐστιν ἐγκώμιον δείξας καὶ ὅθεν ὠνόμασται καὶ τί διαφέρει ὕμνου καὶ ἐπαίνου, καὶ ἄλλα τινὰ περὶ αὐτοῦ διεξελθὼν νῦν καὶ διὰ παραδειγμάτων δεικνύειν αὐτὸ βούλεται· πρόσωπον ἐγκωμιάζων τὸν Θουκυδίδην, καὶ πρᾶγμα τὴν σοφίαν, καὶ ἐπὶ τούτων τὴν τῶν κεφαλαίων φύσιν δηλῶν. Ζητεῖται δὲ διατί ταῦτα ἐγκωμιάζει, πρόσωπόν φημι καὶ πρᾶγμα, καὶ οὐχ ἕτερά τινα, οἷον καιρὸν καὶ τόπον· ἢ ἄλογον ζῶον ἢ φυτόν. Ἔτι δὲ κἀκεῖνο ζητήσεως ἄξιον, διατί τὸ τοῦ Θουκυδίδου ἐγκώμιον προέταξε τοῦ τῆς σοφίας ἐγκωμίου· φαμὲν δή, ὅτι ἐπειδὴ ἐν τοῖς τῶν προσώπων ἐγκωμίοις οὐ μόνον ἅπαντα τὰ κεφάλαια, οἷον τὸ γένος, ἡ ἀνατροφή, αἱ πράξεις ἐμπίπτουσιν, ἀλλὰ καὶ τὰ τούτων πάντα μέρη, οἷον τοῦ μὲν γένους τὸ ἔθνος, ἡ πατρὶς, οἱ πρόγονοι,

οἱ πατέρες· τῆς ἀνατροφῆς τὰ ἐπιτηδεύματα, αἱ τέχναι, οἱ νόμοι· τῶν δὲ πράξεων τὰ κατὰ ψυχὴν καὶ σῶμα καὶ τύχην· διὰ τοῦτο βουλόμενος ἐντελῶς διὰ παραδειγμάτων τὴν φύσιν τῶν κεφαλαίων διδάξαι, ἐκεῖνο τῶν περιστατικῶν εἰς μελέτην μεταχειρίζεται, ἐφ' οὗ ἐναργῶς τὰ ἐν τῇ μεθόδῳ πάντα ἐδύνατο δείκνυσθαι· ἐπειδὴ δὲ πάλιν καὶ ἐν τοῖς ἄλλοις τῶν ἐγκωμιαζομένων, εἰ καὶ μὴ γένη κυρίως καὶ ἀνατροφαὶ καὶ πράξεις, ὅμως ἀναλογοῦντά τινα τούτοις εἰσὶ, βουλόμενος κἀκεῖνα διδάξαι, οἷά εἰσι, καὶ τὴν σοφίαν, ἥτις ἐστὶ πρᾶγμα, ἐνεκωμίασεν. ἐν μὲν τῷ Θουκυδίδου ἐγκωμίῳ τὸ κυρίως γένος καὶ τὴν κυρίως ἀνατροφὴν καὶ τὰς πράξεις, ὁποῖαί τέ εἰσι καὶ ὅπως ταῦτα ἐγκωμιάσωμεν δείξας· ἐν δὲ τῷ τῆς σοφίας ἐγκωμίῳ τὰ τούτοις ἀναλογοῦντα· διὰ τοῦτο οὖν ταῦτα ἐγκωμιάζει καὶ οὐχ ἕτερα. Τὸ δὲ τοῦ Θουκυδίδου ἐγκώμιον τοῦ τῆς σοφίας προέταξεν, ἢ ὅτι καὶ ἐναργέστερον ἐπὶ τούτου ἐδείκνυτο τὰ κεφάλαια, ἢ ὅτι καὶ πρότερόν ἐστι φύσει τὸ πρόσωπον τοῦ πράγματος. Εἰ δέ τις πάλιν ζητεῖ, διατί ἐν μὲν τοῖς ἄλλοις γυμνάσμασιν ἑνὸς εἴδους μελέτην εἰς παράδειγμα προετίθει, οἷον ἐν μὲν τῷ μύθῳ τοῦ ἠθικοῦ, τριῶν ὄντων τῶν εἰδῶν τοῦ μύθου, λογικοῦ, ἠθικοῦ, μικτοῦ, ἐν δὲ τῷ διηγήματι τριῶν ὄντων εἰδῶν τοῦ διηγήματος, δραματικοῦ, πολιτικοῦ καὶ μικτοῦ, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ἐν δὲ τῷ ἐγκωμίῳ δύο μελέτας ἐκτίθεται, πρόσωπον ἐγκωμιάζων καὶ πρᾶγμα, ῥητέον ὅτι τὰ μὲν ἄλλα ἐπειδὴ ἀτελῆ ἦσαν, διὰ μιᾶς μελέτης ἐδείκνυε, τὸ δὲ ἐγκώμιον ἐπειδὴ τελείου λόγου ἔχει διαίρεσιν, ἐπὶ δύο μελετῶν δείκνυσιν αὐτοῦ τὰ κεφάλαια· ἄλλως τε δὲ ἐπειδὴ ἐν μὲν τοῖς προσώποις τὸ κυρίως ἐμπίπτον γένος, καὶ ἡ κυρίως ἀνατροφὴ, καὶ αἱ κυρίως πράξεις, ἐν δὲ τοῖς ἄλλοις τὰ τούτοις ἀναλογοῦντα βουλόμενος ἀμφότερα διδάξαι ἡμᾶς, τά τε κυρίως καὶ τὰ τούτοις ἀνάλογα καὶ πρόσωπον ἐγκωμιάζει καὶ πρᾶ-

γμα, ἐν μὲν τῷ τοῦ προσώπου ἐγκωμίῳ τὰ κυρίως δείκνυσι κεφάλαια, ἐν δὲ τῷ τοῦ πράγματος τὰ τούτοις ἀνάλογα.

Ἡ μελέτη τοῦ προγυμνάσματος. Τιμᾷν ἄξιον τοὺς εὑρόντας τὰ χρήσιμα· δυσὶ προοιμίοις ἐν τῇ παρούσῃ μελέτῃ κέχρηται ὁ σοφιστής, καὶ τὸ μὲν πρῶτον σύγκειται ἐκ προτάσεως, κατασκευῆς, ἀποδόσεως· δέον γὰρ ἐν τῷ ἐγκωμίῳ τελείῳ ὄντι καὶ τὰ προοίμια τελειοτέραν ἔχειν τὴν ἐργασίαν, τὸ δὲ δεύτερον προοίμιον πρότασιν ἔχειν μόνην καὶ κατασκευήν· ἔστιν οὖν ἡ μὲν τοῦ πρώτου προοιμίου πρότασις τὸ „τιμᾷν ἄξιον τοὺς εὑρόντας τὰ χρήσιμα," ἡ δὲ κατασκευὴ αὐτοῦ τὸ, „οἷς ἐπορίσαντο τὰ κάλλιστα·" τὸ γὰρ οἷς καὶ ἀντὶ τοῦ διότι τέθειται· ἡ δὲ ἀπόδοσις, „οὐκοῦν Θουκυδίδην ἐπαινέσω τοῖς λόγοις·" καὶ γὰρ ὡς καὶ οἱ ἐξηγηταὶ τοῦ περὶ εὑρέσεων βιβλίου φασὶ καὶ αὐτὸς ὁ Γεωμέτρης, ἔνθα μὲν ἁπλῶς τὸ βούλημα τοῦ λέγοντος φαίνεται, ἀπόδοσίς ἐστιν ἐνταῦθα· ἔνθα δὲ καὶ δέησίς τις ἢ αἴτησις ἢ παράκλησις, ἀξίωσις· ὡς ἔχει ἐν τῷ κατὰ Κόνωνος παρὰ τῷ Δημοσθένει· τοῦ δὲ δευτέρου προοιμίου πρότασις μέν ἐστι τὸ, „ἅπαντας μὲν τοὺς εὐεργέτας τιμᾶσθαι καλόν· τοσοῦτον δὲ μᾶλλον Θουκυδίδην τῶν ἄλλων, ὅσῳ τῶν ἁπάντων εὗρε τὸ κάλλιστον." κατασκευὴ δὲ τὸ, „οὔτε γὰρ λόγων ἐν τοῖς οὖσι κρεῖττον ἔστιν εὑρεῖν οὔτε Θουκυδίδου περὶ[1] τοὺς λόγους σοφώτερον· τινὲς μέντοι τὸ πρῶτον προοίμιον ἀκατάσκευον εἶναι ἐνόμισαν, τὸ οἷς οὐκ ἀντὶ τοῦ διότι, ἀλλ' ἄρθρον μᾶλλον αὐτὸ ἐκλαβόμενοι· ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον· τιμᾷν ἄξιον τοὺς εὑρόντας τὰ χρήσιμα ἐκείνους, οἷς τισιν οἱ εὑρόντες τὰ χρήσιμα ἐπορίσαντο τὰ κάλλιστα.

Καὶ τὸ παρ' ἐκείνων φανὲν ἐπανατίθεσθαι δικαίως

---

1 Vind. παρὰ τοῖς λόγοις. supra lin. τοὺς λόγους.

τοῖς δείξασι. Τοῦτο ὁ μὲν Γεωμέτρης κατασκευὴν εἶναι λέγει· ἐγὼ δὲ οὐ πάνυ τι πείθομαι· εἰ γὰρ καὶ τὸ οἷς οὐκ ἀντὶ τοῦ διότι, ἀλλ' ὡς ἄρθρον ἐκλάβωμεν, ὥστε εἶναι ὅλον πρότασιν, τὸ τιμᾶν ἄξιον τοὺς εὑρόντας τὰ χρήσιμα οἷς ἐπορίσαντο κάλλιστα, τίνα πίστιν τῆς προτάσεως ταύτης ἔχοι ἂν „καὶ τὸ παρ' ἐκείνων φανὲν ἐπανατίθεσθαι δικαίως τοῖς δείξασιν·" ἐν δὲ κατασκευῇ, ὡς δηλοῖ καὶ τοὔνομα, βεβαίωσις τῆς προτάσεως ὀφείλει εἶναι.

Τιμᾶν ἄξιον τοὺς εὑρόντας τὰ χρήσιμα· τὸ σχῆμα συλλογισμὸς κατὰ τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος· λείπει δὲ ἡ ἐλάττων πρότασις· εἴη δ' ἂν τὸ ἐντελὲς οὕτως· τιμᾶν ἄξιον πάντας τοὺς εὑρόντας τὰ χρήσιμα· τοῦτο ἡ πρότασις, ἔστι δὲ καθόλου καταφατική· ὁ Θουκυδίδης εὗρε τὰ χρήσιμα, τοῦτο ἡ ἐλάττων πρότασις μερικὴ οὖσα καταφατική· εἶτα τὸ συμπέρασμα· οὐκοῦν ἄξιόν ἐστι τιμᾶσθαι τὸν Θουκυδίδην· οἷον ὁ μὲν ἐφεῦρε τὴν χαλκευτικήν, καὶ ὁ δεῖνα τὴν τεκτονικήν, καὶ παρὰ πάντων θαυμάζονται τοῦ ἐφευρήματος ἕνεκα. Οὔτε γὰρ λόγον ἐν τοῖς οὖσι κρεῖττον ὑπάρχει λαβεῖν, οὔτε Θουκυδίδου παρὰ τοὺς λόγους σοφώτερον· εἰπὼν περὶ Θουκυδίδου, ὅτι τῶν ἁπάντων εὗρε τὸ κάλλιστον τοὺς λόγους, κατασκευάζει νῦν, πῶς ἐστι τὸ ἐφευρεθὲν κάλλιστον, καὶ πῶς αὐτὸ τὸ κάλλιστον ἐφεῦρεν ὁ Θουκυδίδης· καὶ τὸ μὲν ἐφευρεθὲν δείκνυσιν εἶναι κάλλιστον ἐκ τῆς κοινῆς ἁπάντων ἐννοίας, κοινῶς γὰρ πάντες τοὺς λόγους κρείττονας ἁπάντων εἶναι τῶν ὄντων νομίζουσι· τοῦτο δὲ μαρτυρεῖ καὶ ὁ Πλάτων, πρός τινα γεωμέτρην Θεόδωρον τὸν λόγον ποιούμενος καὶ λέγων ὅτι „τοιοῦτόν τι, ὦ Θεόδωρε, οὔτε ἦκέ ποτε εἰς ἀνθρώπους, οὔτε ἥξει δῶρον ἐκ θεοῦ· ὅτι δὲ ὁ Θουκυδίδης ἐφεῦρεν αὐτό, δείκνυσι λέγων, ὅτι οὐδεὶς αὐτοῦ κρειττων ἐν λόγοις ἐγένετο, μὴ γὰρ ὑπολάβῃς ὅτι ὁ Θουκυδίδης πρῶτος ἐφεῦρε

τοὺς λόγους, καὶ διὰ τοῦτο λέγει αὐτὸν ὁ Ἀφθόνιος ἐφευρετὴν τῶν λόγων, ἀλλὰ διότι ἄριστα αὐτοῖς ἐχρήσατο, ὥσπερ καὶ τοὺς μύθους Αἰσωπείους λέγει, οὐ διότι αὐτὸς ὁ Αἴσωπος ἐφευρετὴς τούτων πρῶτος ἐγένετο, ἀλλὰ διότι ἄριστα πάντων οὗτος αὐτοῖς ἐχρήσατο. Εἰς τὸ αὐτό. Οὔτε γὰρ λόγων ἐν τοῖς οὖσι κρεῖττον ὑπάρχει λαβεῖν. Ζητοῦσί τινες εἰ τοῦτο ὅλον ἐστὶ πρότασις τοῦ δευτέρου προοιμίου, τὸ ἅπαντας μὲν τοὺς εὐεργέτας τιμᾶσθαι καλὸν, τοσούτῳ δὲ μᾶλλον τὸν Θουκυδίδην τῶν ἄλλων, ὅσῳ καὶ πάντων εὗρε τὸ κάλλιστον· πῶς ἡ κατασκευὴ οὐχ ἅπασαν κατασκευάζει τὴν πρότασιν, ἀλλὰ μέρος αὐτῆς· τὸ γὰρ „ἅπαντας μὲν οὖν τοὺς εὐεργέτας τιμᾶσθαι καλὸν“ οὐ κατασκευάζει τὸ „τοσοῦτον μᾶλλον Θουκυδίδην τῶν ἄλλων, ὅσῳ καὶ τῶν ἁπάντων εὗρε τὸ κάλλιστον·“ πρὸς δὲ τοῦτο ἔστιν εἰπεῖν, ὅτι τὸ, „ἅπαντας μὲν οὖν τοὺς εὐεργέτας τιμᾶσθαι καλὸν,“ ὡς προαποδεδειγμένον ἐν τῷ πρώτῳ προοιμίῳ ἀκατασκεύαστον εἴασεν. Οὔτε Θουκυδίδου παρὰ τοὺς λόγους σοφώτερος. ἡ παρὰ ἐνταῦθα ἀντὶ τῆς κατὰ κεῖται, ὡς φησιν ὁ Ἰεωμέτρης· ἢ ἀντὶ τῆς περὶ, ἢ ἀντὶ τῆς μετὰ, ἵν' ᾖ ὅτι μετὰ τοὺς λόγους αὐτοὺς εὐθὺς τῶν ἄλλων ἁπάντων ὁ Θουκυδίδης σοφώτερος ἦν. Προῆλθε τοίνυν ὁ Θουκυδίδης ἐκ γῆς· μετὰ τὰ διττὰ προοίμια καὶ ἐπὶ τὴν τοῦ γένους ἦκει διαίρεσιν· ἀλλ' οὐ τελείως ἐπεξέρχεται ταύτην· ἐν μὲν γὰρ τῇ μεθόδῳ εἰς τέσσαρα διεῖλεν τὸ γένος· εἰς ἔθνος, πατρίδα, προγόνους καὶ πατέρας· ἐνταῦθα δέ οὔτε τοῦ ἔθνους οὔτε τῶν πατέρων ἐμνημόνευσεν, ἀλλὰ τοῦ γένους εἰς ἄψυχα διαιρουμένου καὶ ἔμψυχα, καὶ ἑκατέρου σκέλους εἰς προσεχὲς καὶ πόρρω· ἀπὸ μὲν τοῦ ἐμψύχου τὸ πόρρω παρείληφεν, ἀπὸ δὲ τοῦ ἀψύχου

---

2 Laur. Vind. κρείττων ἔστιν ἀρχ. In Vind. adjectum est: κείμενον. In Laur. idem ad marg.

τὸ προσεχές. δυνάμενος δὲ καὶ ἀπὸ τοῦ ἔθνους ὡς Ἕλληνα ἐγκωμιάσαι τὸν Θουκυδίδην, καὶ ἀπὸ τῶν πατέρων ὡς εἰς Αἰακὸν καὶ Ὄλορον τὸν βασιλέα ἀναφέροντα τὸ γένος, παρῆκε τοῦτο ποιῆσαι, ἵνα μὴ μείζονα ἢ κατ' εἰσαγωγὴν φαίνηται τὴν μελέτην ποιούμενος. Ἢ βίον αὐτῷ παρέσχε καὶ τέχνην· βίον [3] σημαίνει καὶ τὴν ζωὴν καὶ τὰ πρὸς τὸ ζῆν ἐπιτήδεια, καὶ τὰ ἐπιτηδεύματα, ὥσπερ ὅταν λέγωμεν, ὁ δεῖνα τὸν δεῖνα βίον ἐξελέξατο· οἷον τὸν ῥητορικὸν ἢ τὸν φιλόσοφον· ἐνταῦθα τοίνυν τὸ βίος ἤτοι τὴν ζωὴν καὶ τὴν εἰς τὸ εἶναι σημαίνει πρόοδον, ἢ τὰ πρὸς τὸ ζῆν ἤτοι τὴν ζωὴν ἐπιτήδεια· ἐπειδὴ γὰρ πρῶτον ἐν Ἀθήναις λέγεται βλαστῆσαι τοὺς καρποὺς, δοκοῦσιν οἱ ἄλλοι τόποι μὴ οἰκείους αὐτοὺς ἔχειν, μηδ' εἰς οἰκεῖα ταῦτα παρέχειν τοῖς ἐν αὐταῖς· ἢ τὰ ἐπιτηδεύματα ἐνταῦθα σημαίνει τὸ βίος ὄνομα, ἵν' ᾖ τὸ αὐτὸ σημαίνοντα ἀμφότερα τὰ ὀνόματα, τὸ βίος καὶ τέχνη· εἰκότως δὲ εἶπε, τὰς Ἀθήνας αὐτῷ τὴν τῶν λόγων δοῦναι τέχνην· οἱ γὰρ Ἀθηναῖοι τὸ παλαιὸν τοὺς ἑαυτῶν παῖδας γράμματα καὶ νήχεσθαι ἐξεπαίδευον· γράμματα μὲν ἵνα γένωνται ἐντὸς τῶν λόγων, νήχεσθαι δὲ διὰ τὰς ναυμαχίας, συνεχῶς γὰρ ἐπολέμουν οἱ Ἀθηναῖοι. Καὶ προσλαβὼν γένους ἰσχύν· τοῦτο βούλεται λέγειν ὅτι οὐκ ἐξ ἀδικίας ἀλλ' ἐκ προγόνων εἶχε τὸν πλοῦτον. Εἰς ἐπανόρθωσιν ἑκατέρου τὸ παρ' ἑκατέρου φέρεται κέρδος. Ἐπειδὴ γὰρ ἑκάτερα, ἥ τε δημοτικὴ πολιτεία καὶ ὁ πλοῦτος, ἔχουσί τι καὶ πλεονέκτημα καὶ ἐλάττωμα, οἷον ὁ πλοῦτος πλεονέκτημα μὲν τὸ ἐλευθέριον καὶ ἀνενδεὲς, ἐλάττωμα δὲ τὸ πλεονεκτικὸν καὶ βίαιον, ἡ δὲ δημοτικὴ πολιτεία πλεονέκτημα μὲν τὸ ἴσον καὶ τὸ δικαιοσύνης ἀντέχεσθαι, ἐλάττωμα δὲ τὸ ταπεινὸν, ὁ Θουκυδίδης πλούσιος ὢν καὶ δημοτικὸς διὰ μὲν τοῦ εἶναι

3 Vind. βίου.

πλούσιος τὸ τῆς δημοτικῆς πολιτείας ἐξέφυγεν ἐλάττωμα, διὰ τοῦ εἶναι δὲ πάλιν δημοτικὸς τὸ τοῦ πλούτου. Τὸ μὴ πλουτεῖν ἀδίκως διὰ τῆς ἰσηγορίας ἐπανορθούμενος· ἢ περιττόν ἐστι τὸ μὴ, ἢ τὸ ἐπανορθούμενος ἀντὶ τοῦ κατορθῶν ἢ πράττων ἢ παιδευόμενος τέθεικε. Διὰ τῆς ἰσηγορίας. Τινὲς ἰσηγορίαν τοὺς νόμους ἔφασαν σημαίνειν. ὥσπερ γὰρ, φασὶ,[4] συνήγορος μὲν λέγεται ὁ τῷ ἑνὶ μέρει βοηθῶν, τῷ φεύγοντι, κατήγορος δὲ ὁ τὴν τοῦ διώκοντος ἔχων τάξιν, οὕτω καὶ ἰσήγορος λέγοιτ' ἂν ὁ νόμος ἢ καὶ ὁ δικαστὴς, ὡς ἐπίσης τοῖς δυσὶ βοηθῶν μέρεσιν, οἱ δὲ ἰσηγορίαν τὴν δὲ δημοτικὴν εἶναι πολιτείαν. Καὶ τοιούτων φανεὶς τρέφεται μὲν πολιτείᾳ καὶ νόμοις, οὐκ εἶπεν ἀνατρέφεται· καὶ γὰρ τὸ μὲν τῆς ἀνατροφῆς ὄνομα ἄχρηστον· διὸ οὐδὲ εὕρηται παρά τισι τῶν παλαιῶν· τὸ δὲ τῆς τροφῆς οὐ μόνον ἐπὶ τῆς σωματικῆς τροφῆς οἱ παλαιοὶ παρέλαβον, ἀλλὰ καὶ ἐπὶ τῆς ψυχικῆς ἀγωγῆς καὶ παιδείας.[5] Πολιτείᾳ καὶ νόμοις. Ἀνωτέρω εἰπὼν καὶ προσλαβὼν ἄμφω, γένους ἰσχὺν καὶ πολιτείαν δημοτικὴν, πολιτείαν τὴν κοινὴν παρέλαβεν ἅπασιν. ἐνταῦθα δὲ πολιτείαν τὰ πολιτικὰ λέγει μεταχειρίζεσθαι.

Α τῶν ἄλλων ἀμείνω πεφύκασι· πρὸς τὴν πολιτείαν Θηλυκοῦ γένους οὖσαν καὶ πρὸς τοὺς νόμους ἀρσενικοῦ γένους ὄντας οὐδέτερον ἐπήνεγκεν ἄρθρον τὸ ἃ, καὶ ἔστιν ὅμοιον τῷ, „σελήνην καὶ ἀστέρας ἃ συνεθεμελίωσας·" ἔστι δὲ σχῆμα τὸ καλούμενον καινοπρεπὲς, ἴδιον τοῦ κάλλους ὄν. Καὶ πρὸς ὅπλα καὶ νόμους ζῆν ἐγνωκώς· ταῦτα οἷον ἐπιτηδεύματά εἰσι τοῦ Θουκυδίδου. οὔτε τὰς μάχας ἐν μέρει τιθεὶς τῆς φρονήσεως· διατί οὐκ εἶπεν, ὅτι τοὺς πολέμους ἐν μέρει τιθεὶς τῆς φρονήσεως, καὶ

4 Vind. φησί. 5 Laur. Vind. πολιτείας. supra lin. παιδείας.

λέγει πρὸς τοῦτο ὁ Γεωμέτρης, ὅτι ἐπειδὴ ἡ μάχη τὴν περιβολὴν αὐτὴν καὶ τὴν διὰ χειρῶν σημαίνει ἐνέργειαν, οὐ λόγων δέοιτ' ἄν, ἀλλὰ φρονήσεως, τουτέστι λελογισμένης τόλμης. ὁ δὲ πόλεμος οὐ τὴν προσβολὴν σημαίνει ἁπλῶς, ἀλλὰ τὸν καιρὸν ὅλον, καθόσον τὰ κατ' ἀλλήλων ἑκάτερα τὰ μέρη βουλεύονται, δέοιτ' ἂν λόγων, οἷον βουλῆς καὶ παρασκευῆς, ὥστε φασὶ μάχας εἰπὼν οὐκ ἠδύνατο ἀντὶ τοῦ μέρους τῆς φρονήσεως ἐν μέρει τῶν λόγων εἰπεῖν· ὥστε πάλιν εἰ ἀντὶ τοῦ εἰπεῖν τὰς μάχας εἶπε τοὺς πολέμους, οὐκ ἠδύνατο ἂν ἐν μέρει τῆς φρονήσεως εἰπεῖν, ἀλλ' ἐν μέρει τῶν λόγων. Ἃ γὰρ ἐποίουν ὡς ἕκαστοι· τὸ ὡς περιττὸν κατὰ συνήθειαν Ἀττικήν, καὶ ὁ Δημοσθένης, „καὶ ταῦτα εἰκότως καὶ περὶ ἡμῶν οὗτος ὑπείληφε καὶ κατὰ Θηβαίων καὶ Ἀργείων ὡς ἑτέρως.“ Ἐξ ὧν ἁλισκομένη μὲν ἔγνωσται Πλάταια· ἡ Πλάταια συμμαχὶς μὲν ἦν Ἀθηναίων· ἐπολιορκεῖτο δὲ ὑπὸ Πελοποννησίων, ὕστερον δὲ ἑάλω ὑπ' αὐτῶν· λέγει δὲ περὶ μὲν τῆς πολιορκίας αὐτῆς ἐν τῷ δευτέρῳ τῆς συγγραφῆς, περὶ δὲ τῆς ἁλώσεως ἐν τῷ τρίτῳ. Δηούμενα δὲ τὰ τῆς Ἀττικῆς ἐγνωρίζετο. Δηούμενα παρὰ τίνων; παρὰ τῶν Πελοποννησίων δηλονότι. Ναυμαχείας εἶδεν ἡ Ναύπακτος. Ἐν Ναυπάκτῳ ἐναυμάχησαν Ἀθηναῖοι Φορμίωνος στρατηγοῦντος εἴκοσι ναυσὶ πρὸς Πελοποννησίους, ἑπτὰ καὶ τεσσαράκοντα ναῦς ἔχοντας καὶ νενικήκασι· μετὰ δὲ τοῦτο καὶ πάλιν Φορμίωνος στρατηγοῦντος ταῖς αὐταῖς εἴκοσι ναυσὶν ἐναυμάχησαν πρὸς αὐτοὺς ἑπτὰ καὶ ἑβδομήκοντα ναῦς ἔχοντας καὶ νενικήκασι.

Λέσβος ἑάλω καὶ μέχρι τοῦδε κηρύττεται. Ἡ Λέσβος συμμαχὶς οὖσα τῶν Ἀθηναίων καὶ ἀποστᾶσα μὲν αὐτῶν, προσθεμένη δὲ Πελοποννησίοις ὕστερον ἑάλω ὑπ' Ἀθηναίων Πάσχητος στρατηγοῦντος· περὶ τούτου δὲ ἐν τῷ τρίτῳ λέγει τῆς συγγραφῆς.

Πρὸς τοὺς Ἀμπρακιώτας καθίστατο μάχη. Πρὸς τοὺς Ἀμπρακιώτας ἐγένετο πόλεμος τοῖς Ἀκαρνᾶσι καὶ Ἀμφιλόχοις περὶ Ἄργους τοῦ Ἀμφιλοχικοῦ. Ἐπαγόμενοι ἐς αὐτὸ οἱ Ἀμφίλοχοι τοὺς Ἀμπρακιώτας συνοίκους ὕστερον ἐξηλάθησαν παρ' αὐτῶν· ταῦτα δὲ ἐν τῷ δευτέρῳ τῆς συγγραφῆς, λέγει οὖν ὁ συγγραφεύς. Δίκη Λακεδαιμονίων οὐκ ἀγνοεῖται παράνομος· ἡ Πλάταια πόλις ἦν Βοιωτίας, συμμαχὶς δὲ τῶν Ἀθηναίων· ἀπέχει δὲ Θηβῶν σταδίους ἑβδομήκοντα· ταύτην περιετείχισαν Βοιωτοὶ καὶ Πελοποννήσιοι, καὶ βουλομένην ἀποστῆναι τῶν Ἀθηναίων καὶ κατὰ τὰ πάτρια πάντων τῶν Βοιωτῶν πολιτεύεσθαι. οἱ οὖν Πλαταιεῖς ἐπὶ χρόνον πολὺν πολιορκηθέντες καὶ σῖτον μὴ ἔχοντες παρέδοσαν τὴν πόλιν τοῖς Βοιωτοῖς· ἐφ' ᾧ τὸ δικάσασθαι καὶ παρὰ δίκην κολασθῆναι μηδένα, καὶ ἐπὶ τούτῳ ἦλθον ἐκ Λακεδαίμονος ἄνδρες δικασταὶ πέντε, οἵ τῶν Πλαταιῶν δίκαια προϊσχομένων τοῖς Θηβαίοις ὡς συμμάχοις χαριζόμενοι πάντας ἀνεῖλον. τῆς οὖν παρανόμου ταύτης κρίσεως ὁ Ἀφθόνιος μέμνηται.

Σφακτηρία καὶ Πύλος[7] τὸ μέγα τῶν Ἀθηναίων. Ἡ Πύλος Κορυφάσιον ὑπὸ τῶν Ἀθηναίων ἐκαλεῖτο· ἔστι δὲ χωρίον ἐρυμνὸν διέχον τῆς Λακωνικῆς σταδίους τετρακοσίους· τούτῳ παραπλέοντες οἱ Ἀθηναῖοι εἰς Κέρκυραν ἐρχόμενοι ἐτειχίσαντο ἐν ἓξ ἡμέραις· ἐγένετο δὲ τοῦτο λυπηρὸν τοῖς Λακεδαιμονίοις· καὶ γὰρ οἱ Εἵλωτες ηὐτομόλουν ἐκεῖσε· καὶ οἱ Ἀθηναῖοι ἐξ αὐτοῦ ὁρμώμενοι τὰ προσεχῆ τῆς Λακεδαίμονος ἐλῄστευον· ὁμοίως καὶ ἡ Σφακτηρία νῆσός ἐστι πλησίον τῆς Πύλου, λίμνας ἔχουσα· βουλόμενοι οὖν οἱ Λακεδαιμόνιοι πολιορκῆσαι τὴν πόλιν, ἵνα μὴ ἐκ τῶν Ἀθηναίων βοήθεια αὐτοῖς γένηται, διεβίβασαν ὁπλίτας ἐν αὐτῇ εἴκοσι καὶ τριακοσίους·

---

6 Vind. bis Πίλης.

οἱ δὲ Ἀθηναῖοι πρῶτα μὲν ναυσὶ τὰς ναῦς τῶν Λακεδαιμονίων ἐνίκων· ἔπειτα δὲ καὶ εἰς τὴν νῆσον ἀποβάντες τοὺς μὲν ἀνεῖλον τῶν ὁπλιτῶν, τοὺς δὲ καὶ ζῶντας λαβόντες εἰς τὰς Ἀθήνας ἤγαγον. Ἐπεὶ οὖν ἐν τῷ Πελοποννησιακῷ πολέμῳ μέγιστα ταῦτα παρὰ τῶν Ἀθηναίων ἐπράχθη, καὶ γὰρ ἐκ τούτων οἱ Λακεδαιμόνιοι ταῖς γνώμαις ἐδουλώθησαν, καὶ ὑπὲρ εἰρήνης πρὸς τοὺς Ἀθηναίους ἐπρεσβεύσαντο, τοὺς ἀπὸ τῆς Σφακτηρίας αὐτῶν αἰχμαλώτους λῦσαι βουλόμενοι, λέγει ὁ Ἀφθόνιος, ὅτι Σφακτηρία καὶ Πύλος τὸ μέγα τῶν Ἀθηναίων οὐκ ἔλαθεν ἔργον· μέγα δὲ ταῦτα εἶπεν ὡς πρὸς τὴν κάκωσιν τῶν ἐναντίων· ἀντέστραπται δὲ ἡ τῶν πραγμάτων ἀκολουθία· ὤφειλε γὰρ οὕτως εἰπεῖν· Σφακτηρία καὶ Πύλος, προηγεῖται γὰρ ὁ τειχισμὸς τῆς Πύλου, καὶ οὕτως ἡ ἐπὶ τῇ Σφακτηρίᾳ νίκη καὶ σύλληψις τῶν Λακεδαιμονίων ὁπλιτῶν γέγονεν. Ὅθεν Κερκυραῖοι μὲν παρὰ τοὺς Ἀθηναίους ἐκκλησιάζουσι· καὶ περὶ τούτων ἐν τῷ πρώτῳ λέγει· λέγει δέ, ὅτι οἱ Κορίνθιοι πόλεμον κατὰ τῶν Κερκυραίων ἐξήνεγκαν, ὅτι ἄποικοι ὄντες οὐκ ἐτίμων τὴν μητρόπολιν, καὶ τοὺς Ἐπιδαμνίους ὄντας καὶ αὐτοὺς ἀποίκους αὐτῶν ἐπολιόρκουν. Παρασκευασάμενοι οὖν ναῦς ἑβδομήκοντα καὶ πέντε καὶ δισχιλίους ὁπλίτας ἐναυμάχησαν κατὰ Κερκυραίων, καὶ ἐνίκησαν οἱ Κερκυραῖοι περὶ τὸν πόλεμον· ὅθεν οἱ Κορίνθιοι [7] ὀργῇ φέροντες τὸν πρὸς Κερκυραίους πόλεμον ἐναυπηγοῦντο πάντα τὸν ἐνιαυτὸν τὸν μετὰ τὸν πόλεμον καὶ τὸν ὕστερον, οἱ δὲ Κερκυραῖοι τὴν παρασκευὴν αὐτῶν πυνθόμενοι ποθοῦντες [8] εἶναί τισιν ἔνσπονδοι δεδιότες, ἦλθον πρὸς τὸ συμμαχίαν λαβεῖν εἰς Ἀθήνας, καθ' ὃν χρόνον καὶ

---

7 Vind. Κερκιραῖοι. correxi ex Thuc. I. 31. 8 ποθοῦντες inserui ad sensum Thucydidis I, 31. in codd. lacuna est.

οἱ Κορίνθιοι ἐλθόντες ἀντέλεγον τοῖς Κερκυραίοις, μὴ δοθῆναι αὐτοῖς συμμαχίαν. τὸ γοῦν ἐν τῇ ἐκκλησίᾳ παρελθεῖν καὶ ὑπὲρ τῆς συμμαχίας εἰπεῖν λέγει ὁ Ἀφθόνιος, ὅτι Κερκυραῖοι περὶ τὰς Ἀθήνας ἐκκλησιάζουσι· Κερκύρα δὲ νῆσος ἐστὶν κάτωθεν Λαμψάκου ἡ λεγομένη Κορυφή. Αἰγινῆται κατηγοροῦντες εἰς Λακεδαίμονα ἔρχονται. Τριακοντούτεις σπονδὰς Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι καὶ οἱ σύμμαχοι ἑκατέρων ἐποιήσαντο· ἐν αἷς εἴρηται αὐτονόμους εἶναι καὶ ἀδουλώτους, Αἰγινήτας δὲ μὴ ἐγγεγραμμένους ταῖς σπονδαῖς ὑφ' ἑαυτοὺς εἶχον οἱ Ἀθηναῖοι· κακῶς δὲ εἴρηται „κατηγοροῦντες εἰς Λακεδαίμονα ἔρχονται·" οὐ γὰρ ἦλθον τοὺς Ἀθηναίους δεδιότες, ἀλλὰ λάθρα τὴν εἰς αὐτοὺς ἀδικίαν ὑπεδήλουν· ταῦτα γὰρ ἐν τῷ πρώτῳ περὶ αὐτῶν ὁ συγγραφεὺς λέγει. Αἰγινῆται [9] φανερῶς μὲν οὐ πρεσβευόμενοι, δεδιότες τοὺς Ἀθηναίους, κρύφα δὲ οὐχ ἥκιστα μετ' αὐτῶν ἐνῆγον τὸν πόλεμον λέγοντες οὐκ εἶναι αὐτονόμους κατὰ τὰς σπονδάς. Καὶ σωφρονῶν μέν. μετὰ γὰρ τὸ εἰπεῖν Κορινθίους τὰς τῶν Ἀθηναίων εἰς αὐτοὺς ἀδικίας, καὶ τοὺς λοιποὺς τῶν συμμάχων Ἀρχίδαμος βασιλεὺς ὢν τῶν Λακεδαιμονίων ἔπειθε μὴ ταχέως τὸν πρὸς Ἀθηναίους ἄρασθαι πόλεμον· λέγει δὲ ταῦτα ἐν τῇ τοῦ Ἀρχιδάμου δημηγορίᾳ· „καὶ πρὸς τοὺς Ἀθηναίους πέμπετε [4] μὲν περὶ τῆς Ποτιδαίας, πέμπετε δὲ περὶ ὧν οἱ σύμμαχοι φασιν ἀδικεῖσθαι. ἄλλως τε καὶ ἑτοίμων αὐτῶν ὄντων δίκας δοῦναι. καὶ ὁ μὲν Ἀρχίδαμος σωφρονῶν ταῦτα ἔλεγεν, εἰρήνευε γάρ. ὁ δὲ Στενελαΐδας εἷς ὢν τῶν ἐφόρων εἰς τὸν πόλεμον ἐνάγων αὐτοὺς ἔλεγεν τἀναντία· διὸ ὡς μαχιμοποιοῦ ὄντος αὐτοῦ εἴρηται, ὅτι πρὸς μάχην αὐτοὺς ἐκίνει.

9 Thucyd. I, 67. 10 Vind. πέμπεται μὲν τῆς Ποτ. πέμπεται δὲ περὶ ἣν. Correxi ex Thuc. I, 85.

Καὶ πρὸς τούτοις ὁ Περικλῆς πρεσβείαν ἀτιμάζων Λακώνων. Ἐν τῷ τέλει τῆς πρώτης [11] φησί· „τέλος δὲ ἀφικομένων τῶν Πλαταιέων πρέσβεων ἐκ Λακεδαίμονος Ῥαμφίου τε καὶ Μελησίππου καὶ Ἀγησάνδρου καὶ λεγόντων ἄλλο μὲν οὐδὲν ὧν πρότερον εἰώθεσαν, αὐτὰ δὲ τάδε, ὅτι Λακεδαιμόνιοι βουλεύονται [12] τὴν εἰρήνην εἶναι, εἴη δ' ἂν εἰ τοὺς Ἕλληνας ἀφῆτε· [13] ἐπεὶ οὖν πρὸς ταύτην τὴν πρεσβείαν ὁ Περικλῆς ἀντεῖπεν ἰσχυρῶς καὶ ἀπράκτους [14] ἀπέπεμψε τοὺς ἐκ Λακεδαίμονος ἥκοντας πρέσβεις, λέγει ὅτι πρεσβείαν Λακωνικὴν ὁ Περικλῆς ἠτίμασε, στρατηγὸς δὲ Ἀθηναίων οὗτος.“

Καὶ χαλεπαίνειν οὐ συγχωρῶν Ἀθηναίους νοσοῦντας. μετὰ τὸ κινηθῆναι τὸν πόλεμον ἐν τῷ δευτέρῳ [15] θέρει ἐνέπεσε τοῖς Ἀθηναίοις νόσος δεινή, ἀρξαμένη μὲν τῆς Αἰθιοπίας τῆς ὑπὲρ Αἴγυπτον, καταβᾶσα δὲ καὶ εἰς τὴν βασιλέως γῆν τὴν πολλήν. εἰς δὲ τὰς Ἀθήνας πρῶτον μὲν ἐν τῷ Πειραιεῖ τῶν ἀνθρώπων ἥψατο, ὕστερον δὲ καὶ εἰς τὴν ἄνω πόλιν ἀφίκετο, καὶ ἐθνῄσκον ἐν ταύτῃ ἐπὶ πλέον. ἐν τῷ δευτέρῳ οὖν μετὰ τὴν ἐπίθεσιν τῆς νόσου [16] τοιαῦτα λέγει· μετὰ δὲ τὴν δευτέραν εἰσβολὴν τῶν Πελοποννησίων οἱ Ἀθηναῖοι, ὡς ἥ τε [17] γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον καὶ ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο τὰς γνώμας καὶ τὸν Περικλέα ἐν ὀργῇ εἶχον· διὰ ταῦτα οὖν ὁ Περικλῆς παρελθὼν ἐδημηγόρει μὴ αὐτῷ χαλεπαίνειν ἀξιῶν, ἀλλὰ γενναίως φέρειν τὰ προσπεσόντα δυσχερῆ καὶ μετὰ τὸ τῆς δημηγορίας τέλος φησὶν ὁ συγγραφεύς· τοιαῦτα ὁ Περικλῆς λέγων ἐπειρᾶτο τοὺς Ἀθηναίους τῆς τε εἰς αὐτὸν ὀργῆς παραλύειν καὶ ἀπὸ τῶν παρόντων δεινῶν

11 Thuc. I, 139. 12 Thuc. *βούλονται.* 13 Thuc. *ἀφῆτε.* 14 Vind. *ἄπρακτον.* 15 L. II. 48. 16 c. 59. 17 Vind. *ὅτι γῆς.* Correxi ex Thuc.

ἀπάγειν τὴν γνώμην· οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο, καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον, καὶ [18] πρὸς τὸν πόλεμον ἔτι ὥρμηντο μᾶλλον, ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο· ὁ μὲν δῆμος ὅτι ἀπ᾽ ἐλάσσονος ὁρμώμενος ἐστέρητο καὶ [19] τούτων, οἱ δὲ δυνατοὶ καλὰ κτήματα κατὰ τὴν χώραν οἰκοδομίαις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπολωλεκότες. τὸ δὲ μέγιστον πόλεμον ἀντ᾽ εἰρήνης ἔχοντες. οὐ μέντοι πρότερόν γε οἱ σύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν, πρὶν ἐξημίωσαν χρημάτων· ὕστερον δὲ αὖθις οὐ πολλῷ, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν εἵλοντο καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν. Εἶτα τίς αὐτῷ παραβαλεῖ τὸν Ἡρόδοτον; Σύγκρισις ἢ ἴσου πρὸς ἴσον γίνεται, ὅταν τὰ ἴσα ἀντεξετάζωμεν, τὴν ἰσότητα δεῖξαι βουλόμενοι, ἢ ἴσου πρὸς μείζονα, ὅταν τὰ δοκοῦντα ἴσα ἀλλήλοις ὑπάρχειν διαχωρίζωμεν καὶ τὸ μὲν μεῖζον, τὸ δὲ ἔλαττον ἀποφαίνωμεν, ἢ ἐλάττονος πρὸς μεῖζον, ὅταν τὸ ὁμολογουμένως ἔλαττον τοῦ βελτίονος προτάττειν [20] σπουδάζωμεν. ἐνταῦθα οὖν σύγκρισιν ποιεῖται ὁ Ἀφθόνιος ἀπὸ τοῦ ἴσου πρὸς μείζονα.

Ἰστέον δὲ, ὅτι οὐχ ἕνα τόπον τῆς συγκρίσεως ἀποδίδομεν, ἐν παντὶ γὰρ λόγου μέρει χώραν ἔχει ὑπὸ τῆς χρείας καλουμένη, οἷον ἐν προοιμίοις ὡς ἐν τῇ Ἑλένῃ Ἰσοκράτης· „σπουδάσας δὲ μάλιστα περὶ τὸν [21] ἐξ Ἀλκμήνης καὶ τοὺς ἐκ Λήδας, τοσοῦτο μᾶλλον Ἡρακλέους προετίμησεν, ὥστε τῷ μὲν ἰσχὺν δέδωκε“ καὶ τὰ ἑξῆς· πάλιν δὲ ὁ αὐτὸς ἐν τῷ Εὐαγόρᾳ [22] ἐν μέσῳ τοῦ λόγου μετὰ τῶν κεφαλαίων τὴν σύγκρισιν ἔθηκε· „τῶν μὲν οὖν τὰς πατρικὰς βασιλείας παραλαβόντων τίς οὐκ ἂν τοὺς

18 Vind. οὔτε καί. Correxi ex Thuc. II, 65. 19 Vind. τοῦτο. 20 Vind. προστάττειν. 21 Vind. περὶ τάς. Scripsi τὸν ex Isocr. p. 234. Bekk. 22 p. 218. Bekk.

Εὐαγόρου κινδύνους προκρίνειε," καὶ πάντα τὰ ἑξῆς· καὶ πάλιν προελθὼν, τῷ Κύρῳ τὸν Εὐαγόραν συνέκρινε, καὶ μὴν καὶ Δημοσθένης ἐν τῷ περὶ τοῦ στεφάνου[23] ἐν μέσοις τοῖς ἀγῶσί φησι, καίτοι ὅτι πολλοὶ παρ' ἡμῖν γεγόνασι ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ ἐμοῦ, Καλλίστρατος ἐκεῖνος, Ἀριστοφῶν, Κέφαλος, Θρασύβουλος, ἕτεροι μυρίοι, ἀλλ' ὅμως οὐδεὶς πώποτε τούτων, καὶ τὰ ἑξῆς· πρὸς δὲ τῷ τέλει μετὰ τὴν τῶν κεφαλαίων ἐργασίαν πάλιν ἐν τῷ Εὐαγόρα ὁ Ἰσοκράτης τέθεικε σύγκρισιν· τῶν μὲν ἡμιθέων τοὺς πλείστους καὶ τοὺς ὀνομαστοὺς εὑρήσομεν καὶ τὰ ἑξῆς, καὶ πάλιν ὁ Ἀριστείδης ἐν τῷ τέλει τοῦ Παναθηναϊκοῦ τοῖς Λακεδαιμονίοις συγκρίνει τοὺς Ἀθηναίους· ὅμως ὅτι μετὰ τἆλλα κεφάλαια τὴν σύγκρισιν δεῖ τελευταίαν τάττειν Ἀφθόνιος ἐδήλωσε διὰ τοῦ τελευταίας αὐτῆς ἐπιμνησθῆναι· αἱ μὲν γὰρ ἐν παντὶ λόγῳ κατεσπαρμέναι συγκρίσεις εἰκότως εἰσάγονται πρὸς ἕν τι τῶν πραγμάτων γινόμεναι, αἱ δὲ πρὸς τῷ τέλει τιθέμεναι καθολικαί τινές εἰσι πρὸς ἅπασαν τὴν ὑπόθεσιν, πρέπων δὲ ἐστὶ τῇ συγκρίσει ὁ τελευταῖος τόπος. Δεῖ γὰρ πρότερόν τι δεῖξαι, εἶθ' οὕτως αὐξῆσαι.

Εἰ μὴ τὸ πάντα εἰπεῖν τὸ τῶν ἐπαίνων παρείλετο πλῆθος. εἰ μὴ ἡ τῶν ἐπαίνων πληθὺς ἐκώλυσεν ἡμᾶς τὰ περὶ αὐτοῦ πάντα εἰπεῖν.

ΣΟΦΙΑΣ ΕΓΚΩΜΙΟΝ.

Ἐν τῇ μελῳδῷ τοῦ ἐγκωμίου τέτταρα ἡμᾶς διδάξας τῶν περιστατικῶν ἐγκωμιάζειν ὁ σοφιστὴς, πρόσωπα, πράγματα, καιρούς τε καὶ τόπους, τὰ δύο τὰ πρῶτα καὶ διὰ παραδειγμάτων τῶν οἰκείων μελετημάτων ὅπως ἐγκωμιάσωμεν, ὑπεδήλωσε· παραδοὺς οὖν ἡμῖν τὴν τοῦ

23 p. 301.

προσώπου διαίρεσιν, μεταχωρεῖ λοιπὸν καὶ ἐπὶ τὴν τοῦ πράγματος τὴν σοφίαν ἐγκωμιάζων ἤτοι τὴν φρόνησιν. εἰκότως δὲ ταύτην ἐγκωμιάζει, ἔστι μὲν γὰρ κρεῖττον ἁπάντων τῶν ἐν ἡμῖν ἡ ἀρετή. τῶν δὲ ἀρετῶν πάλιν κρειττων καὶ πρώτη ἡ φρόνησις· αὕτη γὰρ τρόπον τινὰ αἰτία τῶν ἄλλων ἐστίν· καὶ γὰρ ἐν μὲν τῷ θυμικῷ γενομένη τὴν ἀνδρίαν ποιεῖ, ἐν δὲ τῷ ἐπιθυμητικῷ τὴν σωφροσύνην.

Σοφίαν εὐτυχὲς μὲν λαβεῖν· ὁ μὲν ἐξηγητὴς τοῦ παρόντος βιβλίου φησὶν, ὅτι σοφίαν ἐνταῦθα οὐ τὴν ἐν ὑποκειμένῳ λέγει, ἀλλ' αὐτὸ τὸ πρᾶγμα· ἔστι δὲ πρὸς αὐτὸν, ὅτι ἐπεί που πρᾶγμα ἢ ὑποκείμενόν ἐστιν ἢ γοῦν οὐσία, ἢ ἐν ὑποκειμένῳ ἢ γοῦν συμβεβηκὸς, ἡ δὲ σοφία οὐκ ἔστιν οὐσία, εἴδηλον, ὅτι συμβεβηκὸς καὶ ἐν ὑποκειμένῳ ἐστίν· εἰ δέ τις πάλιν εἴπῃ, ὅτι ἡ μερικὴ σοφία, οἷον ἡ τοῦ Θεμιστοκλέους ἐστὶν ἐν ὑποκειμένῳ, αὕτη γὰρ ἐν τῇ ψυχῇ τοῦ Θεμιστοκλέους, ἡ δὲ καθόλου οὐκ ἔστιν ἐν ὑποκειμένῳ, ταύτην δὲ νῦν ἐγκωμιάζει ὁ σοφιστὴς, ἐροῦμεν, ὅτι καὶ ἡ καθόλου σοφία ἐν ὑποκειμένῳ ἐστίν. ἔστι γὰρ ἐν τῇ ἁπλῶς ψυχῇ· εἰ γὰρ μὴ τὸ καθόλου ἦν ἐν ὑποκειμένῳ, οὐδὲ τὸ μερικὸν ἦν ἂν ἐν ὑποκειμένῳ· εἰ γὰρ μὴ τὸ καθόλου εἴη συμβεβηκὸς, οἷον ἡ γραμματικὴ, οὐδὲ τὸ μερικὸν, οἷον ἡ ἐν τῷ Ἀριστάρχῳ ψυχὴ γραμματικὴ ἂν εἴη συμβεβηκὸς, ὥσπερ εἰ μὴ ἦν τὸ ζῷον καὶ ὁ ἄνθρωπος οὐσία, οὐδὲ ὁ Σωκράτης ἂν ἦν οὐσία. Εἰς τὸ αὐτό. Σοφίαν εὐτυχὲς μὲν λαβεῖν. τινὲς μὲν τῶν πρὸ ἡμῶν καὶ αὐτὸς ὁ Γεωμέτρης σοφίαν τὴν παρ' ἡμῶν λεγομένην γνῶσιν τὸν Ἀφθόνιον ᾠήθησαν ἐνταῦθα λέγειν· ἐμοὶ δὲ δοκεῖ μὴ τοῦτο, ἀλλὰ μᾶλλον τὴν φρόνησιν τὸ τῆς σοφίας σημαίνειν ὄνομα. λέγεται γὰρ σοφὸς οὐ μόνον ὁ λόγῳ ἔχων ἱκανὴν πεῖραν, ἀλλὰ καὶ ὁ τῇ γενικῇ ἀρετῇ φρονήσει καλλωπιζόμενος· οὕτω γὰρ καὶ σοφὸν βούλευμα

τὸ

τὸ συνετὸν λέγομεν· ὅτι δὲ σοφίαν ἐνταῦθα τὴν φρόνησιν καλεῖ, δῆλον, ἐξ ὧν ἐγκωμιάζων αὐτὴν λέγει· ἥ τε γὰρ τοῦ Κύκλωπος πήρωσις καὶ ἡ κατάλυσις τῆς Περσικῆς δυνάμεως καὶ ἡ τῆς Τροίας ἅλωσις καὶ τἆλλα φρονήσεως φαίνοιτ' ἂν εἰκότως ἢ γνώσεως· εἰ δέ τις πάλιν ἀδιάφορα ταῦτα νομίζοι, φρόνησιν καὶ γνῶσιν, ἴστω μὴ ὀρθῶς τοῦτο ὑπολαμβάνων· ἡ μὲν φυσικόν ἐστι δώρημα ἡ φρόνησις, τὴν δὲ γνῶσιν ἐκ προαιρέσεως ἔχομεν, διὸ καὶ πολλοὺς ὁρῶμεν φρονίμους, μὴ περὶ λόγους εὐδοκιμοῦντας, καὶ πάλιν πλείονας λόγων μὲν ἱκανὴν ἔχοντας πεῖραν, φρονήσεως δὲ ἀμοιροῦντας. Εἰς τὸ αὐτό. Σοφίαν εὐτυχὲς μὲν λαβεῖν. Ζητοῦσί τινες, πῶς εὐτυχίᾳ τὴν σοφίαν τοῖς ἀνθρώποις ἔφησεν περιγίνεσθαι, καὶ οὐ τῇ καθημερινῇ μᾶλλον ἀσκήσει· καὶ ὁ μὲν Γεωμέτρης σοφίαν τὴν γνῶσιν ὑπολαμβάνων εἰρῆσθαί φησιν, ὅτι πρὸς τὸ μέγεθος τοῦ πράγματος ἀπιδὼν οὐδὲ δυνατὸν ἐνόμισεν εἶναι δι' ἀνθρωπίνων πραγμάτων εἰς κτῆσιν αὐτοῦ ἔρχεσθαι, εἰ μὴ φύσεως εὐκληρίᾳ μᾶλλον καὶ χάριτι θείᾳ· ἡμεῖς δὲ λέγομεν, ὅτι σοφίαν τὴν φρόνησιν λέγων ὁ σοφιστής, ἐπειδὴ τὴν φρόνησιν οὐκ ἐκ προαιρέσεως ἐπερχομένην τοῖς ἀνθρώποις ἐγίνωσκεν, ἀλλὰ φύσεως μᾶλλον δώρημα οὖσαν, τῇ τύχῃ τὴν ταύτης κτῆσιν ἐπέγραψεν· εἰώθαμεν γὰρ εὐτυχεῖς καὶ ἡμεῖς λέγειν τοὺς μὴ ἐξ οἰκείας σπουδῆς καὶ προαιρέσεως κτησαμένους τινά.

Ἐπαινέσαι δὲ πρὸς ἀξίαν ἀδύνατον· καὶ τοῦτο ζητεῖται, πῶς ἀδύνατον εἶπεν εἶναι τὸ κατ' ἀξίαν ἐπαινέσαι τὴν σοφίαν. καὶ ὁ μὲν Γεωμέτρης κἀνταῦθα σοφίαν τὴν γνῶσιν ὑπολαβὼν φησὶν εἰκότως τοῦτο εἰρῆσθαι· πῶς γὰρ ἂν τὸ μέρος συνεπεκταθείη τῷ ὅλῳ· ὁ μὲν γὰρ λαβὼν μέρος αὐτῆς μετείληφεν, ὁ δὲ ἐπαινῶν πρὸς ὅλην τῆς σοφίας τὴν δύναμιν ἀποδύεται· ἡμεῖς δὲ λέγομεν, ὅτι νόμος ἐστὶ τοῖς ἐγκωμιάζουσι, μείζονα τοῦ

οἰκείου λόγου ἀεὶ ὁμολογεῖν τὴν προκειμένην ὑπόθεσιν· καὶ τοῦτο εὕροις μὲν καὶ τὸν Μένανδρον ἐν τῷ περὶ ἐνδεικτικῶν αὐτοῦ βιβλίῳ διδάσκοντα καὶ τοὺς ἐγκωμιάζοντας ἐν ἅπασι σχεδὸν τοῖς ἐγκωμίοις τούτῳ χρωμένους, ὧν εἷς ἐστι καὶ ὁ Δημοσθένης οὕτω πως λέγων ἐν τῷ ἐπιταφίῳ αὐτοῦ· „ἐπειδὴ τοὺς ἐν τῷδε τῷ τάφῳ κειμένους ἄνδρας ἀγαθοὺς ἐν τῷδε τῷ πολέμῳ γεγενημένους ἔδοξε τῇ πόλει δημοσίᾳ θάψαι καὶ προσέταξεν ἐμοὶ τὸν νομιζόμενον λόγον ὑπὲρ αὐτῶν εἰπεῖν, ἐσκόπουν ὅπως τοῦ κατ' ἀξίαν τύχωσι, σκοπῶν δὲ ἕν τι τῶν ἀδυνάτων εὕρισκον ὄν", καὶ ὁ καθ' ἡμᾶς δὲ λαμπρότατος ἐν λόγοις Γρηγόριος ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ αὐτοῦ χρῆται αὐτῷ καὶ ἕτεροι πλείονες. Πρὸς ἀξίαν· ὁ πρὸς ἀντὶ τῆς κατὰ, ἵν' ᾖ κατ' ἀξίαν.

Ἧι τοσοῦτον εὐδαιμονίας περίεστιν· εἰ μὲν εὐθεῖα πτῶσις εἴη ἐς ἄρθρον, τὸ περίεστι τὸ ὑπέρκειται καὶ ὑπερέχει σημαίνει· εἰ δὲ δοτική, τὸ ἔνεστι καὶ ἐνυπάρχει. Εἰς τὸ αὐτό· ᾖ τοσοῦτον εὐδαιμονίας περίεστιν, ὡς κοινὸν κτῆμα καταστῆναι θεῶν· τὸ σχῆμα τὸ καλούμενον καθ' ὑπόστασιν ἴδιον ὂν περιβολῆς. [24]

Ἁπλῶς μὲν γὰρ ἄλλο τι τῶν θεῶν ἐπησκήσατο· τὸ μὲν σοφίαν εὐτύχει λαβεῖν μέχρι τοῦ ὡς κοινὸν κτῆμα καταστῆναι θεῶν, ἡ τοῦ προοιμίου ἐστὶ πρότασις· τὸ δὲ ἄλλος μὲν γὰρ ἄλλο τι τῶν Θεῶν ἐπησκήσατο καὶ τὰ ἑξῆς κατασκευή ἐστι τῆς προτάσεως, καὶ ὁ μὲν ἐξηγητὴς διπλῆν λέγει εἶναι τὴν πρότασιν τοῦ προοιμίου· ὡσαύτως δὲ καὶ τὴν κατασκευὴν τούτου διπλῆν. ἐμοὶ δὲ τὸ μὲν τὴν πρότασιν εἶναι διπλῆν συνδοκεῖ· ἓν μὲν μέρος ἐστὶ τὸ σοφίαν εὐτυχὲς μὲν λαβεῖν, ἐπαινέσαι δὲ πρὸς ἀξίαν ἀδύνατον, καὶ ἕτερον τό· ᾖ τοσοῦτον εὐδαιμονίας περίεστιν, ὡς κοινὸν κτῆμα καταστῆναι θεῶν·

24 In Vind. supra lin. ὑπερβολῆς.

τὸ δὲ καὶ τὴν κατασκευὴν εἶναι διπλῆν οὐδαμῶς· αὕτη γὰρ τοῦ δευτέρου μόνου μέρους τῆς προτάσεως καθαρῶς τὴν αἰτίαν ἐπάγει· ὅρα δὲ πῶς ἐν τῇ κατασκευῇ τὸ γένος λέγει τῆς σοφίας· καὶ γὰρ ὡς καὶ ἀνωτέρω εἰρήκαμεν τοὺς ἐφευρετὰς τῶν πραγμάτων ἀντὶ γένους ἐν τοῖς αὐτῶν ἐγκωμίοις παραλαμβάνομεν. Ἐπησκήσατο· τὸ ἐπησκήσατο κυρίως ἐπὶ τῶν δι' ἀγῶνος καὶ σπουδῆς μεμαθηκότων τι λέγεται· οἱ δὲ θεοὶ αὐτοδίδακτοί εἰσι. καταχρηστικῶς οὖν ἐνταῦθα τὸ ὄνομα εἴληπται, καὶ ἐστὶ τρόπος· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων. Ἥρα τῶν γάμων ἐπιστατεῖ. ὥσπερ τῶν πορνικῶν τὴν Ἀφροδίτην, οὕτω δὴ καὶ τῶν νομίμων Ἥραν φασὶν οἱ μῦθοι προϊστασθαι· διὸ καὶ τοῖς Ἕλλησι βοηθεῖ παρ' Ὁμήρῳ· μισεῖ γὰρ μοιχὸν ὄντα τὸν Ἀλέξανδρον· καὶ οὕτω μὲν κατὰ τὸν μυθικὸν λόγον Ἥρα τῶν γάμων ἐπιστατεῖν λέγεται· φαίνεται δὲ καὶ κατὰ τὸν φυσικὸν τῶν αὐτῶν τούτων ἐπιστατοῦσα· Ἥρα μὲν γὰρ ὁ ἀήρ· ὁ δὲ Ζεὺς αἰθήρ· τὴν οὖν μεταξὺ τούτων κρᾶσιν γάμον τοῖς ποιηταῖς φίλον καλεῖν· πρώτη οὖν μετασχοῦσα τῶν γάμων εἰκότως καὶ τοῖς ἄλλοις τούτων ἐπιστατεῖ.

Πολέμων Ἄρης μετὰ τῆς Ἀθηνᾶς· διάφορος ἡ γραφή· τὰ μὲν γὰρ τῶν βιβλίων οὕτως ἔχει, πολέμων Ἄρης μετὰ τῆς Ἀθηνᾶς, ὥστε εἶναι ἀπὸ κοινοῦ τὸ ἐπιστατεῖ, τὰ δὲ οὕτως· πολέμων Ἄρης προστάτης μετὰ τῆς Ἀθηνᾶς ἐκληρώσατο προστατεῖν· τινὰ δὲ καὶ οὕτως· πόλεμον Ἄρης μετὰ τῆς Ἀθηνᾶς ἐκληρώσατο· ζητοῦσι τινές, διατί ἄμφω ταῦτα συνέζευκται, καὶ λέγει πρὸς τοῦτο ὁ Γεωμέτρης, ὅτι ἐπειδὴ δεῖ μὲν ἐν τῷ πολέμῳ τόλμης, δεῖ δὲ καὶ φρονήσεως, ὅσον μὲν εἰς τόλμαν φέρει τοῦ Ἄρεως εἶναι λέγεται, ὅσον δὲ τῆς φρονήσεως, τῇ Ἀθηνᾷ ἀπονενέμηται· ὥσπερ δὲ ἡ Ἥρα τῷ μυθικῷ καὶ τῷ φυσικῷ λόγῳ δείκνυται τῶν γάμων ἐπιστατεῖν, οὕτω καὶ ὁ Ἄρης καὶ ἡ Ἀθηνᾶ ἀμ-

φοτέροις τούτοις δείκνυται τῶν πολέμων ἐπιστατεῖν. καὶ γὰρ τούτων τὸν μὲν μιαιφόνον οἱ μῦθοι λέγουσι καὶ βροτολοιγὸν, ὥς ἔχει παρ' Ὁμήρῳ τό·

Ἄρες Ἄρες [25] βροτολοιγὲ, μιαιφόνε, τειχεσιπλῆτα.

τὴν δὲ Παλλάδα παρὰ τὸ πάλλειν τὸ δόρυ, καὶ Ἀλαλκομενηίδα ἢ ὡσὲν τῇ ἀλκῇ ἤγουν τῇ μάχῃ μένουσαν, ἢ ὡς ἀλάλκουσαν καὶ βοηθοῦσαν τῷ μένει· καὶ Τριτογενείαν ὡς τὸ τρεῖν ἐμποιοῦσαν τοῖς πολεμίοις καὶ οὕτω μὲν κατὰ τὸν μυθικὸν λόγον ὅ τε Ἄρης καὶ ἡ Ἀθηνᾶ τῶν πολέμων ἐπιστατοῦσι· δείκνυσι δὲ τοῦτο καὶ ὁ φυσικός· καὶ γὰρ ὁ μὲν Ἄρης τὸ μανιῶδες καὶ θυμικὸν μέρος ὢν τῆς ψυχῆς εἰκότως τοῖς πολέμοις χαίρει, καὶ ἡ Ἀθηνᾶ δὲ φρόνησις οὖσα εἰκότως τοῦ αὐτοῦ τούτου λέγεται ἐπιστατεῖν, δεῖ γὰρ τοῖς πολεμίοις ὡς εἴρηται καὶ φρονήσεως.

Ποσειδῶν ἡγεῖται τοῖς πλέουσιν· ἀντὶ τῆς θαλάττης τοὺς πλέοντας εἶπεν, ἐκ τοῦ περιϊσχομένου τὸ περιεχόμενον δηλῶν· ὁ γὰρ Ποσειδῶν τῆς θαλάσσης ἄρχει, ἀλλ' οὐ τοῖς πλέουσι· ἢ κατ' ἔθος Ἀττικὸν ἢ ὅτι ἡγεῖται οὐκ ἀντὶ τοῦ ἄρχει καὶ ἐπιστατεῖ, ἀλλ' ἀντὶ τοῦ τὴν διὰ θαλάσσης αὐτοῖς πορείαν δείκνυσιν. Εἰς τὸ αὐτό. Ποσειδῶν ἡγεῖται τοῖς πλέουσιν, ὥσπερ ἡ μὲν Ἥρα τῶν γάμων ἐπιστατεῖν, ἡ δὲ Ἀθηνᾶ τῶν πολέμων, καὶ ὁ Ἄρης τῷ φυσικῷ καὶ μυθικῷ λόγῳ ἐδείκνυτο· οὕτω καὶ ὁ Ποσειδῶν τῆς θαλάσσης ἄρχειν διὰ τῶν αὐτῶν ἀποδείκνυται· εἴτε γὰρ μῦθοι φασὶν, ὅτι μετὰ τὴν τῶν Τιτάνων κατάλυσιν διεκληρώσαντο περὶ τῆς ἀρχῆς Ζεὺς, Ποσειδῶν καὶ Πλούτων, καὶ ὅτι Ζεὺς μὲν τὴν τῶν οὐρανῶν τυγχάνει δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν Ἅιδου· καὶ οὕτω μὲν οἱ μῦθοι τῷ Ποσειδῶνι περὶ τῆς θαλάσσης ἐφορίαν ἀνατιθέασι. μαρτυρεῖ δὲ τούτοις καὶ ὁ φυσικὸς λόγος, Ποσειδῶν γὰρ

---

25 Il. ε, 31.

λέγεται ἡ συνέχουσα τὴν θάλασσαν θεία δύναμις, διότι πόσεώς ἐστιν αἰτία, διηθουμένης γὰρ τῆς θαλάσσης ἐκρέουσι ποταμοὶ, καὶ ὑετοὶ δὲ τὰ νάματα ἀπὸ θαλάσσης ἔχουσι καὶ τῷ Ἡφαίστῳ δὲ τὴν χαλκευτικὴν ὁ μυθικὸς καὶ ὁ φυσικὸς μαρτυρεῖ λόγος· ὁ μὲν μυθικὸς χαλκεῖον αὐτῷ ἐν οὐρανῷ ἀναπλάττων, ὁ δὲ φυσικὸς καθὰ Ἥφαιστος τὸ πῦρ λέγεται. οἱονεὶ ἅφετός τις ὢν οὗ μὴ δυνατὸν ἅψασθαι, ἡ δὲ χαλκευτικὴ διὰ τοῦ πυρὸς τὴν οἰκείαν ἔχει ἐνέργειαν.

Πυρὶ παρεχάλκευσεν Ἥφαιστος· περὶ τοῦ παρεχάλκευσεν λέγει ὁ Γεωμέτρης, ὅτι πολυσήμαντον εὑρίσκομεν τὴν παρὰ πρόθεσιν, ποτὲ μὲν γὰρ τὴν πλησιότητα σημαίνει, καθὰ καὶ τὸ παρεδρεύω, ποτὲ δὲ τὸ ἐναντίον τὴν ὑπερβολὴν, καὶ τὸν πλεονασμόν· ὥσπερ καὶ τὸ παρεστήσατο τὴν πόλιν, καὶ τὸ παρανάλωμα ἀντὶ τοῦ λίαν ἀνάλωσεν· οὕτως οὖν καὶ ἐνταῦθα τὸ παρεχάλκευσεν ὥσπερ καὶ τὸ ἐξεκαρτέρησεν· ἢ ὅτι χαλκεύειν μέν ἐστι τὸ ἐκμεταλλεύειν καὶ τὸ ἀποκαθαίρειν τῆς γῆς τὸν σίδηρον· παραχαλκεύειν δὲ τὸ αὐτὸ ἐκεῖνο τὸ χαλκευθὲν εἰς διάφορα παραπλάττειν εἴδη, ὅπλα καὶ βέλη καὶ τὰ λοιπὰ τῶν ὀργάνων, καὶ περὶ τῆς τάξεως δὲ ὧν ὁ σοφιστὴς καταριθμεῖται, λέγει ὁ αὐτὸς, ὅτι ἀπὸ τῶν τιμιωτέρων κατὰ τὴν τῶν θεῶν τάξιν ἐπὶ τὰ ἐνδεέστερα κατ' ὀλίγον πρόεισι· σοφίαν μὲν γὰρ ὡς προέχουσαν πάντων καὶ πρῶτον καὶ κοινὸν κτῆμα θεῶν, ἀλλὰ καὶ ἀνθρώποις πᾶσι τὰς λογικὰς τέχνας καὶ ἐπιστήμας πρώτας ἡμῖν χαρισάμενον· ἔπειτα ὁ γάμος ὡς τοῦ βίου συστατικός· τρίτος ὁ πόλεμος, ὡς καὶ φρουρητικὸς τῶν ἑκάστου γενῶν ἢ κτημάτων. Μετὰ δὲ ταῦτα καὶ ἐπὶ τὰς βαναύσους πρόεισιν ἡ σοφία, δι' ὧν ὁ βίος κοσμεῖται, καὶ ὅσα χρήσιμα καὶ ὅσα ἀναγκαῖα συμποριζόμενος· τῶν γὰρ τοιούτων τεχνῶν αἱ μὲν χρήσιμοι, αἱ δὲ ἀναγκαῖαι. ὅρα δὲ πῶς ἐνταῦθα τῇ ἀφελείᾳ τὸ μέγεθος δείκνυσι·

τὸ μὲν γὰρ τοῖς κατὰ μέρος πλεονάζειν τῆς ἀφελείας ἐστὶν ἴδιον, ὡς ἐν τῷ περὶ αὐτῆς τῆς ἀφελείας λόγῳ, μανθάνομεν. τὸ δὲ τῷ ἀορίστῳ προσλαβεῖν τὸ ὡρισμένον περιβολῆς ἐστιν ἴδιον· ἡ δὲ περιβολὴ τοῦ μεγέθους ἐστί. Σοφίας δὲ ἅπαντες· ἅπαντες εἶπε καὶ οὐχὶ πάντες, ἵνα μὴ δόξῃ τινὰς τῶν θεῶν ἀφεῖναι τούτου χωρὶς τοῦ πλεονεκτήματος· τὸ γὰρ ἅπαντες τοῦ πάντες περιληπτικώτερον. Καὶ σοφία Διΐ τὴν δυναστείαν πιστοῦται, βεβαιοῖ, μόνιμον παρασκευάζει, πολλάκις γὰρ ἐπεβουλεύθη ὑπὸ τῶν θεῶν, ὡς αὐτὸς κατὰ τοῦ πατρὸς ἐπεβούλευσεν· ἀλλὰ σοφία πάντων περιεγένετο. Καὶ θεοὶ μὲν αὐτὴν ἐκτήσαντο σύμφυτον, τὸ δὲ κτῆμα προῆλθεν εἰς γῆν· ἀλλ' εἰ σύμφυτον τοῖς θεοῖς ἡ σοφία, πῶς κτῆμα τούτων αὐτὴν λέγει· σύμφυτον μὲν γάρ τινι λέγεται τὰ σὺν αὐτῷ φυέντα· κτήματα δὲ, ὅσα τις μετὰ τὸ γενέσθαι κτᾶται· ἢ ὅτι πολλάκις εἰώθαμεν καὶ τὰ φυσικὰ κτήματα λαλεῖν. Καὶ Θεῶν παῖδες εἰς τὸν βίον ἐνέγκαντο. Ὁ μὲν ἐξηγητὴς τὸ τῆς ἀνατροφῆς κεφάλαιον τοῦτο εἶναι νομίζει, οὐκ ἔστι δὲ, ἀλλὰ τοῦ γένους ἐστὶ μέρος· ἐγκωμιάσας γὰρ ὁ σοφιστὴς τὴν σοφίαν ἀπὸ τῶν οἱονεὶ προγόνων αὐτῆς τῶν θεῶν νῦν ἐπιχειρεῖ ἀπὸ τῶν ἡρώων ἐγκωμιάσαι αὐτὴν, οἵ τινες τὴν τῶν πατέρων ἔχουσι τάξιν· εἰ δέ ἐστι καὶ σοφίας ἀνατροφὴ καὶ παρὰ τοῖς θεοῖς ἡ τῶν πραγμάτων ἐμπειρία καὶ μάθησις, ὡς καὶ Ὅμηρος λέγει περὶ τοῦ Διὸς, ὃς πρότερος ἐγεγόνει καὶ πλέονα οἶδε, καὶ παρὰ τοῖς ἥρωσιν ἡ παιδεία καὶ ἡ ἐπιμέλεια, ὅμως παρῆκεν ὁ σοφιστὴς καὶ τὸ ἀπὸ ταύτης αὐτὴν ἐπαινέσαι. Καὶ τῇ κοινωνίᾳ τοῦ γένους τὸ κοινὸν ἐδήλουν τῆς ἀρετῆς. Καὶ ἐν τῷ μετέχειν ἂν τοῦ αὐτοῦ γένους τοῖς θεοῖς ἐδήλουν ἄν, ὅτι καὶ τῆς ἀρετῆς αὐτῆς μετέχουσιν· ὁ δὲ νοῦς ἐστὶ τοιοῦτος· νῦν μὲν μὴ ὄντες παῖδες θεῶν, ὅμως διὰ τὴν σοφίαν λέγονται εἶναι παῖδες θεῶν· εἰ δὲ ἦσαν ἀληθῶς παῖδες θεῶν, τότε ἐκ

τούτου ἐχαρακτηρίζοντο ἄν, ὅτι ἀναμφιβόλως εἰσὶ καὶ σοφοί. Καὶ δοκοῦσι θεῶν· ὧν σοφία τοῦ γένους προῆλθεν ὑπόμνημα. Καὶ δοκοῦσι θεῶν, ὧν τινῶν θεῶν τοῦ γένους ὑπάρχει ἡ σοφία κτῆμα καὶ ὑπόμνημα ἢ τεκμήριον καὶ σημεῖον· κτῆμα μὲν καθὸ κοινόν ἐστι πάντων τῶν θεῶν καὶ κοινῶς αὐτὴν ἐκτήσαντο· ὑπόμνημα δὲ, καθὰ τοὺς σοφοὺς, οἷον τὸν Νέστορα καὶ τὸν Παλαμήδην διὰ τὸ εἶναι σοφοὺς, λέγομεν εἶναι παῖδας θεῶν, οἷά τινι μαρτυρίᾳ καὶ πίστει χρώμενοι τῇ σοφίᾳ τοῦ εἶναι αὐτοὺς παῖδας θεῶν· δεῖ δὲ γινώσκειν, ὅτι ἐν τοῖς πολλοῖς τῶν βιβλίων οὕτως ἔχει, καὶ δοκοῦσι θεῶν, ὧν σοφία τοῦ γένος προῆλθεν ὑπόμνημα. Ἐνταῦθα δὲ οὕτως ἔχει· καὶ δοκοῦσι θεῶν, ὧν σοφία κτῆμα τοῦ γένους προῆλθεν ὑπόμνημα· δεῖ δὲ προσλαβεῖν ἔξωθεν τὸν καὶ σύνδεσμον. Σοφία τοίνυν ἐφ' ἑκάτερα κρατεῖ τὸν καιρόν· ὅμοιόν τι κἀνταῦθα ποιεῖ τῷ ἐν τῷ Θουκυδίδου ἐγκωμίῳ τῷ· τρέφεται μὲν πολιτείᾳ καὶ νόμοις, ἃ τῶν ἄλλων ἀμείνω πεφύκασιν· ὥσπερ γὰρ ἐκεῖ πρὸς τοὺς νόμους ἀρσενικοὺς ὄντας κατὰ τὴν λέξιν πρὸς τὴν πολιτείαν θηλυκὴν καὶ αὐτὴν οὖσαν κατὰ τὴν λέξιν οὐδέτερον ἐπήνεγκεν ἄρθρον τὸ ἃ, οὕτω δὴ κἀνταῦθα ἀρσενικοὺς κατὰ τὴν λέξιν τοὺς καιροὺς ὄντας οὐδετέρως ἀποδέδωκε. τοῦτο δὲ οὐ μόνον σχῆμά ἐστι ῥητορικὸν, ἀλλὰ καὶ ἔθος φιλόσοφον· τὸ γὰρ μὴ τῇ φράσει ἀλλὰ τῷ πράγματι εἶναι τὸ σημαινόμενον φιλόσοφον, ὁ γὰρ καιρὸς, εἰ καὶ τῇ λέξει ἀρσενικός ἐστιν, ὅμως τῷ σημαινομένῳ οὐδετέρων ἐστὶν, πρᾶγμα γάρ τί ἐστι μήτε θεωρούμενον μήτε κρατούμενον.

Μόνη δὲ σοφία τῶν ὄντων ἑκατέρων κρατεῖν ὡς ἑνὸς ἐξεπίσταται· τὸ ἑκάτερος ἐπὶ δύο λαμβάνεται· νῦν οὖν τὸ ἑκάτερον εἰπὼν ἀμφότερα, τά τε κατὰ τὴν εἰρήνην καὶ τὰ κατὰ τὸν πόλεμον βούλεται σημαίνειν· τὸ δὲ ἐξεπίσταται οὐ τὸ ἀγνοεῖν σημαίνει, ἀλλὰ

μᾶλλον τὸ λίαν ἐπίαταται· ἔστι γὰρ ὅτε καὶ ἡ ἐξ πρόθεσις ὑπερβολὴν δηλοῖ, ὡς παρὰ Ἀριστοφάνει τῷ Πλούτῳ τό·

Ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας.

Καὶ σοφίαν κρατεῖν ἐν τοῖς ὅπλοις παρέχουσα· περὶ τὰς ἐκκλησίας ἄλλον οὐκ ἐᾷ κατορθοῦν. λείπει τό τισι παρέχουσα· δῆλον δὲ, ὅτι τοῖς πλουτοῦσιν αὐτήν. Ἀλλ' ἐπ' ἀμφότερα κρατεῖν οἶδεν ἐπίσης πολεμοῦντας καὶ μένοντας· περὶ τῶν σοφῶν λέγει, ὅτι ποιεῖ αὐτοὺς ἡ σοφία κρατεῖν καὶ ἡνίκα πολεμοῦσι καὶ ἡνίκα ἡσυχάζουσιν· ἢ ἀντίπτωσίς ἐστιν αἰτιατικὴ ἀντὶ γενικῆς· ἀντὶ γὰρ τοῦ εἰπεῖν καὶ κρατεῖν οἶδε καὶ πολεμοῦντας καὶ μένοντας εἶπεν· ἢ ὅτι ἡ ἐπὶ πρόθεσις ἀντὶ τῆς κατὰ εἴληπται, ἵν' ᾖ ὅτι καὶ κρατεῖν οἶδε κατ' ἀμφοτέρων καὶ πολεμούντων καὶ μενόντων. Αὕτη γεωργοῖς ἀνῆκε τὴν γῆν, καὶ τοῖς πλέουσι νέμει τὴν θάλασσαν. Ἁδεῶς τοῖς ὀνόμασι καὶ κατὰ ῥητορικὴν χρῆται μεγαλοφωνίαν· οὐ γὰρ τὴν γῆν ἁπλῶς ἡ σοφία τοῖς γεωργοῖς ἀνῆκεν, ἀλλὰ τὴν τῆς γῆς ἐργασίαν. ὥσπερ οὐδὲ τὴν θάλατταν ἡ αὐτὴ νέμει τοῖς πλέουσιν, ἀλλὰ τῷ ἐν αὐτῇ πλεῖν.

Καὶ Περσῶν ὅλην διέλυσε δύναμιν. Οἱ μὲν παλαιότεροι καὶ Τρώων ὅλην διέλυσε δύναμιν ἀξιοῦσιν ἀναγινώσκειν, καὶ οὐ Περσῶν, ἀσυνάρτητον γὰρ, φασὶ, τοῦτο, διὰ τὸ περὶ τῆς Ἰλίου ἁλώσεως εἶναι τὸν σύμπαντα λόγον· ὁ μέντοι Γεωμέτης Περσῶν ὅλην διέλυσε δύναμιν ἀξιοῖ ἀναγινώσκειν· ὁ δ' αὐτὸς ἀπορῶν διότι μεταξὺ τῶν Τρωϊκῶν καὶ τῶν Ὀδυσσειακῶν καὶ τῶν Περσικῶν ἐμνημόνευσε, φησὶν ὅτι εἰκότως ταῦτα συνέταξε, γινώσκει γὰρ ὅτι μᾶλλον τῶν ἄλλων ὑμνούμενα· ἡ γὰρ τῶν Περσῶν δύναμις ὑπὲρ τὰς ἄλλας πάσας ἱστόρηται.

ΕΓΚΩΜΙΟΝ ΑΓΑΜΕΜΝΟΝΟΣ.

Ἐπειδήπερ ἐπαινέτης ἀνδρὸς στρατηγοῦ ἐπόθουν γε-

νέσθαι, ἐσκόπουν, τίνα τῶν ἀπ᾽ ἀρχῆς στρατηγῶν εὕροιμι κρείττονα, ὡς ἄν μοι τῶν ἐγκωμίων οὗτος ὑπόθεσις γένηται· σκοπῶν δὲ οὐδένας ἄλλους ἀμείνονας ἑώρων ἢ τοὺς ἐκ τῆς Ἑλλάδος ἐπὶ τοὺς ἐν Ἀσίᾳ στρατεύσαντας· τούτων δὲ πάλιν ἁπάντων τοῖς κατορθώμασιν εὕρισκον προκαθήμενον τὸν τοῦ Ἀτρέως μὲν υἱὸν γεγονότα, ἐκ δὲ τοῦ Διὸς τὴν σειρὰν τοῦ γένους ἕλκοντα Ἀγαμέμνονα· καὶ πῶς γὰρ οὐκ ἔμελλεν οὗτος κρειττων ἁπάντων δόξαι καὶ ὑπερέχων οὐχ ἥκιστα τῶν λοιπῶν νομισθῆναι· ὅν γε καὶ ὁ σοφὸς Ὅμηρος ἀγαθὸν ἄνδρα κατ᾽ ἀμφότερα λέγει, κατά τε τὴν τοῦ ἄρχειν ἐπιστήμην καὶ κατὰ τὴν εἰς τὰς μάχας ῥώμην [26] καὶ γενναιότητα, ὥστε ἐμοί γε στρατηγὸν ἄνδρα ἐγκωμιάσαι διώκοντι στρατηγοῦ ἐν ταὐτῷ καὶ βασιλέως περιέστησαν ἔπαινοι· οὗτος τοίνυν, ἐκ χώρας μὲν προῆλθεν, ἥτις τῆς ὑπ᾽ οὐρανὸν ἁπάσης εἶναι καλλίστη ἀνωμολόγηται· ἴσασι τῆς τοῦ Πέλοπος γῆς τὸ εὔφορον ἅπαντες καὶ τὸ πρὸς τοὺς καρποὺς ἐπιτήδειον· αὕτη ζηλωτὴ μὲν τοῖς ἀνὰ τὴν ἑσπέραν ἅπασιν ἀνθρώποις, περιμάχητος δὲ καὶ τοῖς ἀνὰ τὴν ἕω πάλαι ἐγένετο, πολλὰς μὲν οἰκητόρων μεταβολὰς, πλείους δὲ καὶ τὰς μάχας περὶ τῆς ἐν αὐτῇ κατιδοῦσα οἰκήσεως· τῶν μὲν βιαζομένων τοὺς ἄρτι οἰκοῦντας ἐξωθῆσαι καὶ μετανάστας ποιῆσαι τῆς γῆς, ὡς ἂν αὐτοὶ ταύτην ἀγαθὴν οὖσαν οἰκήσωσι, τῶν δὲ ἀνθισταμένων καὶ ἀντιπολεμούντων, ὡς ἂν μὴ τῆς καλλίστης ταύτης μοίρας ἔκπτωτοι γένωνται· οὐ γὰρ ὥσπερ τὴν Ἀττικὴν οἱ αὐτοὶ ᾤκουν ἄνθρωποι, οὐδενὸς αὐτὴν ζηλοῦντος διὰ τὸ ἄκαρπον καὶ λυπρόγεων, οὕτω καὶ αὕτη τοὺς αὐτοὺς ἀεὶ εἶχεν οἰκήτορας· ἀλλ᾽ ὥσπερ ἆθλον κοινὸν ἀρετῆς ἅπασι προκειμένη ἀεὶ τῶν κρατούντων ἐγένετο· τοιαύτης δὲ χώρας γενόμενος κρείττονος τῶν ἐν αὐτῇ πασῶν πόλεων τῆς πατρίδος

26 Vind. ῥήμην.

τετύχηκεν, ὥστε καὶ συμβαίνειν τὴν τοῦ Πέλοπος ὅλην χώραν, κἂν εἰ μηδεμιᾷ τῶν ὑπ᾽ οὐρανόν [27] τέως γοῦν, ταύτῃ ὑπεξίστασθαι τῶν πρωτείων καὶ τὰ δευτερεῖα ἀσπάζεσθαι, ᾗς καὶ ὁ ποιητὴς τὸ ὑπερέχον δηλῶσαι βουλόμενος πολύχρυσον αὐτὴν προσηγόρευσε· τοιαύτης δὲ τῆς πατρίδος γενόμενος οὐκ ἀναξίαν τῆς τούτου που ἀρετῆς τὴν τῶν προγόνων ἐκτήσατο εὐκλείαν· εἰ μὴ καὶ μᾶλλον τιμιωτέραν καὶ κρείττονα· τούτου γὰρ πρόγονος Τάνταλος, ὃς Διὸς μὲν ἐγεγένητο, συνδιητᾶτο δὲ τοῖς Θεοῖς καὶ κοινῆς συναυλίας ἀπήλαυσε· Ταντάλου δὲ Πέλοψ προῆλθεν, ὃν ὁ πατὴρ Θεοὺς [28] ἑστιάσας εἰς βρῶσιν τοῖς δαιτυμόσι παρέθετο φιλοτιμίας ὑποδείξας τρόπον καινότατον· ὃν οἱ θεοὶ τῆς φιλοφροσύνης ὑπερθαυμάσαντες τὸν εἰς βρῶσιν παρατεθέντα πάλιν ἀνέστησαν καὶ τῷ πατρὶ ζῶντα παρέδωκαν· Πέλοπος δὲ Ἀτρεὺς ἐγεγένητο, ὃν τοσοῦτον ἡ τύχη ἐφίλησεν, ὡς καὶ χρυσοῦς ἀρνειοὺς τοῖς αὐτοῦ ποιμνίοις χαρίζεσθαι. Ἀτρέως δὲ υἱὸς ὁ βασιλεὺς Ἀγαμέμνων γεγένηται, τὸ τῆς βασιλείας σκῆπτρον ἐκ τῶν προγόνων διαδεξάμενος, καὶ ὥσπερ ἐκ Διὸς τοῦτο παρέλαβον· οὕτω καὶ αὐτὸς ἐξ αὐτῶν ἢ μᾶλλον εἰπεῖν διὰ μέσων τούτων ἐκ τοῦ Διὸς καὶ αὐτὸς τὴν βασιλείαν παραλαβὼν ἐκ σπαργάνων αὐτῶν τῷ τῆς ἀρχῆς ἀξιώματι μεγαλοπρεπῶς ἐκεκόσμητο· καὶ φανεὶς ἐκ τούτων τρέφεται μὲν κατὰ νόμους καὶ ὥσπερ εἰκός ἐστι τραφῆναι τὸν ἐκ τοιούτων μὲν γεγονότα, τοιοῦτον δὲ γενησόμενον, οἷος οὗτος ἐγίνετο. Παιδεύεται δὲ καὶ τὴν τοῦ ἄρχειν ἐπιστήμην θαυμασίως, καὶ πρὸς ἄθλους πολεμικοὺς ἑαυτὸν γυμνάζει, στρατηγὸς ὁ αὐτὸς καὶ στρατιώτης εἶναι βουλόμενος· αἰσχρὸν γὰρ ἡγεῖτο, στρατιωτῶν μὲν εἰ δεήσει ἡγεῖσθαι, ἀπείρως δὲ ἔχει τῶν οἷς στρατιώτης κοσμεῖται· οὕτω παιδευόμενος εἰς ἕξιν τῶν ἐν οἷς

27 Vind. οὐρανῶν. 28 Vind. Θεοῖς. supra lin. οὑς.

ἐνησκεῖτο τοῦ χρόνου προβαίνοντος ἔφθασε· καὶ ἦν τὸν αὐτὸν ἰδεῖν καὶ βασιλέα τελειότατον καὶ στρατιώτην ῥωμαλεώτατον, δικάζων μὲν γὰρ καὶ νομοθετῶν βασιλέων ἐφαίνετο ἄριστος, ἀθλῶν δὲ καὶ ἀγωνιζόμενος τὴν τῆς ῥώμης ἀρετὴν ἐπεδείκνυτο. ἀλλ᾽ ἔδει λοιπὸν ἐλθεῖν καὶ καιρὸν εἰς τελειοτέραν ἐπίδειξιν ὧν ἐξ ἀρχῆς ἐπετήδευσε καὶ παρέσχε τοῦτον ἀδελφὸς μὲν ὑβρισθεὶς, καὶ γυναικὸς ἁρπαγὴν ὑποστάς, βάρβαρος δὲ ἄνθρωπος ἀσεβῶν καὶ ἀσελγείας καὶ ὕβρεως ἥκων εἰς ἔσχατον, καὶ στρατὸς μὲν μύριος ἐκ τῆς Ἑλλάδος ἠθροίζετο. Στρατηγοὶ δὲ καὶ βασιλεῖς οἱ αὐτοὶ τῆς βασιλείας ἥπτοντο προθυμότερον· ἔδει δὲ λοιπὸν ἀνδρὸς ἀγαθοῦ καὶ πάσαις ἀρεταῖς κεκοσμημένου τοῦ στρατηγήσοντος· καὶ παρέσχε τοῦτον ἡ ἀρετή, ἣν καλῶς αὐτὸς προησκήσατο καὶ χειροτονεῖται μὲν παρὰ πάντων ἡγεμὼν τῆς στρατείας, ἐμπιστεύεται δὲ καὶ τὴν τοῦ στρατοῦ προστασίαν καὶ τὴν τοῦ δεκαέτους ἐκείνου πολέμου ἡγεμονίαν μεταχειρίζεται· καὶ φιλοτιμεῖται λοιπὸν ἅπασι δεῖξαι τοῖς ὑπὸ χεῖρα, ὡς οὐ διεψεύσθησαν τῶν, οἵσπερ ἐλπίσαντες ἡγεμόνα σφῶν αὐτῶν τοῦτον κατέστησαν, ποτὲ μὲν τὴν οἰκείαν τοῖς θεοῖς ἀποσφάττων θυγατέρα, ὡς ἂν εὐπλοίας ὁ στόλος καὶ οὐρίου τοῦ πνεύματος εὐτυχήσειε· ποτὲ δὲ καὶ τὰς τῶν Ἰλιέων συμμαχίδας καταστρεφόμενος καὶ τοῖς ἐντεῦθεν λαφύροις τοὺς στρατιώτας ἀποφαίνων εὐδαίμονας, Χρύσαν πορθῶν καὶ τὴν Χρυσηΐδα τῆς οἰκείας μὲν ὁμευνέτιδος προτίθει, ἐλευθερῶν δὲ ταύτην ὅμως καὶ τὴν τοῦ στρατοῦ σωτηρίαν τῆς αὐτοῦ τιθέμενος ἔμπροσθεν· καὶ ἦν τὸν αὐτὸν ἰδεῖν σώφρονα μὲν οἷς ἡδονῶν ἐκράτει, καὶ τὴν περικαλλῆ παλλακίδα ἑκουσίως ἀπέβαλε καὶ τὴν Βρισηΐδα τοῦ Ἀχιλέως μὲν ἀιρεθέντος εἶχεν· οὐ συνήπτετο ταύτῃ οὐδὲ συγκαθεύδειν ἐβούλετο, ἀνδρεῖον δὲ καὶ γενναῖον, ἐξ ὧν τῇ πολυετεῖ τοῦ Ἰλίου πολιορκίᾳ οὐκ ἐνεδίδου, οὐδὲ ἑώρα τὸ πρὸς

ταύτην μαλακιζόμενος, συνετόν τε πρὸς τούτοις καὶ φρονήσεως διαπρέποντα ἔργοις, οἷς τοῦ ἀσφαλοῦς τοῦ στρατοῦ προενοεῖτο καὶ τοῦ συμφέροντος, τάφρον ὀρύττων καὶ σκόλοπας τῇ τάφρῳ περιτιθεὶς, καὶ τείχει τὰς ναῦς περικλείων καὶ Ὀδυσσέα μὲν καὶ Διομήδην τοῦ τῶν ἐχθρῶν στρατοπέδου κατασκόπους διαπεμπόμενος. Δόλωνα δὲ δι' αὐτῶν τούτων χειρούμενος καὶ τοὺς στρατιώτας ἐπιτηδείως παρατάττων εἰς πόλεμον, καὶ ταῖς τῆς ψυχῆς ἀρεταῖς οὕτω καλλωπιζόμενος οὐδὲν ἧττον ἐκαλλωπίζετο ταῖς τοῦ σώματος· κάλλους μὲν γὰρ καὶ ὥρας τοσοῦτον μετεῖχεν, ὥστε καὶ τὸν ποιητὴν μηδενὶ τῶν ἀνθρώπων παραβαλεῖν τοῦτον δυνάμενον ὄμματα καὶ κεφαλὴν ἴκελον αὐτὸν εἰρηκέναι Διΐ τερπικεραύνῳ· ῥώμης δὲ πάλιν τοσοῦτον ἐπλούτει, ὥστε καὶ προπολεμεῖν ἐν ταῖς μάχαις καὶ ἀριστεύειν καὶ τοῖς προμάχοις παραβολώτερον μίγνυσθαι, καὶ τοὺς Ἕλληνας δὲ μονομαχῆσαί ποτέ τινα τῶν οἰκείων δεῆσαν τῷ Ἕκτορι, καὶ κλήρῳ διασκεπτομένους τὴν τοῦ μονομαχήσαντος αἵρεσιν ὑπερεύχεσθαι τὸν αὐτοῦ προπηδῆσαι κλῆρον τῶν ἄλλων· οἷς γὰρ τῶν ἄλλων αὐτὸν ἤδεσαν γενναιότερον, τούτοις καὶ τὸν τῆς μονομαχίας αὐτῷ ἆθλον ἐπηύχοντο· εἶτα τίς αὐτῷ τὸν τοῦ Λαομέδοντος ἐξισώσειε Πρίαμον; ἀλλ' ὁ μὲν βάρβαρος ἦν καὶ βαρβάρων ὀλίγων ἡγούμενος, ὁ δὲ Ἕλλην καὶ τῆς Ἑλλάδος ἁπάσης ὁ προηγούμενος. ὅσον δὴ τὸ διάφορον βαρβάρου καὶ Ἕλληνος, τοσοῦτον καὶ Πρίαμος Ἀγαμέμνονος λείπεται, καὶ Ἀγαμέμνονα μὲν περιόντα πέρας οὐκ εἶα ταῖς ἀρεταῖς ἐπιθεῖναι τὸ τῆς φύσεως περιδέξιον, τὸν δὲ ἡμέτερον λόγον κατεπείγει πέρας ἰδεῖν ἡ αὐτῷ ἐνοῦσα ἀσθένεια.

Cap. IX.

ΠΕΡΙ ΨΟΓΟΥ.

Ἐπεὶ τὰ γυμνάσματα τῶν κατὰ ῥητορικὴν μερῶν καὶ εἰδῶν τὰ χρήσιμα ἡμᾶς προδιδάξας ὁ σοφιστὴς τὰ

προλαβόντα γυμνάσματα, ἃ μέρεσι λόγου ἐῴκεσαν, (ὅ τε γὰρ μῦθος πρωοιμίοις ἀναλογεῖ καὶ τὸ διήγημα διηγήσει, καὶ ἡ χρεία καὶ ἡ γνώμη καὶ ἡ κατασκευὴ ἀγῶσι, καὶ ὁ κοινὸς τόπος ἐπιλόγῳ) εἰκότως νῦν καὶ ἐπὶ τὴν τῶν εἰδῶν διδασκαλίαν μέτεισι καὶ τοῦ μὲν πανηγυρικοῦ εἴδους τόπους ἡμῖν παραδίδωσιν ἔν τε τῷ ἐγκωμίῳ καὶ ἐν τῷ ψόγῳ, τοῦ δὲ συμβουλευτικοῦ ἐν τῇ θέσει, τοῦ δὲ δικαίου ὁμοῦ καὶ τοῦ συμβουλευτικοῦ ἐν τῇ τοῦ νόμου εἰσφορᾷ. Ζητοῦσι δέ τινες, διατί τὸν ψόγον τῷ ἐγκωμίῳ συνέταξε· καί φαμεν ὅτι ὥσπερ τὴν γνώμην τῇ χρείᾳ συνέταξε διὰ τὸ τοῖς αὐτοῖς αὐτὴν διαιρεῖσθαι κεφαλαίοις, καὶ ὥσπερ τὴν κατασκευὴν πάλιν συνέταξε τῇ ἀνασκευῇ, διὰ τοῦτο αὐτὸ καὶ τὴν αὐτὴν αἰτίαν, τὰ αὐτὰ γὰρ ἔχει κεφάλαια ἡ κατασκευὴ τῇ ἀνασκευῇ κατὰ τὸ ἐναντίον, οὕτω καὶ τὸν ψόγον τῷ ἐγκωμίῳ συνέταξε, διὰ τὸ τοῖς αὐτοῖς διαιρεῖσθαι κεφαλαίοις, ἢ ὅτι ἐπειδὴ τὸ πανηγυρικὸν εἶδος εἰς ἐγκώμιον διαιρεῖται καὶ ψόγον, διδάξας περὶ τοῦ ἐγκωμίου εἰκότως καὶ περὶ τοῦ ψόγου, διδάσκει, ἵν' ἀμφοτέρων τῶν τοῦ πανηγυρικοῦ μερῶν ἐν ταὐτῷ διδάξῃ τὰ χρήσιμα. Κἀκεῖνο δὲ ζητεῖται, διατί τὸ ἐγκώμιον τοῦ ψόγου προέταξεν, ὅπου τὸν ψόγον μᾶλλον ἐχρῆν προταγῆναι, διὰ τὸ τοῦτον μὲν κατηγορίᾳ ἀναλογεῖν, τὸ δὲ ἐγκώμιον ἀπολογίᾳ· ἐπεὶ καὶ ἡ ἀνασκευὴ διὰ τοῦτο τῆς κατασκευῆς ἐλέγετο προταγῆναι· καί φαμεν, ὅτι ἐπειδὴ ἐν μὲν τῷ ἐγκωμίῳ ἀρετὰς ἐπαινοῦμεν, ἐν δὲ τῷ ψόγῳ κακίας φέγομεν· πρώτη δὲ ἡ ἀρετὴ τῆς κακίας, παρόσον καὶ ἐκπτώσεις εἰσὶ τῶν ἀρετῶν αἱ κακίαι, εἰκότως προτάττεται τὸ ἐγκώμιον τοῦ ψόγου. Ψόγος ἐστὶ λόγος ἐκθετικὸς τῶν προσόντων τινὶ κακῶν, καὶ γὰρ τὸ ἐγκώμιον καὶ ὁ ψόγος κατὰ τἄλλα κοινωνοῦντα κατὰ τοῦτο διαφέρουσι, καθὸ ἐν μὲν τῷ ἐγκωμίῳ τὰ προσόντα τινὶ κακὰ, ἐν δὲ τῷ ψόγῳ τὰ προσόντα φαῦλα διέξειμεν. Τόπου δὲ κοινοῦ διενήνοχε. Ζητεῖται εἰ

καὶ ὑπέρ τινός ἐστι κοινὸς τόπος, διατί οὐχὶ τοῦ ἐγκωμίου ἐζήτησε πρὸς ἐκεῖνο διαφοράν, καί φαμεν, ὅτι ἐπειδὴ ἐν μὲν τῷ ἐγκωμίῳ πολλὰ εἶχε διδάξαι τί τέ ἐστιν ἐγκώμιον καὶ τίνι διαφέρει ὕμνου καὶ ἐπαίνου, καὶ τίνα δεῖ ἐγκωμιάζειν, ἔτι καὶ τὰ κεφάλαια καὶ τὰ μέρη τῶν κεφαλαίων· ἐπεὶ μὲν παρῆτήσατο καὶ τὴν πρὸς τὸν ὑπέρ τινος κοινὸν τόπον τοῦ ἐγκωμίου διδάξαι διαφοράν· ἐνταῦθα δὲ ἐταμιεύσατο ταύτην· εἰ γὰρ καὶ πρὸς τὸν κατά τινος κοινὸν τόπον λέγει τοῦ ψόγου διαφορὰν μόνου, ὅμως οὐδὲν ἧττον δι' αὐτοῦ καὶ τὴν πρὸς τὸν ὑπέρ τινος κοινὸν τόπον τοῦ ἐγκωμίου διαφορὰν παρίστησεν· ἔνδηλον γὰρ πάντως, ὅτι εἰ ὁ ψόγος τούτῳ τοῦ κατά τινος κοινοῦ τόπου διαφέρει, τῷ τοῦ μὲν ἐπάγεσθαι κόλασιν, τὸν δὲ ψόγον ψιλὸν μόνον ἔχειν διαβολήν, τὸν δὲ κοινὸν τόπον καὶ δωρεὰν ἐπάγεσθαι καὶ ταῦτα μὲν ἡμεῖς ὑπεραπολογούμενοι τοῦ σοφιστοῦ λέγομεν, μήποτε δὲ ὁ Ἀφθόνιος τὸν ὑπέρ τινος κοινὸν τόπον οὐκ ᾔδει, καὶ τοῦτο δῆλον μὲν καὶ ἐκ τοῦ διαφορὰν ψόγου μόνον πρὸς τὸν κατά τινος κοινὸν τόπον εἰπεῖν, ἀλλ' οὐχὶ καὶ ἐγκωμίου πρὸς τὸν ὑπέρ τινος. ἔτι δὲ καὶ ἐκ τῶν εἰρημένων αὐτῷ ἐν τῇ τοῦ κοινοῦ τόπου μεθόδῳ· ἐκεῖσε γὰρ οὐδόλως τὸν ὑπέρ τινος κοινὸν τόπον ἐδήλωσεν· ὅρα γὰρ τί φησι· κοινός ἐστι τόπος λόγος αὐξητικὸς τῶν προσόντων κακῶν. κακῶν δὲ εἰπὼν τὸν κατά τινος κοινὸν τόπον ἐδήλωσε μόνον· εἰ γὰρ καὶ ἔν τισι τῶν βιβλίων πρόσκειται τὸ ἢ καλῶν, οὐχὶ αὐτοῦ ἐστι τοῦ Ἀφθονίου, ἀλλ' ἑτέρων τινῶν φιλοπόνων προσθήκη, καὶ τοῦτο δῆλον ἐκ τοῦ ἐν τοῖς πλείοσι τῶν βιβλίων μὴ εἶναι τοῦτο· καὶ πάλιν λέγει, εἶτα ἐποίσεις τὴν ἔκθεσιν οὐχ ὡς διδάσκων, ἔγωσται γὰρ ἄλλως παροξύνων τὸν ἀκροώμενον· παροξύνομεν δὲ οὐχὶ ἐν τῷ ὑπέρ τινος τόπῳ, ἀλλ' ἐν τῷ κατά τινος, καὶ πάλιν εἶτα παρέκβασιν, στοχαστικῶς κακίζων τὸν φθάσαντα βίον· κακίζομεν δὲ

τὸν φθάσαντα βίον τοῦ ὑποκειμένου προσώπου, οὐχὶ ἐν τῷ ὑπέρ τινος τόπῳ, ἀλλ' ἐν τῷ κατά τινος. Ζητεῖται δὲ κἀκεῖνο, διατί ὥσπερ πόθεν εἴρηται ἐγκώμιον εἰπὼν οὐκ εἶπε πόθεν εἴρηται ψόγος· καί φαμεν ὅτι τὰ δυσκολώτερα μόνα εἴωθεν ἐτυμολογεῖν, καὶ ὅσα τὴν τῶν θεῶν ἐγινώσκομεν ὑπερβαίνειν διάνοιαν, οὐ μὴν καὶ τὰ γνώριμα καὶ τὰ τοῖς πολλοῖς γινωσκόμενα, οὕτω καὶ τὸ τῆς χρείας μὲν ὄνομα, ὡς τοῖς πολλοῖς ἀσύνηθες ἐτυμολόγησε, τὸ δὲ τῆς γνώμης παρῆκεν· εἰ δὲ καὶ παρῆκε δὲ τὴν ἐτυμολογίαν τοῦ ψόγου ὁ σοφιστὴς εἰπεῖν, ὅμως ἡμεῖς λέγομεν, ὅτι ψόγος παρὰ τὸ ψέγω εἴρηται ῥῆμα, τὸ δὲ παρὰ τὸ φεύγω· φεύγουσι μὲν γὰρ ἅπαντες τὸ ψέγεσθαι. Εἰς τὸ αὐτό. Τόπου δὲ κοινοῦ διενήνοχε τῷ τὸν μὲν τόπον ἐπάγεσθαι κόλασιν, τὸν δὲ ψόγον ψιλὴν ἔχειν διαβολήν· ὁ μὲν Ἀφθόνιος τούτῳ μόνῳ φησὶ διαφέρειν τοῦ κοινοῦ τόπου τὸν ψόγον, τῷ τὸν μὲν τόπον κόλασιν ἐπιφέρειν, τὸν δὲ ψόγον ψιλὴν ἔχειν διαβολήν· ὁ δὲ Γεωμέτρης καὶ ἑτέρας τούτων πλείους λέγει διαφορὰς, καὶ γάρ φησι διαφέρειν αὐτὰ τῷ τὸν μὲν κοινὸν τόπον μετὰ τὴν ἀπόδειξιν φέρεσθαι· τὸν δὲ ψόγον καὶ πρὸ τῆς ἀποδείξεως καὶ τῷ τὸν μὲν τόπον μέρος εἶναι τοῦ λόγου κατὰ προσώπων καὶ συμπεπλεγμένων τῷ πράγματι καὶ ἀορίστων πολλάκις λέγεσθαι, τὸν δὲ ψόγον οὐ κατὰ προσώπων μόνον, ἀλλὰ καὶ κατὰ πραγμάτων ἁπλῶς γυμνῶν, οἷον, πολέμου, ναυμαχίας.

Ζητεῖται καὶ τοῦτο, διατί τὸ μὲν παρὸν γύμνασμα ψόγος, τὸ δὲ προηγησάμενον ἐγκώμιον λέγεται ὁμωνύμως τῷ γένει, ὅπου καὶ τοῦτο δυνατὸν ἐγκώμιον λέγεσθαι· διὰ τὸ ἐν κώμαις καὶ αὐτὸ τὸ παλαιὸν ᾄδεσθαι· εἰ γὰρ τὰ ἐγκώμια ἐν κώμαις ᾄδοντο, πάντως καὶ οἱ ψόγοι ἐν τοῖς αὐτοῖς τούτοις ἐλέγοντο ἄν, καί φαμεν ὅτι εἰώθαμεν τὰ κάλλιστα μόνα τῶν μερῶν τῷ τοῦ ὅλου προσαγορεύειν ὀνόματι, κρεῖττον δὲ πάντως τὸ ἐγκώμιον

τοῖ ψόγου, ὅσον καὶ ἡ εὐφημία βελτίων τῆς διαβολῆς· δύναται μέν τοι καὶ ὁ ψόγος τῷ τοῦ γένους ὀνόματι καὶ αὐτὸς ἐγκώμιον λέγεσθαι. Διαιρεῖται δὲ τοῖς αὐτοῖς κεφαλαίοις, οἷσπερ καὶ τὸ ἐγκώμιον. Διατί οὐκ εἶπε τοῖς ἐναντίοις τῷ ἐγκωμίῳ κεφαλαίοις διαιρεῖσθαι τὸν ψόγον, ὥσπερ καὶ τὴν κατασκευὴν τοῖς ἐναντίοις τῇ ἀνασκευῇ κεφαλαίοις εἴρηκε διαιρεῖσθαι· ἀλλ' ἀντὶ τοῦ εἰπεῖν, ὅτι διαιρεῖται δὲ τοῖς αὐτοῖς κεφαλαίοις, οἷσπερ καὶ τὸ ἐγκώμιον· καίτοι ἐν μὲν τῷ ἐγκωμίῳ ἐπαινοῦμεν τὸ τοῦ ἐγκωμιαζομένου γένος καὶ τὴν ἀνατροφὴν καὶ τὰς πράξεις, ἐν δὲ τῷ ψόγῳ διαβάλλομεν· ἐναντία δὲ ταῦτα, τὸ ἐπαινεῖν καὶ τὸ διαβάλλειν φημί· φαμὲν δή, ὅτι ταύτης κατασκευῆς κεφάλαια ἐναντία ἔλεγεν εἶναι τοῖς τῆς ἀνασκευῆς, διότι ἄλλο ἐστὶ τὸ ἀσαφὲς, ὅπερ ἐστὶ τῆς ἀνασκευῆς καὶ ἄλλο τὸ σαφὲς, ὅπερ ἐστὶ τῆς κατασκευῆς· ἐναντίον δὲ τὸ σαφὲς τῷ ἀσαφεῖ, καὶ πάλιν ἄλλο τὸ πιθανὸν, καὶ ἄλλο τὸ ἀπίθανον· καὶ εἰσὶν ἐναντία ταῦτα ἀλλήλοις, διὸ οὐδὲ τοῖς αὐτοῖς ὀνόμασιν ὀνομάζονται· τὸ μὲν γὰρ σαφὲς, τὸ δὲ ἀσαφὲς ὀνομάζεται· καὶ τὸ μὲν πιθανὸν, τὸ δὲ ἀπίθανον. ἐν δὲ τῷ ψόγῳ χρώμεθα τῷ γένει καὶ τῇ ἀνατροφῇ καὶ ταῖς πράξεσι· διαιροῦντες τὸ μὲν γένος εἰς ἔθνος, πατρίδα, προγόνους καὶ πατέρας· τὴν δὲ ἀνατροφὴν εἰς ἐπιτηδεύματα καὶ τέχνην καὶ νόμους· τὰς δὲ πράξεις εἰς ψυχὴν καὶ σῶμα καὶ τύχην· τοῖς αὐτοῖς δὲ τούτοις χρώμεθα καὶ ἐν τῷ ἐγκωμίῳ, ὥσπερ γὰρ ἐν τῷ ψόγῳ χρώμεθα τῷ γένει καὶ ὥσπερ αὐτὸ διαιροῦμεν εἰς ἔθνος καὶ πατρίδα, προγόνους καὶ πατέρας, οὕτω καὶ ἐγκωμίῳ, καὶ εἰσὶ τὰ αὐτά· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων, μόνον δὲ κατὰ τὴν ὕλην διαφέρει· τὰ μὲν γὰρ τοῦ ἐγκωμίου κεφάλαια τὰ προσόντα τινὶ καλὰ ἐκτίθενται, πάρα δὲ ἐν τῷ ψόγῳ τὰ προσόντα κακά.

Τοσαῦτα δὲ δεῖ ψέγειν, ὅσα καὶ ἐγκωμιάζειν· οὐ τοῦ-

τοῦτο λέγει, ὅτι τὸ ἓν τῷ ἀριθμῷ καὶ ταὐτὸν ψέγομεν πάντως καὶ ἐγκωμιάζομεν· ἔστι γὰρ ὅτε καὶ τοῦτο ποιοῖμεν· ἀλλ' οὐκ ἀεὶ οὐδὲ ἐν πᾶσιν· οὐ γὰρ εἰ ἐγκωμιάσομεν τὴν ἀρετὴν, τὴν αὐτὴν πάντως καὶ ψέγομεν· αὐτίκα γὰρ ὁ Ἀφθόνιος τὸν Θουκυδίδην ἐγκωμιάσας καὶ τὴν φρόνησιν οὐχὶ καὶ ψέξαι αὐτὴν ἐκ τοῦ ἐναντίου ἐπικεχείρηκεν· ἀλλ' ὃ λέγει, τοιοῦτόν ἐστιν· φησὶν, ἐγκωμιάζομεν ταὐτὸν [29] κατ' εἶδος, ἀλλ' οὐχὶ καὶ ταὐτὸν κατ' ἀριθμὸν ψέξομεν· οἷόν τι λέγω, ἐγκωμιάζομεν πρόσωπον οἷον τὸν μέγαν Βασίλειον, ἀλλὰ καὶ ψέξομεν πρόσωπον, οὐ τοῦτο πάντως ὅπερ ἐνεγκωμιάσαμεν ἀλλ' ἕτερον, οἷον τὸν δυσσεβῆ Ἰουλιανὸν ἤ τινα τῶν ἀπίστων ἕτερον· πάλιν ἐγκωμιάσομεν πρᾶγμα οἷον τὴν φρόνησιν, ἀλλὰ καὶ ψέξομεν πρᾶγμα, οἷον τὴν μέθην, τὴν ἀκρασίαν, οὐ μὴν ὅπερ ἐνεγκωμιάσαμεν.

Ὃ διαιρήσεις ὁμοίως τῷ ἐγκωμίῳ· διαιρήσεις που εἰς ἔθνος δηλονότι πατρίδα προγόνους καὶ πατέρας, εἰς ταῦτα γὰρ τὸ γένος ἐν τῷ ἐγκωμίῳ ἐμάθομεν διαιρεῖσθαι. Καὶ τὴν ἀνατροφὴν καὶ τὰς πράξεις οὕτω θήσεις, ὥσπερ καὶ ἐν τοῖς ἐγκωμίοις οὕτω πως διελὼν δηλονότι τὴν μὲν ἀνατροφὴν εἰς ἐπιτηδεύματα καὶ τέχνην καὶ νόμους· τὰς δὲ πράξεις εἰς ψυχὴν καὶ σῶμα καὶ τύχην.

ΨΟΓΟΣ ΦΙΛΙΠΠΟΥ.

Ἐδόκει τισὶ μὴ χρῆναι τὸν Ἀφθόνιον ψόγου μελέτην εἰς παράδειγμα θεῖναι, πρόδηλος γὰρ ἡ διαίρεσις τοῦ ψόγου ἦν τοῖς ἅπαξ τῇ τοῦ ἐγκωμίου μελέτῃ ἐγγυμνασθεῖσιν· εἰ δὲ καὶ ἐκ τῶν αὐτῶν σύγκειται τόπων ὁ ψόγος, ἀφ' ὧνπερ καὶ τὸ ἐγκώμιον καὶ περιττὸν τυῖς αὐτοῖς δὶς ἐγγυμνάζεσθαι, πρὸς δὴ τοῦτο λέγομεν πρῶτον

29 Vind. τὸ ταυτὸν h. l. et paullo post.

μὲν ὅτι κατὰ τοῦτον τὸν λόγον οὔτε γνώμης διαίρεσιν ὤφειλε παραδοῦναι οὔτε κατασκευῆς· εἴ γε καὶ τούτων ἡ μὲν γνώμη τοῖς τῆς χρείας ἐργάζεται κεφαλαίοις· ἡ δὲ κατασκευὴ τοῖς τῆς ἀνασκευῆς κατὰ τὸ ἐναντίον· ἀλλ' οὐδὲ δύο ἐγκωμίων μελέτας ὤφειλε μελετῆσαι· νῦν δὲ τοῦτο οὐκ ἐγένετο, ᾔδει γὰρ ὁ σοφιστὴς τὰ παραδείγματα χρησιμώτατα τοῖς νέοις, εἴπερ ἄλλο τι, σαφῆ τε τὴν διδασκαλίαν ποιοῦντα καὶ τὸν νοῦν αὐτοῖς τῶν λεγομένων φωτίζοντα· ἔπειτα δὲ κἀκεῖνό φαμεν, ὅτι οὐ πάντως ὁ τῇ τοῦ ἐγκωμίου μελέτῃ ἐγγυμνασθεὶς ἤδη καὶ τοῦ ψόγου ἱκανὴν τὴν εἴδησιν ἔλαβεν, ἔνθεν τοι καὶ πολλοὺς ὁρῶμεν πρὸς ἔπαινον ἐπιτηδείους, οὐ μὴν καὶ πρὸς ψόγον, οἷος ὁ Πίνδαρος καὶ ὁ Ὅμηρος· ἑτέρους δὲ τοὐναντίον, ψέγειν μὲν ἱκανοὺς ὄντας, ἐπαινεῖν δὲ οὐκ ἐπιτηδείους, ὡς ὁ Ἀρχίλοχος· ὁ γοῦν Ἀφθόνιος εἰδὼς ταῦτα ἀμφοτέρων τοῦ τε ἐγκωμίου καὶ τοῦ ψόγου τὴν διαίρεσιν παραδίδωσιν, ἵν' ἑκατέρου παραστήσῃ τὸ χρήσιμον. Ζητοῦσι δέ τινες διατί τοῦ ἐγκωμίου μὲν δύο τέθεικε παραδείγματα, πρόσωπον ἐγκωμιάσας τὸν Θουκυδίδην, καὶ πρᾶγμα τὴν σοφίαν, ψόγου δὲ ἕν· πρόσωπον μὲν ψέξας τὸν Φίλιππον, πρᾶγμα δὲ μή. Ἔτι κἀκεῖνο ζητεῖται, διατί τὸν Φίλιππον ἔψεξε καὶ οὐχ ἕτερόν τινα· καί φαμεν πρὸς ταῦτα, πρὸς μὲν τὸ πρῶτον, ὅτι ἐπεὶ τοῖς αὐτοῖς κεφαλαίοις τὸ ἐγκώμιον διαιρεῖται καὶ ψόγος, τοῦ μὲν ἐγκωμίου δύο τίθεικε παραδείγματα, καθὸ καὶ προετάγη τοῦ ψόγου, καὶ ἔδει ἀσύνηθές τε τοῖς νέοις ὂν καὶ τελείου λόγου ἔχον διαίρεσιν φωτισθῆναι πλείοσι παραδείγμασιν· τοῦ δὲ ψόγου μίαν ἐποιήσατο μελέτην, ἡγούμενος καὶ μόνην ταύτην ἀρκέσειν τοῖς νέοις πρὸς εἴδησιν τῆς τοῦ ψόγου διαιρέσεως, ἱκανὴν ἤδη καὶ διὰ τῶν τοῦ ἐγκωμίου μελετημάτων τῶν ἐγκωμιαστικῶν κεφαλαίων ἐσχηκόσι τὴν πεῖραν· καὶ ταῦτα μὲν πρὸς τὸ πρῶτον ἀπόρημα· πρὸς δὲ τὸ δεύτερον λέγομεν, ὅτι διὰ τοῦτο εἰς

τὴν τοῦ ψόγου παρέλαβε γυμνασίαν τὸν Φίλιππον, διότι αὐτὸς μὲν σοφιστὴς Ἕλλην ὁμοῦ καὶ φιλέλλην· ὁ δὲ Φίλιππος οὐ μόνον οὐχ Ἕλλην ἦν, ἀλλὰ καὶ τοῖς Ἕλλησι κατὰ πάντα πολέμιος. ἔτι δὲ καὶ διότι αὐτὸς τὸ τῶν Μακεδόνων εἰς μέγα πρῶτος ἤρξατο αἴρειν, ἀφ' ὧν οἱ ἐν Ἀθήναις ἀπώλοντο ῥήτορες, πολλῶν μὲν ὑπ' Ἀντιπάτρου καὶ Δημοσθένους αὐτοῦ διὰ φαρμάκου τὸν βίον καταλυσάντων, οὐκ ὀλίγων δὲ καὶ γλωσσοτομηθέντων, ἢ ἔτι καὶ αὐτὸν τὸν ῥήτορα τὸν Δημοσθένην πολλὰ κατ' αὐτοῦ τοῦ Φιλίππου εὗρεν εἰπόντα, ἀφ' ὧν καὶ αὐτός τινα εἰς τὴν οἰκείαν μελέτην παρείληφεν. ὥσπερ καὶ τὸ ἑξῆς, οὐδὲ δουλούμενοι χαίρουσιν ἄνθρωποι· τοῦτο γὰρ ἐκ τῶν κατὰ Φιλίππου λόγων τοῦ Δημοσθένους ἔλαβε· λέγει γὰρ ἐν ἐκείνοις ὁ ῥήτωρ περὶ τοῦ Φιλίππου τάδε· ὡς οὐ μόνον οὐχ Ἕλλην ἦν, ἀλλ' οὐδὲ βάρβαρος ἐντεῦθεν ἔνθεν καλὸν εἰπεῖν, καὶ ὅλεθρος Μακεδὼν ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον οὐδὲν ἦν πρότερον πρίασθαι. Οὔτε τὴν ἀρετὴν ἐπαίνου χωρὶς, οὔτε τὴν κακίαν ἔξω ψόγου προσήκει καταλιπεῖν· δυσὶ προοιμίοις ἐν τῇ παρούσῃ χρῆται μελέτῃ ὁ σοφιστής· καὶ τὸ μὲν πρῶτον ἐκ τῆς τοῦ ψέγοντος ἐστιν ὑπολήψεως μονονουχὶ λέγοντος, ὅτι οὐ δι' οἰκείαν ἔχθραν ψέγεσθαι βούλομαι τοὺς κακοὺς, ὥσπερ οὐδὲ δι' ἰδίαν εὔνοιαν ἐπαινεῖσθαι τοὺς ἀγαθούς· ἀλλὰ διὰ τὸ κοινῇ πᾶσι συμφέρον· τὸ δὲ δεύτερον ἐκ τῆς τοῦ ψεγομένου ἐστὶν ὑπολήψεως· ἔστιν οὖν τοῦ μὲν πρώτου προοιμίου ἡ πρότασις, τὸ οὐ τὴν ἀρετὴν ἐπαίνων χωρὶς, οὔτε τὴν κακίαν ἔξω ψόγων προσήκει καταλιπεῖν, καὶ ἔστι διπλῆ· τὸ δὲ ὃ καὶ δι' ἀμφοτέρων ἓν καταλείπεται κέρδος, κατασκευή ἐστιν ἁπλῆ, τῆς ὅλης δὲ προτάσεως κατασκευαστική. τοῦ δὲ δευτέρου πάλιν προοιμίου πρότασις μὲν, τὸ ἅπαντας μὲν ἀκοῦσαι κακῶς δίκαιον τοὺς διακειμένους κακῶς· τοσοῦτον δὲ πλέον τῶν ἄλλων τὸν Φίλιππον, ὅσῳ καὶ πάντας

πονηροὺς ὑπερέβαλεν· ἔοικε δὲ καὶ αὐτὴ διπλῆ τις εἶναι, κατασκευὴ δὲ αὐτοῦ τὰ ἑξῆς συμπεπλεγμένη τῷ ἀπὸ τοῦ γένους κεφαλαίῳ, πλὴν σημείωσαι ὅτι ἡ κατασκευὴ αὕτη οὐκ ἔστι τῆς ὅλης προτάσεως κατασκευαστικὴ, ἀλλὰ μόνου τοῦ τελευταίου αὐτῆς κώλου τοῦ ὅσον τῶν ἄλλων ἐστὶ χαλεπώτερος· ἔοικεν οὖν τὸ ἅπαντας μὲν οὖν ἀκοῦσαι κακῶς δίκαιον τοὺς διακειμένους κακῶς ἀκατάσκευον ἐᾶσαι ὡς ἀποδειχθὲν ἤδη καὶ συμπέρασμα οἱονεὶ τῆς προτάσεως ὄν· ἄνωθεν γὰρ ἐδείχθη, ὅτι δεῖ κακῶς λέγεσθαι τὴν κακίαν. Εἰς τὸ αὐτό. Οὔτε τὴν ἀρετὴν ἐπαίνων χωρὶς, οὔτε τὴν κακίαν ἔξω ψόγων προσήκει καταλιπεῖν· ὃ καὶ δι' ἀμφοτέρων ἓν καταλείπεται κέρδος· πολλὴ μὲν οὖν ἡ μέσον τούτων διαφορὰ, κακίας φημὶ καὶ ἀρετῆς· οὐδεμία γὰρ αὐταῖς πρὸς ἀλλήλας κοινωνία, μακρῷ ἀλλήλων ἀπεχούσας, καὶ ἐκ διαμέτρου κειμένας οὐχ ἧττον ἢ σκότος πρὸς φῶς καὶ ἄλογος φύσις πρὸς λογικὴν, πλὴν οὕτως ἐσχηκότα πρὸς ἄλληλα ὅμως πρὸς ἕν τι κατὰ τοῦτο συντελειοῦνται καὶ συναρμόζονται τὸ πρὸς τὸ καλὸν συνεργεῖν καὶ ποδηγεῖν. τὸ μὲν ἐπαινούμενον ἡ ἀρετὴ, τὸ δὲ διαβαλλόμενον ἡ κακία· ζῆλον μὲν γὰρ ὁ ἔπαινος, ἧ τῶν σαφῶν τις πεφιλοσόφηκεν· ὁ δὲ μισεῖται καὶ διαβάλλεται καὶ ἀποτρόπαιον τοῖς εὐφρονοῦσι καθίσταται καὶ πρὸς τοῦτο ἄρα Ἰσμηνίας ὁ αὐλητὴς ὁρῶν ἐν τῷ παιδεύειν ᾄδειν τοὺς μαθητὰς οὐ καλῶς ᾖδε μόνον, ἀλλὰ καὶ παρὰ τὸν εἰκότα ῥυθμόν· ἐπιλέγων τῷ καλῶς μὲν ᾄδειν οὕτως αὐλεῖν δεῖ, τῷ δὲ παρὰ τὸ εἰκὸς οὕτως αὐλεῖν οὐ δεῖ· ἀλλὰ καὶ Λακεδαιμόνιοι τοῖς παισὶ δεικνύντες οἷον τὸ μεθύειν κακὸν, οὐ μόνον τοῦ πίνειν συνεχῶς ἀπεῖργον αὐτοὺς, ἀλλὰ καὶ τοὺς εἵλωτας ἀναγκάζοντες σπᾷν εἰς κόρον τὸν ἄκρατον καὶ μεθύειν ἐδείκνυον τοῖς παισὶ πείρᾳ διδάσκοντες, ἃ μὴ λόγῳ εὐχερὲς ἦν δηλονότι.

Καὶ ἀπὸ τοῦ ἐπαινεῖσθαι μὲν γὰρ τὸ καλὸν ἱκανὴ πρὸς

ἀρετὴν ἡ παράκλησις· οὐχ᾽ ἧττον δὲ καὶ ἀπὸ τοῦ ψέγεσθαι καὶ διαβάλλεσθαι τὸ κακόν· καλῶς οὖν ἄρα καὶ ὁ σοφιστὴς Ἀφθόνιος εἶπεν, ὅτι καὶ παρ᾽ ἀμφοτέρων ἓν καταλείπεται κέρδος, τοῦ τε τοὺς ἀρετὴν ἠγαπηκότας ἐπαινεῖσθαι, ὡς ἀσπασαμένους τὸ κυρίως καὶ ὄντως ἀγαθὸν, καὶ τοὺς τὴν κακίαν ἠσπακότας διαβάλλεσθαι καὶ μισεῖσθαι κέρδος εἰπὼν καὶ αὐτὸ τοῦτο πάντως τὸ δι᾽ ἑκατέρων τοίτων εἰς ἀρετὴν τοὺς ἀκροατὰς ἐνάγεσθαι.

Ὃ καὶ δι᾽ ἀμφοτέρων ἓν καταλείπεται κέρδος· Διάφορος ἡ παροῦσα γραφή· τὰ μὲν γὰρ τῶν βιβλίων διὰ τοῦ ω μεγάλου τὴν γραφὴν τὴν ω καὶ δι᾽ ἀμφοτέρων ἓν καταλείπεται κέρδος ἔχουσι· τὰ δὲ διὰ τοῦ ο μικροῦ· καὶ τοῦτο διττῶς ἐκλαμβάνουσιν οἱ ἀναγινώσκοντες, οἱ μὲν γὰρ ἀντὶ τοῦ διὸ τοῦτο λέγουσιν εἶναι, καὶ ὅμοιον τοῦτο νομίζουσιν τῷ, „ὃ καὶ πεπνυμένα βάζεις“ [1] παρ᾽ Ὁμήρῳ· οἱ δὲ ἄρθρον αὐτὸ εἶναι λέγουσιν, ἵν᾽ ᾖ, ὅτι τοῦτο γὰρ αὐτὸ δι᾽ ἀμφοτέρων ἓν καταλείπεται κέρδος. Προῆλθε μὲν ἔθνους, ὃ τῶν βαρβάρων καθίσταται χείριστον, ἐντελῆ ἅμα καὶ κατὰ τάξιν τὴν τοῦ γένους ἐνταῦθα ποιεῖται διαίρεσιν, διαιρῶν αὐτὸ εἰς ἔθνος τοὺς Μακεδόνας, εἰς πατρίδα τὴν Πέλλην, εἰς προγόνους, εἰς πατέρα τὸν Ἀμύνταν· ὅρα δὲ πῶς εὐφυῶς κατασκευάζει τὸ ὅτι πάντας τοὺς πονηροὺς ὁ Φίλιππος ὑπερέβαλε· δείκνυσι γὰρ τοὺς Μακεδόνας ἁπάντων τῶν βαρβάρων χείρονας, τοὺς δὲ Πελλαίους τῶν ἄλλων Μακεδόνων, τοὺς δὲ Φιλίππου προγόνους τῶν λοιπῶν Πελλαίων· τὸν δὲ αὐτοῦ πατέρα τῶν προγόνων, τὸν δὲ Φίλιππον τοῦ πατρὸς, ὥστε εἶναι τοιοῦτον τὸ συναγόμενον· εἰ οἱ βάρβαροι χείρονες τῶν ἄλλων ἁπάντων ἀνθρώπων, οἱ δὲ Μακεδόνες χείρονες τῶν ἄλλων βαρβάρων, οἱ δὲ Πελλαῖοι χείρονες τῶν λοιπῶν Μακεδόνων, οἱ δὲ τοῦ Φιλίππου πρόγονοι τῶν λοι-

1 Confunditur Il. ι, 58. ἀτὰρ πεπνυμένα βάζεις cum Od. σ, 337. 392. ὃ καὶ μεταμώνια βάζεις.

πῶν Πελλαίων, ὁ δὲ τούτου πατὴρ χείρων τῶν προγόνων αὐτοῦ, ὁ δὲ Φίλιππος καὶ αὐτοῦ τοῦ πατρὸς χαλεπώτερος, εὔδηλον ὅτι πάντας ἀνθρώπους ἐπὶ κακίᾳ ὁ Φίλιππος ὑπερέβαλλεν. Ἀργεῖοι γὰρ ἐξέωσαν τὸ πρῶτον, εἶτα πλανώμενοι πρὸς ἣν ἔχουσι καταφεύγουσι· καὶ μὴν εἴπῃ τις, ὅτι τὸ ἐξ Ἄργους εἰς Μακεδονίαν τοὺς Μακεδόνας ἐλθεῖν οὐκ ἀνανδρίας ἀλλ' ἀνδρίας καὶ πολυπλη-θείας μᾶλλόν ἐστι τεκμήριον· οὐ γὰρ ἐξηλάθησαν οἱ Μακεδόνες ἀπὸ τοῦ Ἄργους, ὥς φησι Διονύσιος, ἀλλ' ἄποικοι μᾶλλον διὰ τὴν πολυπλήθειαν ἐπέμφθησαν· καὶ πολυανθρωπίαν· ἄλλως τε δὲ εἰ καὶ τὸ ἐξελαθῆναι ὡς ἀνανδρίας ἐκάκισε, πάντως τὸ ἐξελάσαι ὡς ἀνδρίας ὤφειλεν ἐπαινέσαι. ἀλλ' ἔστι ταῦτα ἐν ἀδείᾳ τοῖς σοφισταῖς πιθανῶς ὡς τὰ πολλὰ καὶ μὴ ἀποδεικτικῶς ἐπιχειροῦσιν. Ἑξῆς οὐδὲ δουλούμενοι χαίρουσιν ἄνθρωποι. Διπλῆ ἡ γραφή· τινὰ μὲν γὰρ τῶν βιβλίων οὐδὲ δουλούμενοι ἔχουσιν, ἕνια δὲ καὶ δουλούμενοι χωρὶς τῆς οὔ· διπλῆς οὖν καὶ τῆς σημασίας τοῦ δουλούμενοι οὔσης· σημαίνει γὰρ καὶ τὸ δοῦλον γίνεσθαι καὶ τὸ δούλους κτᾶσθαι, εἰ μὲν δουλούμενοι εἴη χωρὶς τῆς οὔ, σημαίνοι ἂν τὸ δοῦλοι γινόμενοι· ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον· τοσοῦτον ἡ Πέλλη πρὸς κατοίκησιν ἀνεπιτηδείως εἶχεν, ὡς τοὺς πολίτας χαίρειν τῷ δουλοῦσθαι, μόνον εἰ τῆς οἰκείας στερηθέντες τὴν ἀλλοτρίαν ἀλλάξονται· εἰ δὲ οὐδὲ δουλούμενοι ἔχει, εἴη ἂν σημαῖνον τὸ δουλούμενοι τὸ δούλους κτώμενοι· τοῦτο δὲ ἢ πρὸς τοὺς σωματεμπόρους εἴρηται ἢ καὶ πρὸς τοὺς αἰχμαλωτιστάς, ἵν' εἴη, ὅτι καὶ προῖκα καὶ πολέμου νόμῳ τούτους λαμβάνοντες οὐδ' οὕτω χαίρουσιν, ὡς ἄχρηστά τινα καὶ φαῦλα λαμβάνοντες σώματα. τοῦτο δὲ καὶ ἐν τοῖς Φιλιππικοῖς, ὡς καὶ ἀνωτέρω δεδήλωται, κεῖται λόγοις· τοῦ Δημοσθένους λέγοντος ἐν ἐκείνοις τοῦ ῥήτορος οὕτως περὶ τοῦ Φιλίππου, ὡς οὐ μόνον οὐχ' Ἕλλην ἦν, ἀλλ' οὐδὲ βάρβαρος ἐντεῦ-

θεν ὅθεν [2] εἰπεῖν καλὸν, ἀλλ' ὅλεθρος Μακεδών, ὅθεν οὐδ' ἀνδράποδον σπουδαῖον ἦν πρότερον πρίασθαι.

Κρατεῖν τῆς χώρας ἐκ τοῦ γένους οὐ συγχωρούμενος. Ἀλλ' οὐκ ἐξ ἀλλοτρίων, φησὶ, τινῶν ἐκωλύετο τῆς ἀρχῆς, ἀλλ' ἐξ αὐτοῦ τοῦ οἰκείου ἔθνους, ὃ μέγιστον εἴη διαβολῆς τεκμήριον, οὐκ αὐτοῦ μόνου τοῦ Φιλίππου ὡς ἀναξίου ὄντος τοῦ ἄρχειν, διὰ κακίας ὑπερβολὴν, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἔθνους· ὡς τῷ τοῦ φθόνου πάθει δουλεύοντος· τινὲς δὲ οὐ φθόνον μᾶλλον ἀλλ' ἀσθένειαν ᾠήθησαν τὸν σοφιστὴν τῶν Μακεδόνων διὰ τούτου κατηγορεῖν, ὡς μὴ δυναμένων αὐτῶν ἀσφαλῆ τὴν ἀρχὴν περιποιήσασθαι τῷ Φιλίππῳ φόρους ὑπέχοντι τοῖς Ἀθηναίοις καὶ τισιν ἄλλοις ὡς καὶ ἐπιτάγματα δέχεσθαι Περσῶν. Ἀθηναῖοι γὰρ ἐληλαμένον κατήγαγον. ἔν τισι τῶν βιβλίων Θηβαῖοι γράφονται. Ἱστορεῖται γὰρ ὅτι ἐξώσθη Ἀμύντας τῆς ἀρχῆς, Θηβαῖοι δὲ ἐληλαμένον κατήγαγον αὐτὸν δεηθέντα καὶ τῇ βασιλείᾳ μόγις ἀποκατέστησαν. καὶ τοῦτο δὲ μέγιστον πρὸς ψόγον ἐστί· πρὸς τοῖς ἄλλοις γὰρ καὶ ἀνάλκιδα καλεῖ τὸν Ἀμύνταν· ὠμήρευεν· ὁμηροι λέγονται οἱ διὰ πίστεως βεβαιότητα ἔθνεσι παρατιθέμενοι καὶ κατεχόμενοι διὰ τὴν εἰρήνην. Ἐδόθη οὖν ὁ Φίλιππος παρὰ τοῦ πατρὸς Ἀμύντα εἰς ὁμηρείαν. τούτου γὰρ, ὥς φασι, καταπολεμηθέντος ὑπὸ τῶν Ἰλλυριῶν καὶ φόρους τοῖς κρατοῦσι τελεῖν ἀναγκασθέντος οἱ Ἰλλυριοὶ λαβόντες εἰς ὁμηρείαν Φίλιππον νεώτατον ὄντα τῶν υἱῶν παρέθεντο τοῖς Ἀθηναίοις. τί οὖν, ἴσως ἄν τις εἴπῃ, πρὸς διαβολὴν ἰσχύει τὸ εἰς ὁμηρείαν ἐκδοθῆναι τὸν Φίλιππον; καὶ φαμεν ὅτι καὶ πολὺ ἰσχύει· δείκνυσι γάρ, ὅτι ἐκ παίδων εὐθὺς τὰ τῶν δούλων ἔπραττεν εἰς ὁμηρείαν ἐκτεθειμένος. Καὶ διῃρημέ-

2 In Vind. prima manu ἐντεῦθεν sine ὅθεν. — Phil. III. p. 119.

νων ἁπάντων Ἕλλησι τε καὶ βαρβάροις ἐφ' ἑκατέρων ἦν ὁ αὐτός. Διῃρημένων, φησὶ, τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροις ἁπάντων νόμων, ἐθῶν, ἐπιτηδευμάτων, πραγμάτων, αὐτὸς μίξιν εἰργάζετό τινα, οἰκῶν μὲν τὴν Ἑλλάδα, τῆς δὲ βαρβαρικῆς μιαρίας οὐκ ἀφιστάμενος. Τὴν ἀπιστίαν οἷς προῆλθεν, ἐπιδεικνύμενος. Τὸ ἀβέβαιον καὶ περὶ τὰς πίστεις ἀπαγὲς ἐκείνοις πρῶτος ἐπιδεικνύμενος ἀφ' ὧν προῆλθεν. Ὅθεν ἐπιὼν τοὺς προσχώρους· ἀπὸ τῶν συγγενῶν δηλονότι. Καὶ διῃρημένων ἁπάντων Ἕλλησι καὶ βαρβάροις· ἁπάντων φησὶν οἷς ἂν συνδιατρίβωσιν ὁμοίως αὐτοῖς κτωμένων τοὺς τρόπους· καὶ γὰρ βάρβαροι ἀφικόμενοι εἰς τὴν Ἑλλάδα χρονίσωσι μεταβαλλόντων τὰ βάρβαρα ἤθη, κἂν Ἕλληνες εἰς βαρβάρους ἀφίκωνται καὶ αὐτῶν βάρβαρα ἤθη κτωμένων ὁ Φίλιππος τὴν αὐτὴν εἶχεν ὅμως ἐν τῇ Ἑλλάδι ἀκρασίαν, ἣν εἶχε καὶ ἐν Μακεδονίᾳ. Καὶ διατρίβων ἐπὶ μέσης Ἑλλάδος οὐ μετετίθει τῇ συνουσίᾳ τὸν τρόπον. Ἐπειδὴ ἐγκωμίων μᾶλλον ἀφορμὰς οὐ ψόγων ἡ ἐπὶ τῆς Ἑλλάδος παρεῖχε διατριβὴ τοῦ Φιλίππου τῷ τοῖς κατ' αὐτοῦ ψόγοις ἐπιχειροῦντι, ὅρα πῶς τοῦτο θεραπεύει ὁ σοφιστής. φησὶ γὰρ ὅτι εἰ καὶ διέτριβεν ἐπὶ μέσης τῆς Ἑλλάδος, ἀλλ' οὐ μετετίθει τὸν βάρβαρον τρόπον τῇ διατριβῇ, ὅπερ κακοδαιμονίας ἂν εἴη ἐσχάτης, τὸ καὶ τὰ χρηστὰ ἐξασκούμενον τὴν ἐνοῦσαν κακίαν μὴ μεταθεῖναι. Ἐν Ἑλληνικοῖς ἐπιτηδεύμασιν ἔφερε τὰ Ἑλληνικά φησιν ἐπιτηδεύων ἐπιτηδεύματα, οὐχὶ καὶ τὴν τῶν Ἑλλήνων ἀρετὴν ἐζήλου· ἀλλ' ἐν Ἕλλησιν ὢν καὶ τὰ Ἑλληνικὰ ἐπιτηδεύματα παιδευόμενος τὴν βαρβαρικὴν περὶ τὰς ἡδονὰς εἶχεν ἀκολασίαν· καὶ τοῦτο δὲ μεγίστην αὐτῷ καὶ φυσικὴν οἱονεὶ τὴν κακίαν αὐτῷ προσμαρτυρεῖ· τὸ μὲν γὰρ φαύλης παιδείας τυγχάνοντα γενέσθαι κακὸν ἔχοι ἄν τινα λόγον· τὸ δὲ καλῶς παιδευθέντα καὶ χρηστῆς ἀναγωγῆς τυχόντα μεῖναι κακὸν ἀλογώτατον.

Τοσαῦτα λαμβάνων ὅσα τῶν γενῶν ἡ τύχει. Ἐπειδὴ τὰ ῥηθέντα ἀνδρίαν ἐμαρτύρει τῷ Φιλίππῳ, φησὶν ὅτι οὐ τὰ ἰσχυρότερα ἀλλὰ τὰ ἀσθενέστερα ἐχειροῦτο. Παρακείμενα. Τινὰ μὲν τῶν βιβλίων προκείμενα ἔχει, ἔνια δὲ παρακείμενα, ἄμεινον δὲ τὸ παρακείμενα πλησιότητα καὶ τὴν ἔξω σχέσιν τῆς παρὰ δηλούσης προθέσεως, ὥστε δηλοῦν τὸ παρακείμενα τὸ πλησιάζοντα. Καὶ τὰ μὲν σώματα τῶν βαρβάρων ἦρει μαχόμενα, τὰς δὲ γνώμας μετὰ τῶν σωμάτων οὐχ ἦρει· εἰ καὶ ἦρει, φησὶ, τοὺς βαρβάρους καὶ ἔχει οὗτος, ὅμως οὐχ ἑκόντων ἀλλ' ἀκόντων ἦρχεν, ὅπερ ἐστὶν τῆς Φιλίππου κακίας καὶ δυστροπίας καὶ τοῦ μὴ βασιλικῶς καὶ ἐννόμως, ἀλλὰ τυραννικῶς καὶ βιαίως τοῖς ἀρχομένοις τοῦτον προσφέρεσθαι. Καὶ τοῖς λογισμοῖς ὑπῆρχεν αὐτόνομα τὰ τοῖς ὅπλοις δουλεύοντα. Οἱ συμμαχοῦντες, φησὶ, τῷ Φιλίππῳ, τοῦτο γὰρ τὸ τοῖς ὅπλοις δουλεύειν, τὴν ἀπ' αὐτοῦ διηνεκῶς ἐμελέτων ἀπόστασιν. Καὶ ὥσπερ σύμβολον τοῦ γένους τὴν δουλείαν ἐφέροντο. οὕτω, φησὶν, ἐδουλοῦτο ἅπασα ἡ Ἑλλὰς, ὥστε καὶ σημεῖον ἦν τοῦ Θετταλόν τινα καθεστάναι ἡ δουλεία, καὶ οὐκ ἄλλως πως ἐπιστεύετό τις εἶναι Θετταλὸς, εἰ μὴ δοῦλος ἦν. Ἀλλ' ἐπ' αὐταῖς ἡδοναῖς διαφθείρουσι. καὶ οἱ μὲν φασὶν ἐν θεάτρῳ ἀναιρεθῆναι, ἃ ἡδονῶν χάριν ἐπινενόηται, οἱ δὲ καὶ διὰ Παυσανίαν ἑταῖρον αὐτοῦ τὰ παιδικὰ γενόμενον. Ἀλλ' ὁ μὲν, μικρὰ τῶν ἄκρων ἀποστερῶν τὸ λοιπὸν εἶα τοῦ σώματος· περὶ Ἐχέτου φέρεται λόγος τοιοῦτος. φασὶ γὰρ αὐτὸν τὴν οἰκείαν θυγατέρα ὑπό του φθαρεῖσαν, ἐγνωκότος αἰτοῦ, ταῖς οἰκείαις χερσὶν ἐκκεντῆσαι τὰς ὄψεις, καὶ σιδηρᾶς ἀλήθειν κριθὰς ἀναγκάσαι, εἰρηκότα ὅτι τότε αὐτῇ τὰς ὄψεις ἀποδοθήσεσθαι, ὅτε καὶ αὐτὴ τὸν σίδηρον ἄλευρον ποιήσει. τὸν δὲ φθορέα τῆς κόρης Λίχμόδημον τά τε ἄλλα μέρη περιτεμεῖν τοῦ σώματος καὶ αὐτὰ τὰ αἰδοῖα. Ἑτέρου ἐξηγη-

τοῦ εἰς τό· ἀλλ' ἐπ' αὐταῖς ἡδοναῖς διαφθείρουσι. μεγαλοφρονῶν Φιλίππος ἐπὶ ταῖς αὐτοῦ πράξεσι καὶ φερόμενος τῇ διανοίᾳ πρὸς τὴν τῶν Περσῶν βασιλείαν ἅμα ἡμέρᾳ συντρέχειν εἰς τὸ θέατρον πολὺ πλῆθος παρεκελεύσατο. συνέτρεχεν οὖν ἔτι νυκτὸς οὔσης τὸ πλῆθος. τῆς δὲ πομπῆς γενομένης σὺν ταῖς ἄλλαις ταῖς μεγαλοπρεπέσι κατασκευαῖς εἴδωλα τῶν δώδεκα Θεῶν ἐπόμπευε, ταῖς τε δημιουργίαις περιττῶς εἰργασμένα, καὶ τῇ λαμπρότητι τοῦ πλούτου θαυμαστῶς κεκοσμημένα. Ἐπὶ τούτοις δὲ καὶ αὐτοῦ τοῦ Φιλίππου ἐπόμπευε διαπρεπὲς εἴδωλον, σύνθρονον ἑαυτὸν ἀποδεικνύντος τοῖς δώδεκα Θεοῖς. τοῦ δὲ θεάτρου πληρωθέντος αὐτὸς ὁ Φίλιππος ἦει λευκὸν ἔχων ἱμάτιον, προστεταχὼς τοὺς δορυφόρους, μακρὰν ἀφεστῶτας ἑαυτοῦ συνακολουθεῖν· ἐνεδείκνυτο γὰρ πᾶσιν, ὅτι τηρούμενος τῇ κοινῇ πάντων τῶν Ἑλλήνων εὐνοίᾳ τῆς τῶν δορυφόρων φυλακῆς οὐκ εἶχε χρείαν· τηλικαύτης δ' οὔσης περὶ αὐτὸν ὑπεροχῆς καὶ πάντων ἐπαινούντων καὶ μακαριζόντων αὐτὸν, παράδοξος καὶ παντελῶς ἀνέλπιστος ἐφάνη κατ' αὐτοῦ ἐπιβουλὴ καὶ θάνατος. Παυσανίας γὰρ τὸ γένος Μακεδὼν, τοῦ βασιλέως σωματοφύλαξ καὶ διὰ τὸ κάλλος φίλος γεγονὼς Φιλίππου, οὗτος οὖν ὑπὸ Φιλίππου ἀγαπώμενον ἕτερον Παυσανίαν ἰδὼν ὁμώνυμον ἑαυτοῦ, ὀνειδιστικοῖς πρὸς αὐτὸν ἐχρήσατο λόγοις φήσας ἀνδρόγυνον εἶναι, καὶ τοὺς τῶν βουλομένων ἔρωτας πανετοίμως προσδέχεσθαι. ὁ δὲ τὴν ἐκ τῆς λοιδορίας ὕβριν οὐκ ἐνεγκών, τὸ μὲν παρὸν κατεσιώπησεν, Ἀττάλῳ δέ τινι τῶν φίλων ἐπικοινωσάμενος περὶ τῶν μελλόντων πράττεσθαι, ἀκουσίως καὶ παρὰ δόξαν ἑαυτὸν ἐκ τοῦ ζῆν μετέστησεν. Μετ' ὀλίγας γὰρ ἡμέρας τοῦ Φιλίππου πρὸς Πλευρίαν τὸν τῶν Ἰλλυριῶν βασιλέα ἀγωνιζομένου, πρὸ τοῦ βασιλέως στὰς, ἁπάσας τὰς φερομένας πρὸς αὐτὸν πληγὰς ἀνεδέξατο τῷ ἰδίῳ σώματι, καὶ μετήλλαξε. διαβοηθείσης

δὲ τῆς πράξεως ὁ μὲν Ἄτταλος εἷς ὢν τῶν ἐξ αὐτοῦ καὶ πολὺ δυνάμενος παρὰ τῷ βασιλεῖ, ἐκάλεσεν ἐπὶ δεῖπνον τὸν Παυσανίαν, καὶ πολὺν ἐνεφόρησεν ἄκρατον καὶ παρέδωκεν αὐτοῦ τὸ σῶμα τοῖς ὀρεωκόμοις εἰς ὕβριν, καὶ παροινίαν [3] ἑταιρικήν. Ὁ δὲ ἀνανήψας ἐκ τῆς μέθης καὶ τῇ τοῦ πράγματος ὕβρει περιαλγὴς γενόμενος τοῦ Ἀττάλου κατηγόρησεν ἐπὶ τοῦ βασιλέως. ὁ δὲ Φίλιππος παρωξύνθη μὲν ἐπὶ τῇ παροινίᾳ τῆς πράξεως, διὰ δὲ τὴν πρὸς Ἄτταλον οἰκειότητα καὶ τὴν εἰς τὸ παρὸν αὐτοῦ χρείαν οὐκ ἠβούλετο μισοπονηρεῖν. Ἦν γὰρ ὁ Ἄτταλος ἐν τοῖς πολεμικοῖς ἀγῶσιν ἀνδρεῖος, διὸ καὶ πραΰναι βουλόμενος τὴν ἐπὶ τῷ πάθει τοῦ Παυσανίου γεγενημένην δικαίαν ὀργήν, δωρεὰς ἀξιολόγους ἀπένειμεν αὐτῷ. αὐτὸς δὲ ἀμετάθετον φυλάττων τὴν ὀργὴν διὰ τὸν θυμόν, οὐδεμίαν τῆς γνώμης ὑπέρθεσιν ποιησάμενος ἐν αὐτοῖς τοῖς ὑποκειμένοις ἀγῶσι τὴν ἐπιβουλὴν συνεστήσατο. ἵππους γὰρ παραστησάμενος ταῖς πύλαις παρῆλθε πρὸς τὰς εἰς τὸ θέατρον εἰσόδους, ἔχων Κελτικὴν κεκρυμμένην μάχαιραν. τοῦ δὲ Φιλίππου τοὺς παρακολουθοῦντας φίλους κελεύσαντος προεισελθεῖν εἰς τὸ θέατρον καὶ τῶν δορυφόρων διεστώτων, ὁρῶν αὐτὸν μεμονωμένον προσέδραμεν. καὶ διὰ τῶν πλευρῶν ἀνταίαν διενέγκας πληγὴν τὸν βασιλέα νεκρὸν ἐξέτεινεν· αὐτὸς δὲ ἐπὶ τοὺς ἡτοιμασμένους πρὸς τὴν φυγὴν ἔθεεν ἵππους. τῆς ὑποθέσεως δὲ πρὸ τοῦ ἐπὶ τὸν ἵππον ἀναπηδῆσαι περὶ ἄμπελόν τινα περιπλακείσης ἔπεσε. διόπερ οἱ περὶ τὸν Περδίκκαν καταλαβόντες αὐτὸν ἐκ γῆς ἀνιστάμενον καὶ συγκεντήσαντες ἀνεῖλον. φασὶ δέ ἕτεροι, ὅτι λογίου ἐκπεσόντος Φιλίππῳ φυλάττεσθαι τὸ ἅρμα, νομίζων οὗτος ἅρμα εἶναι τὸ ἐν Βοιωτίᾳ πόλισμα, οὗ καὶ Ὅμηρος μέμνηται οὕτως·

---

3 Med. παροιναν. Vind. παροινισιν.

Οἵ τ' ἀμφ' [4] Ἄρμ' ἐνέμοντο καὶ Εἰλέσιον καὶ Ἐρύθρας, [5]

αὐτοῦ μόνου ἀπέσχετο. καὶ οὐ παρεγένετο πρὸς αὐτό. συνέβη δὲ καὶ ἄλλως τὸ λόγιον πέρας λαβεῖν· πανηγύρεως γὰρ ἀγομένης ἐν Αἰγαῖς τῆς Μακεδονίας ὑπάρχων ὁ Φίλιππος ἐν ταύτῃ τῇ πόλει ἐώρταζε. καὶ ἀγῶνα ἐπετέλει καθεζόμενος ἐν τῷ θεάτρῳ καὶ ἐν συμποσίοις καὶ κώμοις· προσλαβόμενος δὲ τρεῖς συνωμότας ἀνὴρ Λάκων, Παυσανίας, ἐπεβούλευε τῷ Φιλίππῳ καὶ εἰσδραμὼν ἐν θεάτρῳ ἅμα τοῖς συνωμόταις ἀπέκτεινεν αὐτόν· καὶ ἔδοξεν οὕτω τὸ λόγιον τέλος λαβεῖν, τεσσάρων ὄντων τῶν ἐπιβεβουλευκότων, καὶ τὴν τοῦ ἅρματος ἀποπληρούντων διάθεσιν· τινὲς δέ φασιν, ὅτι ἦν τῇ σπάθῃ τοῦ Παυσανίου, ἐν ᾗ τὸν τοιοῦτον διεχειρίσατο, ἐγγεγλυμμένον ἅρμα. καὶ οὕτως τὸ τοιοῦτον χρησμῴδημα λέλυται, τοῦ Φιλίππου φονευθέντος ὑπὸ τοῦ ἅρματος.

ΨΟΓΟΣ ΑΓΑΜΕΜΝΟΝΟΣ.

Οὐχ ὅτι τοῖς πολλοῖς ἀγαθὸς ὁ τοῦ Ἀτρέως Ἀγαμέμνων ὑπείληπται, τοὺς προσήκοντας ψόγους ἐκφεύξεται, ἀλλ' ὅτι φαυλότατος ὢν ἀγαθὸς γενέσθαι νομίζεται, κακῶς τὸ νῦν ἔχον ἀκούσεται, ὡς ἂν μὴ πονηρὸς ὢν ἀγαθὸς εἰς μάτην νομίζηται· μήτ' αὖ χρηστὸς νομιζόμενος τῶν προσηκόντων ψόγων ἔξω γενήσεται· οὗτος γὰρ χώρας μὲν τῆς τοῦ Πέλοπος γέγονεν, ἥτις πλεονεξίας καὶ ἀνανδρίας τοῖς αὐτὴν οἰκοῦσιν πρόφασις γίνεται· τὸ μὲν γὰρ βίᾳ τοὺς πρώην οἰκοῦντας ὑπὸ τῶν νῦν ἐξελαύνεσθαι, πλεονεξίας ἂν εἴη τεκμήριον, τὸ δὲ τοὺς πρώην οἰκοῦντας ὑφ' ἑτέρων ἐλαύνεσθαι, ἀσθενείας καὶ ἀνανδρίας μαρτύριον. καὶ τοιαύτης χώρας τυχὼν, χείρονος πολλῷ τῆς πατρίδος τετύχηκε. Μυκῆναι γὰρ τούτῳ πατρὶς, οὐ μεγάλη τις πόλις καὶ πολυάνθρωπος, ἀλλὰ χώρα

4 Codd. ἐφ'. Il. 2, 499. 5 Vind. ἐρηθριάς. Med. ἐρυθράς.

φαυλοτάτη καὶ εὐτελής. Προγόνους δὲ Τάνταλον ἔσχε καὶ Πέλοπα, ὧν ὁ μὲν θεοῖς ὑπῆρχε συνδιαιτώμενος, τῷ δὲ τὴν γλῶτταν ἐσχηκέναι ἀκόλαστον καὶ τῷ ποιεῖν τὰ τῶν θεῶν ἀπόρρητα ἔκπυστα, τῆς τε τῶν θεῶν ξυναυλίας ἐξέπεσεν καὶ τιμωρίαις χαλεπωτάταις ὑπέπεσεν· ὁ δὲ τὸν εὐεργέτην Μυρτίλον τοῦ δίφρου ἐκκυλίσας ἀπέκτεινε. πατὴρ δὲ πάλιν αὐτοῦ τῶν προγόνων χαλεπώτερος· Ἀτρεὺς γὰρ τούτῳ πατήρ, ὃς τοὺς τοῦ ὁμαίμονος Θυέστου ἀποσφάξας υἱούς, εἰς βρῶσιν αὐτῷ φέρων παρέθηκε. καὶ γεγενημένος ἐκ τούτων πολλῷ χαλεπωτέραν αὐτὸς τὴν κακίαν ἐκτήσατο. καὶ τούτου πίστις τά τε ἄλλα καὶ ὅσα τὸ Ἑλληνικὸν αὐτὸς ἐκάκωσεν στράτευμα πῇ μὲν τὴν Ἄρτεμιν χαλεπαίνειν ποιῶν καὶ ἀπλοίᾳ τὸν στόλον ἐπὶ τούτῳ συνέχεσθαι, πῇ δὲ τὸν Λητοΐδην παροργίζων Ἀπόλλωνα, Χρύσην μὲν ἀτιμάζων, καὶ λοιμῶν ἐπὶ τούτῳ τοῖς Ἕλλησι γινόμενος αἴτιος. τὴν δὲ Χρυσαΐδα κατέχων καὶ τοῖς ἐξαιτοῦσιν αἰτὴν οὐκ εὐχερῶς παρεχόμενος καὶ τὸν Ἀχιλλέα ὑβρίζων μὲν τὸ συμφέρον ζητοῦντα τῆς στρατιᾶς. καὶ τοῦ πιέζοντος ταίτην λοιμοῦ ἀνευρεῖν τινα λύσιν πειρώμενον. πολλοῖς δὲ τῶν Ἑλλήνων φόνων ἐπὶ τούτῳ γινόμενος αἴτιος. τί τἄλλα δεῖ λέγειν τὸ ἀναιδὲς καὶ δειλόν; καὶ τὸ τῶν χρημάτων ἀκόρεστον; ἀλλὰ τὸ πρὸς ἡδυνὰς ἀκρατὲς τοσοῦτον ἐνόσει, ὥστε καὶ τὸν οἰκεῖον στρατὸν τῷ λοιμῷ φθαρῆναι ἠβούλετο, ἢ τὴν τῆς Χρυσηΐδος ἀποβαλέσθαι συνάφειαν· καὶ τούτου πίστις τὸ καὶ αὐτῷ μίαν εἰπόντι τοῦ λοιμοῦ λύσιν τῷ μάντει, τὸ τὸν Πύθιον ἐξιλάσασθαι, χαλεπῆναι, καὶ κακῶς διαλοιδορήσασθαι, ἐφ' ᾧ τοῦτο εἶπεν· οἷς γὰρ τὸν Ἀπόλλωνα μόνῃ θεραπευθησόμενον τῇ ἀναδόσει τῆς κόρης ἠπίστατο, τούτοις καὶ τῷ μάντει τὸν τρόπον τῆς θεραπείας δηλώσαντι ἰσχυρῶς ἐχαλέπηνεν. εἶτα τίς αὐτῷ παραβάλλοι τὸν Πάριν Ἀλέξανδρον; ἀλλ' ὁ μὲν ἐπὶ γυναιξὶ μόνον μαινόμενος τῶν λοιπῶν παθῶν ἦν ἀνώτερος, ὁ δὲ

ἀκρατὴς ὢν οὐδὲν ἧττον ἐκείνου καὶ ἀσεβὴς ἦν, οἷς εἰς τοὺς θεοὺς ἐπαρῴνει, καὶ χρημάτων ἐλάττων. Ἔτι γε μὴν ἀναιδὴς καὶ δειλὸς καὶ οἴνῳ τἄ πλεῖστα σφαλλόμενος. καὶ τούτου πίστις ὁ τοῦ Μέλητος Ὅμηρος ταῦτα περιάπτων αὐτῷ, ἐν οἷς τὸν Ἀχιλλέα ποιεῖ περὶ τῆς Χρυσηίδος τούτῳ διαφερόμενος. ὅσον οὖν τοῦ ἑνὶ πάθει δουλοῦσθαι καὶ πλείοσιν ἔνοχον εἶναι δεινότερον, τοσούτῳ Ἀγαμέμνων φαυλότερος Πάριδος, καὶ Ὁμήρῳ πρὸς διαβολὴν τοῦ Πάριδος ἤρκεσε τὸ γυναιμανῆ τοῦτον εἰπεῖν καὶ ἠπεροπευτήν· ἡμεῖς δὲ τῶν κατ' Ἀγαμέμνονα εἰρημένων ἔχοντες πλείονα λέγειν διὰ τὸν κόρον παρήκαμεν.

Cap. X.

ΠΕΡΙ ΣΥΓΚΡΙΣΕΩΣ.

Εἰκότως τῷ ἐγκωμίῳ καὶ τῷ ψόγῳ ὁ περὶ τῆς συγκρίσεως τέτακται λόγος. Ἔστι γὰρ τοῦ αὐτοῦ εἴδους ἡ σύγκρισις, οὗ καὶ τὸ ἐγκώμιον ἐστὶ καὶ ὁ ψόγος. ἐπειδὴ δὲ ἡ σύγκρισις διπλοῦν ἐστιν ἐγκώμιον, ὥς φησιν ὁ Ἀφθόνιος, ἢ ψόγος ἐξ ἐγκωμίου καὶ ψόγου συγκείμενος, δεῖ δὲ τὰ ἁπλᾶ τῶν συνθέτων προεπινοεῖσθαι, [1] εἰκότως καὶ τὴν μετ' ἐκεῖνα χώραν εἴληφεν· ἀλλ' ἴδωμεν, τί διαφέρει τὸ παρὸν γύμνασμα τῶν ἐν τῷ κοινῷ τόπῳ καὶ τῷ ἐγκωμίῳ καὶ τῷ ψόγῳ κεφαλαίων, τῶν οὕτω καὶ αὐτῶν ὀνομαζομένων συγκρίσεων. δῆλον ὅτι διαφέρει αὐτῶν, ἢ ὅλον μέρους διαφέρει. τὰ μὲν γὰρ μέρη εἰσὶ γυμνασμάτων, ἡ δὲ ὅλον ἐστὶ γύμνασμα, καὶ ὅτι ἐν ἐκείνῳ μὲν ἢ μίαν πρᾶξιν μιᾷ παραβάλλομεν πράξει, ἢ γένος γένει, ἢ ἀνατροφὴν ἀνατροφῇ· οὐ μὴν τοῖς ἐγκωμιαστικοῖς κοι-

---

1 Vind. προσεπ.

νοῦμεν ὅλους τόπους· οὕτω γὰρ καὶ ὁ Ἀφθόνιος ἐν τῇ εἰς τὸ τοῦ Θουκυδίδου ἐγκώμιον συγκρίσει οὐ συνέκρινε τὸ γένος τοῦ Θουκυδίδου τῷ τοῦ Ἡροδότου γένει, οὐδὲ τὴν ἀνατροφὴν αὐτοῦ τῇ ἀνατροφῇ ἐκείνου. ἀλλὰ μόνον τὸν τρόπον τῆς συγγραφῆς ἀμφοτέρων συνέκρινε. ὡσαύτως καὶ ἐν τῇ εἰς τὸν κοινὸν τόπον καὶ ἐν τῇ εἰς τὸν ψόγον ἐποίησεν· ἐν δὲ τῷ γυμνάσματι, τῇ συγκρίσει, ὅλους τοὺς ἐγκωμιαστικοὺς τόπους τῶν ὑποκειμένων προσώπων ἢ πραγμάτων ἀλλήλοις συγκρίνομεν, οἷον γένος γένει, ἀνατροφὴν ἀνατροφῇ, πράξεις πράξεσιν. Ἀλλ' εἰ τοῦτο, ὤφειλε λοιπὸν πρῶτον τὴν σύγκρισιν τὸ γύμνασμα διδάξαι καὶ οὕτω τὸν κοινὸν τόπον καὶ τὸ ἐγκώμιον καὶ τὸν ψόγον, ὡς ἂν προμαθόντες δι' αὐτῆς τοὺς τρόπους, καθ' οὓς ἡ σύγκρισις γίνεται, εὐχερῶς εἴχομεν καὶ τὰς ἐν ἐκείνοις συγκρίσεις ποιεῖν. ἀλλ' ἐπειδὴ ἀπὸ τῶν εὐχερεστέρων ἀρχόμενοι ἐπὶ τὰ δυσχερέστερα προβαίνειν εἰώθαμεν, διὰ τοῦτο μερικὰ μαθόντες ποιεῖν ἐπὶ ταῖς προλαβούσαις συγκρίσεσιν, ἐπὶ τὴν τελείαν τελευταῖον ἐρχόμεθα. ἴδωμεν λοιπόν, καὶ πρὸς ποῖον μὲν τῶν εἰδῶν, πρὸς ποῖον δὲ καὶ τῶν μερῶν τοῦ λόγου γυμνάζει ἡ σύγκρισις. καὶ εἰ πρὸς μόνον τὸ πανηγυρικὸν εἶδος συμβάλλεται ἢ καὶ πρὸς τὰ λοιπά· λέγεται οὖν καὶ πρὸς πάντα τὰ εἴδη καὶ πρὸς πάντα τὰ μέρη τοῦ πολιτικοῦ λόγου συμβάλλεσθαι· καὶ γὰρ πρός τε τὸ πανηγυρικὸν εἶδος συμβάλλεται, παρόσον καὶ διπλοῦν ὡσανεί ἐστιν ἐγκώμιον, ἢ ψόγος ἐξ ἐγκωμίου καὶ ψόγου συγκείμενος. καὶ πρὸς τὸ δικανικόν· οἱ γὰρ ἀντεγκληματικοὶ στοχασμοὶ καὶ ὅροι καὶ οἱ κατὰ ἀμφισβήτησιν δικανικοῦ εἴδους ὄντες συγκριτικῶς ἐκφέρονται καὶ πρὸς τὸ συμβουλευτικόν· αἱ γὰρ κατὰ ἀμφισβήτησιν πραγματικαὶ συμβουλευτικοῦ εἴδους οὖσαι, συγκριτικῶς καὶ αὗται προφέρονται. οὕτω μὲν οὖν πρὸς πάντα συμβάλλεται τὰ εἴδη ἡ σύγκρισις, χρησιμεύει δὲ καὶ πρὸς πάντα τὰ μέρη τοῦ λόγου. καὶ

ἐν ἀρχῇ πολλάκις, καὶ ἐν τῷ μέσῳ καὶ ἐν τῷ τέλει συγκρίσεις εὑρίσκονται. ἐν ἀρχῇ μὲν ὡς ἐν τῷ τῆς Ἑλένης ἐγκωμίῳ παρ' Ἰσοκράτει· δείκνυσι γὰρ κατ' ἀρχὰς ἐκείνου τοῦ λόγου, ὅτι κρείττονες οἱ ἀπὸ τῆς Λήδας τῶν ἀπὸ τῆς Ἀλκμήνης· πλεῖον γὰρ, φησὶν, ὁ πατὴρ ὁ Ζεὺς περὶ αὐτοὺς ἢ περὶ ἐκείνους ἐσπούδασε. τῷ μὲν γὰρ ἐξ Ἀλκμήνης ἰσχὺν ἔδωκε, τούτων δὲ τῇ μὲν γυναικὶ καὶ κάλλος ἅμα καὶ σύνεσιν, τοῖς δὲ ἀνδράσι καὶ κράτος καὶ τέχνην καὶ φρόνησιν. Ἐν δὲ τῷ μέσῳ ἐν τῷ Εὐαγόρᾳ παρὰ τῷ αὐτῷ Ἰσοκράτει· λέγει γὰρ ἐν ἐκείνῳ ὅτι κρειττων Εὐαγόρας τῶν τὰς οὐσίας ἐκ πατρὸς παραλαβόντων, ὡς ἰδίοις πόνοις κτησάμενος. Ἐν δὲ τῷ τέλει, ὡς ἐν τῇ τοῦ κοινοῦ τόπου μελέτῃ καὶ τῇ τοῦ ἐγκωμίου καὶ τῇ τοῦ ψόγου παρὰ τῷ Ἀφθονίῳ. καὶ ἐν τῷ εἰς τὸν μέγαν Βασίλειον ἐπιταφίῳ παρὰ τῷ Θεολόγῳ, καὶ ἐν ἑτέροις πλείουσι. Ζητοῦσι δέ τινες, τίνος χάριν τοῖς αὐτοῖς εἶναι ἐγγυμναζόμεθα· ἔν τε γὰρ τῷ κοινῷ τόπῳ καὶ ἐν τῷ ἐγκωμίῳ καὶ τῷ ψόγῳ σύγκρισιν ποιεῖν ἀπαιτούμεθα, κἀνταῦθα δὲ σύγκρισις ἡμῖν εἰς μελέτην πρόκειται· φαμὲν οὖν, ὅτι ἐκεῖ μὲν ἁπλῶς ἐδίδασκεν ἡμᾶς ποιεῖν σύγκρισιν. ἐνταῦθα δὲ καὶ κατὰ πόσους τρόπους, καὶ τίσι κεφαλαίοις ἡ σύγκρισις γίνεται παραδίδωσι· τρία [2] δὲ τοῦ τῆς συγκρίσεως σημαίνοντος ὀνόματος, τήν τε γὰρ σύγχυσιν σημαίνει, παρὸ καὶ χρῶμα συγκριτικὸν ὄψεως τὸ μέλαν λέγεται, καὶ τὴν ἀντεξέτασιν καὶ ὅπερ ἐπὶ τῶν συμβολικῶς νοουμένων οἱ παλαιοὶ τάττειν εἰώθασιν. ὥσπερ ἔχει καὶ τὸ προφητικὸν τὸ ἐπὶ τῶν ὀνειράτων ἐκεῖνο, τὸ παρὰ τῷ Δανιήλ, ὅτι τόδε τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν. τοσαῦτα οὖν σημαινούσης τῆς συγ-

2 Τρία δὲ τοῦ τῆς συγκρίσεως — — — πρὸς ἄλληλα ἀντεξέτασις est etiam in Par. 2916. inter schol. minora ad Scholia nr. V.

συγκρίσεως, ἐνταῦθα περὶ τῆς ἀντεξετάσεώς ἐστιν ὁ λόγος. ταύτην δὲ [3] οὐ σύγκρισίν τινες ἀλλὰ κρίσιν μᾶλλον ἀξιοῦσι καλεῖσθαι. πρὸς οὓς ἔστιν εἰπεῖν, ὅτι κρίσις μέν ἐστιν ἑνὸς πράγματος ἐξέτασις καὶ δοκιμασία, σύγκρισις δὲ ἡ δύο ἢ καὶ πλειόνων πρὸς ἄλληλα ἀντεξέτασις.

Σύγκρισίς ἐστι λόγος ἀντεξεστατικός. ἡ ἀντιπρόθεσις ἐνταῦθα οὐκ ἐναντίωσιν ἀλλ' ἰσότητα μᾶλλον σημαίνει· καὶ δῆλον ἡ λέγουσα, ὅτι ἐν τῇ συγκρίσει ἐπίσης ἐξετάζομεν, γένος γένει, πράξεις πράξεσι.

Συνάγων· τὸ συνάγων εἴρηται ἀπὸ τῶν συλλογισμῶν. ὥσπερ γὰρ ἐκεῖ δύο προτάσεων προτεθειμένων τοὐλάχιστον, ἐκ τούτων συνάγεταί τι συμπέρασμα, οἷον πᾶς ἄνθρωπος ζῶον, πᾶν ζῶον οὐσία, εἶτα ἐκ τούτων συνάγεται, ὅτι πᾶς ἄνθρωπος οὐσία, οὕτω καὶ ἐπὶ τῆς συγκρίσεως τοῦ γυμνάσματος προτιθέμενοι τὰ γένη τῶν συγκρινομένων ἢ καὶ τὰς πράξεις, ἢ ἄλλο τι τῶν ἐγκωμιαστικῶν, ὕστερον συνάγομέν τι· οἷον ἐπὶ τούτου· γεγόνασι τοίνυν ἄμφω γῆς οὐ μιᾶς, ἐπαινουμένης δὲ ὅμως ἑκάτεροι· ὁ μὲν γὰρ Φθίας, ὅθεν ὁ τῆς Ἑλλάδος προῆλθεν ἐπώνυμος· ὁ δὲ Τροίας, ἧς οἰκισταὶ θεῶν οἱ πρῶτοι γεγόνασιν. ἐνταῦθα γὰρ τὰ περὶ τῆς πατρίδος ἀμφοτέρων προθέμενος συνάγει τι ἐκ τούτων οἱονεί συμπέρασμα· ὅσῳ δὴ τὸ γεγενῆσθαι χώρας ὁμοίας οὐ χεῖρον εἰς ἔπαινον, τοσοῦτον Ἕκτωρ Ἀχιλλεῖ παραπλήσιος. Τῷ παραβαλλομένῳ· σημειωτέον καὶ ὅτι κυρίως ἡ σύγκρισις μέρος λόγου ἐστί· καὶ ὡς κεφάλαιον εὑρίσκεται ἢ ἐν ἐγκωμίῳ ἢ ἐν ψόγῳ, ἢ ἐν κοινῷ τόπῳ· αὐτοτελῆ δὲ λόγον σύγκρισιν ὡς ἐγκώμιον καὶ ψόγον ἀδύνατον εὑρεθῆναι· εἰ οὖν ταῦτα οὕτως ἔχει παραβαλλόμενον λέγοι ἂν τὸν ὑποκείμενον τῷ λόγῳ, οὐ τὸν πρὸς ὃν παράθεσις τοῦ ὑποκειμένου γίνεται· οὕτω μὲν γὰρ ἐν τῇ συγ-

3 Par. γάρ.

κρίσει τοῦ ἐγκωμίου τοῦ Θουκυδίδου παραβαλλόμενος εἴη ἂν τῷ λόγῳ ὑποκείμενος, καὶ πῶς ἐξετέθη ὁ προλαβὼν λόγος, ἤγουν ὁ Θουκυδίδης. καὶ εἰς τὸν τοῦ Φιλίππου λόγον ὁ Φίλιππος, καὶ ἐν τῷ εἰς τὸν κατὰ τυράννου κοινῷ τόπῳ ὁ τύραννος, καὶ ἐν τῷ εἰς τὸ τῆς σοφίας ἐγκωμίῳ ἡ σοφία. Δεῖ δὲ συγκρίνοντας ἢ χρηστὰ χρηστοῖς παραθεῖναι, ἢ φαῦλα φαύλοις, διπλῆς οὔσης συγκρίσεως. κατά τε γὰρ ποιότητα διαιρεῖται ἡ σύγκρισις καὶ ποσότητα, ἑκατέραν εἰ καὶ μὴ τελείως παραδιδωσιν ὁ διδάσκαλος ἡμῖν. Ἐν μὲν γὰρ τῷ εἰπεῖν ἢ χρηστὰ παραθεῖναι χρηστοῖς ἢ φαῦλα φαύλοις, ἢ χρηστὰ πονηροῖς, τὴν κατὰ τὸ ποιὸν διαίρεσιν ὑπεδήλωσε, παραλιπὼν πρὸς τὸ ἐντελὲς ἢ πονηρὰ χρηστοῖς. ἐν δὲ τῷ εἰπεῖν, ἢ μικρὰ τοῖς μείζοσι, τὴν κατὰ τὸ ποσὸν διαίρεσιν ὑπεσήμανε, παραλιπὰν πρὸς τὸ ἐντελὲς, τὸ ἢ μείζονα μικροῖς ἢ ἴσα ἴσοις. τί οὖν, ἴσως ἄν τις εἴπῃ, εἴπερ τὴν κατὰ τὸ ποιὸν μόνον ἠβούλετο παραδοῦναι, οὐ παρέδωκεν ταύτην τελείως, ἀλλ' ἀτελῶς ἓν σκέλος τοῦ κατὰ τὸ ποσὸν τέθεικε; καὶ φαμὲν, ὅτι βουλόμενος ἑκάτερον εἶδος σημᾶναι τῆς διαιρέσεως, καὶ συντομίας ἅμα ἐρῶν, τῆς μὲν κατὰ τὸ ποιὸν τρία σκέλη παραδοὺς τὸ ἓν παρῆκεν εἰδὼς ὡς ἀπὸ τοῦ τελευταίου τῶν τριῶν καὶ αὐτὸ γίνεται φανερόν. εἰπὼν γὰρ, ὅτι δεῖ συγκρίνειν τὰ χρηστὰ πονηροῖς, σιωπηλῶς πάντως ἐδήλωσε, δεῖν καὶ τὰ πονηρὰ πάντως συγκρῖναι χρηστοῖς· ἀντὶ τούτου παρακειμένου ἓν σκέλος τῆς κατὰ τὸ ποσὸν τέθεικε διαιρέσεως εἰς ἔννοιαν καὶ ταύτης τῆς διαιρέσεως, βουλόμενος ἡμᾶς ἀγαγεῖν τὰ χρηστὰ παραθεῖναι χρηστοῖς, ὥσπερ ἐν τῷ τῆς σοφίας ἰδεῖν ἐστιν ἐγκωμίῳ, τήν γε σοφίαν χρηστὴν οὖσαν τῇ ἀνδρίᾳ καὶ αὐτῇ χρηστῇ οὔσῃ παρέβαλεν. ἢ φαῦλα φαύλοις, ὥσπερ ἐν τῷ ψόγῳ αὐτὸς ἐποίησε, τὸν Φιλίππον ἀντιπαραθεὶς τῷ Ἐχέτῳ. Τὰ χρηστὰ πονηροῖς· περὶ ταύτης τῆς συγκρίσεως ἀπορεῖ ὁ Γεωμέτρης λέγων, πῶς ἄρα συγκρινοῦ-

μεν τὰ ἐναντία; ποία γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἄλλως τε καὶ πῶς οὐ ληρεῖν δόξομεν, ὅτε τὰ πάντως ὁμολογούμενα κακὰ πρὸς τὰ πάντη τῇ φύσει καλὰ παραβάλλομεν; ὁ δ' αὐτὸς ἀπολύεται τὸ ἀπόρημα λέγων αὐταῖς λέξεσιν οὕτως, ὅτι τότε γίνεται τῶν ἐναντίων ἡ σύγκρισις, ὅταν κατὰ μὲν φύσιν ἀλλήλοις ἐναντιοῦνται τὰ πράγματα, οὐ μὴν καὶ κατὰ τὴν τῶν πολλῶν ἢ τὴν τῶν σοφῶν ὑπόληψιν τὸ μὲν πάντως ὁμολογούμενον ἀγαθὸν ᾖ, τὸ δὲ πονηρὸν, ἀλλὰ καὶ πολλὰ, καὶ περὶ τούτων ἡ διαμάχη, οἷον πενίας καὶ πλούτου. ὁρᾷς γὰρ ὅπως ἐναντιώτατα μὲν ὁμολογουμένως, οὔτε δὲ ὁμολογουμένως διαβαλλόμενα, οὔτε μὴν ἐπαινούμενα. μάλιστα γοῦν τὸ μέσον ἐπαινούμενον τούτων ἡ αὐτάρκεια. Ἐπεὶ γοῦν τῇ φύσει μὲν ἐναντία, τῇ δὲ ὑπολήψει πῇ μὲν τοῦτο, πῇ δὲ ἐκεῖνο φαῦλον, ἢ ἀγαθὸν τῷ ἑνὶ μέρει καὶ ἡμεῖς συνιστάμενοι, τὸ μὲν ἐπαινοῦμεν τὸ δὲ διαβάλλομεν. καὶ οὕτως ἐκείνων ἐναντίων ποιοῦμεν τὴν σύγκρισιν. τεθεωρήκαμεν δὲ καὶ τούτων τὴν φύσιν ἐπὶ τὸ ἀκριβέστατον, ὅτι δυνατὸν ἀεὶ ἐπὶ τῶν μέσων ταύτην εὑρίσκεσθαι, οἷς δυνατὸν καὶ ἐπὶ ἀγαθῷ καὶ κακῷ χρῆσθαι. καὶ ταῦτα μὲν τὸ ἀνώτερον διαλυόμενος ἀπόρημα λέγει ὁ Γεωμέτρης. σὺ δὲ σημείωσαι, ὅτι ταύτην τινὲς τὴν σύγκρισιν ἀπὸ τοῦ ἐναντίου ὠνόμασαν. ἔστι δὲ τοιαύτη· εἰ δὲ μέγιστον καλὸν ὁ ἀριστεὺς, οὐδὲν ἔλαττον κακὸν ὁ λειποτάκτης.

Ἢ μικρὰ τοῖς μείζοσιν. ὥσπερ ἐν τῇ μελέτῃ τῆς παρούσης συγκρίσεως πεποίηκεν ὁ Ἀφθόνιος τὸν Ἕκτορα μείζονι αὐτοῦ τῷ Ἀχιλλεῖ ἀντεξετάζων. Καὶ ὅλως ἡ σύγκρισις· διπλοῦν ἐγκώμιόν ἐστιν, ἢ ψόγος ἐξ ἐγκωμίου καὶ ψόγου συγκείμενος· πῶς ἀνωτέρω κατὰ τέσσαρας τρόπους εἰπὼν τὴν σύγκρισιν γίνεσθαι, νῦν τοὺς δύο μόνους παρέλαβε; καὶ γὰρ ἐν μὲν τῷ εἰπεῖν, „καὶ ὅλως ἡ σύγκρισις διπλοῦν ἐγκώμιόν ἐστι," τὴν τῶν χρηστῶν πρὸς χρηστὰ δεδήλωκε σύγκρισιν, ἐν δὲ τῷ εἰπεῖν „ὁ ψό-

γος ἐξ ἐγκωμίου καὶ ψόγου συγκείμενος" τὴν τῶν χρηστῶν πρὸς πονηρά. λέγομεν οὖν, ὅτι καὶ οἱ ἕτεροι δύο τούτοις συμπεριέχονται. εἰπὼν γὰρ, „καὶ ὅλως ἡ σύγκρισις διπλοῦν ἐγκώμιόν ἐστιν," οὐ μόνον τὴν τῶν καλῶν πρὸς τὰ καλὰ παρέλαβε σύγκρισιν, ἀλλὰ καὶ τὴν τῶν φαύλων πρὸς τὰ φαῦλα. καὶ γὰρ γενικῷ ὀνόματι καὶ ὁ ψόγος ἐγκώμιον λέγεται· ἐν δὲ τῷ εἰπεῖν πάλιν, „ἢ ψόγος ἐξ ἐγκωμίου καὶ ψόγου συγκείμενος," παραλαμβάνει τήν τε τῶν χρηστῶν πρὸς τὰ πονηρὰ σύγκρισιν, καὶ τὴν τῶν μικρῶν πρὸς τὰ μείζονα. καὶ γὰρ ἡνίκα τὸν μικρὸν τοῖς μείζοσι παρατίθεμεν, τὸν μὲν μικρὸν ἐπαινοῦμεν, καθὸ ἴσον αὐτὸν τοῖς μείζοσι ποιεῖν πειρώμεθα· τὸν δὲ μείζονα τρόπον τινὰ καθυβρίζομεν, καθὸ εἰς ἴσον κατάγομεν τῷ ἐλάττονι. ἐπίστησον δὲ μήποτε οὐκ ὤφειλεν εἰπεῖν, ὅτι διπλοῦν ἐγκώμιόν ἐστιν ἡ σύγκρισις. οὐδὲ γὰρ ἁπλῶς τοῦτο ἔχομεν σκοπὸν ἐν ταῖς συγκρίσεσιν, τὸ ἐγκωμιάζειν, ἀλλὰ τὸ ἀντεξετάζειν ἀλλήλοις τὰ ὑποκείμενα.

Καὶ πᾶς μὲν τόπος καθέστηκε δεινὸς καθάπαξ συγκρίσεως. τὸ δεινὸς ἐνταῦθα οὐκ ἀντὶ δεινὸς καὶ ἀπροσπέλαστος, ἀλλ' ἀντὶ τοῦ δεινότητος καὶ περινοίας ῥητορικῆς δεόμενος. ἰσχύος γὰρ ἐνταῦθα καὶ φρονήσεως μάλιστα δεῖ τῷ ῥήτορι, τὰ ἥττονα πρὸς τὰ μείζονα συγκρίνοντι ἢ τὰ φαῦλα πρὸς τὰ ἀγαθὰ τῇ βίᾳ τοῦ λόγου περιτρέψαι τὰ πράγματα καὶ ἀποδεῖξαι τὸ σπουδαζόμενον. *Καὶ τοσαῦτα προσήκει συγκρίνειν ὅσα καὶ ψέγειν καὶ ἐγκωμιάζειν, πρόσωπά τε καὶ πράγματα·* οὐ τοῦτο λέγει, ἵνα πρόσωπον συγκρίνωμεν πράγματι, ἀλλὰ προσῆκον, φησὶ, καὶ πρόσωπα συγκρίνειν προσώποις, καὶ πρᾶγμα πράγματι καὶ καιρὸν καιρῷ. *Σύγκρισις δὲ ἐν αὐτῷ τῷ γυμνάσματι οὐκ ἔστιν, ἐπείπερ ὅλον ἐστὶ τὸ προγύμνασμα σύγκρισις.* σύγκρισιν ἐνταῦθα ἀκούων καὶ ὑπολάμβανε κεφάλαιόν τι εἶναι τὴν σύγκρισιν, ὥσπερ ἐν τῷ κοινῷ

τόπῳ καὶ ἐν τῷ ἐγκωμίῳ καὶ τῷ ψόγῳ· καὶ διὰ τοῦτο ἴσως τὸ ὅλον γύμνασμα ὀνομάζεσθαι σύγκρισιν ὁμωνύμως τῷ κεφαλαίῳ, ἐπεὶ ὅλον εἶναι τὸ γύμνασμα σύγκρισιν· ἢ καὶ τοῦτο λέγει, ὅτι εἰ καὶ πάντα τὰ τοῦ ἐγκωμίου καὶ τοῦ ψόγου κεφάλαια τὸ παρὸν ἔχει προγύμνασμα, οἷον γένος, ἀνατροφήν, πράξεις, ἀλλ' οὐχὶ καὶ συγκριτικὸν ἔχει κεφάλαιον, ἰδίᾳ καὶ μετὰ ταῦτα τιθέμενον, ὥσπερ ἐν τῷ ἐγκωμίῳ καὶ τῷ ψόγῳ γίνεται· τίνος δὲ χάριν τοῦτο οὐκ ἔχει; διότι καὶ τὸ γένος καὶ τὴν ἀνατροφὴν καὶ τὰς πράξεις συγκριτικῶς ἔχει προαγόμενα· καὶ ἀρκεῖ ἡμῖν καὶ δι' ἐκείνων μόνον πρὸς τὴν συγκριτικὴν ἐγγυμνασθῆναι δύναμιν.

Οὐ δεῖ δὲ συγκρίνοντας ὅλον ὅλῳ παραβάλλειν. ὕπτιον γὰρ τοῦτο καὶ οὐκ ἀγωνιστικόν, ἀλλὰ κεφάλαιον κεφαλαίῳ. οὐ δεῖ, φησὶ, τὸν Ἕκτορα, εἰ τύχῃ, τῷ Ἀχιλλεῖ συγκρίνοντας, ἰδίᾳ περὶ τοῦ Ἕκτορος ὅλον λόγον θεῖναι καὶ τὸν περὶ τοῦ Ἀχιλλέως ἰδίᾳ. τοῦτο γὰρ οὐ συγκρίσεώς ἐστιν ἔργον, ἀλλ' ἐγκωμίων. ὁ γὰρ βουλόμενος δύο τινὰς ἰδίᾳ ἐγκωμιάσαι τοῦτο ποιεῖ[4] πρῶτον τῷ ἑνὶ, εἶθ' οὕτως τῷ ἑτέρῳ πλέκων ἐγκώμιον, ἀλλὰ κεφάλαιον, φησὶ, δεῖ κρίνειν κεφαλαίῳ. οἷον τὸ ἔθνος τοῦ Ἕκτορος εἰπόντος εὐθὺς καὶ τὸ τοῦ Ἀχιλλέως δέον εἰπεῖν. καὶ πάλιν τὴν ἐκείνου θέντος πατρίδα, εὐθὺς ἐπενεγκεῖν καὶ τὴν τοῦδε. τρία γὰρ ἂν οὕτω κατ' αὐτὸν φάναι τὸν Ἑωμέτρην τὰ χρησιμώτατα περιγίνοιτο τῷ συγκρίνοντι. πρῶτον μὲν τὸ σαφέστερον τὸν λόγον καὶ μὴ δυσμνημόνευτον γίνεσθαι διὰ τὸ μὴ τὰς διαφορὰς τῶν τόπων ἀπομνημονεύεσθαι· δεύτερον δὲ τὸ καὶ τὰ μεγέθη καὶ τὰς ὑπεροχὰς ἐναργεῖς ὁρᾶσθαι, σύνεγγυς τιθεμένων ἀλλήλαις καὶ μὴ κρυπτομένων ἢ ἀπο-

4 Ad marg. Vind. εἰπεῖν. in Med. locus verbi tincis excisus est.

κρυπτουσῶν τὰς ἐλάττονας. τρίτον, ὃ φασι καὶ οἱ τεχνογράφοι τὸ συγκεκροτημένον, οὕτω τὸν λόγον εὑρίσκεσθαι καὶ ἐναγώνιον ὥσπερ εἰ καὶ δρομέων ἅμα συντρεχόντων, καὶ ἀντιτρεχόντων ἀλλήλοις καὶ οὐ μόνον καθ' ἑαυτοὺς ἀγωνιζομένων τὴν ἅμιλλαν, ἀλλὰ καὶ πολλὴν τοῖς θεαταῖς προξενούντων τὴν ἀγωνίαν διὰ τὴν ἀμφιβολίαν τῆς νίκης.

ΣΥΓΚΡΙΣΙΣ ΑΧΙΛΛΕΩΣ ΚΑΙ ΕΚΤΟΡΟΣ.

Ἀρετὴν ἀρετῇ συγκρῖναι ζητῶν. Τὸ σύνηθες καὶ ἐνταῦθα ποιῶν ὁ διδάσκαλος τῶν ἐν τῇ μεθόδῳ τῆς συγκρίσεως πρὸς διδασκαλίαν ῥηθέντων τίθησι παραδείγματα· ἀλλ' ἐπειδὴ διττὸν ἔφαμεν εἶναι τὴν τῆς συγκρίσεως διαίρεσιν, κατά τε γὰρ ποιότητα γίνεται καὶ ποσότητα, ἴδωμεν ποίου εἴδους ἐστὶν ἡ παροῦσα μελέτη τῆς κατὰ τὸ ποῖον διαιρέσεως καὶ ποίου τῆς κατὰ ποσόν; Ἔστιν οὖν κατὰ μὲν τὸ ποιὸν τοῦ ἀξιοῦντος χρηστὰ παρατιθέναι χρηστοῖς· τὸν γὰρ Ἕκτορα χρηστὸν, ὡς αὐτῷ δοκεῖ, ὄντα τῷ Ἀχιλλεῖ χρηστῷ καὶ αὐτῷ ὄντι συγκρίνει. κατὰ δὲ τὸ ποσὸν, τοῦ τὰ μακρὰ παρατιθέντος τοῖς μείζοσι. τὸν γὰρ Ἕκτορα τὸν ὁμολογουμένως τοῦ Ἀχιλλέως λειπόμενον εἰς ἴσον αὐτῷ ἄγειν βιάζεται· ἀλλ' ἴδωμεν καὶ τί φησιν ὁ σοφιστὴς ἐν τῷ εἰς παράδειγμα τεθέντι αὐτῷ μελετήματι. Ἀρετὴν, φησὶν, ἀρετῇ συγκρῖναι ζητῶν ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα, ἀρετὴν ἐνταῦθα λέγων, οὐ τὴν καθόλου, ἥ τις ὑφ' ἑαυτῆς τὰς τέσσαρας ἔχει γενετικὰς ἀρετὰς, φημὶ δὴ τὴν φρόνησιν, τὴν ἀνδρίαν, τὴν σωφροσύνην, τὴν δικαιοσύνην. πῶς γὰρ ἂν αὐτό τι ἑαυτῷ συγκρίνοιτο; δεῖ γὰρ τὰ συγκρινόμενα ὁμογενῆ μὲν ἐξ ἀνάγκης εἶναι. Ἔστι δ' ὅτε καὶ ὁμοειδῆ, τῷ δὲ ἀριθμῷ πάντως διαφέρειν ἀλλήλων. οὕτω γὰρ ἂν καὶ ὁ ἵππος μὲν ἀνθρώπῳ συγκρίνοιτο· ἃ ὁμογενῆ μέν εἰσι, τῷ εἴδει δὲ καὶ τῷ ἀριθμῷ διαφέρον-

τα, καὶ Σωκράτης Πλάτωνος, οἳ καὶ τῷ γένει μὲν καὶ τῷ εἴδει κοινωνοῦσι, τῷ δ' ἀριθμῷ διαφέρουσιν. Ἀρετὴν οὖν φησιν ἐνταῦθα οὐ τὴν καθόλου, ἀλλ' οὐδέ τινα τῶν ὡς εἴδη αὐτῇ ὑποβεβηκυιῶν, οἷον τὴν φρόνησιν, τὴν ἀνδρίαν, τὴν σωφροσύνην. οὐδὲ γὰρ φαίνεται τὴν σωφροσύνην πρὸς τὴν ἀνδρίαν, ἢ ταύτην πρὸς ἑτέραν τινὰ παραβάλλειν, ἀλλὰ τὴν μερικὴν καὶ ἄτομον ἀρετὴν τῆς ἀνδρίας, τὴν ἐν τῇ ψυχῇ τοῦ Ἀχιλλέως, ἐξετάζειν φησὶ τῇ ἐν τῷ Ἕκτορι μερικῇ καὶ αὐτῇ καὶ ἀτόμῳ οὔσῃ. ἔστιν οὖν πρότασις μὲν τοῦ προοιμίου τὸ, „ἀρετὴν ἀρετῇ συγκρῖναι ζητῶν ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα." καὶ ἔστιν, ὡς ἔφαμεν, ἐκ τῆς αἰτίας. τὸ δὲ, „καθ' αὑτὰς μὲν γὰρ αἱ ὀρεταὶ καθεστήκασι τίμιαι, παραβαλλόμεναι δὲ ζηλωτότεραι καθεστήκασι," κατασκευή ἐστι προτάσεως. Εἰς τὸ αὐτό·

Ἀρετὴν ἀρετῇ συγκρῖναι ζητῶν. καὶ μὴν ἡ ἀρετὴ πρᾶγμά ἐστιν, ὁ δὲ Ἀχιλλεὺς καὶ ὁ Ἕκτωρ πρόσωπα. πῶς οὖν φησιν αὐτὸς, ὅτι ἀρετὴν ἀρετῇ συγκρῖναι ζητῶν ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα· τί γὰρ κοινὸν προσώπῳ καὶ πράγματι; ἢ οὖν ἀντὶ τοῦ εἰπεῖν ἀντεξετάζω τὴν τοῦ Πηλέως ἀρετὴν πρὸς τὴν τοῦ Ἕκτορος, ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα εἶπεν, ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον δηλώσας ἢ ὅτι ὥσπερ τὰς ἀρετὰς σωματοποιοῦμεν πολλάκις, οὕτως ἔστιν ὅτε καὶ τὰ σώματα πρὸς τὰ σώματα μεταβάλλομεν. ὥσπερ κἀνταῦθα τὴν σύγκρισιν Ἀχιλλέως καὶ Ἕκτορος σύγκρισιν ἀρετῆς ὀνομάζει πρὸς ἀρετήν.

Ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα· δέον εἰπεῖν Πηλέως υἱόν. τὸ υἱὸν παρῆκε κατ' ἔθος Ἀττικόν. ἔθος γὰρ τοῖς Ἀττικοῖς ἐπὶ πάντων τῶν πατρωνυμικῶν τῷ κατ' ἔλλειψιν σχήματι χρῆσθαι. Εἰς τὸ αὐτό·

Ἀντεξετάζω τὸν Πηλέως πρὸς Ἕκτορα· καὶ μὴν οὐ τὸν Ἀχιλλέα πρὸς τὸν Ἕκτορα ἀντεξετάζει, ἀλλὰ

τὸν Ἕκτορα μᾶλλον πρὸς τὸν Ἀχιλλέα, ἀλλ' ἔστι καὶ τοῦτο δεινότητος, δεικνύντος διὰ τούτου τοῦ σοφιστοῦ τὸ μὴ τὸν Ἕκτορα δεύτερον τυγχάνειν τοῦ Ἀχιλλέως. νῦν δὲ μὴ οὕτως ἀλλ' ἑτέρως εἰπὼν λελῃθότως καὶ μείζονα τοῦ Ἀχιλλέως τὸν Ἕκτορα δείκνυσι. Καθ' αὑτὰς μὲν γὰρ αἱ ἀρεταὶ τίμιαι, παραβαλλόμεναι δὲ ἀλλήλαις καὶ συγκρινόμεναι ζηλωτότεραι καθεστήκασι. καὶ τοῦτο δῆλον καὶ ἐξ ἑτέρων μὲν πλειόνων. μάλιστα δὲ τῶν ἐν τοῖς διδασκαλείοις ἐπὶ τῇ ὀρθογραφίᾳ γινομένων ἀγώνων. ἡ γὰρ τοῦ ὀρθῶς γράφειν ἀρετὴ καὶ καθ' ἑαυτὴν μὲν ἐστὶ τιμία, μάλιστα δὲ ζηλωτὴ γίνεται τοῖς παισὶ, συγκρινομένων ἐπ' αὐτῇ τούτων καὶ ἀντεξεταζομένων. ὁρῶντες γὰρ οἵας τῆς δόξης οἱ τὴν νικῶσαν ἐν ταῖς συγκρίσεσι λαχόντες τυγχάνουσι σπεύδουσι καὶ αὐτοὶ πόθῳ ταύτης, καὶ πρὸς πλείονα τὴν μελέτην καὶ τὴν ἄσκησιν διανίστανται.

Προῆλθον τοίνυν ἄμφω γῆς οὐ μιᾶς, ἐπαινουμένης δὲ ὅμως ἑκάτεροι. Ἐπειδὴ τοῖς αὐτοῖς διαιρεῖται κεφαλαίοις ἡ σύγκρισις, οἷσπερ καὶ ὁ ψόγος διηρεῖτο καὶ τὸ ἐγκώμιον, δηλονότι καὶ ἀνατροφῇ καὶ πράξεσι χωρὶς συγκρίσεως. οὕτω γὰρ καὶ αὐτὸς ἔφη ἐν τῇ τῆς συγκρίσεως μεθόδῳ ὁ σοφιστὴς, ὅτι σύγκρισις δὲ ἐν αὐτῷ τῷ γυμνάσματι οὐκ ἔστιν, ἐπείπερ ὅλον ἐστὶ σύγκρισις τὸ προγύμνασμα, ἔδει λοιπὸν μετὰ τὴν προοιμιακὴν ἔννοιαν, τῷ ἀπὸ τοῦ γένους κεφαλαίῳ ἐπιχειρῆσαι τὸν σοφιστήν. οὕτω γὰρ καὶ ἐν ἐγκωμίῳ καὶ ψόγῳ ἐποίησε μετὰ τὰς προοιμιακὰς ἐννοίας, τῷ ἀπὸ τοῦ γένους ἐπικεχειρηκὼς κεφαλαίῳ, καὶ μέντοι καὶ ποιεῖ τοῦτο. πλὴν σημειώσαι, ὅτι τοῦ ἀπὸ τοῦ γένους κεφαλαίου εἰς τέσσαρα, ὡς ἐμάθομεν, διαιρουμένου, εἰς ἔθνος, πατρίδα, προγόνους καὶ πατέρας, καὶ ἔσθ' ὅτε τινῶν τοῖς μελετῶσι παραλιμπανομένων, ὡς ἐν τῷ ἐγκωμίῳ ἐδείξαμεν, καὶ νῦν παρεῖται ὁ ἀπὸ τοῦ ἔθνους

τόπος τῷ σοφιστῇ· ἡ δὲ αἰτία, ὅτι τὸ κατὰ τοῦτο δεύτερον κατὰ πολὺ εἶναι τοῦ Ἀχιλλέως τὸν Ἕκτορα· ἔστι μὲν γὰρ ὁ Ἕκτωρ κατὰ τὸ ἔθνος καὶ βάρβαρος· ὁ δὲ Ἀχιλλεὺς Ἕλλην. ὁ δὲ ἀπὸ τῆς πατρίδος καὶ τῶν προγόνων καὶ τοῦ πατρὸς παρείληπται αὐτῷ. σημείωσαι δὲ, ὅτι ἐν μὲν τῷ ἀπὸ τῆς πατρίδος τόπῳ οὐκ ἴσον μόνον, ἀλλὰ καὶ μεῖζονα λελῃθότως τὸν Ἕκτορα δείκνυσι. τῆς μὲν γὰρ τοῦ Ἕκτορος πατρίδος οἰκιστὰς εἶπε θεοὺς, καὶ οὐδ' ἁπλοῦς θεοὺς, ἀλλὰ τοὺς τῶν θεῶν πρώτους. τῆς δὲ τοῦ Ἀχιλλέως τὸν Ἕλληνα πολίτην γενέσθαι, ὥστε συμβαίνει τοσοῦτον λείπεσθαι Τροίας τὴν Φθίαν, ὅσον καὶ ὁ Ἕλλην δυεῖν ἅμα θεῶν καὶ θεῶν πρώτων, καὶ πολίτην ἁπλῶς οἰκιστῶν τε καὶ πολιούχων. Ἐν δὲ τῷ ἀπὸ τῶν προγόνων τόπῳ τὴν νικῶσαν φανερῶς ἀποφερομένου τοῦ Ἀχιλλέως, ὅρα πῶς τοῦτο θεραπεύει. μήτε τὴν διαφορὰν ὑποσημηνάμενος, λαθεῖν τούτῳ τὸν Ἕκτορα οἰόμενος. καὶ ἐν τῷ εἰπεῖν, „Ἕκτωρ δὲ ὁμοίως Πριάμου καὶ Λαομέδοντος,“ καὶ σύμμιξιν καὶ ὡσανεὶ ἓν ἀμφότερα ποιῆσαι τὰ ὀνόματα. τέταρτον καὶ αὐτὸν ἀπὸ Διὸς σοφιζόμενος δεικνύειν τὸν Ἕκτορα· Ὅσῳ δὴ τὸ γεγενῆσθαι χώρας ὁμοίας οὐ χεῖρον εἰς ἔπαινον, τοσοῦτον Ἕκτωρ Ἀχιλλέως οὐκ ἀπολείπεται.

Ὅσον, φησὶν, οὐ χεῖρον εἰς ἔπαινον τῷ ἐνὶ τὸ γεγενῆσθαι χώρας ὁμοίας, ἀλλ' ἴσον ἀμφοτέροις, τοσοῦτον καὶ ὁ Ἕκτωρ ἴσος τῷ Ἀχιλλεῖ. Ἕκτορι δὲ πρόγονος ὑπῆρχε Λάρδανος, πατὴρ δὲ Πρίαμος. τὸν Λαομέδοντα παρέλιπεν ἐνταῦθα εἰπεῖν. ἀνωτέρω μὲν γὰρ συνέμιξε τῷ Πριάμῳ· ἐνταῦθα δὲ τελείως παρέλιπεν. Ἐπειδὴ γὰρ δύο μέσον Ἀχιλλέως καὶ Διὸς εἶπεν, Αἰακὸν καὶ Πηλέα, οὐ βούλεται τρεῖς μέσον Ἕκτορος καὶ Διὸς ἐμφῆναι· ὡς ἂν μὴ φαίνοιτο ἐγγύτερος αὐτοῦ ὁ Ἀχιλλεὺς τῷ Διΐ.

Ὅσῳ δὲ παραπλήσιον τὸ θεοῖς συνοικεῖν καὶ συνδιαιτᾶσθαι τοῖς κρείττοσι, τοσοῦτον Ἕκτωρ Ἀχιλλεῖ παραπλήσιος. Εἰπὼν περὶ τοῦ Αἰακοῦ ὅτι ἐξήρηκεν τοὺς Ἕλληνας αὐχμοῦ, περὶ δὲ τοῦ Πηλέως, ὅτι ἆθλον τοῦ ἀνελεῖν Λαπίθας τὸ θεᾷ συνοικεῖν ἐκληρώσατο, περὶ δὲ Δαρδάνου, ὅτι θεοῖς τὰ πρῶτα συνδιῃτᾶτο, περὶ δὲ τοῦ Πριάμου, ὅτι πόλεως ἐκράτησε τετειχισμένης ὑπὸ θεῶν, τὸ μὲν τοῦ Αἰακοῦ καὶ τοῦ Πριάμου ἐν τῷ συμπεράσματι παρίησι, τὸ δὲ τοῦ Πηλέως καὶ τοῦ Δαρδάνου παραλαμβάνει. καὶ ταῦτα παρατιθεὶς ἀλλήλοις τὸ ἴσον ἐκ τούτου τῷ Ἕκτορι καὶ τῷ Ἀχιλλεῖ συνάγειν βούλεται, τὸ θεοῖς συνοικεῖν. τοῦτο περὶ τοῦ Πηλέως εἴρηται· εἴπερ γὰρ αὐτόν φησι συνοικῆσαι τῇ Θέτιδι καὶ συνδιαιτᾶσθαι τοῖς κρείττοσι, παλιλλογία τοῦτο. εἰς τὴν αὐτὴν γὰρ ἔννοιαν καταστρέφει τοῖς θεοῖς τὸ κρείττοσι, καὶ τῷ συνοικεῖν τὸ συνδιαιτᾶσθαι. εἰ μή τις συνοικεῖν φησι τὸ ὑπὸ τὸν αὐτὸν οἶκον καὶ ὑπὸ τὴν αὐτὴν ἑστίαν εἶναι. συνδιαιτᾶσθαι δὲ τὸ συνευωχεῖσθαι καὶ συνεσθίειν. Καὶ γεγονότες τοιῶνδε ἄμφω πρὸς ἀρετὴν ἐτράφησαν· μετὰ τὴν ἀπὸ τοῦ γένους καὶ ἐπὶ τὴν ἀπὸ τῆς ἀνατροφῆς ἔρχεται σύγκρισιν. οὕτω γὰρ καὶ ἐν τῷ ἐγκωμίῳ μετὰ τὸ γένος ἐτίθετο ἡ ἀνατροφή. σημείωσαι δὲ ὅτι κἀν τῇ ἀνατροφῇ κρείττονα λεληθότως τὸν Ἕκτορα δείκνυσι. τὸν μὲν γὰρ παρὰ Χείρωνι τρεφόμενον οὐκ εἰκὸς ἦν τὸ ταύτης ἐπιμελείας τυγχάνειν· τὸν δὲ Ἕκτορα ἅτε δὴ παρὰ τῷ πατρὶ τρεφόμενον εἰκὸς ἦν ἐπιμελέστερον ἀνατρέφεσθαι. Φύσει τῆς ἀρετῆς εἰσφέρων διδάγματα· ἔνιοι μὲν τὸ φύσει ἀντὶ τοῦ φυσικῷ φίλτρῳ κινούμενος εἶπον τεθεῖσθαι· ἕτεροι δὲ οὕτως αὐτὸ ἐξηγοῦνται· τῷ μὲν Ἀχιλλεῖ, φησὶ, καθηγεμὼν καὶ διδάσκαλος ἀρετῆς ὁ Χειρων ἦν, τῷ δὲ Ἕκτορι ὁ Πρίαμος· οὐ τέχνης, φησὶ, καὶ μηχανῆς, ὡς ὁ ἱπποκένταυρος Χείρων, ἀλλ' αὐτῇ τῇ φύσει

χρώμενος πρὸς τὰ τῆς ἀρετῆς διδάγματα· αὐτοδίδακτος γὰρ, ὡς ἂν εἴπῃ τις, ἐπιγίνεται τοῖς παισὶν ἀρετὴ τοῖς γεννήτορσιν ἑπομένοις, καὶ ταῖς ἐκείνων πράξεσι καὶ τοῖς ἤθεσιν ἑπομένοις τε καὶ ἐνασκουμένοις, ὥσπερ καὶ ἐπὶ τῆς τῶν ἀλόγων φύσεως γίνεσθαι πέφυκεν. Ἐπεὶ δὲ εἰς ἄνδρας ἄμφω προῆλθον· μετὰ τὴν ἀπὸ τῆς ἀνατροφῆς καὶ ἐπὶ τὴν τῶν πράξεων ἴεται σύγκρισιν· οὕτω γὰρ καὶ ἐν τῷ ἐγκωμίῳ ἐγίνετο· κἀκεῖ γὰρ μετὰ τὴν ἀνατροφὴν αἱ πράξεις. Τροίας καθίστατο πρόβολος· πρόβολός ἐστιν ὁ προβεβλημένος τινὸς καὶ κρείττων φαινόμενος τῶν σὺν αὐτῷ· γίνεται γὰρ ἐκ τοῦ προβεβλῆσθαι. Ἕκτωρ οὖν, ἕως ἔτι, φησὶ, περιῆν, πρόβολος ἐτύγχανε τῆς Ἰλίου, πρὸ ταύτης ἱστάμενος καὶ ὑπερμαχῶν, καὶ κρείττων τῶν ἀλλήλων μακρῷ δεικνύμενος· δεῖγμα δὲ ὅτι πεσὼν παρέσχε τὸ καὶ τὴν Τροίαν κεῖσθαι.[5] Καὶ κεῖσθαι πεσὼν παρέσχε τὴν Τροίαν· τὸ ἑξῆς οὕτως· πεσὼν κεῖσθαι παρέσχε τὴν Τροίαν. ὁ δὲ πρὸς Ἀπόλλωνος βαλλόμενος ἔπιπτε· μυθολογεῖται γὰρ ἐν εἴδει τοῦ Ἀλεξάνδρου τὸν Ἀπόλλωνα τόξῳ ἀνελεῖν τὸν Ἀχιλλέα. Ὅσον δὴ παραπλήσιον βίος καὶ θάνατος· ὅσον, φησὶν, ὁ βίος ἀμφοτέροις, τοῦ τε Ἕκτορος δηλονότι καὶ τοῦ Ἀχιλλέως, παραπλήσιος, καὶ ὁ θάνατος πάλιν ἑκατέρου παραπλήσιος, τοσοῦτον καὶ αὐτοὶ ἀλλήλοις γεγόνασι παραπλήσιοι.

ΣΥΓΚΡΙΣΙΣ ΑΜΠΕΛΟΥ ΚΑΙ ΕΛΑΙΑΣ.

Σκοπῶν, τί τῶν δένδρων πρὸς τὴν τῆς ἀμπέλου παράθεσιν ἐπιτήδειον εὕροιμι, οὐδὲν παρὰ τὴν ἐλαίαν εὗρισκον. τῶν γὰρ ἄλλων ἑκάστου πρὸς τῷ ὁμοίῳ καί τι

5 Vind. κεῖσθαι. in marg. κεῖσθαι. in Med. locus verbi lineis exesus est.

διάφορον ἔχοντος, αὕτη μόνη καθαρόν τε καὶ ἀμιγὲς τετήρηκε τὸ παρόμοιον. προῆλθε τοίνυν ἡ μὲν ἐξ Ἀθηνᾶς, ἧς ὁ λόγος τὴν τοῦ Διὸς κεφαλὴν μητέρα παρήγαγε, τῆς δὲ τοῖς ἀνθρώποις ὁ τοῦ Διὸς Διόνυσος γέγονεν, ὃς ἀντὶ μητέρων νηδύος τὸν πατερικὸν μηρὸν ᾤκησεν· ὅσον οὖν ἄμφω τοὺς ἑαυτῶν εὑρετὰς ὁμοίους ἐσχήκασι, τοσοῦτον καθαρὰν καὶ τὴν πρὸς ἄλληλα ἐκτήσαντο ὁμοιότητα· ἔπειτα δὲ πρὸς εὐεργεσίαν ἀμφότεραι τοῖς ἀνθρώποις παρ' ἑκατέρων τῶν θεῶν ἐδωρήθησαν· ἡ μὲν γὰρ, ἡνίκα τῷ Ποσειδῶνι τὴν Ἀθηνᾶν ἐν Ἀθήναις λόγος [6] δικάσασθαι, τηνικαῦτα τῇ ἀκροπόλει ἀναβεβλάστηκε, δῶρον τοῖς Ἀθηναίοις παρὰ τῆς Ἀθηνᾶς τῆς κληρουχίας τῆς πόλεως δοθεῖσα ἀντίποινον. ἡ δὲ καὶ αὐτὴ τοῖς τὸν Διόνυσον ἡνίκα ταῖς πόλεσιν ἐπεδήμησε φιλοτίμως ὑποδεχομένοις τῆς εἰς αὐτὸν τιμῆς δῶρον παρ' αὐτοῦ ἐδεδώρητο. Ὅσον οὖν τῆς γενέσεως τὴν αἰτίαν παραπλησίαν ἐσχήκασι, τοσοῦτον ἀλλήλων κατ' οὐδὲν διαφέρουσιν. οὐ μὴν ἀλλὰ καὶ τῆς πρὸς τῶν γεωργῶν ἐπιμελείας παραπλησίας ἄμφω δέονται· οὐδ' ἕτερον γὰρ ἐξ αὐτομάτου πέφυκε γίνεσθαι· εἰ μὴ πρὸς τῶν γεωργῶν ἐπιμελῶς καταφυτευθείη τῇ γῇ τὸ πρότερον, ὥστε καὶ κατὰ τοῦτο μεγίστην εἰλήχασι τὴν ἐμφέρειαν. Ἔπειτα καὶ καρποὺς ἄμφω πρός τε βρῶσιν καὶ πρὸς ἑτέρας χρείας χρησιμωτάτην τῷ τῶν ἀνθρώπων βίῳ παρέχουσιν· ὥστε καὶ κατὰ τοῦτο πολλὴν τὴν ὁμοιότητα κέκτηνται· ἦν καὶ πλείω τῶν εἰρημένων καταριθμήσασθαι ἕτερα· εἰ μὴ καὶ ταῦτα ἐξήρκει τὴν τῶν ἀμφοτέρων παραστῆσαι ἰσότητα.

---

6 Vind. λόγῳ, scripsi λόγος.

Cap. XI.

ΠΕΡΙ ΗΘΟΠΟΙΙΑΣ.

Τελεώτερον τῶν προγυμνασμάτων καὶ τὸ τῆς ἠθοποιΐας καθέστηκε γύμνασμα· τὸ γὰρ πιθανὸν, ὅπερ δὴ κεφάλαιόν ἐστι τῆς ῥητορικῆς, ἐν αὐτῷ διδασκόμεθα, οἰκείοις τοῖς ἤθεσι τῶν ὑποκειμένων προσώπων τοὺς λόγους ποιεῖν γυμναζόμενοι. τοιοῦτον οὖν τέτακται μὲν μετὰ τὰ προλαβόντα, ὡς αὐτῶν τελεώτερον. προτέτακται δὲ τῶν ἑξῆς, τῆς τε ἐκφράσεως καὶ τῆς θέσεως καὶ τῆς τοῦ νόμου εἰσφορᾶς, ὡς ἀτελέστερον· τῆς μὲν ἐκφράσεως, ὡς μέρος αὐτῆς ἔσθ' ὅτε τυγχάνον. ἐν γὰρ ταῖς ἐκφράσεσι τοῦ ἐνδιασκεύου τρόπου τῆς διηγήσεως οὔσης καὶ προσωποποιιῶν πρὸς τοῖς ἄλλοις ἐστὶ χρεία. τῆς δὲ θέσεως καὶ τῆς τοῦ νόμου εἰσφορᾶς διὰ τὸ ἐκείνας τῶν τελείων ἐγγὺς εἶναι λόγων, κατά τε ἄλλα καὶ ὅτι ἀντιθέσεων καὶ λύσεών εἰσι δεκτικαί. εἰ δέ τις εἴπῃ, ὅτι διὰ τοῦτο ἡ ἠθοποιΐα προτάσσεται τῆς ἐκφράσεως, διότι μέρος αὐτῆς ἔστιν ὅτε γίνεται, ὤφειλε λοιπὸν καὶ τῶν ἄλλων προτάσσεσθαι ἁπάντων· καὶ γὰρ καὶ ἐν τοῖς ἄλλοις εὑρίσκεται ἡ ἠθοποιία· αὐτίκα γὰρ ἐν τῇ μελέτῃ τοῦ κοινοῦ τόπου [1] τό· „καὶ τοιαῦτα πρὸς αὐτὸν διελέγετο· τί ταῦτα θεοὶ; παρὰ τοὺς πολλοὺς φανεὶς ἴσον καθάπαξ τοῖς ἄλλοις ἔχειν ἀνέξομαι," καὶ τὰ ἑξῆς, ἠθοποιΐα ἐστίν. ἐροῦμεν, ὅτι εἰ καὶ ἐνταῦθα κατ' ἠθοποιΐαν ἡ τοῦ πράγματος γέγονεν ἔκθεσις, ἀλλ' οὐχὶ καὶ ἐν ταῖς ἄλλαις τοῦ κοινοῦ τόπου μελέταις ταὐτὸ τοῦτο γενήσεται. ἔπειτα δὲ κἀκεῖνο λέγομεν, ὅτι εἰ καὶ ἐν τοῖς ἄλλοις γυμνάσμασιν ἐμπίπτει ἡ ἠθοποιΐα, ἀλλ' οὐκ ἐντελῶς οὕτως, ὥστε τοῖς τρισὶ χρόνοις αὐτὴν διαιρεῖσθαι· ἐνταῦθα δὲ τὴν τελείαν τῆς ἠθοποιΐας διαίρεσιν διδα-

1 Aphth. p. 83, 7.

σκόμεθα, ὥσπερ ἐπὶ τῆς συγκρίσεως ἐγίνετο. ἰδίᾳ γὰρ ταῖς κατὰ μέρος συγκρίσεσι πρῶτον ἐγγυμνασθέντες ἔν τε τῷ κοινῷ τόπῳ καὶ τῷ ἐγκωμίῳ καὶ τῷ ψόγῳ ὕστερον τὴν αὐτοτελῆ μεμαθήκαμεν, οὕτω κἀνταῦθα τοῖς εἰκόσιν οἱονεὶ τῆς ἠθοποιΐας συγγυμναζόμενοι πρότερον, τελευταῖον καὶ αὐτὴν ἐκείνην μανθάνοντες· ἔστι δὲ τὸ τοιοῦτον προγύμνασμα χρησιμώτατον πρός τε τὰ τρία τῆς ῥητορικῆς εἴδη· καὶ γὰρ καὶ δικαζόμενοι καὶ συμβουλεύοντες καὶ πανηγυρίζοντες, ὅπου ἂν ᾖ χρεία, ταῖς ἠθοποιΐαις εἴτουν ταῖς προσωποποιΐαις χρώμεθα καὶ πρὸς τὰ τέσσαρα μέρη τοῦ πολιτικοῦ λόγου, οἰκείως [2] ἡμῶν τῷ τοῦ λέγοντος ἤθει ποιούντων τὸν δι' ὅλου τοῦ λόγου.

Ἠθοποιΐα ἐστὶν μίμησις ἤθους ὑποκειμένου προσώπου. μέμφεται ὁ Γεωμέτρης τῷ παρόντι τῆς ἠθοποιΐας λόγῳ κατὰ τὸ ἐλλεῖπον καὶ πλεονάζον. ἐν μὲν γὰρ τῷ μίμησις ἤθους οὐ τὴν διὰ λόγου μόνην φησὶ μίμησιν, ἀλλὰ καὶ τὴν διὰ γραφῆς συνπεριέλαβεν. ἔτι δὲ καὶ τὴν ἀνδριαντοποιητικήν. Μιμοῦνται γάρ, φησὶ, κἀκεῖναι οὐ μόνον τὰ τῶν ἀνδρῶν ἢ τὰ τῶν ἀλόγων σώματα, ἀλλὰ καὶ αὐτὰ τὰ ἤθη τῶν ὑποκειμένων αὐταῖς. ἄμεινον οὖν, φησὶ, τῷ μίμησις προσθεῖναι τὸ λογικὴ ἤθους ὑποκειμένου προσώπου. οὕτω μὲν οὖν μέμφεται κατὰ τὸ πλεονάζον τῷ τῆς ἠθοποιΐας ὁρισμῷ· μέμφεται δ' αὐτῷ τούτῳ καὶ κατὰ τὸ ἐλλεῖπον· ἐν γὰρ τῷ εἰπεῖν, φησὶν, ὑποκειμένου προσώπου, παρῆκε τὰ πάλαι κατοιχόμενα πρόσωπα καὶ τὰ ἄλογα καὶ τὰ ἀσώματα· καὶ τὰ σωματικὰ μέν, ἄψυχα δὲ, ὧν τινων πάντων ἀναπλαττόμεθα ἤθη· ἐξ ὧν καὶ αἱ προσωποποιΐαι γίνονται· ἡμεῖς δὲ κατὰ μὲν τὸ πλεονάζον μεμφόμεθα καὶ αὐτοὶ τῷ ὁρισμῷ, καὶ τὴν τοῦ Γεωμέτρου

---

2 Codd. οἰκείους. Scribendum videtur: οἰκείως ἡμῶν — ποιούντων τὸν διόλου λόγον.

προσθήκην ἀποδεχόμεθα, κατὰ δὲ τὸ ἐλλεῖπον οὐ πάνυ τι· οὐδὲ γὰρ ἐλλείπειν τι τὸν ὅρον οἰόμεθα· τὸ γὰρ ὑποκειμένων οὐ περὶ μόνων τῶν ζώντων προσώπων εἴρηται, ἀλλὰ περὶ πάντων ἁπλῶς τῶν εἰς μίμησιν ὑποκειμένων, εἴτε πρόσωπά εἰσι καὶ αὐτὰ, εἴτε ζῶντα, εἴτε πάλαι τεθνεῶτα, εἴτε πάλιν πράγματα· καὶ ταῦτα, εἴτε ἄψυχα εἴτε ἔμψυχα. ὥστε εἶναι τὸ ὑποκειμένου ἀντὶ τοῦ εἰς μίμησιν προκειμένου. Μίμησις δὲ ἤθους εἰπὼν καὶ τὰ πάθη καὶ τὰς διαθέσεις καὶ τὰς ἕξεις καὶ τὰς φύσεις ἐδήλωσε. ταῦτα γὰρ πάντα ἐν ταῖς ἠθοποιΐαις μιμούμεθα· πάθος μὲν οἷον ἔλεος, θυμὸν, μῖσος, φθόνον· ἔστι γὰρ πάθος πρόσκαιρος ψυχῆς κατάστασις. διάθεσιν δὲ οἷον τύχην ἢ τέχνην ἢ προαίρεσιν· τύχην μὲν, οἷον τίνας ἂν εἴποι λόγους πένης ἢ πλούσιος, καὶ τὰ τοιαῦτα· τέχνην δὲ, τίνας ἂν εἴποι λόγους ναυτικὸς καὶ γεωργός· προαίρεσιν δὲ, οἷον τίνας ἂν εἴποι λόγους φίλος ἢ ἐχθρός. ἕξιν δὲ, οἷον τίνας ἂν εἴποι λόγους ὁ ἐν διηνεκεῖ μανίᾳ ὤν. φύσιν δὲ, οἷον τίνας ἂν εἴποι λόγους τὰ πρόβατα ἢ ἀλώπεκες· ὥστε σημείωσαι, ὅτι ὡς περιληπτικὸν τούτων ἁπάντων τὸ ἦθος παρέλαβε. Προσώπου· τινές φασιν, ὅτι ὤφειλεν προσθεῖναι καὶ πράγματος. ἔστι γὰρ ὅτε καὶ πραγμάτων ἤθη μιμούμεθα, ὡς ἐν ταῖς προσωποποιΐαις, ὥσπερ ἐν τῷ Κατάπλῳ Λουκιανὸς τὸ τῆς κλίνης καὶ τοῦ λύχνου ἐμιμήσατο· καὶ ἀλόγων ζώων, ὥσπερ Ὅμηρος τὸ τοῦ ἵππου τοῦ Ἀχιλλέως· ἀλλ' ἔστιν εἰπεῖν, ὅτι εἰ καὶ μὴ πρόσωπα τὰ τοιαῦτά εἰσιν, ὅμως ὅτε προαίρεσιν αὐτοῖς καὶ λόγων ἦθος ἀφ' ἑαυτῶν περιτίθεμεν προσώποις καὶ αὐτὰ ἀναλογοῦσι· διὰ τὸ τοιοῦτο καὶ προσωποποιΐαι τὰ περὶ αὐτῶν μελετήματα λέγεται· πλὴν ἰστέον, ὅτι τῶν λογικῶν προσώπων οὐ μόνον τὰ ἴδια καλούμενα ἠθικὰ ταῖς ἠθοποιΐαις ὑπόκεινται, ἀλλὰ καὶ τὰ λοιπὰ καὶ ἁπλᾶ προσηγορικά. καὶ τὰ ὡρισμένα καὶ

κύρια. καὶ τὰ πρός τι καὶ τὰ διαβεβλημένα καὶ τὰ κατὰ συμπλοκὴν δύο προσηγοριῶν.

Διαφοραὶ δὲ αὐτῆς εἰσι τρεῖς· καταχρηστικῶς τὰ εἴδη διαφορὰς εἶπεν· ἔστι γὰρ γένος μὲν ἡ ἠθοποιΐα, εἴδη δὲ ἥ τε προσωποποιΐα καὶ εἰδωλοποιΐα, καὶ πάντα τὰ τοιαῦτα ὀνομάζονται ἠθοποιΐαι, διὰ τὸ γένος εἶναι τὴν ἠθοποιΐαν τούτων· τὰ γένη δὲ τῶν ὑποκειμένων ἀναπλάττομεν· ἔχουσι δέ τινα καὶ ἰδικὰ ὀνόματα· τὸ μὲν γὰρ προσωποποιΐα ὠνόμασται διότι τὸ ὑποκείμενον αὐτῇ ἔμψυχον ἀφ' ἑαυτῶν παριστῶμεν καὶ λογικόν· τὸ δὲ εἰδωλοποιΐα, διότι πρὸς τῷ λόγους ὁμοίους τῷ προσώπῳ λέγοντες καὶ τὸ εἴδωλον ἀνιστῶμεν. ἡ [3] δὲ ἰδίως λεγομένη ἠθοποιΐα, ὡς μὴ ἔχουσά τι ἴδιον πρᾶγμα, ἀφ' οὗ ἂν καὶ αὐτὴ [4] ἰδικὸν ὄνομα σχοίη τῷ κοινῷ καὶ γενικῷ ὀνομάζεται.

Εἰς τὸ αὐτό. Διαφοραὶ δὲ αὐτῆς εἰσι τρεῖς· διαφορὰς τὰ εἴδη ὠνόμασεν οὐχ ἁπλῶς· ἀλλὰ καθὸ καὶ τὰ εἴδη ἐκ διαφορῶν συνίστανται· οὕτω γὰρ καὶ ὁ ἄνθρωπος εἶδος ὢν, ὡς ποιὸν ἔσθ' ὅτε δι' αὐτὸ τοῦτο λαμβάνεται ὡς ἐν τῇ πραγματείᾳ τῶν πέντε φωνῶν μεμαθήκαμεν λέγοντος τοῦ Πορφυρίου· κἂν γὰρ ὁ ἄνθρωπος ὡς ποιὸν λαμβάνεται, οὐχ ἁπλῶς ἂν εἴη ποιὸν, ἀλλὰ καθὸ τῷ γένει προσελθοῦσαι αἱ διαφοραὶ ὑπέστησαν αὐτό. Εἰδωλοποιΐα δὲ ἡ πρόσωπον μὲν ἔχουσα γνώριμον, τεθνεὸς ἤδη καὶ τοῦ λέγειν παυσάμενον· εἰδωλοποιΐα, φησὶ, γίνεται, ὅταν εἰσάγωμεν πρόσωπον ὡς τεθνεὸς, ὥσπερ Εὐριπίδης ἐν τῇ Ἑκάβῃ παρεισάγει τὸ τοῦ Πολυδώρου εἴδωλον. καὶ Ὅμηρος τὸ τοῦ Πατρόκλου ὁμιλοῦν τῷ Ἀχιλλεῖ. σημείωσαι δὲ ὅτι εἰ καὶ τεθνεὸς εἴη τὸ ὑποκείμενον πρόσωπον, οὐχ' ὡς τεθνεὸς δὲ ἡμεῖς αὐτὸ εἰσάγωμεν, ἠθοποιΐα, οὐκ εἰδωλοποιΐα γίνεται. Τίνας

3 Vind. ὁ. 4 Vind. αὐτό.

νας ἂν εἴπῃ λόγους Ἡρακλῆς Εὐρυσθέως ἐπιτάσσοντος; ἰδὼν ὁ Ἡρακλῆς τέθνηκεν, ὅμως δὲ ὡς ζῶντα αὐτὸν εἰσάγομεν· εἰ δὲ εἴπωμεν, τίνας ἂν εἴπῃ λόγους Ἡρακλῆς εἰς Ἅιδην ὑπὸ τοῦ Χάρωνος ἀπαγόμενος, εἰδωλοποιΐα ἐστί. Καὶ Ἀριστείδου ἐν τῷ ὑπὲρ τῶν τεσσάρων λόγῳ οὐκ εἰδωλοποιΐαν ἀλλ' ἠθοποιΐαν μᾶλλον εἶναι νομίζει ὁ Γεωμέτρης, διότι, φησὶν, οὐ τὰς ψυχὰς αὐτῶν τῷ Πλάτωνι διαλεγομένας εἰσάγει ὁ Ἀριστείδης, ἀλλ' ὡς ζῶντας αὐτοὺς ἀνίστησι καὶ παρίστησιν ἐπὶ τοῦ δικαστηρίου.

Προσωποποιΐα δὲ, ὅταν ἅπαντα πλάττηται καὶ ἦθος καὶ πρόσωπον, ἐπὶ τῶν λογικῶν κυρίως εἴωθε λέγεσθαι· καθὸ τοίνυν περιτιθέαμεν τοῖς ἀψύχοις σώμασι φωνὰς ἀνάρθρους ἀνθρωπίνας, οἷον λύχνοις,[5] κλίναις· ὡς ἔστιν ἰδεῖν ἐκεῖνο παρὰ τῷ Λουκιανῷ· εἴπατε, ὑμεῖς, ἃ σύνιστε Μεγαπένθει τούτῳ· προτέρα δὲ σὺ ἡ κλίνη λέγε· εἶτα φησὶν ἡ κλίνη· ἐγὼ μὲν τοιαῦτα εἶπεῖν, ὦ δέσποτα Ῥαδάμανθυ, αἰσχύνομαι· τοιαῦτα ἦν ἃ ἐπ' ἐμοῦ διεπράττετο· εἶτα φησὶν ὁ λύχνος· ἐγὼ τὰ μεθ' ἡμέραν μὲν οὐκ εἶδον, οὐ γὰρ παρῆν· ἃ δὲ τῶν νυκτῶν ἐποίει καὶ ἔπραττεν,[6] ὀκνῶ λέγειν, πλὴν ἀλλ' ἐθεασάμην πολλὰ καὶ ἄῤῥητα καὶ πᾶσαν ὕβριν ὑπερπεπαικότα, καί τοι πολλάκις ἑκὼν τοὔλαιον ἀποσβῆναι θέλων, ὁ δὲ προσῆγέ με τοῖς δρωμένοις, καὶ τὸ φῶς μου πάντα τρόπον κατεμίαινε. Καθὸ οὖν τοῖς τοιούτοις φωνὰς ἀνθρωπίνας περιτιθέαμεν, ἢ καὶ τοῖς ἀλόγοις ζώοις, ὥσπερ ποιεῖ Ὅμηρος τὸν ἵππον τοῦ Ἀχιλλέως, τὸν Ξάνθον, ὁμιλοῦντα τῷ οἰκείῳ δεσπότῃ, τῷ Ἀχιλλεῖ· σκοποῦντες ὡσεὶ εἶχον φωνὴν ἔναρθρον, τίνα ἄν εἴποις ἐπὶ τοῖς παροῦσι προσωποποιΐαν ποιοῦμεν. ἢ γοῦν καὶ τὰ μὴ ὄντα πρόσωπα ὡς πρόσωπα ἀναπλάττομεν· τινὲς μέν τοι καὶ

3 Vind. λίχνους, κλίνας. in Laur. supra scriptum.

6 In Vind. ad marg. ἔπασχεν.

ταῦτα οὐ προσωποποιΐας ἀλλ' ἠθοποιΐας εἶναι νομίζουσι. καὶ γάρ, φασὶν, ὅτι κἂν ἄλογον εἴη τὸ ὑποκείμενον καὶ ἄψυχον, γνώριμον δὲ ὅμως, οὐ προσωποποιΐα μᾶλλον ἀλλ' ἠθοποιΐα ἔσται, ὅπερ οὐκ οἶμαι ὀρθῶς ἔχειν, οὐδὲ τῷ σοφιστῇ συνδοκεῖν· αὐτίκα γὰρ ἐκεῖνος τοῦ παρὰ τῷ Μενάνδρῳ ἐλέγχου πράγματος ὄντος γνωρίμου, οὐκ ἠθοποιΐαν τὴν τούτου μίμησιν, ἀλλὰ προσωποποιΐαν ὠνόμασε· σημείωσαι δὲ, ὅτι καὶ τὴν ἠθοποιΐαν καταχρηστικῶς ἔσθ' ὅτε προσωποποιΐαν καλοῦμεν· οὕτω γὰρ καὶ τὰς ἐν ταῖς διασκευαῖς ἠθοποιΐας προσωποποιΐας καλοῦμεν, ὡς ἔχει παρὰ τῷ Θεολόγῳ ἐν τῷ· „τί δαὶ οἱ Μακκαβαῖοι τὸ ἴωμεν ἀδελφοὶ πρὸς τοὺς κινδύνους ἐβόων, ἴωμεν," καὶ τὰ ἑξῆς· τοῦτο γὰρ εἰ καὶ ἠθοποιΐα ἐστὶν, ἅμως καὶ προσωποποιΐα λέγεται· καὶ ἐν ταῖς διατυπώσεσι τῶν ἀπ' ἀρχῆς ἄχρι τέλους αἱ ἀξιώσεις ἠθοποιΐαις μᾶλλον ἐοικυῖαι προσωποποιΐαι καλοῦνται.

Ἡ μὲν οὖν διαίρεσις αὕτη· τινὲς ζητοῦσι, τίνος χάριν τοῦτο εἶπεν, ὡς καὶ τῆς ἐπιφερομένης μὴ οὔσης διαιρέσεως· καί φαμεν, ὅτι οὐκ ἔστι διαίρεσις ἐκείνη, ἀλλ' ἐπιδιαίρεσις· τὸ γὰρ αὐτὸ καθ' ἑτέραν ἐπιβολὴν εἰς ἕτερά τινα παρὰ τὰ πρῶτα διαιρεῖται, ὅπερ ἔστιν ἐπιδιαιρέσεως ἔργον· ἀλλ' εἰσί τινες, ὧν εἷς καὶ ὁ Γεωμέτρης, οἳ οὐκ ἐπιδιαίρεσιν ἀλλ' ὑποδιαίρεσιν τὸ ἐπιφερόμενον εἶναι νομίζουσιν· ἓν γάρ, φασὶν, εἶδος τῶν ὑποβεβηκότων τῇ ἠθοποιΐᾳ διαιρεῖ εἰς τὸ ἠθικὸν καὶ παθητικὸν καὶ μικτὸν, οὐ μὴν αὐτὴν τὴν ἠθοποιΐαν τὴν γενικήν. καὶ πόθεν τοῦτο δῆλόν ἐστιν ἐξ ὧν αὐτὸς ἐπιφέρει παραδειγμάτων ὁ σοφιστής· εἰπὼν γάρ, ὅτι τῶν δὲ ἠθοποιῶν αἱ μέν εἰσιν ἠθικαὶ, αἱ δὲ παθητικαὶ, αἱ δὲ μικταὶ, καὶ τιθεὶς τούτων παραδειγμάτων πάντα κατ' ἠθοποιΐαν, οὐ μὴν κατὰ προσωποποιΐαν ἢ εἰδωλοποιΐαν εἰσάγει· τὸ γὰρ τίνας ἂν εἴπῃ λόγους Ἑκάβη τῆς Τροίας κειμένης, ὅπερ εἰς παράδειγμα παθητικῆς

τέθεικεν ἠθοποιΐας, οὔτε προσωποποιΐα ἐστὶν, οὔτε εἰδωλοποιΐα, ἀλλ' ἠθοποιΐα. ὡσαύτως δὲ καὶ τό· τίνας ἂν εἴποι λόγους ἠπειρώτης ἀνὴρ, πρώτως θεασάμενος θάλασσαν, ὅπερ ἠθικὸν, ἠθοποιΐαν αὐτὸς ὁ σοφιστὴς εἶπεν· καὶ τὸ, τίνας ἂν εἴπῃ λόγους Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ βουλόμενος ἐξελθεῖν εἰς πόλεμον· καὶ ταῦτα γὰρ οὐκ εἰδωλοποιΐας ἢ προσωποποιΐας ἀλλ' ἠθοποιΐας μᾶλλόν εἰσιν· ἀλλ' ἔστιν εἰπεῖν, ὅτι εἰ καὶ τὰ παραδείγματα ἠθοποιΐας εἰσὶ, καὶ οὐ προσωποποιΐας ἢ εἰδωλοποιΐας, ὅμως ἐδύνατο, εἴπερ ἐβούλετο, καὶ παθητικῶν προσωποποιιῶν καὶ εἰδωλοποιιῶν, ὡσαύτως καὶ ἠθικῶν καὶ μικτῶν εἰς παραδείγματα εὐπορῆσαι· ὥσπερ γάρ τινας ζῶντας παθαινομένους μιμούμεθα, ἑτέρους δὲ ὡς ἁπλῶς περί τινων ἀποφαινομένους, οὕτω καὶ ἐπὶ τῶν τεθνηκότων δυνατὸν τὸ αὐτὸ τοῦτο ποιεῖν, ὥστε ἐκ τούτου δῆλον ὡς οὐ τὴν ἀντιδιῃρημένην τῇ εἰδωλοποιΐᾳ καὶ τῇ προσωποποιΐᾳ ἠθοποιΐαν εἰς τὰ τοιαῦτα διαιρεῖ, ἀλλὰ μᾶλλον τὴν γεννητικήν· πλὴν ἰστέον, ὅτι ταύτην τὴν, εἴτε ὑποδιαίρεσιν εἴτε ἐπιδιαίρεσιν δεῖ καλεῖν, κακίζει ὁ Γεωμέτρης λέγων αὐταῖς λέξεσιν οὕτως· οὕτω τῶν ἠθοποιιῶν ἀπό τε τῶν προσωποποιιῶν καὶ εἰδωλοποιιῶν διαιρουμένων, πάλιν αὐτὰς τὰς ἠθοποιΐας λαβόντες τῶν πρὸ ἡμῶν τινὲς οὕτω διαιροῦσι, μᾶλλον δὲ φύρουσιν, εἰ δέον εἰπεῖν· αἱ μὲν γὰρ αὐτῶν εἰσὶ παθητικαὶ, αἱ δὲ ἠθικαὶ, αἱ δὲ μικταὶ, πρῶτον μὲν ἀγνοοῦντες ὅτι καὶ πᾶσα ἠθοποιΐα μικτή· σύγκειται γὰρ ἐκ προσώπου καὶ πράγματος· ἔπειτ' ὅτι καὶ τὸ πάθος οὐχ ἡ λύπη μόνον, ἀλλὰ καὶ ἡ ὀργὴ, καὶ ὁ οἶκτος καὶ τὰ λοιπὰ τῶν παθῶν· τρίτον ἀγνοοῦντες, ὅτι κἀν ταῖς παθητικαῖς πολὺ τὸ τοῦ ἤθους ἐγκαταμέμικται· ἀλλ' ἡμεῖς τὰ πλείονα τούτων καταλιπόντες οὕτω συντομώτερον, ὡς δέον ἡμῖν δοκεῖ, καὶ ἀκριβιστέρον τὴν τούτου διαίρεσιν ποιησόμεθα· πᾶσα μὲν οὖν ὥσπερ ἔφην ἠθοποιΐα μικτὴ, τὰ τέλεια καὶ αὐτὴ

μιμουμένη τῶν ζητημάτων, καὶ οὐ πρόσωπον ἔχουσα μόνον, ἀλλὰ καὶ πρᾶγμα, περὶ οὗ ἡ δι' ὃ τοὺς λόγους ποιούμεθα· πρῶτον μὲν οὖν σκοπητέον τὸ πρόσωπον, ὅπως τὸ αὐτὸ πολλάκις μὲν ἁπλοῦν, πολλάκις δὲ σύνθετόν ἐστιν· ἁπλοῦν μὲν, οἷον γεωργός, ῥήτωρ, στρατηγός· σύνθετον δὲ, οἷον πατὴρ γεωργός· καὶ τὸ παράδειγμα, τίνας ἂν εἴποι λόγους πατὴρ γεωργὸς φιλοσοφοῦντα τὸν υἱὸν ὁρῶν. ὁρᾷς ὅπως ἔκ τε τῆς φύσεως καὶ τοῦ ἐπιτηδεύματος ἡ σύνθεσις. ἄλλοτε δὲ ἐκ δυοῖν ἐπιτηδευμάτων, οἷον ῥήτωρ ἀριστεύς· ἐπὶ δὲ τῶν κυρίων ὀνομάτων οὐ δυοῖν πολλάκις σύνθεσις μόνον· ἀλλὰ καὶ τριῶν καὶ τεσσάρων καὶ πλειόνων ἔστιν εὑρεῖν, οἷον τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐπὶ πόλεμον ἐξοπλίζων τὸν Πάτροκλον· ἐνταῦθα καὶ νεότητος ἦθος καὶ στρατηγικοῦ καὶ ἥρωος· εἰ δὲ καὶ τὰ πολλὰ δεῖ τῶν ἐπιτηδευμάτων συνάπτειν καὶ μουσικοῦ, καὶ ὅσα πεπαίδευται παρὰ Χείρωνι· ἀλλὰ τὰ μὲν πρόσωπα τοιαύτην ἔλαχον τὴν φύσιν, καὶ τὴν διαίρεσιν· τὰ δὲ πράγματα καὶ αἱ ἠθοποιΐαι συνίστανται πῇ μὲν πάθη, πῇ δὲ καὶ ὑποθῆκαι· ὥστε καὶ καθόλου πρὸς δύο ταῦτα διαιρεῖσθαι, τό τε πραγματικὸν καὶ τὸ παθητικόν· καὶ παθητικὸν μὲν οὐκ, ἐν ᾧ λύπη μόνον ὑπόκειται, ἀλλὰ καὶ ὀργὴ καὶ ἔλεος καὶ θάμβος καὶ πόθος· συμπλέκεται δὲ καὶ ταῦτα πολλάκις, ὥσπερ δὴ καὶ τὰ πρόσωπα· οἷον τίνας ἂν εἴποι λόγους Μήδεια τοὺς παῖδας ἀποσφάττειν μέλλουσα, θεωρεῖται γὰρ ἐνταῦθα καὶ ὀργὴ κατὰ τοῦ Ἰάσονος, καὶ οἶκτος περὶ τῶν παίδων· καὶ πάλιν τίνας ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐπὶ τῷ Πατρόκλῳ κειμένῳ, λυπεῖται γὰρ ἅμα καὶ οἰκτείρει, καὶ πενθεῖ τὸν Πάτροκλον, ὀργίζεται δὲ τοῖς Τρωσὶ καὶ τῷ Ἕκτορι· καὶ περὶ τοῦ πολέμου βουλεύεται· καὶ ὁ γεωργὸς ὁ πρώτως θεασάμενος θάλασσαν, εἰ καί τισιν ἠθικὸν ἔδοξε μόνον· ἀλλὰ τὸ μὲν ἦθος περὶ τὸ πρόσωπον θεωρεῖται μόνον· ἡ δὲ ὄψις ἔχει τὸ πάθος· πάθος

γὰρ τὸ θάμβος, ὥστε καὶ ὡς γεωργὸς μέν τινας λόγους ποιήσεται· ἀλλὰ καὶ ὡς πρώτως ἰδὼν θάλασσαν· καὶ τὸ μὲν φοβούμενος, τὸ δὲ ἐκπληττόμενος, τὸ δὲ εἰκάζων· ἔφημεν καὶ τοῦ πραγματικοῦ τόπου τὴν ἠθοποιΐαν μετέχειν, ὅτι ἢ σὺν τῷ πάθει ἢ καὶ τοῦ πάθους χωρὶς ὑποθήκη τις ὑπόκειται καὶ παραίνεσις. οἷον τίνας ἂν εἴποι λόγους φιλόσοφος ἀνὴρ πρὸς τὸν υἱὸν εἰς παιδευτήριον αὐτὸν ἀποστέλλων· ἢ καὶ Νέστωρ πρὸς Ἀντίλοχον, ἢ Ὀδυσσεὺς πρὸς Τηλέμαχον, ὁ μὲν τῆς ἱππικῆς αὐτῷ τοὺς λόγους ὑποτιθέμενος, ὁ δὲ πρὸς τὴν μνηστηροφονίαν αὐτὸν διερεθίζων. Ἦθος μὲν γὰρ ἡ βουλή· πάθος δὲ φίλος πεσών· οὐ δοκεῖ τῷ Γεωμέτρῃ τὴν βουλὴν εἶναι ἦθος, ἀλλὰ ταύτην μὲν πρᾶγμα λέγει· ἦθος δὲ τὸ τοῦ Ἀχιλλέως, πάθος δὲ τὸν τοῦ Πατρόκλου θάνατον. καί φησιν ὁ αὐτὸς, μὴ πρὸς τὰς τῶν πραγμάτων εὐπορίας ἡμᾶς δεῖν ἐνταῦθα γυμνάζεσθαι, ἀλλὰ πρὸς μόνα τὰ ἤθη[7] τῶν ἀνθρώπων· καὶ σκόπει τὰ ἐκείνου αὐταῖς λέξεσιν ἔχοντα οὕτως· οὐκ ἀγνοῶ δὲ, ὅτι τινὲς τῶν περὶ ἠθοποιΐας διαλαβόντων καὶ τοὺς προτρεπτικοὺς καὶ τοὺς παραμυθητικοὺς λόγους εἰς ταύτην ἀνήγαγον καὶ τῶν ἁρμοζόντων ἐκείνοις κεφαλαίων· ἀλλὰ τί ἂν οὕτως μὲν ἠθοποιΐαι τῶν τοιούτων διαφέροιεν λόγων; πῶς δὲ οὐ κἀκεῖναι περιτταὶ ἂν ὀφθεῖεν; εἴγε καὶ τὰ τούτων κεφάλαια ἐνταῦθα προεξετάσομεν· ἐμοὶ γοῦν δοκεῖ τὰς ἠθοποιΐας μᾶλλον ὑπὸ τοὺς προτρεπτικοὺς καὶ τοὺς λοιποὺς θετικοὺς ἀγαγεῖν, ὡς μέρος ποτὲ λόγου· κἀνταῦθα μὲν πρὸς τὰ ἤθη μόνα τῶν ἀνθρώπων γυμνάζεσθαι· ἐν ἐκείνοις δὲ καὶ πρὸς τὰς τῶν πραγμάτων εὐπορίας· διττῆς γὰρ οὔσης εὑρέσεως καὶ ἐν πᾶσι σχεδὸν ὡς εἰπεῖν λόγοις τῆς μὲν προσωπικῆς, τῆς δὲ πραγματικῆς, πρὸς μὲν τὴν προσωπικὴν διὰ τῶν ἠθοποιῶν γυ-

7 Vind. ἴδη.

μναζόμεθα μόνον, πρὸς δὲ τὴν πραγματικὴν διά τε τῶν προτρεπτικῶν καὶ τῶν λοιπῶν θετικῶν. τοῦτο καὶ αὐτὸς ὁ Ἀριθόνιος συνορῶν ἐν τοῖς κοινοῖς κεφαλαίοις τὴν ἠθοποιΐαν διεῖλεν, ἃ δὴ καὶ ἀπὸ τῶν πραγμάτων τὴν κίνησιν ἔχουσιν, ἀλλ' ἀπὸ τῶν τριῶν μόνων χρόνων· ἃ καὶ αὐτὰ μὲν περὶ πραγμάτων, ὅμως δὲ τῶν ἁρμοζόντων προσώπων ἑκάστῳ· ἔστι μέντοι ποτὲ μικτὰς ἠθοποιΐας εὑρεῖν, ἐν οἷς οὐ τὸ ἦθος μόνον ὑπόκειται τοῦ λέγοντος, ἀλλὰ καὶ τὸ πρᾶγμα περὶ οὗ σκεπτόμεθα· οἷον τίνας ἂν εἴπῃ λόγους φιλόσοφος τὸν υἱὸν πέμπων εἰς παιδευτήριον· ἢ τίνας ἂν εἴπῃ λόγους Ἀχιλλεὺς ἐπὶ Πατρόκλῳ κειμένῳ βουλευόμενος ἐξελθεῖν εἰς πόλεμον· ἐνταῦθα οὐκ ἦθος μόνον ἀλλὰ καὶ πρᾶγμα· ἦθος μὲν γὰρ τὸ τοῦ Ἀχιλλέως, πρᾶγμα δὲ ἡ βουλή· ἀλλὰ καὶ πάθος, ὁ τοῦ Πατρόκλου θάνατος· ἀφ' ὧν γνωστέον, ὅτι τριπλαῖ καὶ τετραπλαῖ πολλάκις ἠθοποιΐαι παρὰ τοῖς παλαιοῖς εὑρίσκονται· εἰσὶ καὶ μόνως ἠθοποιΐαι καθαραί· οἷον τίνας ἂν εἴπῃ λόγους γεωργὸς πρώτως ἰδὼν θάλασσαν· οὔτε γὰρ σκέψις ἐνταῦθα τοῦ πράγματος, οὔτε πάθος· εἰ μὴ καὶ αὐτὸ τὸ θαῦμα πάθος εἴπῃ τις ἂν· ἀλλ' ἡμεῖς νῦν ἁπλούστερον γυμναζόμενοι πρὸς τὰ ἤθη μόνα τὰ τῶν λόγων ἤθη ἀσκήσομεν· ὅτε δὲ καὶ προτρεπτικοὺς, μᾶλλον δὲ πάντας τοὺς συμβουλευτικοὺς προσλαβώμεθα λόγους, τότε καὶ τὰ τοιαῦτα μαθεῖν ἀναγκαῖον· ἐπεὶ κἀκεῖνο πρὸς πᾶσιν ἀναγκαῖον εἰδέναι, ὅτι καὶ πάσης τελείας ὑποθέσεως εἰς δύο ταῦτα διαιρουμένης, καθάπερ ἔφημεν, προσωπικάς τε καὶ πραγματικὰς εὐπορίας, πρὸς μὲν τὸ ἦθος τοῦ λέγοντος τὸ παρὸν ἡμᾶς γυμνάζει προγύμνασμα, πρὸς δὲ τὴν εὐπορίαν τοῦ πράγματος τὰ λοιπὰ τῶν προγυμνασμάτων πάντων, καὶ αὐτὸ τὸ τῆς διαιρέσεως τῶν κεφαλαίων βιβλίον, καὶ τρίτον τὸ τῆς τῶν ἐπιχειρημάτων εὑρέσεως καὶ τῶν ἐπὶ τούτοις ὁμοῦ πάντων νοημάτων. ὥστε οὐκ εὐλόγως

τινὲς ἠπόρησαν, ὡς εἴπερ ἐν ταῖς ἠθοποιΐαις καὶ τὸ εἶδος τοῦ πράγματος καὶ τὸ ἦθος ἀνασκοποῦμεν τοῦ λέγοντος, ᾧ δὴ καὶ τοὺς λόγους προσανατίθεμεν, τί ἂν αἱ ἠθοποιΐαι τῶν τελείων διενέγκοιεν ὑποθέσεων; εἰ γὰρ καὶ πιθανὸν τὸ ἀπόρημα, ἀλλ' οὐκ ἀληθές. εἰ γὰρ καὶ πολλάκις ἐν ταῖς ἠθοποιΐαις ἀμφότερα περίσχονται, τό τε πρᾶγμά φημι καὶ τὸ ἦθος, οἷον τίνας ἂν εἴπῃ λόγους ἀριστεὺς γέρων ἐπὶ τὸν πόλεμον τὸν υἱὸν προτρεπόμενος, ἀλλ' ἐνταῦθα πρὸς τό τοῦ λέγοντος μόνον ἦθος ἐγγυμναζόμεθα· πρὸς γὰρ τὴν τελείαν τῆς προτροπῆς διαίρεσιν οἱ προτρεπτικοὶ καὶ οἱ θετικοὶ γυμνάζουσιν ἡμᾶς λόγοι. διὸ κἀνταῦθα μηδὲ τὴν τελείαν αὐτῶν τῶν κεφαλαίων παραληπτέον διαίρεσιν, ἀλλὰ τινὰ τῶν χρησίμων, καθὼς καὶ οἱ πρὸ ἡμῶν φασὶν, ἐπιχειρητέον, ὥστε τῷ ἀκριβεῖ λόγῳ μηδὲ τοὺς προτρεπτικοὺς ὑπὸ τὰς ἠθοποιΐας ἐμπίπτειν, ἀλλὰ τοὐναντίον τὰς ἠθοποιΐας ὑπὸ τοὺς προτρεπτικούς.

Ἐργάσῃ δὲ τὴν ἠθοποιΐαν χαρακτῆρι σαφεῖ, συντόνῳ, τὰ δὲ συντόμως ἔχει· εἰ μὲν οὖν τὸ πρῶτον, δηλοῖτο ἂν ὁ οὕτως ὀνομαζόμενος ἀνδρὸς χαρακτήρ. τρεῖς γάρ φησιν εἶναι χαρακτῆρας, ἀνδρὸν, ταπεινὸν καὶ μέσον. καὶ ἀνδρὸς μέν ἐστιν ὁ κομπηραῖς λέξεσι κεκαρυκευμένος, εὔληπτον δὲ νοῦν ἔχων· ταπεινὸς δέ ἐστιν ὁ ὑψηλῷ νῷ διαλεγόμενος, εὔληπτα δὲ ῥήματα ἔχων. μέσος δέ ἐστιν ὁ μηδὲ κομπηραῖς λέξεσιν συγκείμενος, μηδὲ δυσδιάγνωστον νοῦν ἔχων. εἰ δὲ τὸ δεύτερον, δηλοῖτο ἂν ὁ γοργὸς καὶ κομματικός· χρησιμώτατος γὰρ οὗτος ἐν ἠθοποιΐᾳ, ὡς ὑπ' αὐτοῦ σχεδὸν τοῦ πάθους τὸ ἀσθμα διακοπτόμενον τοῦ λέγοντος.

Ἀνθηρῷ. ἀνθηρός ἐστι χαρακτὴρ ὁ διὰ λέξεων συγκείμενος ἀνθηρῶν. ἀνθηραὶ δὲ λέξεις αἱ λαμπραὶ καὶ οἷον περικαλλεῖς καὶ ἄνθεσιν ἐοικυῖαι· ὥσπερ γὰρ τὴν ὁρασιν τὰ ἄνθη, οὕτω καὶ τὸν νοῦν αἱ λαμπραὶ καὶ

ἡδεῖαι καὶ οἷον κομμωτικαὶ τῶν λέξεων ἥδουσι. τίνες δὲ εἰσὶν αἱ τοιαῦται, περιττὸν λέγειν, αὐτοῦ τοῦ Ἑρμογένους ἐν τῷ περὶ ἰδεῶν κάλλιστα καὶ ἀκριβέστατα περὶ αὐτῶν διειληφότος, ἐν οἷς περὶ λαμπρότητος διαλαμβάνει. ὁ δὲ Γεωμέτρης ἀνθηρὸν λέγει χαρακτῆρα τὸν ἡδὺν καὶ ἁβρόν· ἁβρὸς δέ, φησὶ, λόγος, εἴτε κατ' ἔννοιάν τε καὶ μέθοδον, εἴτε κατὰ λέξιν· κατὰ μὲν οὖν ἔννοιαν, ὅτε μυθικάς τινας καὶ ἐρωτικὰς λαμβάνομεν. κατὰ δὲ μέθοδον, ὅταν γλυκέως αὐτὰς καὶ ἀφελῶς λαμβάνωμεν προφέροντες. κατὰ δὲ λέξιν, ὅταν ἐπιθέτοις πολλάκις καὶ ποιητικοῖς ὀνόμασιν ἢ καθαροῖς, γλυκέα γὰρ καὶ τὰ καθαρὰ, ἢ δριμέσιν ἢ καὶ τροπικοῖς, ἀλλὰ λίαν μετρίοις, καὶ κατὰ φράσιν εὐφώνοις καὶ τοῖς ὑποκειμένοις πράγμασι παρομοίοις χρώμεθα.

Ἀπολύτῳ, ἀσυνδέτῳ, ἀφέτῳ, ἐλευθέρῳ· δηλοῖ δὲ τοῦτο καὶ τὸ ἐπιφερόμενον τὸ, ἀπηλλαγμένῳ πάσης πλοκῆς τε καὶ σχήματος. τινὲς δέ φασιν ἀπόλυτον γίνεσθαι χαρακτῆρα, ἡνίκα ἓν ἕκαστον κῶλον πεπληρωμένην ἔχει τὴν ἔννοιαν καὶ μὴ ἔστιν ἐξηρτημένον τὸ ἓν τοῦ ἑνός. οἷον ἐπειδὴ γὰρ πολλῶν καὶ μεγάλων ἡμῖν ἐπεισφρησάντων δεινῶν, καὶ μυρίων ἐπελθουσῶν τρικυμιῶν, ὁρᾷς πῶς ἐστιν ἐκκρεμὴς ἡ ἔννοια καὶ οὐχ ὡς ἐν τῷ „οἵαν ἀνθ' οἵας ἀλλάσσομαι τύχην" καὶ τοῖς ἑξῆς τοῦ γυμνάσματος κώλοις. Ἀπηλλαγμένῳ πάσης πλοκῆς τε καὶ σχήματος· πλοκῆς λέγοι ἂν τῶν ὑπερβατῶν καὶ περιόδων καὶ τῶν τοιούτων, ὅσα καὶ τῇ φράσει πέπλεκται. σχήματος δὲ τῶν περικαλλῶν πάντων σχημάτων, οἷον τοῦ καινοπρεποῦς καὶ τῶν ἄλλων. οὐδὲ γὰρ οὐδὲ τοῖς σχήμασι δεῖ καλλωπίζεσθαι τὸν ἅπαξ ὑπὸ τοῦ πάθους ἁλόντα καὶ τὸν οἶκτους κινεῖν παρὰ τοῖς ἀκροαταῖς βουλόμενον. τινὲς δὲ ζητοῦσι καὶ πῶς δυνατὸν σχήματος ἀπηλλάχθαι τὸν λόγον, ὅπου πᾶς λόγος ἐξ ἀνάγκης διὰ σχήματος γίνεται· καὶ ἀδύνατόν τινα ἀσχημάτιστον εὐ-

ρεθῆναι λόγον. καί φαμεν τὸ σχήματος εἰρῆσθαι ἢ διὰ τὰ περικαλλῆ τῶν σχημάτων, ὡς καὶ ἀνωτέρω εἰρήκαμεν, ἢ διὰ τὰ συνεχῶς ἀλλαττόμενα καὶ μεταβαλλόμενα· ἔστι γὰρ σχῆμα ἢ ὑπαλλαγὴ τοῦ λόγου ὡς φέρε εἰπεῖν, ἐὰν ἐξ ἐλεγκτικοῦ εἰς ἐρωτηματικὸν μεταβῶ, καὶ ἐκ τούτου πάλιν εἰς ἕτερον.

Η ΜΕΛΕΤΗ ΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΟΣ.

Τίνας ἂν εἴποι λόγους Νιόβη κειμένων τῶν παίδων;

Περὶ τῆς Νιόβης ἱστόρηκεν ἐν τῇ κδ' ῥαψῳδίᾳ ὁ Ὅμηρος, ὅτι γυνή τις ἦν εὔπαις καὶ πολύπαις, ἥτις καὶ συνδιητᾶτο καὶ συνῆν τῇ Λητοΐ. ἐξύβρισε δὲ, κατὰ τὸν πατέρα τὸν Τάνταλον, καὶ ἐλοιδορήσατο τῇ Λητοΐ, φαμένη κρείττων εἶναι, οὐ κατὰ τὸ πολύπαις μόνον ἀλλὰ καὶ κατὰ τὸ εὔπαις τυγχάνειν· ἡ μὲν γὰρ πολλῶν παίδων καὶ καλλίστων μήτηρ ἐστὶν, ἡ δὲ Λητὼ δύο μόνον, Ἀπόλλωνος καὶ Ἀρτέμιδος, οἷς ἡ Λητὼ κινηθεῖσα διὰ μὲν Ἀπόλλωνος τοὺς ἄῤῥενας υἱοὺς ἀνεῖλε, διὰ δὲ Ἀρτέμιδος τὰς θηλείας, τῶν πολλῶν ἐκείνων θυσιῶν καὶ τιμῶν τῆς Νιόβης ὀλιγωρήσασα. Ἔστι δὲ τὸ προκείμενον ἐς μελέτην τῷ σοφιστῇ οὔτε προσωποποιΐα, οὔτε εἰδωλοποιΐα, ἀλλ' ἠθοποιΐα· οὐ γὰρ τεθνεὸς πρόσωπον ἐνταῦθα καὶ τοῦ λέγειν παυσάμενον παρεισάγεται, ἀλλὰ ζῶν καὶ λέγειν δυνάμενον. ἔστιν οὖν καὶ ἠθοποιΐα αὕτη, κατὰ μὲν τὸν Ἀφθόνιον παθητικὴ μόνον, κατὰ δὲ τὸν Γεωμέτρην καὶ ἠθικὴ καὶ παθητικὴ, τουτέστι μικτὴ, καὶ τοῦτο πρόδηλον ἐκ τῶν ἀνωτέρω ἡμῖν εἰρημένων.

Οἵαν ἀνθ' οἵας τύχην ἀλλάσσομαι.[8] τὸ οἵαν σχετλιαστικὸν, τὸ δὲ οἵας θαυμαστικόν. Ἄπαις ἡ πρὶν εὔπαις δοκοῦσα. τοῦτο ὡσανεὶ κατασκευή ἐστι· φησὶ δὴ τοῦ οἵαν ἀνθ' οἵας ἀλλάσσομαι τύχην· μονονουχὶ γάρ

8 Codd. ἀλάσσομαι.

λέγει. διατὶ εἶπον τὸ οἵαν ἀνθ' οἵας ἀλλάσσομαι τύχην, διότι ἄπαις εἰμὶ ἡ νῦν εὔπαις δοκοῦσα. ζητοῦσι δέ τινες, διὰ τί τῇ ἀπαιδίᾳ τῆς πολυπαιδίας ἀντικειμένης ὁ σοφιστὴς τὸ ἄπαις τῷ εὔπαις ἀντέθηκε. καὶ λέγουσιν ὅτι Θέλων εἰς ἀκρότητα τὸ πάθος ἀνενεγκεῖν, καὶ δεῖξαι, ὅτι μὴ μόνον πολλῶν, καὶ ἁπλῶς πάντων, ἀλλὰ καὶ καλῶν ἐστερήθη παίδων.

Καὶ μήτηρ ἑνὸς οὐχ ὑπάρχω παιδός, ἡ πολλῶν τοῦτο δόξασα πρότερον. ἵνα μήτις ἐν τῷ ἀνωτέρῳ κώλῳ ἔνδειαν ἀκούσας τὴν ὀλιγότητα νοήσῃ, τοῦτο ἐπιφέρει τὴν παντελῆ διὰ τούτου τῶν παίδων προβαλλομένη στέρησιν. τινὲς καὶ τοῦτο ζητοῦσιν, ἀνθότου σκοπὸν ἔχων ἐν πρώτοις εἰπεῖν τὰ ἐνεστῶτα, οὕτω γὰρ κἂν τῇ μεθόδῳ τὸν ἐνεστῶτα ἠξίωσε προτάττειν τῶν ἄλλων, καὶ ἀπ' αὐτοῦ ἄρχεσθαι, ἀναμίγνυσι τῷ ἐνεστῶτι τὸν παρῳχηκότα· τὸ γὰρ οἵαν ἀλλάσσομαι τύχην, καὶ τὸ ἄπαις εἰμὶ, καὶ τὸ περιΐσταταί μοι τὸ πλῆθος εἰς ἔνδειαν, καὶ τὸ μήτηρ ἑνὸς οὐχ ὑπάρχω παιδὸς ἐνεστῶτός εἰσι χρόνου. τὸ δὲ ἀνθ' οἵας καὶ τὸ ἡ πολλῶν μήτηρ δόξασα πρότερον καὶ τὸ ἡ πρὶν εὔπαις δοκοῦσα παρῳχηκότος. καί φαμεν ὅτι οὐχ ὡς πάντως ἔχων σκοπὸν περὶ αὐτῶν διαλαβεῖν οὕτω περὶ αὐτῶν νῦν διέξεισιν, ἀλλὰ πρὸς αἴξησιν μᾶλλον τῶν παρόντων καὶ τὴν ἐν συγκρίσει δεινωσιν ταῦτα διαλαμβάνει.

Ἡ πολλῶν τοῦτο δόξασα. τὸ δόξασα οὐκ ἀντὶ τοῦ μάτην ὑπολη φθεῖσα[9] ἐνταῦθα κεῖται, ἀλλὰ τοὐναντίον ἀντὶ τοῦ δόξαν πολλὴν ἐκ τῶν παίδων παρὰ πάντων λαβοῦσα· οὕτως ὁ Γεωμέτρης.

Τὸ γὰρ εἰς πεῖραν ἦκον ἀνιαρὸν εἰς ἀφαίρεσιν. τοῦτο ἀπὸ τοῦ ἐν τῷ Θουκυδίδῃ ἐπιταφίου ἔλαβε, παραφράσας αὐτό. ἔχει δὲ ἐν ἐκείνῳ οὕτως· καὶ λύπη

9 Vind. ὑπολιφθεῖσα.

οὐχ ὧν ἄν τις μὴ πειρασάμενος ἀγαθῶν στερίσκηται, ἀλλ' οὗ ἂν ἐθὰς γινόμενος ἀφαιρεθείη. Καὶ κατὰ ταῦτα Ταντάλου βεβαιῶ τὸ γένος τοῖς ἀτυχήμασιν· ζητεῖται διατί κἂν τῷ παρῳχηκότι μνειαν ποιεῖται τῶν ἐνεστώτων. καὶ λεγουσιν, ὅτι εἰκότως τοῦτο ποιεῖ. δεῖ γάρ, φασίν, ἀεὶ καθάπερ ῥίζης ἔχεσθαι τοῦ συμβάντος, ἀφ' οὗπερ καὶ αἱ αἰτίαι τῶν λόγων.

Καὶ νῦν ἑκατέρων παίδων κεῖται μοι[10] γένος. ζητεῖται διατί τοῦ ἑκατέρων ἐπὶ δύο μόνων λαμβανομένου ἐνταῦθα ἐπὶ πολλῶν τοῦτο λαμβάνει ὁ σοφιστής. καὶ ὅτι κἀνταῦθα ἐπὶ δύο τινῶν ἐλήφθη, φημὶ δὴ τῆς τῶν ἀῤῥένων καὶ τῶν θηλειῶν φύσεως· τὸ γὰρ ἑκατέρων ἤγουν ἀῤῥένων καὶ θηλειῶν, ἤγουν υἱῶν καὶ θυγατέρων.

Καὶ θρηνεῖν ἀπορώτερον ὃ κατέστη σεμνότερον. καὶ ὅπερ, φησὶ, τοῖς ἀνθρώποις ὅσιον καὶ σεμνὸν, τί τοῦτο τὸ θρηνεῖν τοὺς νεκρούς, τοῦτο ἐμοί ἐστιν ἀπορώτατον. τοῦτο δὲ εἶπε διὰ τὸ πλῆθος· οὔτε γὰρ πάντας ἅμα οἵα τε θρηνεῖν ἦν, κἂν ἕκαστον δὲ ἰδίᾳ διεῖλεν ἠπόρησεν, τίνα ἂν προτιμήσῃ τῶν ἄλλων. Ποῖ τράπωμαι; τίνων ἀνθέξομαι; ἀπ' ἄλλων εἰς ἄλλα μεταβαίνει, καὶ συνεχῶς μεταλλάττεται, τὸ τῶν ἀλυόντων φυλάττων ἴδιον. εἰώθασι γὰρ οἱ ἀλύοντες ἀπ' ἄλλων εἰς ἄλλα μεταπηδᾶν, ὡς δυσαρεστοῦντες καὶ βαρέως ἐπὶ τοῖς παροῦσι διατιθέμενοι. ἔστι δὲ μυρία τοιαῦτα καὶ παρὰ τῷ Εὐριπίδῃ, ὧν ἐστιν ἓν καὶ τό·[11] πᾶ βῶ; πᾶ στῶ; πᾶ κέλσω;

Τίνων ἀνθέξομαι, ποίων ἀνθέξομαι; ποίων ἀντιλάβωμαι; ποίων φροντίσω πρώτων, καὶ τὰ εἰς ταφὴν αὐτοῖς χορηγήσω;

Ἐπιλείπουσι πρὸς τὰς συμφορὰς αἱ τιμαί· ἢ τοῦτο λέγει, ὅτι ἡ τιμὴ ἣν ἐτιμήθην παρὰ τῶν θεῶν

10 Vind. γάρ. Aphthon. μοι. 11 Hecuba 1028.

ἐπὶ τῇ εὐπαιδίᾳ παραβαλλομένη πρὸς τὴν παροῦσαν συμφορὰν ἀποδέεται τούτων, ἢ ὅτι αἱ ὀφειλόμεναι τοῖς νεκροῖς ἐπιτάφιοι τιμαὶ ἐπιλείπουσιν ἐμοὶ διὰ τὸ πλῆθος τῶν κειμένων. ἵν' ἡ ἀκόλουθον τοῖς ἀνωτέρω. Παρὸν αἰτῆσαι θεοὺς ἑτέραν ἀλλάξασθαι φύσιν. ἀντίπτωσις ἀντὶ τοῦ παρόντος, ἤγουν δυνατοῦ ὄντος. Μίαν τῶν ἀτυχημάτων τίθεμαι λύσιν, μεταστῆναι πρὸς τὰ μηδὲν αἰσθανόμενα. ἐνταῦθα ὡσανεὶ προφητεύει τὰ μέλλοντα. καὶ γὰρ μυθολογεῖται, μεταβληθῆναι τὴν Νιόβην εἰς λίθον, ὃς ἐν τῷ Σιπύλῳ ὑπάρχων ὄρει ὁρᾶται δακρύων. Ἔστι δὲ τοῦτο μῦθος· τὸ γὰρ ἀληθὲς οὕτως ἔχει. ἀνδριάντα τῆς Νιόβης ἐκ λίθου οἱ παλαιοὶ ποιήσαντες ἔστησαν ἐν τῷ Σιπύλῳ ὄρει· ἔστι δὲ ὑπὸ τὴν γῆν, ἐφ' ἧς ὁ ἀνδριὰς ἵσταται, πηγὴ κεκρυμμένη, ἀφ' ἧς διά τινος μηχανῆς εἰς τοὺς ὀφθαλμοὺς τοῦ ἀγάλματος ἀνατρέχον τὸ ὕδωρ νομίζειν ποιεῖ τοὺς ὁρῶντας, ὅτι δακρύει τὸ ἄγαλμα.

Τίνας ἂν εἴπῃ λόγους ὁ τῆς βασιλείας ἐκπεσὼν Μιχαὴλ, τῶν βασιλείων ἀπελαυνόμενος.

Φεῦ μοι τῶν παρόντων δεινῶν! οὐαί μοι τῶν περιεστώτων κακῶν! οἷά μοι καὶ ὅσα τὰ δυσχερῆ ἀνθ' ὅσων καὶ οἵων τῶν ἀγαθῶν ἡ τύχη ἀθρόον ἐπήνεγκε. νῦν γὰρ ἐκ τῶν βασιλείων κακῶς ἀπελαύνομαι, ὁ πρὶν μεγαλοπρεπῶς ἐν τούτοις τιμώμενος, ὑφ' ὧν τε τὸ πρὶν ἴσα καὶ θεῷ εὐφημούμην, ὑπὸ τούτων νῦν κακῶς ἀκούω, καὶ λίθοις ὡς κατάκριτος βάλλομαι· ἀλλ' οἴμοι πρὸς τὴν προγονικὴν ἀπελαύνομαι κακοδαιμονίαν. ἐμοὶ μὲν γὰρ πένης ἦν ὁ πατὴρ, τέχνην πρὸς τὸ ἀποζῆν μετερχόμενος βάναυσον. ὁ δὲ πρὸς πατέρος μοι θεῖος τῆς βασιλείας δραξάμενος, ὡς οὐκ ὤφελε, διάδοχόν με ταύτης, ὡς οἶκ ἔδει, κατέστησεν. ἀφ' ἧς εἰς τὴν πατρικὴν καὶ πάλιν συνωθοῦμαι πενίαν. ἀλλ' εἴθε μοι καὶ μέχρι τούτου τὰ δεινὰ σταίη, καὶ μὴ πορρώτερω τῆς πατρικῆς δυστυχίας

ἡ πονηρὰ προχωρήσειε τύχη. δέδοικα γὰρ, μὴ πρὸς τῇ ἐκπτώσει τῆς βασιλείας καὶ τοῦ ἡδίστου φωτὸς στερηθήσομαι.

Cap. XII.

ΠΕΡΙ ΕΚΦΡΑΣΕΩΣ.

Τινὲς μετὰ τὸ διήγημα αὖθις ἀξιοῦσι τὴν ἔκφρασιν τάττεσθαι διὰ τὸ καὶ αὐτὴν τοῦ διηγηματικοῦ εἶναι τόπον. καὶ γὰρ φασὶν, ὅτι τριῶν ὄντων τῆς διηγήσεως εἰδῶν, ἁπλοῦ, ἐγκατασκεύου, ἐνδιασκεύου, τοῖς μὲν δυσὶ τοῖς προτέροις γυμνάζει ἡμᾶς τὸ διήγημα, τῷ δὲ τελευταίῳ τῷ ἐνδιασκεύῳ ἡ ἔκφρασις. Ἕτεροι δὲ καὶ μετὰ τὸν κοινὸν τρόπον αὐτὴν τάττουσιν, ὁ μέντοι Ἀφθόνιος καὶ οἱ ἀκριβέστεροι τῶν πρὸ αὐτοῦ μετὰ τὴν ἠθοποιΐαν. εἰ γὰρ διότι τοῦ διηγηματικοῦ ἐστι τύπου ἡ ἔκφρασις, διὰ τοῦτο συντακτέα ἔσται τῷ διηγήματι, ὀφείλει καὶ ἡ θέσις καὶ ἡ τοῦ νόμου εἰσφορὰ τεθῆναι πρὸ τοῦ κοινοῦ τόπου. εἴγε ταῦτα μὲν τοῦ ἀγωνιστικοῦ εἰσι μέρους, ὁ δὲ κοινὸς τόπος τῶν ἐπιλόγων. ἄλλως τε δὲ εἰ καὶ ἀμφότερα ταῦτα, τό τε διήγημα καὶ ἡ ἔκφρασις πρὸς τὰς διηγήσεις συμβάλλονται, ὅμως τὸ μὲν διήγημα πρὸς τοὺς ἀποικιλωτέρους καὶ ἁπλουστέρους τρόπους τῆς διηγήσεως συμβαλλόμενον, οὗτοι δ' ἂν εἶεν οἱ παχυμερῶς τὰ πράγματα λέγοντες, προετάγη ὡς εὐκολώτερον. ἡ δὲ ἔκφρασις πολλῷ τούτου ὕστερον τέθειται, ὡς ποικιλωτέρα οὖσα καὶ μείζονος δεομένη τῆς ἕξεως. παρόσον καὶ τῷ ποικιλωτέρῳ τῶν διηγημένων τρόπων ἡμᾶς ἐγγυμνάζει, τῷ ἐνδιασκεύῳ. καὶ ὥσπερ ὁ Ἑρμογένης ἐν τῷ περὶ εὑρέσεως βιβλίῳ περὶ διηγήσεων διαλαβὼν καὶ τούς τε τρόπους ταύτης καὶ τὰ δι' ὧν ὅ τε ἐγκατάσκευος τρόπος καὶ ὁ ἁπλοῦς γίνεται διδάξας τὸν τῆς ἐνδιασκεύου διηγήσεως

πλατυσμὸν οὐχ ὁμοῦ τούτῳ, ἀλλ' ἐν τῷ τέλει τοῦ τρίτου τόμου ἐδίδαξεν, οὕτω καὶ ὁ Ἀφθόνιος μετὰ τὸ διήγημα, τὸ πῆ μὲν πρὸς τὸν ἁπλοῦν τρόπον τῆς διηγήσεως ἡμᾶς προγυμνάζον, διὰ τὸ παχυμερῶς ἐν αὐτῷ τὰ πράγματα λεγεσθαι, πῆ δὲ καὶ πρὸς τὸν ἐγκατάσκευον διά τε τὴν αἰτίαν καὶ τὴν τῶν ἄλλων περιστατικῶν ἐν τούτῳ γινομένην συμφόρησιν, πολλὰ θεὶς μεταξὺ ἄλλα γυμνάσματα ἐν ὑστέρῳ τάττει τὴν ἔκφρασιν, ἥτις τοῦ ἐνδιασκεύου ἐστὶ τύπου. τινὲς μέντοι διὰ τοῦτο λέγουσιν οὐ μετὰ τὸ διήγημα, ἀλλὰ μετὰ τὴν ἠθοποιΐαν μᾶλλον τὴν ἔκφρασιν δεῖ τάττεσθαι· ἐπεὶ γὰρ, φασὶ, περὶ τὰ αὐτὰ καταγίνεται ἡ ἔκφρασις περὶ ἃ καὶ ἡ ἠθοποιΐα καὶ τὸ ἐγκώμιον καὶ ὁ ψόγος καὶ ἡ σύγκρισις καὶ ἡ ἔκφρασις, περὶ πρόσωπα γὰρ καταγίνεται καὶ περὶ πράγματα, καιρούς τε καὶ τόπους, ἄλογα ζῶα καὶ φυτὰ, καὶ ἡ ἠθοποιΐα δὲ ὡσαύτως· ἡ γὰρ πρόσωπόν ἐστιν τὸ ὑποκείμενον καὶ τοὺς προσήκοντας αὐτῷ περιτίθεμεν λόγους, καὶ ποιοῦμεν εἰδωλοποιΐαν ἢ ἠθοποιΐαν· ἢ πρᾶγμα ἢ καιρὸς, ἢ τόπος, ἢ ἄλογον ζῶον ἢ φυτόν· καὶ ποιοῦμεν προσωποποιΐαν· ἐπεὶ οὖν, φασὶν, περὶ τὰ αὐτὰ καταγίνεται ἡ ἔκφρασις, περὶ ἃ καὶ ἡ ἠθοποιΐα καὶ τὸ ἐγκώμιον καὶ ὁ ψόγος καὶ ἡ σύγκρισις, εἰκότως συντετάχθαι αὐτοῖς· εἰ γὰρ καὶ τὸ διήγημα παρεπόμενα ἔχει τὰ περιστατικὰ, οἷον τὸ πρόσωπον, τὸ πρᾶγμα καὶ τὰ λοιπὰ, ἀλλ' ἐκεῖνο μὲν συνίσταται μόνον ἐκ τούτων, οὐ μὴν καὶ περὶ αὐτὰ καταγίνεται πάντα, περὶ μόνον γὰρ τὸ πρᾶγμα καταγίνεται τὸ διήγημα. ἐκ γὰρ τοῦ διηγήματος πρᾶγμά τι διηγούμεθα μόνον, ὡς καὶ ὁ ὁρισμὸς αὐτοῦ δείκνυσι, διήγημα, λέγων, ἐστὶν ἔκθεσις πράγματος γεγονότος ἢ ὡς γεγονότος. ἡ δὲ ἔκφρασις περὶ ταῦτα πάντα σχεδὸν καταγίνεται. καὶ γὰρ πρόσωπον ἐκφράζομεν, καὶ καιρὸν καὶ τόπους, ἄλογα ζῶα καὶ φυτά. οὕτω μὲν οὖν ἐλέγχονται οἱ τῷ διηγήματι συντάττοντες

τὴν ἔκφρασιν. οἱ μέντοι μετὰ τὸν κοινὸν τόπον ταύτην τιθέντες ἁμαρτάνουσι πρὸ τῆς συγκρίσεως καὶ τῆς ἠθοποιΐας. ἰστέον δὲ ὅτι ὥσπερ τὸ διήγημα καὶ πρὸς τὰ τρία εἴδη τῆς ῥητορικῆς ἐλέγετο συντελεῖν, καὶ πρὸς πάντα τὰ μέρη τοῦ πολιτικοῦ, οὕτω δὴ καὶ ἡ ἔκφρασις πρὸς αὐτὰ ταῦτα λέγεται συντελεῖν. καὶ γὰρ πρός τε τὸ δικανικὸν εἶδος καὶ πρὸς τὸ συμβουλευτικὸν συμβαλεῖται, παρόσον καὶ οἱ δικαζόμενοι ἢ οἱ βουλευόμενοι τόπους πολλάκις ἐκφράζουσιν ἢ καιροὺς ἢ τι τοιοῦτον ἕτερον, ἐν οἷς τὸ ἀδίκημα ἢ τὸ εὐεργέτημα δοκεῖ πεπρᾶχθαι. ἢ καὶ ἐν οἷς ὁ πόλεμος συνέβη ἢ συμβήσεται· καὶ πρὸς τὸ πανηγυρικόν. καὶ γὰρ οἱ πανηγυρίζοντες τόπους πολλάκις ἐκφράζουσιν, ἢ καιροὺς ἢ τι τοιοῦτον ἕτερον. ὥσπερ δὲ πρὸς τὰ εἴδη, οὕτω δὴ καὶ πρὸς τὰ μέρη τοῦ λόγου συντελεύει ἡ ἔκφρασις, παρόσον καὶ οἱ λογογραφοῦντες ῥήτορες τῇ διασκευῇ πῇ μὲν ἐν ταῖς διηγήσεσι χρῶνται, πῇ δὲ ἐν τοῖς ἀγῶσιν, ἐν ταῖς παραδειγματικαῖς πίστεσι, πῇ δὲ καὶ ἐν ἐπιλόγοις. πλὴν τοῦτο σημείωσαι, ὅτι τὸ μὲν διήγημα καὶ πρὸς τὰ προοίμια ἐλέγετο τοῖς εἰσαγομένοις συμβάλλεσθαι, διὰ τὸ καὶ διηγηματικὸν ἔσθ' ὅτε ἐν λόγοις προοίμιον τίθεσθαι. ἡ δὲ ἔκφρασις ὡς τοῖς ἐξηγουμένοις τὸ παρὸν βιβλίον δοκεῖ, οὐ συμβάλλεται πρὸς ταῦτα, ἄτεχνον γάρ, φασί, τὸ ἐκ προοιμίων χωρεῖ,[1] πρὸς τὴν ἔκφρασιν. ἰστέον δὲ ὅτι διαφέρει ἔκφρασις διηγήματος, καθὸ τὸ μὲν ψιλὴν ἔχει ἔκθεσιν πράγματος, ἡ δὲ πειρᾶται θεατὰς ἐργάσασθαι μικροῦ τοὺς ἀκούοντας. καὶ καθὸ τὸ μὲν τὰ καθόλου, ἡ δὲ τὰ κατὰ μέρος ἐξετάζει· οἷον διηγήματα μέν ἐστιν τὸ εἰπεῖν· ἐπολέμησαν Ἀθηναίοις οἱ Πελοποννήσιοι. ἔκφρασις δέ, ὅτι τοιᾷδε καὶ τοιᾷδε παρασκευῇ ἐχρήσαντο καὶ τοιῷδε τρόπῳ τῆς ὁπλίσεως.

---

1 Vind. χορῇ.

Ἔκφρασίς ἐστι λόγος περιηγηματικός. περιηγεῖσθαί ἐστι τό τινα προϊέναι τινὸς καὶ δεικνύειν αὐτῷ, ἃ μήπω τεθέαται. τὸν τοῦτο δὲ διαπραττόμενον περιηγητήν φαμεν. καὶ ὁ Λουκιανὸς εἰσάγει τὸν Μίκυλλόν [2] τινι λεγόντα περιήγησαί μοι τὰ ἐν Ἅιδου. καὶ τὸν ποιητὴν δὲ διὰ τοῦτο περιηγητὴν ὠνόμασαν, ὅτι διὰ τῶν αὐτοῦ λόγων ὡσανεὶ τὴν ὑφήλιον πᾶσαν προϊὼν ἡμῖν δείκνυσι ποταμούς τε καὶ λίμνας καὶ χώρας, ἔθνη τε καὶ διαφόρους τῆς γῆς ποιότητας. καὶ ὁ λόγος οὖν τῆς ἐκφράσεως περιηγηματικός ἐστι κατὰ πάντα ἐοικὼς ἐκείνῳ, καὶ ὑπ' ὄψιν ἄγων ἐναργῶς τὸ δηλούμενον.

Ἐκφραστέον δὲ πρόσωπά τε καὶ πράγματα. ἰστέον ὅτι αἱ εἰκόνες τῶν προσώπων ἤτοι οἱ ἀνδριάντες εἰς τὰ πρόσωπα ἀναφέροντες, καὶ αἱ τούτων ἐκφράσεις προσώπων λέγονται ἐκφράσεις. ἀλλὰ καὶ αἱ τῶν πραγμάτων καὶ αἱ τῶν καιρῶν εἰκόνες, εἰ ἀνθρώπου φέροιεν σχῆμα, καὶ πολλάκις γὰρ θέρος γράφοντες ἢ εἰρήνην ἢ μάχην ἀνθρώπους ζωγραφοῦσι· καὶ αὐταὶ γὰρ πρόσωπα λέγονται, καὶ αἱ τούτων ἐκφράσεις προσώπων ἐκφράσεις.

Καιρούς τε καὶ τόπους. ζητεῖται τί διαφέρει καιρός τε καὶ χρόνος. καί φασι διαφέρειν, καθὸ ὁ μὲν χρόνος περιεκτικόν τι πάντως, οὐ μόνον ὁ ἐνεστὼς καὶ ὁ παρεληλυθὼς, καὶ ὁ μέλλων, οἷον εἴ τις τὸν παρελθόντα βίον ἐκφράζει, οἷος ἐκεῖνος ἦν, καὶ οἷος ὁ νῦν. ὁ δὲ καιρὸς μερικός τε καὶ ὡρισμένος. οἷον ἔαρ, θέρος, χειμὼν, καὶ πάλιν ἡμέρα, νύξ. καὶ αὖθις πρωΐα, μεσημβρία καὶ τὰ τοιαῦτα. Ἔτι ζητεῖται διατί μὴ τὸν χρόνον ἀλλὰ τὸν καιρὸν εἶπε δεῖν ἐκφράζειν. καὶ ὁ μὲν Σαρδέων φησὶν, ὅτι διὰ τοῦ καιροῦ καὶ τὸν χρόνον συμπεριέλαβεν. ὁ γὰρ καιρός, φησὶν, ὁ αὐτός ἐστιν τῷ χρόνῳ.

ἐγὼ

2 Vind. Μικυ τινὶ λέγοντι. ad marg. λον.

ἐγὼ δὲ φαίην ἂν ὅτι ὁ μὲν χρόνος ἀόριστος ὢν οὐχ οἷός ἐστιν ὑποβληθῆναι ἐκφράσει, ὁ δὲ καιρὸς ὢν ὡρισμένος πάντως ὑποπεσεῖται. ἔτι ζητοῦσι, διατί μὴ καὶ ὁ τρόπος καὶ ἡ αἰτία ἐκφράζεται. καὶ εἰ ἐκφράζεται, καὶ τὰ τοιαῦτα, πῶς οὐχὶ καὶ τούτων ἐμνημόνευσεν ὁ Ἀφθόνιος. καὶ ἡμεῖς λέγομεν καὶ πρὸς τοῦτο οἷα καὶ ἐν τῷ ἐγκωμίῳ πρὸς τοὺς ἀποροῦντας, διατί ὁ τρόπος καὶ ἡ αἰτία οὐκ ἐγκωμιάζεται, εἰρήκαμεν· ὁ δὲ Γεωμέτρης τάδε φησί. Πάντα τὰ περιστατικὰ ἐκφραστέον πλὴν τῆς αἰτίας· κατασκευῆς γὰρ ἴδιον ἡ αἰτία. κἄν που πολλάκις ἐν ταῖς ἐκφράσεσι καὶ ταύτην παραλαμβάνωμεν, ἀλλ' ὡς καὶ αὐτὴν κατασκευάζοντες τὴν διασκευήν· δεῖ γὰρ καὶ τοῦτο πρὸς τοῖς ἄλλοις εἰδέναι, ὅτι μὴ κατ' ἔκφρασιν μόνον προϊέναι δεῖ, ἀλλὰ καὶ αἰτίας τῶν ἐκφραζομένων προνοεῖν τοῦ καλῶς ἔχειν ἕκαστον. ἅμα τε γὰρ πρὸς ἔπαινον ταῦτα τῶν ἐκφραζομένων γίνεται καὶ ποικιλώτερος ὁ λόγος καὶ ἐπιτερπέστερος ἀποτελεῖται σύμμικτος σχεδὸν ὤν, ἢ τότε πλεῖστον ὡς ἐκ κατασκευῆς ὁμοῦ καὶ διασκευῆς συντιθέμενος. Ἐπεὶ δὲ πάντα τὰ τῶν περιστατικῶν ταῖς ἐκφράσεσιν ὑποπίπτειν χωρὶς τῆς αἰτίας ἀπεφηνάμεθα, φέρεται δέ τις καὶ διαφορὰ πρὸς ἀλλήλους παρὰ τῶν παλαιῶν, τὸν τρόπον οἱ μὲν μὴ ἔχειν ὑπόστασιν, μήτε μὴν ἐκφράζεσθαι δυνατὸν ἀπεφαίνοντο, ὡς οἱ περὶ Ἑρμαγόραν τε καὶ Ἀψίνην, οἱ δὲ καὶ αὐτὸν ἀναγκαίως ἐκφράζεσθαι, ὡς οἱ περὶ Θέωνα τὸν Πλατωνικόν. τοσοῦτον καὶ περὶ αὐτοῦ διαλάβωμεν, ὡς οὐδέτερον ἀσφαλές, οὔτε τὸ ἐκφράζεσθαι λέγει ἀεί, καθάπερ ἐπὶ τῶν κατασκευῶν τῶν τε ὅπλων καὶ τῶν μηχανημάτων οἶμαι, ὡς ἡ τοῦ Ὁμήρου ὁπλοποιΐα· οὔτε τὸ μὴ ἐκφράζεσθαι, ἀλλ' ἐνδέχεται καὶ ἀμφότερα καὶ δεῖται ταῦτα γινώσκειν, οὐχ ὥστε τὰ τῶν παλαιῶν διακρίνειν μόνον, ἀλλὰ καὶ καθ' ἑαυτοὺς διαιρεῖν καὶ μελετᾷν ἀμφοτέρως δύνασθαι. εἰ μὲν γὰρ ἁπλᾶς τὰς θέσεις τῶν τε

ὅπλων καὶ τῶν μηχανημάτων ἐκφράζομεν ἢ τῶν πόλεων, οὐ τῶν τρόπων ἡ ἔκφρασις, ἀλλὰ τῶν πραγμάτων. εἰ δὲ μὴ τὰ σχήματα καὶ τὰς θέσεις, ἀλλὰ τὰς τέχνας ἢ καὶ τὰς ὕλας, ὑφ' ὧν κατεσκευάσθησαν, τότε τῶν τρόπων φανερῶς που ἔκφρασις γίνεται. ὥσπερ δὴ καὶ ἐπὶ τῆς ἀσπίδος· εἰ μὲν γὰρ οἵα τις ἦν καὶ ὅπως εἶχε κατὰ τῆς ἐκφράσεως τὸ πρᾶγμα παραλαμβάνεται, εἰ δὲ ὅπως τε ὑπὸ Ἡφαίστου κατεσκευάσθη καὶ τίσι τέχναις καὶ τίσιν ὕλαις, καὶ τίσιν ὀργάνοις, καὶ ὅπως τὰς σφύρας ἐπὶ τοῦ ἄκμονος ἔθηκε καὶ τὰ τοιαῦτα, τοῦ τρόπου λέγομεν εἶναι τὴν ἔκφρασιν. συμπίπτει δέ ποτε ἀμφότερα, ὥστε τὸν τρόπον ἐκφράζοντας μηκέτι δεηθῆναι τῆς τῶν πραγμάτων ἐκφράσεως. ἀλλ' οὐκ ἀεί. ἔστι γὰρ ὅτε καὶ διῃρημένως φαίνεται, καὶ φανερώτερον τοῦτο μᾶλλον ἐπὶ τῶν πόλεων, ἐν αἷς ἥ τε θέσις καὶ τὸ μέγεθος καὶ τὸ κάλλος παραλαμβάνεται. καὶ αὖ πάλιν πρὸς τὸ ἀρχαιότερον ἀνατρέχοντες τὴν ἐξ ἀρχῆς αὐτῆς οἰκοδομὴν καὶ τὴν τέχνην καὶ τὴν ὕλην καὶ τὴν περιγραφὴν καὶ τὸν χρόνον παραλαμβάνομεν. ἐν ἐκείνῳ μὲν γὰρ τὸ πρᾶγμα ταύτης, ἐν δὲ τούτῳ καὶ τὸν τρόπον ἐκφράζομεν. ἔστιν οὖν ἀποκεκριμένη τῇ ἐκφράσει ἡ αἰτία μόνη ὡς κατασκευάζουσα μᾶλλον ἢ ἐκφράζουσα τὸ διήγημα.

Ὥσπερ Ὅμηρος· γυρὸς ἔην ὤμοισι μελανοχρόος οὐλοκάρηνος· ἀπὸ κεφαλῆς ἄρξασθαι ὀφείλων οὐκ ἐποίησε τοῦτο, ἀναγκασθεὶς ὑπὸ τοῦ μέτρου.

Ὡς αὐτὸς ὁ Θουκυδίδης τὸν λιμένα τῶν Θεσπρωτῶν εἶπε Χειμέριον. τὸ αὐτὸς ἐνταῦθα οὐ κατ' ἐξοχὴν μᾶλλον ἀλλὰ δεικτικόν, ὡς πρὸς τὸ, ὥσπερ ὁ συγγραφεύς, καὶ γὰρ συγγραφία ἐκεῖ τὸν Θουκυδίδην ἔλεγε· τὸν λιμένα τῶν Θεσπρωτῶν εἶπε Χειμέριον. [3] „ἐπειδὴ προσέμιξαν τῇ κατὰ Κερκύραν ἠπείρῳ καὶ ἀπὸ

3 Thuc. I, 46.

Λευκάδος πλέοντες οἱ Κορίνθιοι ὁρμίζονται εἰς Χειμέριον τῆς Θεσπρωτίδος γῆς. ἔστι δὲ λιμὴν, καὶ πόλις ὑπὲρ αὐτοῦ κεῖται ἀπὸ θαλάσσης ἐν τῇ Ἐλαιάτιδι τῆς Θεσπρωτίδος Ἐφύρη· ἔξεισι δὲ παρ' αὐτὴν Ἀχερουσία λίμνη ἐς θάλασσαν, διὰ δὲ τῆς Θεσπρωτίδος Ἀχέρων ποταμὸς ῥέων ἐσβάλλει ἐς αὐτὴν, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει. ῥεῖ δὲ καὶ Θύαμις ποταμὸς ὁρίζων τὴν Θεσπρωτίδα καὶ Κεστρίνην, ὧν ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ Χειμέριον." οὐ καλὸς ὡς ἔοικεν ὁ περίβολος τοῦ λιμένος ἦν, ὡς αὐτὸ τὸ σχῆμα ἐδήλου, καὶ διὰ τοῦτο Χειμέριον αὐτὸν ἐκάλεσεν.

Ὥσπερ ὁ συγγραφεύς. συγγραφέα ὁ Ἀφθόνιος τὸν Θουκυδίδην φησὶ κατὰ τὸ ἐξαίρετον, ὥσπερ καὶ ποιητὴν τὸν Ὅμηρόν φαμεν, καίτοι πολλῶν καὶ ἄλλων πεφηνότων, καὶ ῥήτορα ὁμοίως τὸν Δημοσθένην οὐκ ὀλίγων πεφηνότων τῶν ῥητόρων. Πράγματα δὲ ἀπὸ τῶν πρὸ αὐτῶν καὶ ἐν αὐτοῖς. ὥσπερ ἐπὶ τῶν προσώπων ἀπὸ κεφαλῆς ἐπὶ πόδα προσήκει χωρεῖν ἐκφράζοντας, οὕτως ἐπὶ τῶν πραγμάτων, φησὶ, δεῖ λέγειν τὰ προγεγονότα, εἶτα ἐκεῖνα, αὐτὰ δὲ τὰ ἐκφραζόμενα προστιθέναι, ἐπὶ τούτοις τὰ ἀποβησόμενα. Πράγματα δὲ ὡς ναυμαχίας ἢ πεζομαχίας ὥσπερ ὁ συγγραφεύς· τοῦ δ' αὐτοῦ θέρους[3*] καὶ ἅμα τῇ τῶν Πλαταιέων ἐπιστρατείᾳ Ἀθηναῖοι δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἱππεῦσι διακοσίοις, ἐστράτευσαν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θράκης, καὶ Βοτ- τιαίους,[4] ἀκμάζοντος τοῦ σίτου. Ἐστρατήγει δὲ Ξενοφῶν Εὐριπίδου, τρίτος αὐτός. ἐλθόντες δὲ ὑπὸ Σπάρτωλον τὴν Βοττικὴν τὸν σῖτον διέφθειρον. ἐδόκει δὲ καὶ προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδον προσόντων. προσπεμψάντων δὲ ἐς Ὄλυνθον τῶν οὐ ταῦτα βουλομένων, ὁπλῖται ἦλθον καὶ στρατιὰ ἐς φυλακήν, ἧς ἐπεξελθού-

3* Thuc. II, 79. 4 Laur. Vind. Βοτιαίους constanter.

σης ἐκ τῆς Σπαρτώλου, ἐς μάχην καθίστανται Ἀθηναῖοι πρὸς αὐτῇ τῇ πόλει. καὶ οἱ μὲν ὁπλῖται τῶν Χαλκιδέων καὶ ἐπίκουροί τινες μετ' αὐτῶν νικῶνται ὑπὸ τῶν Ἀθηναίων. καὶ ἀναχωροῦσιν ἐς τὴν Σπάρτωλον, οἱ δὲ ἱππεῖς τῶν Χαλκιδέων καὶ τὸ ψιλὸν νικῶσι τοὺς Ἀθηναίους ἱππέας καὶ ψιλούς. εἶχον δέ τινας πελταστὰς ἐκ τῆς Κρουσίδος γῆς καλουμένης. ἄρτι δὲ τῆς μάχης γεγενημένης ἐπιβοηθοῦσιν ἄλλοι πελτασταὶ ἐκ τῆς Ὀλύνθου, καὶ οἱ ἐκ τῆς Σπαρτώλου ψιλοί, ὡς εἶδον θαρσήσαντες τοῖς τε προγινομένοις,[5] καὶ ὅτι πρότερον οὐχ ἡττῶντο, ἐπιτίθενται αὖθις μετὰ τῶν Χαλκιδέων ἱππέων καὶ τῶν προσβοηθησάντων τοῖς Ἀθηναίοις, καὶ ἀναχωροῦσι πρὸς τὰς δύο τάξεις, ἃς κατέλιπον παρὰ τοῖς σκευοφόροις. καὶ ὁπότε μὲν ἐπίοιεν,[6] οἱ Ἀθηναῖοι ἐνεδίδοσαν. ἀποχωροῦσι δὲ ἐνέκειντο[7] καὶ ἐσηκόντιζον. οἵ τε ἱππεῖς τῶν Χαλκιδέων προσιππεύοντες ᾗ ἂν δοκοίη προσέβαλλον· καὶ οὐχ ἥκιστα φοβήσαντες ἔτρεψαν Ἀθηναίους καὶ ἐπεδίωξαν ἐπὶ πολύ· καὶ οἱ μὲν Ἀθηναῖοι εἰς τὴν Ποτίδαιαν καταφεύγουσι, καὶ ὕστερον τοὺς νεκροὺς ὑποσπόνδους κομισάμενοι ἐς τὰς Ἀθήνας ἀναχωροῦσι τῷ περιόντι τοῦ στρατοῦ. ἀπέθανον δὲ αὐτῶν τριάκοντα καὶ τετρακόσιοι, καὶ οἱ στρατηγοὶ πάντες. οἱ Χαλκιδεῖς καὶ οἱ Βοττιαῖοι τρόπαιον ἔστησαν, καὶ τοὺς νεκροὺς τοὺς αὐτῶν ἀνελόμενοι διελύθησαν κατὰ πόλεις." καὶ αὕτη μὲν πεζομαχίας ἡ ἔκφρασις· ναυμαχίας δὲ ἐκείνη παρὰ τῷ αὐτῷ συγγραφεῖ, ἐκ τῆς δευτέρας τοῦ Θουκυδίδου συγγραφῆς. Τὸ δ' ἐκ[8] τῆς Κορίνθου καὶ τῶν ἄλλων ξυμμάχων τῶν ἐκ τοῦ Κρισσαίου κόλπου ναυτικὸν, ὃ ἔδει παραγενέσθαι τῷ Κνήμῳ,[9] ὅπως μὴ ξυμβοηθῶσιν οἱ

---

5 Vind. *προγινομένης*. 6 in Codd. superscriptum: *ἐπείγοιεν*. 7 Vind. Laur. *ἐν ἐκείνοις ἦσαν*. correxi e Thuc. 8 Thuc. II, 83. 9 Thuc. *Κνήμῳ*. Vind. *Κνήμωνι*.

ἀπὸ θαλάσσης[9*] ἄνω [οἱ] Ἀκαρνᾶνες, οὐ παραγίνεται, ἀλλ' ἠναγκάσθησαν περὶ τὰς αὐτὰς[10] ἡμέρας τῆς ἐν Στράτῳ μάχης ναυμαχῆσαι πρὸς Φορμίωνα καὶ τὰς εἴκοσι ναῦς τῶν Ἀθηναίων αἳ ἐφρούρουν ἐν Ναυπάκτῳ· ὁ γὰρ Φορμίων παραπλέοντας αὐτοὺς ἔξω τοῦ κόλπου ἐτήρει βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ ἐπιθέσθαι. οἱ δὲ Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἔπλεον μὲν οὐχ ὡς ἐπὶ ναυμαχίαν, ἀλλὰ στρατιωτικώτερον παρεσκευασμένοι ἐς τὴν Ἀκαρνανίαν, καὶ οὐκ ἂν οἰόμενοι πρὸς ἑπτὰ καὶ τεσσαράκοντα ναῦς, τὰς σφετέρας, τολμῆσαι τοὺς Ἀθηναίους εἴκοσι ταῖς ἑαυτῶν ποιήσασθαι ναυμαχίαν. Ἐπειδὴ μέντοι ἀντιπαραπλέοντας ἑώρων αὐτοὺς παρὰ γῆν σφῶν κομιζομένων καὶ ἐκ Πατρῶν τῆς Ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπ' Ἀκαρνανίας κατεῖδον τοὺς Ἀθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ τοῦ Εὐξίνου ποταμοῦ[11] προσπλέοντας σφίσι, καὶ οὐκ ἔλαθον νυκτὸς ἐφορμισάμενοι, οὕτω δὴ ἀναγκάζονται ναυμαχεῖν κατὰ μέσον τὸν πορθμόν. στρατηγοὶ δὲ ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων οἳ παρεσκευάζοντο, Κορινθίων δὲ Μαχάων καὶ Ἰσοκράτης καὶ Ἀγαθαρχίδας. καὶ οἱ μὲν Πελοποννήσιοι ἐτάξαντο κύκλῳ τῶν νεῶν, ὡς μέγιστον οἷοί τε ἦσαν, μὴ διδόντες διέκπλουν, τὰς πρώρας μὲν ἔξω, εἴσω δὲ τὰς πρύμνας, καὶ τά τε λεπτὰ πλοῖα, ἃ ξυνέπλει, ἐντὸς ποιοῦνται, καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκπλέοιεν, διὰ βραχέος παραγινόμενοι, εἴ ποι προσπλέοιεν οἱ ἐναντίοι. οἱ δὲ Ἀθηναῖοι κατὰ μίαν ναῦν τεταγμένοι περιέπλεον αὐτοὺς κύκλῳ καὶ ξυνῆγον ἐς ὀλίγον, ἐν χρῷ ἀεὶ παραπλέοντες καὶ δόκησιν παρέχοντες αὐτίκα ἐμβαλεῖν. προείρητο δ' αὐτοῖς ὑπὸ Φορμίωνος μὴ ἐπιχειρεῖν πρὶν ἂν αὐτὸς σημήνῃ. ἤλπιζον

9* Vind. θάλασσαν. sq. οἱ uncis inclusi. 10 Vind. παρὰ τῆς ἡμέρας. 11 Vind. Εὐξίνου πόντου.

γὰρ αὐτῶν οὐ μενεῖν τὴν τάξιν, ὥσπερ ἐν γῇ πεζῇ,[12] ἀλλὰ ξυμπεσεῖσθαι πρὸς ἀλλήλας τὰς ναῦς καὶ τὰ πλοῖα ταραχὴν παρέξειν·[13] εἴ τ' ἐκπνεύσαι ἐκ τοῦ κόλπου τὸ πνεῦμα, ὅπερ ἀναμένων τε παρέπλει, καὶ εἰώθει γίνεσθαι ἐπὶ τὴν ἕω, οὐδένα χρόνον ἡσυχάσειν αὐτούς· καὶ τὴν ἐπιχείρησιν ἐφ' ἑαυτῶν ἐνόμιζεν εἶναι, ὁπόταν βούληται, τῶν νεῶν ἄμεινον πλεουσῶν, καὶ τότε καλλίστην γενέσθαι· ὡς δὲ τὸ πνεῦμα κατῄει, καὶ αἱ νῆες ἐν ὀλίγῳ ἤδη οὖσαι ὑπ' ἀμφοτέρων τοῦ τε ἀνέμου, τῶν τε πλοίων ἅμα προσκειμένων ἐταράσσοντο, καὶ ναῦς τε νηῒ προσέπιπτε, καὶ τοῖς κοντοῖς διωθοῦντο· βοῇ δὲ χρώμενοι καὶ πρὸς ἀλλήλους ἀντιφυλακῇ τε καὶ λοιδορίᾳ, οὐδὲν κατήκουον οὔτε τῶν παρηγγελμένων οὔτε τῶν κελευομένων, καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἀναφέρειν ἐν κλύδωνι, ἄνθρωποι ἄπειροι τοῖς κυβερνήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει καὶ οἱ Ἀθηναῖοι προσπεσόντες πρῶτον καταδύουσι τῶν στρατηγίδων νεῶν μίαν. ἔπειτα δὲ καὶ πάσας ᾗ χωρήσειαν διέφθειρον, καὶ κατέστησαν ἐς ἀνάγκην μὲν μηδένα τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς, φεύγειν δ' εἰς[14] Πάτρας καὶ Δήμην τῆς Ἀχαΐας· οἱ δὲ Ἀθηναῖοι καταδιώξαντες καὶ ναῦς δώδεκα λαβόντες τούς τε ἄνδρας τοὺς πλείστους ἐξ αὐτῶν ἀνελόμενοι ἐς Μολύκριον ἀπέπλεον, καὶ τρόπαιον στήσαντες ἐπὶ τῷ Ῥίῳ[14*] καὶ ναῦν ἀναθέντες τῷ Ποσειδῶνι ἀνεχώρησαν εἰς Ναύπακτον."

Δεῖ δὲ ἐκφράζοντας πρόσωπα μὲν ἀπὸ τῶν πρώτων ἐπὶ τὰ τελευταῖα ἰέναι, τουτέστιν ἀπὸ κεφαλῆς ἐπὶ πόδας· ὡς ἔχει παρ' Ὁμήρῳ ἐν τῇ βῆτα ῥαψῳδίᾳ[15] τὸ,

Φοξὸς ἔην κεφαλήν, ψεδνὴ δ' ἐπενήνοθε λάχνη·

12 Vind. πεζῇ. 13 παρέξειν Vind. om. 14 Vind. φείγει δ' Εὐπάτρας. 14* Vind. ὑρίῳ. 15 v. 219.

ἢ οὐδ' ἐνταῦθα κατὰ τέχνην ἐξέφρασεν Ὅμηρος διὰ τὴν τοῦ μέτρου ἀνάγκην. καὶ γὰρ πρὸ αὐτοῦ λέγει·

Φολκὸς ἦην, χωλὸς δ' ἕτερον πόδα, τὼ δέ οἱ ὦμω
Κυρτὼ ἐπὶ στῆθος συνοχωκότε.

Πράγματα [16] δὲ ἐπιχειρήσομεν ἀπὸ τῶν προγεγονότων καὶ τῶν ἐν αὐτοῖς γενομένων, καὶ τῶν ἐπισυμβαινόντων· οἷον εἰ πολέμου λέγομεν ἔκφρασιν, πρῶτον μὲν τὰ πρὸ τοῦ πολέμου διεξέλθωμεν, τὰς στρατολογίας, τὰ ἀναλώματα, τοὺς φόβους, τὴν χώραν δῃουμένην, [17] τὰς πολιορκίας, εἶτα τὰς συμβολάς, τὰς σφαγὰς, τὰ τραύματα καὶ τὸν θάνατον καὶ τὰ πάθη, [18] ἐφ' ἅπασι δὲ τῶν μὲν τὴν ἅλωσιν καὶ τὰ δάκρυα καὶ τὴν δουλείαν, τῶν δὲ τὴν νίκην καὶ τὰ τρόπαια καὶ τοὺς παιᾶνας, ὥς ἐστιν ἰδεῖν ἐν ταῖς προεκτεθείσαις εἰς παράδειγμα ἐκ τοῦ συγγραφέως ἐκφράσεσιν.

Καιροὺς δὲ καὶ τόπους ἀπὸ τῶν περιεχόντων καὶ ἐν αὐτοῖς ὑπαρχόντων· τινὲς τὸ περιεχόντων ἀντὶ τοῦ ἀπὸ τῶν περιεχομένων φασὶ τεθεῖσθαι ἀττικῶς, ὡς εἶναι ὅμοιον τῷ παρὰ τῷ Θουκυδίδῃ· „ἦν δὲ ὁ Θεμιστοκλῆς βεβαιότατα δὴ φύσεως ἰσχὺν δηλώσας, καὶ διαφερόντως τι ἐς [19] αὐτὸ μᾶλλον ἄξιος θαυμάσαι·“ ὃ ἀντὶ τοῦ θαυμασθῆναι ἐστί· τινὲς δὲ οὕτως ἑρμηνεύουσι· τὸ ἐκ τῶν περιεχόντων· τοῦτο γὰρ φασὶν εἰπεῖν, ἵνα ἐὰν λειμῶνα ἐκφράσαι βουληθῶ, τοῦ περιέχοντος αὐτὸν τόπου μνημονεύσας πρότερον, καὶ ἀρκούντως τὰ περὶ ἐκείνου εἰρηκὼς ὁδῷ προβαίνων τὰ περὶ τοῦ λειμῶνος ἐκφράσω. [20] ἐὰν δὲ περί τινος ἡμέρας ἢ νυκτὸς τυ-

---

16 Hermog. c. 10. p. 48. 17 Vind. τοὺς τὴν χώραν δεομένους. correxi ex Theone p. 241, 15. 18 Vind. *πάθη*. ad marg. *πένθη*. Laur. *πένθη*, sed ita scriptum, ut cum *πάθη* possit permutari. 19 *ἐς* Vind. om. — Thuc. I, 138. 20 Vind. ἔκφρασις.

χὸν ἐκφράσαι ὁρμηθῇς, ὡς πνιγώδης τις ἦν, τῆς πορείας [21] μνησθεὶς πρότερον καὶ διεξελθὼν ἱκανῶς τὰ ἐκείνης ἐπὶ τὴν προκειμένην ἡμέραν ἢ νύκτα τῷ λόγῳ βαδιῇ. Τῶν δὲ ἐκφράσεων αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ συνεζευγμέναι· καὶ ἁπλαῖ μὲν, ὡς αἱ πεζομαχίας ἢ ναυμαχίας ἐκφράζουσαι· τὴν τῆς ναυμαχίας ἔκφρασιν ὁ μὲν Ἀφθόνιος καί τις τῶν τὰ αὐτοῦ ἐξηγουμένων ἁπλῆν φασιν εἶναι· καὶ γάρ φησιν ὁ ἐξηγητὴς, ὅτι εἰ καὶ ἐμφαίνεται ὁ τόπος ἐν τῇ ναυμαχίᾳ ἡ Θάλασσα, ὅμως τὴν μάχην μόνην ἐκφράζομεν τὸν τόπον οὐ περιεργαζόμενοι· ὁ δὲ Γεωμέτρης τὴν τοιαύτην δόξαν ἀναιρῶν καὶ διπλῆν τιθέμενος εἶναι τὴν τῆς ναυμαχίας ἔκφρασιν, φησὶν ὅτι εἰ καὶ μὴ τὸν τόπον ἤγουν τὴν Θάλασσαν ἐν ταῖς ναυμαχίαις περιεργαζόμεθα, ὅμως τὰ ἀπὸ τῆς Θαλάττης κακὰ διηγούμεθα· ἔχει δὲ τὰ τοῦ Γεωμέτρου αὐταῖς λέξεσιν οὕτως· οὐχ ἁπλᾶς, οὐδὲ τὰς ἐκφράσεις ἐκφέρομεν, ἀλλὰ καὶ διπλᾶς, καὶ οὐ διπλᾶς μόνον, ἀλλὰ καὶ τριπλᾶς ἔστιν ὅτε· καὶ ἐπὶ πλέον ἁπλᾶς μὲν, ὥσπερ [22] εἴτις ἐκφράζει μάχην ἢ ἑορτήν· διπλᾶς δὲ ὥσπερ εἰ ναυμαχίαν· εἰ γὰρ καὶ ἁπλῇ τις τοῖς πολλοῖς ἔδοξεν, ὥσπερ καὶ ἡ πεζομαχία καὶ ἡ ἱππομαχία, ἀλλὰ τἀκριβὲς εἰπεῖν διπλῆ τις καὶ αὕτη, ὡς οὐ μόνον τὸν ἀγῶνα πρὸς τὸν πόλεμον ἔχουσα, καὶ τὰ ἐκ τούτων τραύματα καὶ τὰς πληγὰς καὶ τὰς σφαγὰς, ἀλλὰ καὶ τὰ ἀπὸ Θαλάττης κακά· εἰ δὲ καὶ ἔτι προσθείημεν τὴν νυκτομαχίαν, καὶ τριπλῆ τις ἂν εἴη πάντως, καὶ εὕρηταί τι τοιοῦτον παρὰ τοῖς παλαιοῖς, ὅτε τὴν ἐν Σφακτηρίᾳ νυκτομαχίαν ἐκφράζουσιν, ἐνταῦθα γὰρ καί τι ἐπιπλέον, οὐ μόνον ἡ Θάλασσα καὶ ἡ νὺξ καὶ ἡ μάχη, ἀλλὰ καὶ ἡ ἀπὸ τοῦ μερικοῦ τόπου

21 Codd. *θορυίας.* scripsi *πορείας.* 22 Vind. ὡς εἴ τις περ.

προσθήκη· μερικὸν δέ φημι διὰ τοὺς κοινούς, ὥσπερ ἐπὶ μὲν τῆς ναυμαχίας ἡ θάλασσα, ἐπὶ δὲ τῆς πεζομαχίας ἡ γῆ· ἀλλ' αὕτη καὶ τὸν ἰδιαίτερον ἔχει τόπον, τὴν Σφακτηρίαν, καὶ ὅπως ἐν δυσχωρίᾳ, καὶ ἀπὸ τοῦ ἕλους ἐμάχοντο, καὶ τὴν ἀπὸ τοῦ κρημνοῦ ἅλωσιν καὶ ὅσα τοιαῦτα.

Ὥσπερ ὁ Θουκυδίδης τὴν ἐν Σικελίᾳ νυκτομαχίαν· τοῦτο ὁ μὲν Σαρδέων περὶ τῆς ἐν τῇ δευτέρᾳ τῆς συγγραφῆς εἰσελεύσεως τῶν Θηβαίων εἰς Πλάταιαν νυκτὸς γενομένης εἰρῆσθαι νομίζει· τὸ δὲ οὐ περὶ αὐτῆς, ἀλλὰ περὶ τῆς νυκτερινῆς ἐπιθέσεως τῶν μετὰ τὴν Νικίου ἐπιστολὴν ἅμα Δημοσθένει εἰς Σικελίαν πλευσάντων καὶ τῇ Συρακουσίων πόλει ἐπιθεμένων, μᾶλλον εἴρηται ἐν τῇ ἑβδόμῃ τῆς Θουκυδίδου συγγραφῆς.

Ἐκ τοῦ Θουκυδίδου· [23] „Δημοσθένης ἰδὼν ὡς εἶχε τὰ πράγματα καὶ νομίσας οὐχ' οἷός τε εἶναι διατρίβειν ἐβούλετο τάχος ἀποχρήσασθαι τῇ παρούσῃ τοῦ στρατεύματος ἐκπλήξει, καὶ ὁρῶν τὸ περιτείχισμα τῶν Συρακουσίων ἁπλοῦν τε ὂν καὶ εἰ κρατήσειέ τις τῶν Ἐπιπολῶν τῆς ἀναβάσεως καὶ αὖθις τοῦ ἐν αὐταῖς στρατοπέδου, ῥᾳδίως ἂν αὐτὸ ληφθὲν [24] ἠπείγετο ἐπιθέσθαι τῇ πείρᾳ, καὶ ξυντομωτάτην ᾑρεῖτο διαπολέμησιν· πρῶτον [25] μὲν οὖν τήν τε γῆν ἐξελθόντες τῶν Συρακουσίων ἔτεμον καὶ οἱ Ἀθηναῖοι περὶ τὸν Ἄναπον [26] καὶ τῷ στρατεύματι ἐπεκράτουν, ὥσπερ τὸ πρῶτον καὶ τοῖς πεζοῖς καὶ ταῖς ναυσίν· ἔπειτα δὲ μηχαναῖς ἔδοξε τῷ Δημοσθένει πρότερον ἀποπειρᾶσθαι τοῦ περιτειχίσματος· ὡς δὲ αὐτῷ προσαγαγόντι κατεκαύθησαν ἀπὸ τοῦ τείχους αἱ μηχαναὶ ὑπὸ τῶν ἐναντίων, καὶ τῇ ἄλλῃ στρατιᾷ πολλαχῇ προσβάλλοντες ἀπεκρούσθησαν, οὐκέτι ἐδόκει

23 VII. 42. 24 Vind. ληφθείη. 25 Ante πρῶτον est ὁ in codd. 26 Vind. ἄιαππον.

διατρίβειν, ἀλλὰ πείσας τόν τε Νικίαν καὶ τοὺς ἄλλους ξυνάρχοντας, ἐπενόει καὶ τὴν ἐπιχείρησιν τῶν Ἐπιπολῶν ἐποιεῖτο· καὶ ἡμέρας μὲν ἀδύνατον ἐδόκει εἶναι λαθεῖν προσελθόντας τε καὶ ἀναβάντας· παρήγγειλαν δὲ πέντε ἡμερῶν σιτία, καὶ τοὺς λιθολόγους καὶ τέκτονας πάντας λαβὼν καὶ ἄλλην παρασκευὴν τοξευμάτων καὶ ὅσα ἔδει, ἦν κρατῶσι, [27] τειχίζοντας ἔχειν, αὐτὸς μὲν ἀπὸ πρώτου ὕπνου καὶ Εὐρυμέδων καὶ Μένανδρος ἀναλαβὼν τὴν πᾶσαν στρατιὰν ἐχώρει πρὸς τὰς Ἐπιπολάς· Νικίας ἐν τοῖς τείχεσιν ὑπελέλειπτο· καὶ ἐπειδὴ ἐγένοντο πρὸς αὐταῖς κατὰ τὸν Εὐρύηλον, λανθάνουσι τούς τε φύλακας τῶν Συρακουσίων καὶ προσβάντες τὸ τείχισμα, ὃ ἦν αὐτόθι, τῶν Συρακουσίων αἱροῦσι καὶ ἄνδρας τῶν φυλάκων ἀποκτείνουσιν· οἱ δὲ πλείονες διαφυγόντες πρὸς τὰ στρατόπεδα, ἃ τῶν Ἐπιπολῶν ἦν τρία, ἓν μὲν τῶν Συρακουσίων, ἓν δὲ τῶν ἄλλων Σικελιωτῶν, ἓν δὲ τῶν ἄλλων ξυμμάχων, ἀγγέλλουσι τὴν ἔφοδον καὶ τοῖς ἑξακοσίοις τῶν Συρακουσίων, οἳ καὶ πρῶτον κατὰ τοῦτο τὸ μέρος φύλακες ἦσαν τῶν Ἐπιπολῶν ἔφραζον· οἱ δὲ ἐβοήθουν τε εὐθὺς καὶ αὐτοῖς ὁ Δημοσθένης καὶ οἱ Ἀθηναῖοι ἐντυχόντες ἀμυνομένους προθύμως ἔτρεψαν· καὶ αὐτοὶ μὲν ἐχώρουν εὐθὺς εἰς τὸ πρόσθεν, ὅπως τῇ παρούσῃ ὁρμῇ τοῦ περαίνεσθαι, ὧν ἕνεκα ἦλθον, μὴ βραδεῖς γένωνται· ἄλλοι δὲ τὸ ἀπὸ τῆς πρώτης περιτείχισμα τῶν Συρακουσίων οὐχ ὑπομενόντων τῶν φυλάκων, ᾕρουν τε καὶ τὰς ἐπάλξεις ἀπέσυρον· [28] οἱ δὲ Συρακούσιοι καὶ οἱ ξύμμαχοι καὶ ὁ Ἱλλιππος καὶ οἱ μετ' αὐτοῦ ἐβοήθουν ἐκ τῶν προτειχισμάτων· καὶ ἀδοκήτου τοῦ τολμήματος ἐν νυκτὶ σφίσι γενομένου παρέβαλλόν τε τοῖς Ἀθηναίοις ἐκπεπληγμένοι καὶ βιασθέντες ὑπ' αὐτῶν τὸ πρῶτον ὑπεχώρησαν· προϊόντων δὲ τῶν Ἀθη-

27 Codd. ἐγκρατοῦ. 28 Vind. ἐπίσυρον.

ναίων συνταξίᾳ μᾶλλον ἤδη ὡς κεκρατηκότων καὶ βουλομένων διὰ παντὸς τοῦ μήπω μεμαχημένου τῶν ἐναντίων ὡς τάχιστα διελθεῖν, ἵνα μὴ ἀνέντων σφῶν τῆς ἐφόδου, αὖθις ξυστραφῶσιν, πρῶτοι αὐτοῖς οἱ Βοιωτοὶ ἀντέσχον, καὶ προσβαλόντες ἔτρεψάν τε καὶ ἐς φυγὴν κατέστησαν· καὶ ἐνταῦθα ἤδη ἐν πολλῇ ταραχῇ ἐγένοντο οἱ Ἀθηναῖοι, ἣν οὐδὲ πυθέσθαι ῥᾴδιον ἦν, οὐδ' ἀφ' ἑτέρων, ὅτῳ τρόπῳ ἕκαστα ξυνηνέχθη· ἐν μὲν γὰρ ἡμέρᾳ σαφέστερα μέν, ὅμως οὐδὲ ταῦτα οἱ περιγενόμενοι πάντα πλὴν τὸ καθ' αὑτὸν ἕκαστος μόλις εἶδεν· ἐν δὲ νυκτομαχίᾳ ἡ μόνη δὴ στρατοπέδων μεγάλων ἐν τῷδε τῷ πολέμῳ ἐγένετο, πῶς ἄν τις σαφῶς τι εἰδῇ; ἦν μὲν γὰρ σελήνη λαμπρὰ, ἐώρων δὴ οὕτως ἀλλήλους ὡς ἐν σελήνῃ εἰκὸς τὴν μὲν ὄψιν τοῦ σώματος προορᾶν, τὴν δὲ γνῶσιν τοῦ οἰκείου ἀπιστεῖσθαι· ὁπλῖται δὲ οὐκ ὀλίγοι ἀλλήλων ἐν στενοχωρίᾳ ἀνεστρέφοντο· καὶ τῶν Ἀθηναίων οἱ μὲν ἤδη ἐνικῶντο, οἱ δὲ ἐν τῇ πρώτῃ ἐφόδῳ ἀήττητοι ἐχώρουν· πολὺ δὲ τοῦ ἄλλου στρατεύματος αὐτοῖς τὸ μὲν ἄρτι ἀναβεβήκει, τὸ δὲ προσανῄει, ὥστ' οὐκ ἠπίσταντο πρὸς ὅ τι χρὴ χωρῆσαι· ἤδη γὰρ τὰ πρόσθεν τῆς τροπῆς γεγενημένης ἐτετάρακτο πάντα καὶ χαλεπὰ ἦν ὑπὸ τῆς βοῆς διαγνῶναι· οἵ τε γὰρ Συρακούσιοι καὶ οἱ ξύμμαχοι διαγνόντες παρεκελεύοντο, κραυγῇ οὐκ ὀλίγῃ χρώμενοι, ἀδύνατον ὂν ἐν νυκτὶ, ἄλλῳ τῳ σημῆναι καὶ ἅμα τοῖς προσφερομένοις ἐδέχοντο· οἵ τε Ἀθηναῖοι ἐζήτουν τε σφᾶς αὐτοὺς καὶ πᾶν τὸ ἐναντίον καὶ εἰ φίλον εἴη τῶν πάλιν ἤδη φευγόντων, πολέμιον ἐνόμιζον· καὶ τοῖς ἐρωτήμασι τοῦ ξυνθήματος πυκνοῖς χρώμενοι διὰ τὸ μὴ εἶναι ἄλλῳ τῳ γνῶναι· σφίσι δὲ αὐτοῖς θόρυβον παρεῖχον ἅμα πάντες ἐρωτῶντες· καὶ τοῖς πολεμίοις σαφὲς αὐτὸ κατέστησαν· τὸ δ' ἐκείνων οὐχ ὁμοίως ἠπίσταντο, διὰ τὸ κρατοῦντας αὐτοὺς καὶ μὴ διεσπασμένους ἧσσον ἀγνοεῖσθαι· μέγιστον δὲ καὶ οἴχ ἥκιστα ἔβλαψε καὶ ὁ παιωνισμός·

ἀπὸ γὰρ ἀμφοτέρων παραπλήσιος ὢν ἀπορίαν παρεῖχεν. οἵ τε γὰρ Ἀργεῖοι καὶ οἱ Κερκυραῖοι καὶ ὅσον Δωρικὸν μετ᾽ Ἀθηναίων ἦν, ὁπότε παιωνίσειαν φόβον παρεῖχον τοῖς Ἀθηναίοις· οἵ τε πολέμιοι ὁμοίως ὥστε συμπεσόντες αὐτοῖς κατὰ πολλὰ τοῦ στρατοπέδου, ἐπεὶ ἅπαξ ἐταράχθησαν, φίλοι τε φίλους, καὶ πολῖται πολίτας, οὐ μόνον ἐς φόβον κατέστησαν, ἀλλὰ καὶ εἰς χεῖρας ἀλλήλοις ἐλθόντες μόλις ἀπελύοντο· καὶ διωκόμενοι κατά τε τῶν κρημνῶν οἱ πολλοὶ ῥίπτοντες ἑαυτοὺς ἀπώλλυντο, στενῆς οὔσης τῆς ἀπὸ τῶν Ἐπιπολῶν πάλιν καταβάσεως, καὶ ἐπειδὴ εἰς τὸ ὁμαλὸν οἱ σωζόμενοι ἄνωθεν βαίνοιεν, πολλοὶ αὐτῶν καὶ ὅσοι ἦσαν τῶν προτέρων στρατιωτῶν, ἐμπειρίᾳ μᾶλλον τῆς χώρας ἐς τὸ στρατόπεδον διέφυγον· οἱ δὲ ὕστερον ἥκοντες εἰσὶν οἱ διαμαρτόντες τῶν ὁδῶν κατὰ τὴν χώραν ἐπλανήθησαν· οὓς, ἐπειδὴ ἡμέρα ἐγένετο, οἱ ἱππεῖς τῶν Συρακουσίων ἐπελάσαντες διέφθειρον· τῇ δὲ ὑστεραίᾳ οἱ μὲν Συρακούσιοι δύο τρόπαια ἔστησαν, ἐπί τε ταῖς Ἐπιπολαῖς ᾗ ἡ πρόσβασις καὶ κατὰ τὸ χωρίον, ᾗ οἱ Βοιωτοὶ πρῶτον ἀντέστησαν· οἱ δ᾽ Ἀθηναῖοι τοὺς νεκροὺς ὑποσπόνδους ἐκομίσαντο· ἀπέθανον δὲ αὐτῶν τε [29] οὐκ ὀλίγοι καὶ τῶν ξυμμάχων.“

Τόν τε χαρακτῆρα ἀνειμένον ἐκφέρειν· περὶ ἀνειμένου χαρακτῆρος τελεώτατα μὲν τῷ περὶ ἀφελείας ἐντυγχάνοντες λόγῳ ἐν τῷ τῶν ἰδεῶν Ἑρμογένους βιβλίῳ μανθάνομεν· ὡς δὲ καὶ συντόμως εἰπεῖν περὶ αὐτοῦ, ἀνειμένον λέγει χαρακτῆρα τὸν μὴ ἔχοντα πολυσυμφωνίαν, μηδὲ συγκρουσμὸν συμφώνων ἐπιτηδεύοντα, ὡς ἔχει τό· Ἀτρεὺς σκῆπτρον κρούει· τῇ τῶν φωνηέντων δὲ μᾶλλον κεχηνότα ἐπαλληλίᾳ. Καὶ ὅλως ἀπομιμεῖσθαι τὰ ἐκφραζόμενα πράγματα· τοῦτο οἱ μὲν οὕτως ἡρμήνευσαν, δέον ἐν ταῖς ἐκφράσεσι μὴ μόνον τὰ γεγονότα, ἀλ-

29 Vind. τε ponit post ὀλίγα.

λὰ καὶ τὰ μὴ γενόμενα μὲν, ἐνδεχόμενα δὲ γενέσθαι λέγειν ὅτι γεγόνασιν· οἷον εἰ πόλεμον ἐκφράζομεν, μὴ μόνον λέγειν ὅπως συνέβαλλον αἱ φάλαγγες, ὑπερεῖχε δὲ τὸ μέρος ἐκεῖνο καὶ τὰ τοιαῦτα, ἀλλ' ὅτι καὶ πρὸ τῆς συμβολῆς συννεφία καὶ σκότος καὶ βροντῶν ἦχοι βίαιοι, καὶ ὅσα τοιαῦτα· ταῦτα γὰρ, φησὶν, εἰ καὶ μὴ ἐγένοντο, ὅμως ἐπεὶ ἐνδεχόμενον ἦν γενέσθαι, λέγειν ἔξεστιν ὅτι ἐγένοντο· καὶ τοῦτό φασιν εἶναι τὸ ἀπομιμεῖσθαι τὰ ἐκφραζόμενα πράγματα. Ἕτεροι δὲ πάλιν οἱ καὶ ἀκριβέστερον ἑρμηνεύοντες τὸ ῥητὸν λέγουσι τὸ ὅλως ἀπομιμεῖσθαι τὰ ἐκφραζόμενα πράγματα εἰρῆσθαι, ἵνα μὴ καθάπερ ἐν ἀλλήλοις, οὕτω δὴ καὶ ἐκφράζοντες ἀναγκαζώμεθα τὰ μεγάλα μικρῶς λέγειν, καὶ τὰ μικρὰ μεγάλως, καὶ τὰ δεινὰ μετρίως, καὶ τὰ μέτρια δεινῶς· καὶ τὴν μὲν φυγὴν μέτριον οὖσαν πρᾶγμα ἢ δρασμὸν δεινότερος λέγειν ἢ ὑποχώρησιν μετριωτέρως λέγειν· καὶ τὴν δειλίαν οἰκονομίαν, καὶ τὴν σωφροσύνην ἠλιθιότητα, ἀλλ' οἷά εἰσι τὰ πράγματα, τοιαῦτα καὶ λέγεται· καί φησιν, ὅτι ἐπειδὴ σκοπὸς τῷ ἐκφράζοντι ὑπ' ὄψιν ἀγαγεῖν τὰ ἐκφραζόμενα πράγματα, πάντως ἀνάγκη καὶ ταῖς φύσεσι τῶν πραγμάτων ἀκολουθεῖν καὶ τὰ μὲν δεινὰ δεινῶς λέγειν, τὰ δὲ τερπνὰ τερπνῶς, καὶ τὰ σεμνὰ σεμνῶς καὶ τὰ θαυμαστὰ θαυμαστῶς, καὶ ὅλως ἀπομιμεῖσθαι τὰ ἐκφραζόμενα πράγματα, καὶ μὴν οὐ πράγματα μόνον, ἀλλὰ καὶ καιροὺς καὶ τόπους καὶ πρόσωπα, καί τινα ἄλλα ἐκφράζομεν· ἢ πράγματα οὐ τὰ τοῖς προσώποις καὶ τοῖς ἄλλοις τῶν περιστατικῶν ἀντιδιαλεγόμενα λέγει νῦν, ἀλλ' ἁπλῶς πάντα, κἂν τόπος ᾖ, κἂν χρόνος, κἂν ἄλλο τι.

Η ΜΕΛΕΤΗ ΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΟΣ.

Αἱ ἀκροπόλεις δὲ ἄρα ταῖς πόλεσιν· ὅπερ εἶπιν ἐν τῇ μεθόδῳ, ὅτι δεῖ τὸν χαρακτῆρα ἐν ταῖς ἐκ-

φράσεσιν ἀνειμένον ἐκφέρειν, τοῦτο ἐν προοιμίοις τῆς μελέτης ἐποίησεν, ἐπαγαγὼν τὸν δὲ σύνδεσμον, μὴ προειρημένου τοῦ μέν· ἀφελείας γὰρ καὶ γλυκύτητος τοῦτο, τὸ μὴ προηγησαμένου τοῦ μὲν ἐπαγαγεῖν τὸν δὲ, ὥσπερ ἐκεῖνο δεινότητος, τὸ προτιθεμένου τοῦ μὲν μὴ ἐπιφέρειν τὸν δὲ, ὅπερ καὶ παρὰ τοῖς τεχνικοῖς ἀπόλυτος λέγεται μερισμός· ἐχρήσαντο δὲ τούτῳ καὶ τῶν θύραθεν μὲν πολλοὶ, καθὰ καὶ ὁ κορυφαῖος τῶν ποιητῶν Ὅμηρος, ὡς τό·[30]

Βοιωτῶν μὲν Πηνέλεως καὶ Λήϊτος ἦρχον·

καὶ τῶν καθ' ἡμᾶς οὐκ ὀλίγοι· καθάπερ καὶ ὁ μέγας Λούκας ἐν ταῖς πράξεσι·[31] „τὸν μὲν πρῶτον λόγον ἐποιησάμην·“ Σημείωσαι δὲ ὅτι πλεονάζει τὸ τοιοῦτον ἐν τοῖς πανηγυρικοῖς, αὐτίκα γὰρ καὶ τό· „τί δὲ οἱ Μακκαβαῖοι·“[32] καὶ τό· „μαρτύρων δὲ μνήμης τοιαῦτά εἰσι·“ καὶ τὸν ἀλλὰ σύνδεσμον πολλάκις ἐν προοιμίοις εὕρῃς τῶν πανηγυρικῶν λόγων τιθέμενον· ὡς τό· „ἀλλ' ἐπειδὴ χειμὼν ἐκποδὼν, καὶ νέφος οὐδέν τι τὸν ὀφθαλμὸν λυπεῖ·“ καὶ τό· „ἀλλ' οὐδ' εἰ πλείονί τις εἶπῃ κατὰ Σωκράτους, ταύτῃ γέ τις ἀναδύσαιτο τὸν ἀγῶνα.“

Ἄρα ταῖς πόλεσι· τοῦτό τινες τὸ συμπέρασμά φασιν εἶναι τοῦ συλλογισμοῦ· ἔστι γὰρ, φασὶν, ὁ συλλογισμὸς τοιοῦτος· αἱ τῶν πόλεων ἄκραι εἰς κοινὴν ἑστᾶσιν ἀσφάλειαν· αἱ δὲ ἀκροπόλεις ἄκραι τῶν πόλεων, αἱ ἀκροπόλεις ἄρα εἰς κοινὴν ἑστᾶσιν ἀσφάλειαν· ἤρξατο δὲ ἀπὸ τοῦ συμπεράσματος, παραλιπὼν καὶ τὴν μίαν τῶν προτάσεων. ἔστι γὰρ ὅτε καὶ τοῦτο γίνεται, ὡς ἐν τῷ δευτέρῳ τῶν πρωτέρων ἀναλυτικῶν μανθάνομεν· τοιοῦτον δέ ἐστι καὶ τὸ ἐν τῷ ἐγκωμίῳ τοῦ Θουκυδίδου

30 Il. β, 494. 31 Act. I, 1. 32 Greg. Naz. Or. εἰς τοὺς Μακκαβαίους, initio.

προοίμιον· κἀκεῖ γὰρ ἀπὸ συλλογισμοῦ τὴν ἀρχὴν ποιησάμενος τὴν μίαν παρέλιπε τῶν προτάσεων. Εἰς τὸ αὐτό· ἄρα ἐπειδὴ συμπέρασμά ἐστι συλλογισμοῦ, τὸ αἱ ἀκροπόλεις δὲ ἄρα εἰς κοινὴν ἑστᾶσιν ἀσφάλειαν, εἰκότως τὸ ἄρα σύνδεσμον ἐν αὐτῷ περιέχει· εἰώθασι γὰρ τοῖς συμπεράσμασι τῶν συλλογισμῶν οἱ τοιοῦτοι προστίθεσθαι σύνδεσμοι, ὁ ἄρα, ὁ ἀλλὰ, ὁ ἀλλὰ μήν· διὸ καὶ συλλογιστικοὶ ὀνομάζονται· εἰσὶ δὲ ἀντὶ τοῦ πάντως. Πόλεων γὰρ ἄκραι γεγόνασι. πόθεν φησὶν δῆλον, ὅτι εἰς ἀσφάλειαν εἰσὶν αἱ ἀκροπόλεις τῶν πόλεων· ἐκ τοῦ ἐν ἄκρᾳ τῶν πόλεων αὐτῶν οἰκοδομεῖσθαι· εἰκὸς γὰρ αὐτὰς ἐν τοιούτῳ οὔσας τόπῳ ἐχυρῷ περιπεφράχθαι τείχῳ, δι' οὗ οὐκ αὐταῖς μᾶλλον ἢ ταῖς πόλεσιν ἀσφάλεια[33] περιγίνεται. Τειχίζονται δὲ οὐ μᾶλλον αὗται τοῖς οἰκήμασιν, ἢ τὰς πόλεις αὗται τειχίζουσιν. Ἐπειδὴ τὸ μὲν πρὸς τὴν πόλιν νεῦον τῆς ἀκροπόλεως μέρος οἰκήμασί τισι περιεστοίχισται, τὸ δὲ πρὸς τὰ ἔξω ταύτης ὁρῶν τείχοις, διὰ τοῦτό φασιν οὐ μᾶλλον τοῖς οἰκήμασιν αὐτὴ ἢ ἡ πόλις τῷ ἐκείνης τείχῳ τειχίζεται.

Καὶ τὴν μὲν Ἀθηναίων ἀκρόπολιν μέσος Ἀθηναίων περιείληφε χῶρος· ἀλλ' εἰ παρὰ τοῦτο, φησὶν, αἱ ἀκροπόλεις εἰς κοινὴν εἰσιν ἀσφάλειαν τῶν πόλεων, τῷ πόλεων ἄκραι εἶναι, πάντως ἡ τῶν Ἀθηναίων ἀκρόπολις μὴ τοιαύτη οὖσα, οὐδὲ ἀκρόπολις εἴη κυρίως· ἀλλ' ἴσως ἄν τις ζητήσαι καὶ πῶς ἀκρόπολις ὅλως ὠνόμασται, μὴ ἐν ἄκρῳ οὖσα τῆς πόλεως; καί φαμεν, ὅτι εἰ καὶ μὴ ἐν ἄκρῳ τῆς πόλεως, ὅμως εἰς ἄκρον ἀνέχουσα καὶ τὴν ἄλλην ὑπεραίρουσα πόλιν, δι' αὐτὸ τοῦτο ἀκρόπολις κατωνόμασται.

Ἄκρα δ' ἦν Ἀλέξανδρος τῆς οἰκείας πεποιη-

33 Vind. ἀσφάλειαν περιγίνονται.

ται πόλεως οἷς προσηγόρευσεν εἴργασται. Τὸ ἑξῆς ἐστιν οὕτω· ὁ δ' Ἀλέξανδρος προσηγόρευσεν ἀκρόπολιν τὴν τῆς οἰκείας πόλεως ἄκραν ἐξ ὧν αὐτὴ εἴργασται.

Ἔχει γὰρ ὧδέ πως, ὡς ὁ λόγος διέξεισιν· ἔχει τίς; οὐχ ἡ τῶν Ἀθηναίων, ἀλλ' ἡ τῶν Ἀλεξανδρείων ἀκρόπολις· ἔστι δὲ τοῦτο ἡ καλουμένη καταστατικὴ ἔννοια, ἥτις ἐστὶν εὐκρινείας. Ἄκρα τις ἐξανέχει τῆς γῆς· ἀλλὰ προσέθηκεν καὶ τὴν ἐξ πρόθεσιν, ἵνα τὸ λίαν ὑψηλὸν, ὡς ὁ Γεωμέτρης λέγει, διὰ τῶν δυοῖν παραδηλώσῃ προθέσεων· ὠφέληται δὲ τοῦτο, φησὶ, παρὰ τοῦ Ὁμήρου, φάντος ἐκείνου·

Σμώδιγξ[34] δ' αἱματόεσσα μεταφρένου ἐξ ὑπανέστη·

ἀλλὰ τὸ Ὁμηρικὸν τοῦτο ἀκριβέστερόν φησιν ἅμα καὶ καιριώτερον· οὐ γὰρ μόνον τὸ εἰς ὕψος παρέστησεν οἴδημα, ἀλλὰ διὰ τῆς διατριβῆς καὶ τὴν κατ' ὀλίγον ἀνάστασιν τοῦ οἰδήματος. καὶ ἡ ὑπὸ δὲ, φησὶ, πρόθεσις σχεδὸν τὴν κατ' ὀλίγον καὶ λεληθυῖαν ἀνάστασιν παρεδήλωσεν. Καλουμένη δὲ δι' ἀμφοτέρων ἀκρόπολις· ἀντίπτωσις, ἀντὶ γὰρ αἰτιατικῆς τῆς δι' ἀμφότερα[35] διὰ γενικῆς εἶπε δι' ἀμφοτέρων, κατὰ ῥητορικὴν ἄδειαν· οὐ διαφόρως τῶν ῥητόρων καὶ ταῖς πτώσεσι χρωμένων καὶ ταῖς προθέσεσιν.

Ὁδοὶ ἐπὶ ταύτην οὐχ ἴσαι· ἀντὶ τοῦ οὐχ ὅμοιαι, ποσότης, ἀντὶ ποιότητος. Τῇ μὲν γὰρ ὁδῷ, τῇ δὲ γέγονεν εἴσοδος· ἐμοὶ δὲ δοκεῖν, ὡς ἐκ τῶν ἐπιφερομένων ἐστὶ συνιδεῖν, μὴ εἴσοδος, ἀλλ' ἄνοδος δέον γεγράφθαι. ὥστε εἶναι τῇ μὲν γὰρ ὁδὸς, τῇ δὲ γέγονεν ἄνοδος· εἰ γὰρ τῶν ἐπὶ τὴν ἀκρόπολιν ἀγουσῶν ὁδῶν ἡ μέν ἐστιν ὁμαλὴ, ἀνθρώποις τε καὶ ἁμάξαις βατὴ, ἡ δὲ ἑτέ-

---

34 Il. β. 267. 35 In codd. super ρα scriptum est ον.

ἑτέρα ἄβατός ἐστι ταῖς ἁμάξαις διὰ τὸ προσανεσπᾶσθαι αὐτῇ ἀναβαθμούς, καὶ ἀνάγειν ἀπὸ τοῦ χθαμαλωτέρου πρὸς τὸ μετέωρον, πάντως τὴν μὲν λίαν καὶ ἁμάξαις βατὴν τοῦτο αὐτὸ δέον καλεῖσθαι ὁδὸν, παρὰ τὸ ἔω, τὸ πορεύομαι, τὴν δὲ ἑτέραν ἄνοδον ἀπὸ τοῦ ἡμᾶς δι' αὐτῆς ἀνιέναι. Τῇ μὲν γὰρ ὑπάρχει ποδὶ προελθεῖν· τοῦτό τινες μὲν οὕτως ἐξηγήσαντο, ἡ προκειμένη, φησὶ, τῇ ἀκροπόλει ὁδὸς τῇ μὲν πόλει καὶ τοῖς ἐνοικοῦσιν ὁδός ἐστιν, πρὸς δὲ αὐτὴν τὴν ἀκρόπολιν εἴσοδος, καὶ τῇ μὲν, ἤγουν τῇ πρὸς τὴν πόλιν ὁδῷ, ὑπάρχει ποδὶ προελθεῖν, τῇ δὲ εἰσόδῳ τῆς ἀκροπόλεως ἀνεσπάσθησαν ἀναβαθμοί· ὁ δὲ Γεωμέτρης οὕτως αὐτὸ ἐξηγήσατο· τὸ τῆς ἀκροπόλεως προειρηκὼς ὕψος ἐκδέχεσθαι δέδωκε καὶ ἡμῖν δύο τινὰς νοεῖν ὁδοὺς, ὥστε τὴν μὲν κατὰ τὸ πρόσω μᾶλλον ἄγειν ἐπὶ τὴν ἀκρόπολιν, τὴν δὲ κατὰ τὸ ἀπότομον· τοῦτο δὲ καὶ περὶ τῆς Ἰλίου λαβεῖν ἐστιν, καὶ αὐτὴν γὰρ ἐφ' ὑψηλοῦ λέγων ᾠκίσθαι ὁ ποιητὴς, τῇ μὲν λέγει προσβολὴν εἶναι καὶ ἐπίδρομον τοῖς τειχομαχοῦσι, τῇ δὲ ἀπόκρημνόν τε καὶ ἄβατον· τοιοῦτον τρόπον δεῖ νοεῖν καὶ ἐπὶ ταύτης τῆς ἀκροπόλεως, ὥστε κατὰ τοῦτο μὲν τὸ μέρος ὑπάρχειν αὐτῇ καὶ ποδὶ προελθεῖν καὶ πρὸς ἅμαξαν· καθ' ἑτέραν δὲ μὴ ἄλλως ἰσχύειν, εἰ μὴ διὰ τῶν κλιμάκων προσαναβαίνοντας· ταῦτα καὶ ὁ Γεωμέτρης περὶ τούτου· σὺ δὲ ἐπίστησον ὅτι ἀπὸ τῆς παρούσης ἐξηγήσεως οὐκ εἴσοδος μᾶλλον ἀλλ' ἄνοδος δέον γεγράφθαι.

Τῇ δὲ ἤδη προσανεσπάσθησαν ἀντὶ τοῦ ἐκ τῶν κάτω εἰς τὸ ἄνω εἱλκύσθησαν, προσανειλκύσθησαν καὶ ἀπὸ τῆς γῆς ἐπὶ τὸ μεῖζον ἐξήρθησαν· ἡ δὲ πρὸς πρόθεσις προσετέθη ἢ διὰ τὴν καλλιφωνίαν ἢ ἀντὶ τῆς σὺν προθέσεως τῆς σημαινούσης πλῆθος, οἷς ἂν προστεθῇ· οἷον σύμμαχον, συμπόσιον, ὥστε δηλοῦσθαι τῶν ἀναβαθμῶν τὸ πλῆθος.

Κλῖμαξ γὰρ ἐπὶ κλίμακι δίδωσιν ἀεὶ τὸ μεῖ-

ζον ἐξ ἐλάττονος ἄγουσα· πέφυκε γὰρ, φησὶ, καὶ ἐστὶ κλῖμαξ δευτέρα ἐπὶ τῇ πρώτῃ, καὶ τρίτη ἐπὶ τῇ δευτέρᾳ ἄγουσα ἐπὶ τὸ μεῖζον ἡ δευτέρα ἀπὸ τῆς πρώτης, τῆς οὔσης οἱονεὶ ἐλάττονος αὐτῆς διὰ τὸ χθαμαλώτερον· καὶ ἡ τρίτη ἀπὸ τῆς δευτέρας. Κλῖμαξ γὰρ ἐπὶ κλίμακι οὖσα δίδωσι τὸ μεῖζον ἄγουσα αὐτό· πόθεν; ἀπὸ τῆς ὑπ' αὐτὴν οἱονεὶ ἐλάττονος. Παραβαλλόμεναι δὲ τῇ κατασκευῇ παραπεπήγασι κίονες. τὸ παραβαλλόμεναι ἀντὶ τοῦ παρατιθέμεναι ἀλλήλαις καὶ συγκρινόμεναι ἑτέρα πρὸς τὴν ἑτέραν· διὰ τὸ μίαν ἑκάστην ἔχειν ἐξηλλαγμένην χρείαν.[36] Μετρίας[37] πολλὰς προβαλλόμενος κίονας· προτεινόμενος, προτιθεὶς, καὶ οἱονεὶ δεικνὺς μικρὰς πολλὰς κίονας. Μέγα τῶν ὄντων ὑπόμνημα· ὄντα νῦν τὰ θεῖα λέγει, ἢ καὶ τὰ τέσσαρα στοιχεῖα· ἤτοι γὰρ οἱ τῶν τεσσάρων στοιχείων τύποι ἢ οἱ τῶν ἄλλων θείων ἱστοριῶν ὑπῆρχον ἐν τῇ τοιαύτῃ κορυφῇ. Αὐλὴ δὲ κατὰ μέσον περίστυλος· ἡ περὶ πρόθεσις τὸ κύκλῳ ἐνταῦθα σημαίνει· αὐλὴ γὰρ ἦν στύλοις τισὶ περικυκλουμένη. Παρῳκοδόμηνται δὲ πλησίον τῶν στοῶν, ᾠκοδόμηνται τοῖς φιλοπονοῦσιν[38] ἠνεῳγμέναι φιλοσοφεῖν, τουτέστι κοῖς βουλομένοις φιλοσοφεῖν ἀνεῳγμέναι· ἢ λείπει ἡ διὰ πρόθεσις, ἵν' ᾖ διὰ τὸ φιλοσοφεῖν. ἔστι δὲ τοιοῦτον καὶ παρὰ τῷ Θουκυδίδῃ· „καὶ πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον, τῷ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν·“ καὶ πάλιν παρ' αὐτῷ·[39] „ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ χειμῶνος τούτου ἀρχομένου Σιτάλκης ὁ Τήρεω Ὀδρύσης[40] Θρᾳκῶν βασιλεὺς, ἐστράτευσεν ἐπὶ

36 Vind. *χρίαν.* 37 supra lineam in codd. *τινάς.* 38 ad marg. *φιλοσοφοῦσι ἀνεωγμ.* 39 II. 95. 40 Vind. Laur. *Ὀδρυσσῶν.* — Laur. ad marg. *τῆς Ἀδριανοῦ πόλεως. οὕτω γὰρ ἐκαλεῖτο ἡ Ἀδριανού πολις, ἔπειτα Ὀρεστιάς, καὶ τελευταῖον, ὡς νῦν καλεῖται.*

Περδίκκαν τὸν Ἀλεξάνδρου, Μακεδονίας βασιλέα καὶ ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης, δύο ὑποσχέσεις. λείπει γὰρ ἡ διὰ, ἵν' ᾖ, διὰ δύο ὑποσχέσεις.

Ὀροφὴ δὲ ἦν[41] *χρυσὸς κατεσκεύασεν· ἀντὶ τοῦ εἰπεῖν, ὀροφὴ δὲ ταῖς στοαῖς ἐκ χρυσοῦ, ὀροφὴ δὲ ταῖς στοαῖς, ἣν χρυσὸς κατεσκεύασεν, εἶπεν, ἵνα τὸν ἰδιωτισμὸν ἐκφύγῃ. Οὕπω τις*[42] *προβὰς ὅπη πρόεισιν ἔγνωκε, σημείῳ τῇ κίονι χρώμενος τῶν ὁδῶν. Διπλῆ ἡ γραφή· τὰ μὲν γὰρ τῶν βιβλίων σημείῳ τῇ κίονι ἔχει χωρὶς τοῦ μὴ ἐπιῤῥήματος· τὰ δὲ μὴ σημείῳ μετὰ τοῦ μή· ἀποδέχεται δὲ τὴν προτέραν γραφὴν ὁ Γεωμέτρης περὶ μὲν τῆς δευτέρας λέγων μὴ εἶναι θαυμαστὸν, εἰ μή τις οἶδεν ὅπη πρόεισι, μὴ σημείῳ τῇ κίονι τῶν ὁδῶν χρησάμενος· τοῦτο γάρ φησι καὶ ἐπὶ πάντων. τὴν δὲ προτέραν ἑρμήνευσεν καὶ λέγων, ὅτι τὴν χρείαν αὔξων τοῦτό φησι τῆς ἀκροπόλεως ἰδιαίτερον, ὅτι καὶ μήπω τις ἐγγίσας, μηδὲ πλησίον ἐλθὼν, ὅπη πρόεισιν ἔγνωκεν, ὡς σημείῳ τῇ κίονι χρώμενος.*

Ἀρχαὶ δὲ τῶν ὄντων· ἀρχὰς τῶν ὄντων τὰ τέσσαρα λέγει στοιχεῖα, διότι ἐκ τῆς συνθέσεως αὐτῶν τἄλλα πάντα καὶ γένη καὶ ζῶα γεγόνασιν, οὐκ αὐτὰ δὲ τὰ ὄντα τῇ κορυφῇ παρεστᾶσι πάντως τῆς κίονος, ἀλλ' οἱ τύποι τούτων. Δύο δὲ ὀβελοὶ ἀνεστήκασι λίθινοι· τὰ αὐτὰ δὲ καὶ πυραμίδες λέγονται· πυραμίδες μὲν διὰ τὸ ἐκ πλατυτέρας ἄρχεσθαι βάσεως· τοιοῦτόν γε καὶ τὸ τοῦ πυρὸς σχῆμα· ὀβελοὶ δὲ διὰ τὸ εἰς ὀξὺ λήγειν.

Τῆς τῶν Πεισιστρατιδῶν. Πεισιστρατίδαι οἱ Ἀθηναῖοι ἀπὸ Πεισιστράτου· περὶ δὲ τῆς τῶν Ἀθηναίων κρήνης λέγει ὁ Θουκυδίδης,[43] *ὅτι τὸ μὲν πρῶτον φανερῶν τῶν πηγῶν αὐτῆς οὐσῶν Καλλιρρόη ὠνομάζετο, ὕστερον δὲ Ἐννεάκρουνος τῶν τυράννων οὕτω κατασκευασάν-*

41 Vind. ἦν. 42 Vind. τῆς. 43 Thuc. II, 15.

των· καὶ τὰ νῦν δὲ Καλλιῤῥόη ὀνομάζεται· τινὲς δὲ παροξυτόνως ἀνέγνων, καὶ κρήνη τῶν Πεισιστρατίδων ἄμεινον ἔχουσα, ὡς εἶναι τὰς Πεισιστρατίδας κρήνας διὰ τὸ τὸν Πεισίστρατον ἀνακαθᾶραι αὐτάς. Καὶ τὸ θαῦμα γέγονεν ἄπιστον, τῶν σκευασάντων ἔχον τὸν ἀριθμόν· καὶ τὸ θαυμάσιον τοῦτο, φησὶ, κατὰ τὸ σκεύασμα ἡ ἀκρόπολις λεγόμενον, ὅτι ὑπὸ δέκα καὶ δύο βασιλέων ἐτελεσιουργήθη, ἀπιστεῖται· ἄπιστον γὰρ τὸ πρὸς ἑνὸς μόνου τελεσιουργίαν δώδεκα μόλις ἐξαρκέσαι βασιλεῖς. Σταδίῳ προσεοικώς· στάδιον ἐνταῦθα οὐ τὸ μέτρον λέγει, ἀλλὰ τὸ θέατρον. Εἰ δέ τι παραλέλειπται, ἐν παραθήκῃ γεγένηται θαύματος· εἰ δέ τι, φησὶ, παρείθη καὶ οὐκ ἐῤῥήθη, καὶ τοῦτο εἰς προσθήκην καὶ αὔξησιν τοῦ θαύματος γέγονε· διότι γὰρ κρεῖττον ἦν λόγου τὸ παρεθὲν, διὰ τοῦτο καὶ παραλέλειπται.

Cap. XIII.

ΠΕΡΙ ΘΕΣΕΩΣ.

Ὀφείλομεν καὶ περὶ τῆς θέσεως ταῦτα ζητῆσαι· πρῶτα μὲν, πόσα σημαίνει τὸ τῆς θέσεως ὄνομα, καὶ περὶ ποίου τῶν σημαινομένων ἐστὶ τὰ νῦν ὁ λόγος. Ἔπειτα δὲ, πόθεν αὐτὸ θέσις ὠνόμασται· μετὰ δὲ καὶ τὴν τάξιν ζητήσομεν τοῦ γυμνάσματος, καὶ πρὸς ποῖον μὲν τῆς ῥητορικῆς εἶδος, πρὸς ποῖον δὲ τοῦ πολιτικοῦ λόγου συμβάλλεται· Θέσις τοίνυν λέγεται μὲν καὶ ὁ ὁρισμὸς, λέγεται δὲ καὶ ἡ κατάνευσις, ὡς τὸ, συγκατέθετο ὁ ἐρωτηθείς· λέγεται θέσις καὶ ἡ παράδοξος ὑπόληψις ἑνός τινος τῶν κατὰ φιλοσοφίαν γνωρίμων, ὡς ἡ Ἀντισθένους, ὅτι οὐκ ἔστιν ἀντιλέγειν, ἢ ἡ Ἡρακλείτου, ὅτι πάντα

κινεῖται· ἢ ἡ Παρμενίδου, ὅτι ἓν τὸ ὂν καὶ ἀκίνητον.[1] εἰ δὲ πλειόνων εἴη ἡ δόξα, εἰ μὲν ἀστεῖοι εἶεν, αἵρεσις γίνεται. εἰ δ' ἀγελαῖοι, κοινὴ ἔννοια λέγεται. καὶ Θέσις ἡ τοπικὴ σχέσις, ὡς τὸ ἄνω καὶ τὸ κάτω· ἔστι δέ τι καὶ σχῆμα παρὰ τοῖς ῥήτορσιν, ὅπερ κατὰ ἄρσιν καὶ Θέσιν ὀνομάζεται. οἷον οὐ κοσμικῶς ἀλλ' ὑπερκοσμίως. ἄρσις μὲν γὰρ καὶ οἷον ἀναίρεσίς ἐστι τὸ οὐ κοσμικῶς, Θέσις δὲ τὸ ἀλλ' ὑπερκοσμίως. Θέσις λέγεται καὶ ὁ ὑπερθετικὸς λόγος, ἤγουν ὁ μὴ ὢν μέν, ὡς ὢν δὲ παραλαμβανόμενος. καὶ ἡ εἰς ἄτοπον ἢ ἀδύνατον οὕτως ὀνομαζομένη παρὰ τῶν διαλεκτικῶν ἀπαγωγή· οἷον Θῶμεν εἶναι τὸν οὐρανὸν μὴ σφαιροειδῆ ἢ τὴν ψυχὴν μὴ ἀθάνατον. εἰ γοῦν μὴ ἀθάνατος, ἀλλὰ θνητή, οὐδὲ τὰ ἐκεῖθεν δικαιωτήρια, οὐδὲ ἀνταπόδοσις τῶν βεβιωμένων. εἰ δὲ οὐκ ἀνταπόδοσις, οὐδὲ δίκη. εἰ δὲ οὐ δίκη, οὐδὲ πρόνοια. ὁρᾷς, ὅπως ὁ λόγος εἰς ἄτοπον ἀπάγεται. Θέσις λέγεται καὶ τὸ οὕτω παρὰ γραμματικῶν ὀνομαζόμενον ἐπίῤῥημα, οἷον ῥητορευτέον, τειχιστέον, πλευστέον. Θέσις λέγεται καὶ ἡ τῶν τοιούτων ἐπιῤῥημάτων λογικὴ ἐπίσκεψις. τοσούτων τοίνυν ὄντων τῶν σημαινομένων τοῦ τῆς Θέσεως ὀνόματος, περὶ τοῦ τελευταίου τὰ νῦν ἐστιν ὁ λόγος. γυμναζόμεθα γὰρ ἐν τῷ παρόντι γυμνάσματι συνιστᾶν διά τινων κεφαλαίων ἢ τοὐναντίον ἀνατρέπειν τῶν τοιούτων τι. Ἐπεὶ τοίνυν ὑποδέδεικται τά τε σημαινόμενα τῆς Θέσεως καὶ τὸ περὶ ποίου τῶν σημαινομένων ἐστὶν ἡμῖν νῦν ἡ σκέψις, ὀφείλομεν λοιπὸν εἰπεῖν καὶ πόθεν Θέσις τὸ παρὸν ὠνόμασται γύμνασμα.

Τὰ μὲν οἶν ὅτι ὥσπερ γνώμης λεγομένου τοῦ κεφαλαιώδους λόγου τοῦ ἐν ἀποφάνσεσιν, οἷον·

Χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντον
Ῥιπτεῖν καὶ πετρῶν, Κύρνε, καπ' ἠλιβάτων·

1 Vind. ἀνίκητον.

καὶ ἡ τούτου μελέτη ὁμωνύμως αὐτῷ γνώμη λέγεται. καὶ ὥσπερ πάλιν χρείας λεγομένου τοῦ, Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν ἔφη πικρὰν, γλυκεῖς δὲ τοὺς καρποὺς, καὶ ἡ αὐτοῦ μελέτη, χρεία λέγεται, οὕτω δὴ καὶ Θέσεως λεγομένου τοῦ γαμητέον καὶ τοῦ τειχιστέον καὶ πλευστέον, καὶ αἱ τούτων λογικαὶ ἐπισκέψεις Θέσεις λέγονται καὶ θετικὰ ἐπιῤῥήματα, ὡς μέν τινές φασι, καθ' ὁμοιότητα τοῦ ὁρισμοῦ, ὃς καὶ αὐτὸς Θέσις λέγεται. καὶ γὰρ, φασὶν, ἐνταῦθα τὴν τοῦ πράγματος φύσιν οἱονεὶ ὁριζόμεθα. ὡς δὲ ὁ Σώπατρος λέγει, Θέσις εἴρηται ἐκ τοῦ τίθεσθαι ἡμᾶς καὶ ὥσπερ εἰπεῖν δογματίζειν, ὅτι τόδε καλὸν ἢ κακόν· ἡμεῖς δὲ λέγομεν, ὅτι δύνανται καὶ ἀπὸ τῆς κατανεύσεως, ἥτις καὶ αὐτὴ Θέσις λέγεται, καὶ ἀπὸ τῆς παραδόξου ὑπολήψεως, καὶ ἀπὸ τοῦ σχήματος τῆς Θέσεως, ᾗ ἀντίκειται ἡ ἄρσις, Θέσεις καὶ τὰ τοιαῦτα ἐπιῤῥήματα λέγεσθαι. ἀπὸ μὲν τῆς κατανεύσεως, διότι κἂν τούτοις τὸ πλευστέον, τρόπον τινὰ κατανεύει τὸ πλεῖν, ὥσπερ ὁ λέγων, οὐ πλευστέον τοὐναντίον φαίνεται ἀπονεύων. ἀπὸ δὲ τῆς παραδόξου ὑπολήψεως, διότι κἀνταῦθα ὑπολαμβάνων τις, ὅτι καλόν ἐστι τὸ πλεῖν ἢ τὸ γεωργεῖν, λέγει τὸ γεωργητέον ἢ τὸ πλευστέον. ἀπὸ δὲ τοῦ σχήματος τῆς Θέσεως, διότι, ὥσπερ τὸ σχῆμα ἡ Θέσις λόγος ἐστὶ δηλῶν τι ὑπάρχειν, οὕτω κἀνταῦθα λέγοντες, ὅτι τειχιστέον ἢ πλευστέον δηλοῦμεν, ὅτι πρόσεστι τῷ τειχίζειν καὶ τῷ πλεῖν τὸ ἀγαθόν. ἀλλ' ἴδωμεν διὰ τί πρὸ τῆς τοῦ νόμου εἰσφορᾶς τὸ παρὸν τέτακται γύμνασμα, φαμὲν τοίνυν, ὅτι, ὥσπερ διὰ τὸ εἶναι τελεώτερον τῶν προηγησαμένων μετ' ἐκεῖνα ἐτάχθη. τελεώτερον γάρ ἐστιν ἐκείνων, ἀντίθεσιν καὶ λύσιν ἐπισχόμενον κατὰ ζήτημα, οὕτω δὴ καὶ διὰ τὸ εἶναι τῆς τοῦ νόμου εἰσφορᾶς ἀτελέστερον πρὸ ἐκείνου ἐτάχθη· ὅτι δὲ τελεώτερόν ἐστιν ἡ τοῦ νόμου εἰσφορὰ τῆς Θέσεως, καὶ αὐτὸς ὁ Ἀφθόνιος ἐν τῷ περὶ ἐκείνης

δείκνυσι λόγῳ οὑτωσί πως λέγων· καὶ τὴν εἰσφορὰν, τοῦ νόμου τινὲς εἶναι δεδώκασι γύμνασμα. ἔστι μὲν γὰρ σχεδὸν ὅλη ὑπόθεσις, οὐ μὴν ἅπαντα σώζει τὰ τῆς ὑποθέσεως· οἷς μὲν γὰρ ὅλως περίστασιν δέχεται, ὑπερβαίνει τὴν θέσιν, οἷς δὲ σαφῆ μὴ σώζῃ τὴν περίστασιν, ὑποθέσεως λείπεται. καὶ μὴν εἴπῃ τις τελεωτέραν μᾶλλον εἶναι τὴν θέσιν τῆς νόμου εἰσφορᾶς, εἰ δὴ ἡ μὲν θέσις καθολικώτερόν ἐστιν, μὴ ἔχουσα περίστασιν, ἡ δὲ τοῦ νόμου εἰσφορὰ μερικώτερον. καὶ λέγομεν, ὅτι ἐπειδὴ τὰ παρόντα γυμνάσματα πρὸς τοὺς τελείους λόγους ἡμᾶς προγυμνάζουσιν, ἤγουν πρὸς τὰς ὑποθέσεις, ἐκεῖνο δοκεῖ τελεώτερον, τὸ μᾶλλον προγυμνάζον εἰς τὴν ὑπόθεσιν. τοιοῦτον δέ ἐστιν ἡ τοῦ νόμου εἰσφορὰ μᾶλλον τῆς θέσεως κοινωνοῦσα τῇ ὑποθέσει, διὰ τὸ περίστασιν δέχεσθαι. εἰ δέ τις λέγει, ὅτι καὶ ἡ θέσις περίστασιν δέχεται, ἔχει γὰρ τὸ πρᾶγμα, ὅπερ ἐστὶ τῶν περιστατικῶν, λέγομεν ὅτι οὐκ ἔστι τὸ πρᾶγμα τῶν κυρίως περιστατικῶν, ἀλλὰ τὰ λοιπὰ ὡς περιϊστάμενα τὸ πρᾶγμα· ἀνάγκη γὰρ τὸ πρᾶγμα ὑπὸ τοῦδε πραχθῆναι τοιῶσδε κατὰ τόνδε τὸν χρόνον ἐν τῷδε τῷ τόπῳ διὰ τήνδε τὴν αἰτίαν. τινὲς δὲ λέγουσιν, ὅτι οὐκ ὤφειλεν ὅλως ταῖς ῥητορικαῖς γυμνασίαις συνταχθῆναι ἡ θέσις· ἡ γὰρ θέσις, φασὶ, περὶ τῶν καθόλου διαλέγεται· τὸ γὰρ εἰ γαμητέον, εἰ πλευστέον, εἰς καθολικήν· τὸ δὲ περὶ τῶν καθόλου ζητεῖν φιλοσόφων, οὐ τῶν ῥητόρων ἐστὶν, οἷον θέσις τὸ, εἰ γαμητέον, ὅμως γυμνάζον πρὸς τὸ δύνασθαι λέγειν, ὅταν δέῃ ἐπὶ τῶν μερικῶν· διὰ τοῦτο τοῖς γυμνάσμασιν συντάττομεν καὶ αὐτήν· τῇ γὰρ θέσει προσθέντες τὸ ἀπὸ τοῦ τρόπου περιστατικὸν, οἷον τὸ Σωκράτης ἢ Πλάτων, ποιοῦμεν αὐτὴν μερικὴν, τουτέστιν ὑπόθεσιν. Ἔτι δὲ καὶ εὐχερεστέραν καὶ ἁπλουστέραν ἔχον τὴν διαίρεσιν, εὐκολώτερον γὰρ τὸ συστῆναι τῷ γαμητέον Σωκράτη, ὅπερ ἐστὶν ὑπόθεσις· ἐν ἐκείνῳ γὰρ τὰ

μόνῳ τῷ πράγματι, ἐν δὲ τούτῳ καὶ τὰ προσώπῳ καὶ τὰ τῷ πράγματι ἁρμόζοντα λέγομεν· καὶ εἰκότως ἐν τοῖς γυμνάσμασι τέτακται, ὡσὰν δι' αὐτοῦ τοῦ εὐχερεστέρου ἔχοντες τὴν διαίρεσιν, καθολικῶς τὰ πράγματα ἐξετάζοντες, καὶ περὶ τῶν μερικῶν τῶν πραγματειωδεστέραν τὴν μελέτην ἐχόντων, ὅταν δέῃ, λέγειν δυνώμεθα. Ὑπόλοιπα τῶν προτεθέντων εἰς ζήτησιν εἰς ποῖον μὲν εἶδος τῆς ῥητορικῆς, εἰς ποῖον δὲ μέρος τοῦ πολιτικοῦ λόγου συμβάλλεται. συμβάλλεται τοίνυν πρός τε τὸ συμβουλευτικὸν εἶδος καὶ πρὸς τὸ ἀγωνιστικὸν μέρος τοῦ πολιτικοῦ λόγου. ἀλλ' ἐπειδὴ τὸ συμβουλευτικὸν διαιρεῖται εἵς τε τὸ παραινετικὸν, ὅπερ καὶ ἀστασίαστον, καὶ εἰς τὸ ὁμώνυμον τῷ γένει συμβουλευτικὸν, ὅπερ καὶ στασιάζεται, πρὸς ποῖον ἄρα ἡ θέσις συμβάλλεται; καί φαμεν, ὅτι πρὸς ἀμφότερα· καὶ γὰρ τῶν θέσεων αἱ μὲν εἰσὶ τοῦ πανηγυρικοῦ εἴδους, οἷον εἰ προσκυνητέον τὸ θεῖον, εἰ τὴν ἀρετὴν τιμητέον, αἱ δὲ τοῦ συμβουλευτικοῦ, οἷον εἰ τοὺς ἐχθροὺς μισητέον, εἰ πλουτιστέον· εἰ δέ τις ἐρεῖ, καὶ πῶς ἐπὶ τῶν παραινετικῶν θέσεων ἀντιθέσεις ἢ λύσεις ταχθήσονται, ὅπου τὸ παραινετικὸν ἀστασίαστόν ἐστιν, δέον δὲ πάντως ἐν θέσει καὶ ἀντίθεσιν καὶ λύσιν εἶναι, φήσομεν, ὅτι ἔστι τινὰ κἂν ταύταις ταῖς ἀντιθέσεσιν ἀντιπίπτοντα, εἰ καὶ διὰ μηδὲν ἄλλο, τόγε τοῖς ὠφελίμοις καὶ ἀγαθοῖς μὴ πανταχοῦ καὶ τὸ ῥᾷστον συνεῖναι, ἀλλ' ὡς τὸ πλεῖστον διεστηκέναι μάλιστα τά τε ἥδιστα καὶ τὰ βέλτιστα. χαλεπὸν γὰρ ἡ ἀρετή. Σημείωσαι δὲ, ὅτι τῶν περιστατικῶν περιαιρουμένων ἀπὸ τῶν ὑποθέσεων, θέσεις ἀναφανήσονται, οἷον εἰ μὲν Σωκράτην εἴποι τις τὸν Ἀθηναῖον Φιλίππου καταλαβόντος Χαιρώνειαν δεῖν ἐξιέναι ἐπὶ τὸν πόλεμον, τελεία τις ἡ ὑπόθεσις. εἰ δὲ τὴν χώραν τῶν πολεμίων καταλαβόντων λέγοι τις καὶ τοὺς φιλοσόφους ἐξιέναι ἐπὶ τὸν πόλεμον, θέσις ἂν εἴη τοῦτο καὶ γύμνασμα· καὶ πάλιν εἰ μὲν

Ἀθηναίοις ὑπὸ Λακεδαιμονίων πολιορκουμένοις συμφέρει καὶ ἐπὶ Σικελίαν ἐκπέμπειν στράτευμα ὑπόθεσις· [2] εἰ δὲ συμφέρει πολιορκουμένοις εἰς τὴν ὑπερορίαν πέμπειν στράτευμα ἢ στόλον, θέσις. τινὲς δὲ ζητοῦσιν, ὅτι ἐπειδὴ πολλάκις τινὰ μὲν τῶν περιστατικῶν εὑρίσκομεν παρὰ τοῖς παλαιοῖς, καί τινα δὲ ἐκλείποντα, οἷον εἰ τύχῃ πρόσωπον εὑρίσκεσθαι καὶ καιρούς, τόπους δὲ καὶ αἰτίας ὑπολιμπάνεσθαι, [3] ἢ τὸ ἀνάπαλιν, τί ἂν ὀνομάζοιμεν τὰς τοιαύτας τῶν ἐξετάσεων; καὶ πρὸς τοῦτό φησιν ὁ Γεωμέτρης, ὅτι μεταξὺ θέσεων καὶ ὑποθέσεων τὰ τοιαῦτα κλητέον. καὶ τῶν θέσεων πλεῖον, τῶν δὲ ὑποθέσεων ἔλαττον κατὰ τοσοῦτον, καθόσον ἂν καὶ ἐκλίπῃ ἢ πλεονάζῃ τὰ περιστατικά· καιριώτατον [4] δὲ τῶν περιστατικῶν ἡ αἰτία. κἂν πάντα εὑρεθῇ τὰ λοιπά, μόνον δὲ τὸ τῆς αἰτίας ἐστὶν ἀπολιμπανόμενον, ἀπολιμπάνεσθαι δὴ φήσομεν τῆς τελείας ὑποθέσεως καὶ τὸ πρᾶγμα. σημείωσαι καὶ τοῦτο, ὅτι ὁ λόγος ὁ καθ' ἡμᾶς διαιρεῖται εἰς τὸν ἐνδιάθετον καὶ τὸν προφορικόν· ὁ δὲ ἐνδιάθετος πάλιν ὑποδιαιρεῖται εἰς θεωρητικὸν καὶ πρακτικόν· καὶ ἔστι θεωρητικὸς μὲν λόγος ἐπίσκεψιν ἔχων ἄχρι μόνης θεωρίας ἱσταμένην. ζητοῦντες γὰρ, πῶς κινεῖται ὁ οὐρανὸς, ἆρα μυλοειδῶς ἢ σφαιροειδῶς, ἄχρι μόνης γνώσεως ποιοῦμεν τὴν ζήτησιν. πρακτικὸς δέ ἐστι λόγος ἐπίσκεψιν ἔχων ἐπὶ διαδεχομένῃ πράξει λεγόμενος. οἷον συμβουλεύει Δημοσθένης Ὀλυνθίοις βοηθεῖν. οὐκ ἄχρι γὰρ μόνης τῆς συμβουλῆς ἵσταται, ἀλλ' ἵνα καὶ πρᾶξις τὴν συμβουλὴν διαδέξηται. ὑποδιαιρεῖται δὲ ἕκαστον τούτων ὁ μὲν θεωρητικὸς εἰς θέσιν καὶ τὸ πανηγυρικόν· ἔστι γὰρ θέσις λόγος ἐπίσκεψιν ἔχων, οὐκ ἐπὶ διαδεξομένῃ

---

2 ὑπόθεσις — πέμπειν στρατ. Vind. om. Supplevi ex Theone c. I. p. 150. 3 Vind. ad marg. ἀπο. 4 Codd. κηριώτατον. ad marg. καιριώτατον.

πράξει γινόμενος, οἷον γαμητέον, πλευστέον. φαμὲν γὰρ, ὅτι μόνον καλόν ἐστιν τὸ γαμεῖν, ἢ τὸ πλεῖν. εἰ δέ τις ἀκούων γαμήσει ἢ πλεύσει, οὐ παρὰ τοῦ εἰπόντος ἡ αἰτία, οὐ γὰρ ὁ εἰπὼν καλὸν τὸ πλεῖν ἤδη εἶπε καὶ τῷ πλεύσαντι, πλεῦσον, οὐ μὴν ἐν τῇ ὑποθέσει τοῦτο, ἐν ἐκείνῃ γὰρ οὐκ ἐπ᾽ ἄλλῳ τινὶ ἡ συμβουλὴ γίνεται, ἀλλ᾽ ἢ ὡς ἂν ἡ πρᾶξις αὐτὴν διαδέξηται. πανηγυρικὸν δέ ἐστιν αὔξησις ὁμολογουμένων ἀγαθῶν ἢ κακῶν· ὠνόμασται δὲ οὕτως ἀπὸ τοῦ πάντα ἐγείρειν τῷ νῷ. τὸ γὰρ ἐγκωμιάζειν ἢ ψέγειν οὐ μόνον τοῦ προφορικοῦ, ἀλλὰ καὶ τοῦ ἐνδιαθέτου· δυνατὸν γὰρ τὸν ἐγκωμιάζοντα μὴ ἐπιδεικνύμενον ἐκδοῦναι τὸ ἐγκώμιον γεγραμμένον. τὸ δὲ πρακτικὸν διαιρεῖται εἰς βουλὴν καὶ δίκην. ἔστι δὲ βουλὴ μὲν λόγος προτρεπτικὸς ἢ ἀποτρεπτικὸς, τέλος ἔχων τὸ συμφέρον. δίκη δὲ ἀμφισβήτησις λογικὴ, τέλος ἔχουσα τὸ δίκαιον. καὶ ταῦτα μὲν πρὸς [5] ταῦτα τὰ εἴδη ἐνδιαθέτου· ὁ δὲ προφορικὸς εἰς τίνα καὶ πόσα διαιρεῖται, ἐν τῷ περὶ τῆς γνώμης λόγῳ εἰρήκαμεν· ζητεῖται δὲ εἰ καὶ ἐν τῷ μύθῳ συμβουλὰς καθόλου ποιούμεθα, ὅτι φιλοπονητέον, ὅτι γεωργητέον, ὅτι σπουδαστέον ὑπὲρ πατρίδος ἢ φίλου, τί διαφέρει τοῦ μύθου ἡ θέσις; καί φασὶ, διαφέρειν ἀλλήλων μῦθον καὶ θέσιν, καθὸ ἐν μὲν τῷ μύθῳ δι᾽ ὁμολογουμένων ψευδῶν, ἐν δὲ τῇ θέσει δι᾽ ἐνδόξων τὸ βούλημα περαίνομεν.

Θέσις ἐστὶν ἐπίσκεψις λογική· τὴν θέσιν ἔνιοι μὲν ὡρίσαντο λόγον, ᾧ ἀναγκαίως οὐ παρέπεται πρᾶξις· τὸ ᾧ ἀναγκαίως οὐ παρέπεται πρᾶξις προσθέντες διὰ τὴν ὑπόθεσιν· ἐκείνῃ μὲν γάρ φασιν ἀναγκαίως παρέπεται πρᾶξις, τῇ δὲ θέσει οὐδαμῶς. εἰ γάρ τις, φασὶ, λέγοντός μου, ὅτι καλόν ἐστι τὸ πλεῖν ἀκοῦσαι, πλεύσει, οὐ παρὰ τοῦ εἰπόντος ἡ αἰτία, οὐ γὰρ ὁ εἰπὼν, ὅτι κα-

5 Codd. καὶ, ad marg. πρός.

λὸν τὸ πλεῖν, ἤδη εἶπε καὶ τῷ πλεύσαντι, πλεῦσον. Καὶ αἰτίαν δὲ ταύτην ἀποδιδόασι τοῦ τῇ μὲν ὑποθέσει ἀναγκαίως ἕπεσθαι πρᾶξιν, τῇ δὲ θέσει μηδαμῶς, τὸ τὴν ὑπόθεσιν περὶ τὰ περιστατικὰ καταγίνεσθαι, τὴν δὲ θέσιν ἀπερίστατον εἶναι, καὶ μὴ ὑποκεῖσθαι αὐτοῦ ἀκροατῶν πρόσωπον. ὥσπερ τῷ μύστῃ οἱ παραινούμενοι ὑπόκεινται, καὶ τῷ κοινῷ τόπῳ οἱ δικασταί· ἡμεῖς δὲ λέγομεν, ὅτι ὥσπερ φατὲ τῇ θέσει μὴ ἀναγκαίως πρᾶξιν, οὕτως οὐδὲ τῇ ὑποθέσει ἀναγκαίως ἕπεται· ὡς γὰρ λέγοντός μου, ὅτι δεῖ πλεῖν, οὐ πᾶσα ἀνάγκη τὸν ἀκούοντα πλεῦσαι, οὕτως οὐδὲ τῷ συμβουλεύοντι Δημοσθένει τοῖς Ἀθηναίοις εἰς Ὄλυνθον ἐξελθεῖν πᾶσα ἀνάγκη τοὺς Ἀθηναίους πεισθῆναι καὶ ἐγχειρῆσαι τῇ πράξει, ἦγουν τῇ συμμαχίᾳ τῶν Ὀλυνθίων. Ὁ δὲ σοφιστὴς Νικόλαος ἐν τῷ τῶν προγυμνασμάτων βιβλίῳ αὐτοῦ οὕτως τὴν θέσιν ὑρίζεται. θέσις ἐστὶν πρᾶγμα λογικὴν ἐπίσκεψιν ἐπιδεχόμενον, ἄνευ προσώπων ὡρισμένων, καὶ πάσης ἑτέρας περιστάσεως. οὐχ' ὅτι πάντως ἀόριστον τῇ θέσει ὑπόκειται εἰσφορὰ, ᾧ καὶ διαφέρει τῆς θέσεως, ὡς προϊόντες εἰσόμεθα. εἰ δέ τις εἴποι, καὶ τί γὰρ οὐχ ὑπόκειται ταῖς θέσεσιν ἔστιν ὅτε ἀόριστον πρόσωπον, οἷον τό τίς. ὁ γὰρ λέγων εἰ γαμητέον πάντως καὶ πρόσωπόν τι ἀόριστον ἐμφαίνει· οὐδὲν γὰρ ἄλλο λέγει ἢ γαμητέον τινὶ, ἐροῦμεν πρῶτον μὲν ὅτι οὐχ ἡμέτερον τοῦτο τὸ μὴ ἐπιδέχεσθαι τὴν θέσιν πρόσωπον, ἀλλὰ τῶν παλαιῶν ῥητόρων καὶ αὐτοῦ τοῦ Ἀφθονίου, ὡς καὶ ἐνταῦθαι καὶ ἐν τῇ τοῦ νόμου εἰσφορᾷ φαίνεται διδάσκων· ἔπειτα δὲ κἀκεῖνο λέγομεν, ὅτι καθὸ οὐ προστίθεται ἐνεργείᾳ τινὶ, ἀλλ' ἁπλῶς οὕτω λέγεται, γαμητέον, δοκεῖ ἀπρόσωπον εἶναι τῇ ἐνεργείᾳ· ἄλλως τε δὲ, εἰ τὸ τινὶ προσυπακούεσθαι δώσομεν, μάτην λοιπὸν ἡ θέσις καθολικὴ λέγεται· τὸ γὰρ τὶς μερικόν ἐστιν, ἐπειδὴ καὶ ὁ Ἑρμογένης ἐν τῷ περὶ τῶν γυμνασμάτων αὐτοῦ βιβλίῳ λέγει, ὅτι τῶν θέ-

σεων αἱ μὲν εἰσὶν ἁπλαῖ, αἱ δὲ κατὰ τὸ πρός τι λαμβάνονται, αἱ δὲ διπλαῖ νομίζονται, καὶ οἴεται κατὰ τὸ πρός τι θέσεις εἶναι τὰς πρόσωπον ἔχουσας μήτε πάντη ὡρισμένον καὶ κύριον, οἷον Περικλέα, Δημοσθένην, μήτε πάντη ἀόριστον, οἷον τὸ τίς, ἀλλὰ τῶν προσηγορικῶν, οἷον εἰ γαμητέον βασιλεῖ, λέγομεν καὶ περὶ τούτων, μήποτε οὐκ εἰσὶ τὰ τοιαῦτα κυρίως θέσεις, ἀλλὰ τοιαῦτα, οἷα λέγει Γεωμέτρης εἶναι τὰ μεταξὺ θέσεων καὶ ὑποθέσεων. ἀλλ' ὁ μὲν Νικόλαος οὕτως, ὡς ἔφημεν, τὴν θέσιν ὁρίζεται. θέσις ἐστὶ πρᾶγμα λογικὴν σκέψιν ἐπιδεχόμενον. ὁ δὲ Ἑρμογένης οὕτως. θέσις ἐστὶν ἐπίσκεψίς τινος πράγματος θεωρουμένου, ἁμοιροῦσα πάσης ἰδικῆς περιστάσεως· καὶ ὁ Ἀφθόνιος ὁρίζεται τὴν θέσιν ἐπίσκεψιν λογικὴν θεωρουμένου τινὸς πράγματος. καὶ ἐπίστησον ὅτι ὁ μὲν Ἑρμογένης καὶ ὁ Ἀφθόνιος τὴν κατασκευὴν τῆς θέσεως φαίνονται μάλιστα ὁριζόμενοι. αὕτη γὰρ ἂν εἴη ἐπίσκεψις. ὁ δὲ Νικόλαος τὸ εἰς μελέτην προκείμενον, οἷον τὸ γαμητέον. τοῦτο γάρ ἐστιν πρᾶγμα λογικὸν ἐπίσκεψιν ἐπιδεχόμενον. καὶ μὴ θαυμάσῃς, εἰ ὁ μὲν τοῦτο, οἱ δὲ ἐκεῖνο ὁριζόμενοι φαίνονται. καὶ ἐπεὶ καὶ αὐτὸς ὁ Ἀφθόνιος ποτὲ μὲν τὰς μελέτας φαίνεται ὁριζόμενος, ὡς ἐπὶ τοῦ μύθου καὶ τοῦ διηγήματος καὶ τοῦ κοινοῦ τόπου καὶ τοῦ ἐγκωμίου καὶ τοῦ ψόγου, ποτὲ δὲ τὸ εἰς κατασκευὴν προκείμενον, ὡς ἐπὶ τῆς χρείας καὶ τῆς γνώμης· ὅτε γὰρ λέγει, ὅτι χρεία ἐστὶν ἀπομνημόνευμα σύντομον εὐστόχως ἐπί τι πρόσωπον ἀναφέρουσα, οὐ τὴν κατασκευὴν ἀλλὰ τὸ εἰς κατασκευὴν προκείμενον, οἷον τὸ Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν ἔφη πικρὰν, τοὺς δὲ καρποὺς γλυκεῖς, φαίνεται ὁριζόμενος. ὅτε δὲ πάλιν λέγει, ὅτι γνώμη ἐστὶ λόγος ἐν ἀποφάνσεσι κεφαλαιώδης ἐπί τι προτρέπων ἢ ἀποτρέπων, ὡσαύτως ποιεῖ· κἀνταῦθα γὰρ τὸ εἰς μελέτην καὶ κατασκευὴν προκείμενον ὁρίζεται. οἷον τὸ χρὴ πενίην φεύγοντα κ. τ. λ.

καὶ τό·

Χρὴ ξεῖνον παρεόντα φιλεῖν, ἐθέλοντα δὲ πέμπειν.

καὶ τὰ παραπλήσια. καὶ ὁ μὲν Ἀφθόνιος οὕτως. περὶ δὲ τῶν ῥηθέντων τῆς θέσεως ὁρισμῶν δύναταί τις εἰπεῖν, ὅτι πάντες τὸ αὐτὸ ὁρίζονται· ὅ τε γὰρ λέγων τὴν θέσιν εἶναι πρᾶγμα λογικὴν ἐπίσκεψιν ἐπιδεχόμενον, τὸ ἐν τῇ θέσει προκεῖσθαί τι πρᾶγμα οἷον τὸ γαμητέον καὶ κατασκευάζεσθαι διά τινων λόγων· καὶ οἱ ἄλλοι δὲ τὸ αὐτὸ δηλοῦσιν.

Ἐπίσκεψις· ἐξέτασις, δοκιμασία λογικὴ διὰ λόγων. τοῦτο δὲ εἶπε διὰ τὰς πρακτικὰς ἐπισκέψεις καὶ ἐξετάσεις. ἔστι γὰρ ὅτε καὶ διὰ πράξεως γίνεται δοκιμασία καὶ ἐξέτασις.

Θεωρουμένου· κατὰ θεωρίαν λαμβανομένου, ἢ κατὰ διάνοιαν ἐξεταζομένου ἢ εἰς δοκιμασίαν προκειμένου· τινὲς δὲ τὸ θεωρουμένου ἀντὶ τοῦ μέχρι μόνης θεωρίας ἱσταμένου. οὐδὲ γὰρ ἀναμένει, φασὶ, πρᾶξιν ἡ θέσις, ὥσπερ ὁ κοινὸς τόπος τὴν ψῆφον τῶν δικαστῶν, οὐδὲ ὥσπερ ὁ μῦθος καὶ ἡ χρεία καὶ ἡ γνώμη, τὴν τῶν ἀκουόντων καὶ παραινουμένων ὠφέλειαν. καὶ ταῦτα μὲν οὗτοι· σὲ δὲ μὴ διαλάθῃ ὁ Ἑρμογένης λέγων,[6] ὅτι τῆς θέσεως εἰς δύο εἴδη διαιρουμένης, καὶ τῶν μὲν οὐσῶν πολιτικῶν, τῶν δὲ θεωρητικῶν, τὰς πολιτικὰς καὶ πρακτικὰς τινὲς ὀνομάζουσι, διότι ἐνδέχεται ταύτας πραχθῆναι· καὶ ὁ Γεωμέτρης δὲ λέγει, ὅτι τὸ ταύτης τῆς λογικῆς θέσεως τέλος ἀρχὴ γενήσεται δηλαδὴ τῆς πράξεως. δοκιμασάντων γὰρ καὶ ἀπελεγξάντων, ὅτι καλὸν τὸ ναυτίλλεσθαι καὶ τὸ στρατεύεσθαι, ἔπεσθαί φαμεν εὐθὺς καὶ τὴν ἐπιχείρησιν, ὥστε τὸ θεωρουμένου εἰ ἀντὶ τοῦ μέχρι θεωρίας ἱσταμένου δεξόμεθα ἐλλιπὴς ἂν εἴη ὁ ὅρος, μὴ πάσας τὰς θέσεις περιλαμβάνων, ἀλλὰ τὰς

6 Progymn. c. 11. p. 52, 6 sq.

Θεωρητικὰς μόνας· τῇ μὲν γὰρ τῶν πολιτικῶν θέσεων σκέψει ἐνδέχεται ἀκολουθῆσαι καὶ πρᾶξιν. αἱ δὲ θεωρητικαὶ ἄχρι καὶ μόνης θεωρίας ἵστανται. ἄμεινον οὖν τὸ θεωρουμένου ἀντὶ τοῦ εἰς ἐξέτασιν προκειμένου λαβεῖν· εἰ δέ τις εἴπῃ, καὶ μὴ ἡ χρεία καὶ ἡ γνώμη καὶ ὁ κοινὸς τόπος ἐπίσκεψιν ἔχουσι πραγμάτων, ἔν τε γὰρ τῇ χρείᾳ ἐξετάζομεν, εἰ καλῶς ἔχει τόδε τὸ ῥητὸν, καὶ ἐν τῇ γνώμῃ ὁμοίως ἐροῦμεν ὅτι ἀλλ' ἐν ἐκείνοις μὲν οὐ μόνων πραγμάτων ἀλλὰ καὶ προσώπων καὶ ἄλλων τινῶν ἐξέτασις γίνεται. καὶ γὰρ ἐν τῷ ἐγκωμιαστικῷ κεφαλαίῳ τὴν τοῦ προσώπου ποιότητα ἐξετάζομεν, καὶ ἐν τῷ ἀπὸ τῆς αἰτίας τὴν αἰτίαν, δι' ἣν τὸ προκείμενον ἐρρήθη ῥητὸν, ἐν δὲ τῇ θέσει μόνον τὸ πρᾶγμα ἐξετάζομεν.

Τινός. Τινὲς λέγουσιν, ὅτι οὐκ ὤφειλεν εἰπεῖν τινός· ἡ γὰρ θέσις φράσις καθολικὴ, τὸ δὲ τινὸς μερικόν· ἢ τὸ τινὸς οὐ τοῦτο δηλοῖ τὸ μερικοῦ πράγματος ἐν τῇ θέσει ἐξέτασιν γίνεσθαι, ἀλλὰ διὰ τὸ πλῆθος καὶ τὴν ἀοριστίαν τῶν ταῖς θέσεσιν ὑποκειμένων πραγμάτων τὸ τινὸς ἐνταῦθα τέθειται. Τῶν δὲ θέσεων αἱ μέν εἰσι πολιτικαὶ, αἱ δὲ θεωρητικαί· πολιτικὰς δὲ λέγει τὰς ὑποπεπτωκυίας ταῖς κοιναῖς ἐννοίαις, οἷον εἰ ῥητορευτέον καὶ ὅσα τοιαῦτα. Θεωρητικαὶ δὲ ὅσαι οἰκεῖαί τινος ἐπιστήμης καὶ προσήκουσαι τοῖς περὶ αὐτὴν ἀναστρεφομένοις, οἷον εἰ σφαιροειδὴς ὁ οὐρανὸς, εἰ κόσμοι πολλοί. ἀλλ' αἵδε μὲν φιλοσόφοις ἁρμόζουσιν. ἐν δὲ ταῖς ἄλλαις τοὺς ῥήτορας γυμναστέον· ὀνομάζονται δὲ αἱ πολιτικαὶ καὶ πρακτικαί. πολιτικαὶ μὲν, διότι πρᾶξιν ἔχουσι, πολιτείαν συνέχουσαν, πρακτικαὶ δὲ, καθὸ ἐνδέχεται πραχθῆναι αὐτάς· αἱ δὲ θεωρητικαὶ οὕτως ὀνομάζονται θεωρητικαὶ, διότι οὐχ ὥσπερ τῶν πολιτικῶν τέλος ἡ πρᾶξις, οὕτω καὶ τούτων ἡ πρᾶξις τέλος, ἀλλ' ἡ θεωρία. τῷ γὰρ εἰ σφαιροειδὴς ὁ οὐρανὸς καὶ τῷ εἰ κόσμοι πολλοὶ, ποία πρᾶξις ἀκολουθεῖ; ζητοῦσι δέ τινες, πότερον τὰς τῶν

φιλοσόφων καὶ μάντεων καὶ γεωμετρῶν, καὶ τὰς ὅλως μὴ δυναμένας ὑπὸ τῶν ἰδιωτῶν καταλαμβάνεσθαι, οἷον ἀστρονομίαν, σπλαγχνοτομίαν, ὀψαρτυτικήν, εὑρίσκονται γάρ καὶ τοιαῦται θέσεις, εἰ ἀπὸ δρυὸς τὴν τρόπιν κατασκευαστέον, εἰ σιδηροῦν τὸν τῆς ἀσπίδος ὀμφαλὸν ποιητέον, εἴτ' ὅσαις δὲ χορδαῖς ἐν λύραις χρηστέον· τὸ μὲν γὰρ τεκτονικοῦ, τὸ δὲ ἀσπιδοποιοῦ, τὸ δὲ μουσικοῦ. ἀλλ' ἐμοὶ δοκεῖ χρῆναι, φησὶν, ὁ Σαρδέων, πάσας τὰς τοιαύτας θέσεις ἐν ταῖς πολιτικαῖς ἀριθμεῖν, ὧν αἱ ἐπιστῆμαι καθ' ἑκάστην πολιτείαν συμβαίνουσιν.

Εἰς τὸ αὐτό. Τῶν δὲ θέσεων αἱ μέν εἰσι πολιτικαὶ, αἱ δὲ θεωρητικαί· ὁ μὲν Ἀφθόνιος εἰς ταῦτα μόνα φαίνεται[7] διαιρῶν, ὁ δὲ Ἑρμογένης ἐπιδιαιρεῖ αὐτήν· καὶ εἰς τὸ ἁπλοῦν καὶ πρός τι καὶ διπλοῦν, ὧδέ πως λέγων· αἱ μὲν ἁπλαῖ, αἱ δὲ κατὰ τὸ πρός τι λαμβάνονται, αἱ δὲ διπλαῖ νομίζονται. ἐὰν γὰρ λέγωμεν, εἰ γαμητέον, ἁπλῆ, ἐὰν δὲ εἰ βασιλεῖ γαμητέον, πρός τι. ἐὰν δὲ λέγωμεν, εἰ ἀθλητέον μᾶλλον ἢ γεωργητέον, διπλῆ· δεῖ γὰρ τοῦ μὲν ἀποτρέπειν, ἐπὶ δὲ τὸ προστρέπειν.

Διενήνοχε δὲ θέσις ὑποθέσεως. τί μὲν διαφέρει θέσις ὑποθέσεως, ἄριστα ἐν τοῖς παροῦσιν ἐδίδαξεν ὁ Ἀφθόνιος. Εἴ τι δὲ καὶ διὰ τί θέσις τὸ παρὸν ὠνόμασται γύμνασμα ἐν τοῖς προλαβοῦσι καὶ ἡμεῖς εἰρήκαμεν. λοιπὸν ὀφείλομεν ζητῆσαι, διατί τὸ ἀντικείμενον τῇ θέσει ὑπόθεσις λέγεται. φασὶν οὖν διὰ τοῦτο αὐτὸ ὑπόθεσις ὠνόμασται, διότι εἰ καὶ τάχα τῶν τελειοτέρων αἱ ὑποθέσεις παρὰ τοῖς ῥήτορσιν, ἅτε καὶ τὸ περιστατικὸν προσλαμβάνουσαι, ἀλλ' οὖν ὑπὸ τὰς θέσεις τελοῦσιν ὡς μερικώτεραι· ὑπὸ γὰρ τὸ καθόλου τὸ μερικόν· ὡς οὖν ὑπὸ ταύτας ὑποθέσεις ἐκλήθησαν, καὶ κυρίως

7 Post φαίνεται in Vind. est ἡήν.

μὲν θέσεις αἱ συμβουλευτικαὶ, ὥστε καὶ ὑποθέσεις κυρίως αἱ ὑπὸ τῆς συμβουλῆς εἶδος. ἀλλ' ἀπὸ τούτου μετηνέχθη ἐπὶ τοῖς ζητήμασί τε καὶ συγγράμμασι, διὰ τοῦτο καὶ τὰς δικανικὰς καὶ τὰς πανηγυρικὰς ὁμοίως ὑποθέσεις καλοῦσι, καὶ τὰς ἐν τοῖς δράμασι τραγῳδίας ἢ καὶ ποιήμασι· τινὲς δὲ πάλιν κυρίως ὑποθέσεις τὰς πλασματικάς φασι ζητήσεις. οἷον τό· παρίστατό τις ἐπ' ἐρημίας θάπτων σῶμα νεοσφαγὲς διὰ τὸ ὑποτίθεσθαι ἐν αὐταῖς τοὺς ῥήτορας πράγματα γεγονότα ὑπὸ προσώπων. *Περίστασις δέ ἐστι πρᾶγμα, πρόσωπον, αἰτία, κ. τ. λ. ἀλλ' εἰ τὸ πρᾶγμα περίστασίς ἐστιν, ὁρᾶται δὲ τοῦτο καὶ ἐν τῇ θέσει, πῶς αὐτὴν ἀπερίστατον εἴρηκεν ὁ Ἀφθόνιος. ἢ οὐδὲ τὸ πρᾶγμα γεγράφθαι. οὐδὲ γάρ ἐστι τὸ πρᾶγμα περίστασις, ὡς ἀνωτέρω εἰρήκαμεν· δέον δὲ οὕτω γεγράφθαι, περίφρασίς ἐστιν αἰτία πρόσωπον κ. τ. λ. ἔστι δὲ εἰπεῖν εἰς τοῦτο καὶ ἄλλο, ὅτι εἰ καὶ δοκεῖ ἐν τῇ θέσει πρᾶγμα εἶναι, ὅμως οὐκ ἔστι κυρίως ἐν αὐτῇ πρᾶγμα. ἐν γὰρ ταῖς περὶ τοῦ μέλλοντος σκέψεσιν ἐκεῖνα κυρίως λέγονται πράγματα τὰ αἴτια, καὶ δι' ἃ συμβουλεύει τις τάδε γενέσθαι. οἷον ἐν τῷ Φιλίππου καταλαβόντος Ἐλάτειαν συμβουλεύει Δημοσθένης αὐθημερὸν ἐξιέναι, οὐχὶ τὸ δεῖν ἐξελθεῖν αὐθημερὸν πρᾶγμα. ἀλλὰ τὸ κατειληφέναι τὸν Φίλιππον τὴν Ἐλάτειαν. καὶ ἐν τῷ φυγάδες πολεμουμένῃ τῇ πατρίδι ἐβοήθησαν, καὶ γράφει τις αὐτοὺς κατάγειν, πρᾶγμα, οὐχὶ δεῖν καταγαγεῖν τοὺς φυγάδας, ἀλλὰ τὸ βοηθῆσαι αὐτοὺς πολεμουμένῃ τῇ πατρίδι· καὶ ἐν τοῖς κατὰ νόμου εἰσφορὰν ζητήμασιν περὶ τοῦ μέλλοντος καὶ αὐτοῖς τὴν ζήτησιν ἔχουσι πρᾶγμα καὶ αἰτία, δι' ἣν εἰσφέρομεν ἢ λύομεν τὸν νόμον, οἷον ὡς ἐν τῷ· μετὰ τὰ ἐν Μαραθῶνι γράφει τις τὸν τῆς πανσελήνου λυθῆναι νόμον, καὶ ἐν οἷς ἂν μὴ ᾖ αἰτία, οὐδὲ ζητήματα ἐκεῖνα ἔσται, ἀλλὰ κατὰ νόμου εἰσφορὰν γυμνασίαι. ὥσπερ οὖν ἐν ταῖς κατὰ

κατὰ νόμου εἰσφορὰν μελέταις ζητήματα μὲν καὶ ὑποθέσεις λέγονται τὰ ἔχοντα πρᾶγμα ἤγουν αἰτίαν, δι' ἃς ἀξιοῖ τις τεθῆναι ἢ λυθῆναι νόμον, γυμνασίαι δὲ, ἐν οἷς τοῦτο μὴ ἔστιν, οὕτω καὶ ἐν ταῖς λοιπαῖς περὶ τοῦ μέλλοντος σκέψεσιν, ἐν οἷς μέν ἐστι πρᾶγμα προγεγενημένον ἤγουν αἰτία τίς, ὡς ἐπὶ τοῦ φυγάδες πολεμουμένῃ τῇ πατρίδι ἐβοήθησαν καὶ γράφει τις αὐτοὺς κατάγειν, ζητήματα ἐκεῖνα ἔσται· ἐν οἷς δὲ τοῦτο μὴ ἔστι, θέσις ἐκεῖνα ἔσται· ὅτι δὲ ἐν τοῖς τοιούτοις πράγματά εἰσιν αἱ αἰτίαι, δι' ἃς συμβουλεύει γενέσθαι, καὶ ἡμεῖς μὲν τὸν δεύτερον τόμον τοῦ περὶ εὑρέσεων βιβλίου ἐξηγούμενοι καθαρώτερον ἂν, εἰ καὶ ὁ Θεὸς διδῷ, δείξομεν, καὶ ὁ σοφώτατος δὲ Εὐστάθιος προλαβὼν ἐν τῇ εἰς τὰς στάσεις ἐξηγήσει, ἀριδήλως ἀπέδειξε· λέγει γὰρ ἐκεῖ, ἡνίκα τῶν πραγμάτων ἐξηγεῖται διαφορὰν, τάδε χρὴ εἰδέναι, ὡς ἕτερόν ἐστι τὸ πιστούμενον καὶ ἕτερον τὸ πιστωτικὸν, πιστωτικὰ δὲ τὰ πρὸς πίστιν λαμβανόμενα τοῦ αὐτοῦ ζητήματος, ἅπερ πράγματα καλεῖται. οὕτως αὐτὸ μὲν τὸ δεῖν βοηθῆσαι τοῖς Ὀλυνθίοις ἐστὶ τὸ ζητούμενον. ὅσα δὲ πρὸς πίστιν τούτου παραλαμβάνεται καλεῖται πράγματα.

Πρῶτον δὲ ἡ Θέσις ἐν προγυμνάσμασιν ἀντίθεσιν καὶ λύσιν κατὰ ζήτημα δέχεται. πρῶτον εἶπε δὲ τὴν τοῦ νόμου εἰσφορὰν, ἥτις μετὰ τὴν θέσιν κειμένη ἐπιδέχεται ἀντίθεσιν καὶ λύσιν. ἔστι δὲ ἀντίθεσις ὁ τοῦ ἐχθροῦ λόγος, ὃς καὶ ὑποφορὰ καλεῖται· ὁρίζονται δὲ αὐτὴν οὕτως· ἀντίθεσίς ἐστιν ἡ τοῦ ἀντικειμένου προσώπου ἔνστασις, τὸ ἐν ἡμῖν πιθανὸν διαλύουσα, καὶ εἰς εὐλογωτέραν ἔννοιαν τὸν ἀκροατὴν μετάγουσα· λύσις δέ ἐστιν ἡ τὴν ἐκ τῆς ἐνστάσεως βλάβην ἀφαιρουμένη, καὶ εἰς τὸ ἐξ ἀρχῆς τὸν ἀκροατὴν ἐπανάγουσα· τὸ δὲ αὐτὸ καὶ ἀνθυποφορὰ καὶ ἀπάντησις λέγεται.

Κατὰ ζήτημα. Ζήτημα λέγει τὴν τελείαν ὑπόθε-

σιν· ὥσπερ, φησὶν, αἱ τέλειαι ὑποθέσεις ἐπιδέχονται ἀντίθεσιν καὶ λύσιν, οὕτω καὶ αἱ θέσεις.

Πρῶτον μὲν τῇ καλουμένῃ ἐφόδῳ· τὴν ἔφοδον οἱ μὲν εὔλογον αἰτίαν τῆς διηγήσεως εἶπον· οἷόν ἐστι τό·[8] „βούλομαι δ' ἕκαστα ὧν πέπονθα ἐπιδείξας καὶ περὶ τῶν πληγῶν εἰπεῖν, ἃς τὸ τελευταῖον προσέτεινέ μοι. οὐδὲν γάρ ἐστιν, ἐφ' ᾧ τῶν πεπραγμένων οὐ δίκαιος ὢν ἀπολωλέναι φανήσεται.“ ἕτεροι δὲ πάλιν ἐξ ἐφόδου προοίμιον γίνεσθαι· ὅταν τριῶν ὄντων τόπων, ἀφ' ὧν λαμβάνονται τὰ προοίμια, τῆς συστάσεως τοῦ οἰκείου προσώπου, τῆς διαβολῆς τοῦ ἐναντίου, τῆς προσοχῆς, μὴ ἀπὸ τῶν ἰδιαζόντων, ἀλλὰ ἀπὸ τῶν κοινῶν καὶ λαθραίων ἐπιχειροίη τις, οἷον ἔστω τὸ προκείμενον ἡ σύστασις τοῦ οἰκείου προσώπου. εἰ μὲν ἔφοδον, φασὶ, βούλεταί τις ποιῆσαι, οὕτως ἐπιχειρήσει· πάντες οἱ κατηγοροῦντές τινος οὐδεμιᾶς ἄλλης ἕνεκα αἰτίας, καὶ ἰδίας ἔχθρας ἀναδεχόμενοι δῆλοι πάντες εἰσὶ τοῦ κοινῇ συμφέροντος ἕνεκα. πάλιν ἔστω τὸ προκείμενον ἡ τοῦ ἐναντίου διαβολή· εἰ μὲν προοίμιον βουλόμεθα ποιῆσαι, οὕτως ἐροῦμεν, ὡς καὶ ὁ Δημοσθένης εἶπε· „τὴν μὲν ἀσέλγειαν, ὦ ἄνδρες δικασταὶ, καὶ τὴν ὕβριν, ᾗ πρὸς πάντας χρῆται Μειδίας, οὐδένα ὑμῶν ἀγνοεῖν οἴομαι.“ εἰ δὲ ἔφοδον, ἐκείνως· οὐ ῥᾴδιον τοὺς πολλοὺς εὖ πράττοντας εὖ φρονεῖν· τὸ αὐτὸ καὶ ἐπὶ τῆς προσοχῆς· καὶ ταῦτα μὲν ἕτεροι περὶ τῆς ἐφόδου· ἐγὼ δὲ ἀκριβέστερον τῶν νῦν περὶ αὐτῆς εἰρημένων οὐδὲν εὗρον παρὰ τοῖς παλαιοῖς· ἀφ' ὧν δ' αὐτὸς εἰκάζω ἐξ ἐφόδου ποιήσει προοίμιον ὁ ἀπ' αὐτοῦ τοῦ προκειμένου ἀρξάμενος πράγματος, καὶ μὴ ἔξω τούτου πλανώμενος, ὡς ἔχει τό· οὔτε[9] τὴν ἀρετὴν ἐπαίνων χωρὶς, οὔτε τὴν κακίαν ἔξω ψόγου προσήκει καταλιπεῖν· ἔτι δὲ καὶ τὸ τιμᾷν ἄξιον τοὺς εὑρόντας τὰ

8 In Mid. p. 518. 9 Aphthon. p. 93, 17.

χρήσιμα· ὁρᾷς γὰρ, ὅπως ἀπὸ καθολικωτέρων τινῶν ἐννοιῶν καὶ οὐκ ἀπ' αὐτῆς τῆς ὑποθέσεως ἤρξατο· ἐν μέντοι τῷ· ὁ τὸ πᾶν ἐν βραχεῖ τιμῆσαι ζητῶν ἀπ' αὐτοῦ τοῦ ὑποκειμένου ἤρξατο πράγματος, καὶ εὐθὺς ἐνέφηνεν, ὅτι περὶ τούτου μέλλω ἐρεῖν· ἔφοδος δὲ τὸ τοιοῦτον, οἶμαι, καλεῖται ἀπὸ μεταφορᾶς τῶν ἐξ ἐφόδου χειρουμένων πόλεων· ὥσπερ γὰρ ἐκεῖναι ἀπαρασκεύως καὶ ἀνετοίμως τοῖς πολεμίοις χειροῦνται, οὕτω κἀνταῦθα μὲν προασφαλισάμενοι διὰ καθολικῆς ἐννοίας τὸν λόγον ἀπ' αὐτοῦ τοῦ πράγματος ἀρχόμεθα· τοῦτο οὐκ ἀκριβῶς εἰδότες, ἀλλὰ στοχαζόμενοι καὶ εἰκάζοντες περὶ ἐφόδου εἰρήκασι μέν· εἰ δέ τι κρεῖττον περὶ αὐτῆς ἢ καὶ αὐτὸς προσεπινοήσω εἰς τὸ ἑξῆς, ἢ ἄλλου ἀκούσας ὠφεληθήσομαι, κἀκεῖνο προσθήσω τοῖς εἰρημένοις καὶ οὐκ ἀποκρύψομαι.

Εἶτα τοῖς τελικοῖς χρήσῃ κεφαλαίοις. Διατί ταῦτα τελικὰ λέγονται κεφάλαια. Ἔτι δὲ καὶ τίς ἡ φύσις αὐτῶν καὶ ἡ τάξις, ἐν τῷ περὶ κοινοῦ τόπου λόγῳ εἰρήκαμεν. *Νομίμῳ, δικαίῳ.* Δεῖ γινώσκειν ὅτι τῇ τοιαύτῃ διαιρέσει οὐκ ἐπὶ τῶν θεωρητικῶν, ἀλλ' ἐπὶ τῶν πολιτικῶν χρησόμεθα θέσεων· αἱ γὰρ θεωρητικαὶ φιλοσόφου δέονται θεωρίας· *Εἶτα τοῖς τελικοῖς κεφαλαίοις·* τινὲς μὲν τὴν θέσιν διὰ τοῦ συμβουλευτικοῦ εἴδους τυγχάνειν τοῖς τελικοῖς κεφαλαίοις διεῖλον· ἐπεὶ καὶ ἡ πραγματικὴ μόνη τῶν στάσεων, συμβουλευτικοῦ εἴδους οὖσα, τοῖς αὐτοῖς τούτοις διαιρεῖται· ἕτεροι δὲ τοῖς ἐγκωμιαστικοῖς κεφαλαίοις ταύτην διεῖλον· τῷ γένει δηλαδὴ, τῇ ἀνατροφῇ καὶ ταῖς πράξεσι· καὶ ἴσως οὐ κακῶς· ἐνδέχεται γὰρ τοῦ εἴδους ὄντος συμβουλευτικοῦ πανηγυρικὴν εἶναι τὴν ὕλην· καὶ τοῦτο καὶ ἐπὶ τῶν ζητημάτων πολλάκις εὑρίσκεται, ὡς ἔχει τό· *νόμος τὸν μέλλοντα δᾳδουχεῖν δοκιμάζεσθαι, Ἀλκιβιάδης λαχὼν δᾳδουχεῖν δοκιμάζεται·* κἀνταῦθα γὰρ τὸ μὲν εἶδος τοῦ λόγου συμβουλευτικὸν, ἡ δὲ ὕλη πανηγυρική· ὁ τοίνυν Ἀφθόνιος καὶ

ἀμφοτέρας τὰς δόξας ἀποδεχόμενος ἐν μὲν τῇ μεθόδῳ τοῖς τελικοῖς κεφαλαίοις τὴν θέσιν διαιρεῖσθαι ἐδίδαξεν· ἐν δὲ τῇ μελέτῃ μὴ τούτοις μᾶλλον, ἀλλὰ τοῖς ἐγκωμιαστικοῖς αὐτὴν διελὼν, εἰς ἔννοιαν ἡμᾶς ἤγαγε τοῦ δύνασθαι καὶ τούτοις τοῖς κεφαλαίοις διαιρεῖσθαι τὰς θέσεις· τινὲς δὲ ζητοῦσιν, εἰ ὥσπερ κατασκευάζειν ἐστὶ τὴν θέσιν, οὕτω καὶ ἀνασκευάζειν αὐτὴν δέδοται· καί φαμεν, ὅτι δυνατόν ἐστιν ἀνασκευάζειν τὰς θέσεις, ἀπὸ τῶν ἐναντίων χρώμενον τοῖς ἐπιχειρήμασιν· ἀλλ' οὐκ ἐν συνηθείᾳ τοῦτο γέγονε, διὰ τὸ ἄτοπον τοῦ ἐθίζειν τοὺς νέους τοῖς καλοῖς ἐναντία φρονεῖν· τινὲς ζητοῦσι κἀκεῖνο, εἰ τοῖς ἐγκωμιαστικοῖς ἡ θέσις κεφαλαίοις διαιρεθείη, τί ἂν λοιπὸν διενέγκοι τοῦ ἐγκωμίου, καί φησιν ὁ Νικόλαος διαφέρειν, καθὸ ἐν ἐκείνῳ μὲν ἀντίθεσις οὐκ ἐμπίπτει, εἰ μὴ ἄρα ἐξ ἰδιαζούσης ὕλης. ἐν ταύτῃ δὲ ἐμπεσεῖται ἀντίθεσις ἔχουσα ἐξέτασιν τῶν συμβαινόντων τε καὶ παρεπομένων τῷ πράγματι κακῶν.

Ὁ τὸ πᾶν ἐν βραχεῖ τιμῆσαι ζητῶν· τοῦτο ἔφοδον εἶπεν· ἢ ὅτι καθολικῶς καὶ ἀθρόως ἤρξατο, μὴ τὸ οἰκεῖον ἰδικῶς ἐπεμφήνας πρόσωπον· οὐ γὰρ εἶπεν, ὅτι ἐγὼ τὸ πᾶν ἐν βραχεῖ τιμῆσαι ζητῶν ἢ ὅτι ἀπ' αὐτοῦ τοῦ πράγματος, καὶ ἀπ' αὐτῆς τῆς οἱονεὶ διηγήσεως ἤρξατο διηγηματικῶς ἐπιχειρήσας. Προῆλθε μὲν γὰρ οὐρανοῦ. τοῦτο ὡσανεὶ γένεσις τοῦ γάμου. Καὶ κατέστη πατὴρ τῶν ὅθεν τὸ πατρὸς ὄνομα δέδοται. τοῦτο εἶπε διὰ τὸ τὸν Δία παρὰ τῷ ποιητῇ πατέρα καλεῖσθαι ἀνδρῶν καὶ θεῶν. Εἶτα εἰς γῆν παρελθών· τοῦτο, ὡς μέν τινές φασιν, οἱονεὶ ἀνατροφὴ τοῦ γάμου· ὡς δὲ τἀληθέστερον ἔχει, ἡ οἱονεὶ πατρὶς αὐτοῦ, ὡς εἶναι τὸν μὲν οὐρανὸν τὸ πόρρω ἄψυχον γένος αὐτοῦ, τὴν δὲ γῆν τὸ προσεχές. Καὶ πρῶτον μὲν ἀνθρώπους· ταῦτα αἱ πράξεις τοῦ γάμου. Δι' ὧν γὰρ παῖδας καὶ γυναῖκας ἄγειν οἶδεν ὁ γάμος· δίδωσι γὰρ, φησὶν,

ὁ γάμος τοῖς ἀνθρώποις ἐρρῶσθαι ἐν ταῖς ἑαυτοῦ δωρεαῖς, τουτέστιν ἐν τῷ δωρεῖσθαι αὐτοῖς παῖδας καὶ γυναῖκας ὑπὲρ ὧν τινων παίδων καὶ γυναικῶν οἱ πόλεμοι γίνονται.

Δι' ὧν γὰρ φιλοτιμεῖται τὰ γένη· οὕτως ἐστὶ τὸ ἑξῆς· δι' ὧν γὰρ ὁ γάμος φιλοτιμεῖται τοῖς ἀνθρώποις τὰ γένη, περὶ ὧν τινων γενῶν δείσαντες οἱ ἄνθρωποι τὰ δίκαια πράττουσι, κατὰ τοῦτο δικαίους σὺν ἀνδρείοις ποιεῖ· ἔστι δὲ ἡ διάνοια τῶν λεγομένων τοιαύτη· δείσαντες οἱ πατέρες, μὴ περιουσίαν ἄδικον τοῖς παισὶ καταλίπωσι, δίκαια πράττουσιν, ὥστε μὴ περιαιρεθῆναι ὑπὸ τῶν ἠδικημένων τὴν διδομένην αὐτοῖς οὐσίαν.

*Καὶ μὴν καὶ σοφούς· ἀπὸ κοινοῦ τὸ ποιεῖ· Κἂν τῇ φιλοτιμίᾳ τῶν ἡδονῶν τὸ σωφρονεῖν ἀναμέμικται· φιλοτιμίαν λέγει τὴν δύσιν, τὴν παρο-*χήν.

*Δι' ὧν γὰρ νόμον ταῖς ἡδοναῖς ἐπιτίθησι, κατὰ τοῦτο ἐν τῷ νόμῳ ἐκείνῳ παρέχει ὁ γάμος τὰς ἡδονὰς σὺν σωφροσύνῃ. Ναί φησιν, ἀλλ' ὁ γάμος συμφορῶν αἴτιος· ἡ ἀντίθεσις ἀπὸ τοῦ δυνατοῦ, ἢ μᾶλλον ἀπὸ τοῦ συμφέροντος· ἀπὸ μὲν τοῦ δυνατοῦ, καθὸ φαίνεται μὲν ὁ ἀντιπίπτων λέγων μὲν ῥᾴδιον εἶναι τὸ γαμεῖν, ἀλλὰ δυσχερὲς διὰ τὰς ἐπιγινομένας συμφορὰς τοῖς γαμοῦσι· τὰ δὲ τοιαῦτα τοῦ δυνατοῦ· ἀπὸ δὲ τοῦ συμφέροντος, καθὸ φαίνεται λέγων, τί ποιοῦσιν ἡμῖν τόδε, περὶ οὗ ἡ βουλὴ, ἀπαντήσεται δυσχερὲς, καὶ γὰρ ἐν ταῖς πραγματικαῖς στάσεσιν ὁ συμβουλεύων γένεσθαι τι ἢ ὡς οἰκεῖα τίθησι τὰ κεφάλαια, νομίμων εἶναι λέγων τόδε τι τὸ βοηθῆσαι, εἰ τύχῃ, Ὀλυνθίοις· καὶ δίκαιον καὶ συμφέρον καὶ τἄλλα· ἢ ἐξ ἀντιθέσεως ταῦτα λαμβάνει ὧδέ πως λέγων· ἀλλ' οὐκ ἔννομόν φησιν τὸ αὐθημερὸν ἡμᾶς εἰς πόλεμον ἐξελθεῖν, ἢ ἀλλ' οὐ δίκαιον, καὶ τὰ λοιπὰ ὁμοίως. *Τύχης μοι δοκεῖς· ἡ*

λύσις κατ' ἔνστασιν. Ἃ μὲν γὰρ κακοπραγοῦντες οἱ ἄνθρωποι πάσχουσιν, τοῦτο ἐπιχείρημα κατασκευαστικὸν τῆς λύσεως· Εἰ δὲ δὴ μάλιστα γάμῳ δοίημεν τὰ τῶν ἀνθρώπων φαυλότατα· ἑτέρα λύσις τῆς αὐτῆς ἀντιθέσεως κατὰ ἀντιπαράστασιν. Τί μὴ μᾶλλόν ἐστιν ἀποστατέον τοῦ γάμου· τὰ μὲν τῶν βιβλίων τί μὴ μᾶλλον ἔχει, τὰ δὲ χωρὶς τοῦ μὴ, τί μᾶλλον, καὶ ἐν οἷς μὲν κεῖται τὸ μὴ, τό τί ὄνομά ἐστι· τί οὐ μᾶλλον τοῦ γάμου ἀποστάσεώς ἐστιν ἄξιον· ἐν οἷς δὲ τοῦτο μὴ κεῖται, τὸ τί ἀντὶ τοῦ διατί ἐστι, καὶ τὸ μᾶλλον περιττεύει. Οὐχ ὅσα ἂν τοῖς πράγμασιν ᾖ δυσχερῆ, ταῦτα καὶ φυγὴν τῶν πραγμάτων ἐργάζεται· τοῦτο ἐπιχείρημά ἐστι κατὰ ἀντιπαράστασιν λύσεως. Καί μοι τὰς καθέκαστον ἐξέταζε τέχνας. Ἐνταῦθα ἐργασίαν μίαν βούλεται θεῖναι εἰς κατασκευὴν τοῦ ἐπιχειρήματος· εἰ γὰρ πολλαί εἰσιν αἱ παραβολαὶ, ὅμως ἐργασία μία ἐστὶν, ὡς ἐν τῷ περὶ εὑρέσεων βιβλίῳ μανθάνομεν.

Καὶ τὰς ναῦς διαφθείρουσιν ἐπιόντος τοῦ χειμῶνος. Λιπλῆ ἡ γραφή· τὰ μέν γὰρ τῶν βιβλίων ἐπιόντος χειμῶνος ἔχει, τὰ δὲ ἐπιόντες χειμῶνες. Οὐκοῦν ἄλογον. Τοῦτο ἐνθύμημά ἐστι, συγκρῖνον τὴν ἐργασίαν τῷ ἐπιχειρήματι. Ναί φησιν, ἀλλὰ χηρείαν μὲν γυναιξὶν, ὀρφανίαν δὲ παισὶν ἐπήνεγκεν· ἑτέρα ἀντίθεσις ὁμοία τῇ πρώτῃ. καὶ κατ' οὐδὲν ἕτερον διαφέρει, ἢ ὅτι ἐκείνη μὲν τὰς συμφορὰς περιεῖχεν ἁπλῶς, αὕτη δὲ τὰ τῶν συμφορῶν εἴδη καθ' ἕκαστον ἐπεξέρχεται· εἰ δέ τις λέγει, καὶ τί γὰρ τῇ αὐτῇ ἐχρήσατο πάλιν ἀντιθέσει, καὶ οὐχ ἑτέρᾳ παρὰ τὴν πρώτην, ἴστω, ὅτι ἐπειδὴ ὁ λέγων θαῤῥεῖ τῷ πλήθει καὶ τῷ μεγέθει τῶν λύσεων, διὰ τοῦτο καὶ τὴν μίαν ὑποφορὰν ἀνακυκλοῖ πολλάκις, ὡς ἂν καὶ ταύτης τὸ ἀσθενέστερον μᾶλλον φαίνοιτο, καὶ τοῦτο τὸ ἰσχυρὸν καὶ ἱκανὸν τῷ

πλήθει τῶν ἀποδείξεων. Ταῦτα θανάτου δεινά. Ἐνταῦθα ἡ τῆς ἀντιθέσεως λύσις, καὶ ἔστι κατ' ἔνστασιν· ἔστι δὲ ἐπιχείρημα ἐν ταυτῷ ἀπὸ τοῦ πράγματος, τὰ δ' ἑξῆς ὡς ἐργασία ἀπὸ παραβολῆς κατασκευαστικὴ τοῦ ἐπιχειρήματος. Συγχώρει πεσεῖν τὸν ὅπως ποτε πεσεῖται γινόμενον· ἕτερον ἐπιχείρημα ἀπὸ τοῦ προσώπου. Εἰ δὲ πεσὼν χηρεύει μὲν σύνοικος· τὸ χηρεύει ἐνταῦθα οὐχ ὡς ἐν ἄλλοις ἀντὶ τοῦ χῆρος ἢ χήρα καθίσταται, ἀλλ' ἀντὶ τοῦ χήραν ἐργάζεται. Ἐγὼ δ' αὖ τοὐναντίον γάμον ἐπανορθοῦσθαι ὀρφανίαν καὶ χηρίαν ἡγοῦμαι. Ἑτέρα λύσις κατὰ τὸ βίαιον· καὶ γίνεται ὀρφανίας ἀφανισμός, οὐχ ὑπόθεσις· ὑπόθεσις ἐνταῦθα ἀντὶ τοῦ αἴτιον καὶ ἀφορμή· καὶ πατὴρ γίνεται δεύτερον· γράφεται καὶ δεύτερος· οἷς γὰρ ἐξαριθμεῖν καταναγκάζεις τῶν ὑμεναίων τὰς χάριτας, λείπει τὸ ἡμᾶς· Ἀλλ' ὁ γάμος ἐπίπονος· καὶ αὕτη ἡ ἀντίθεσις ἀπὸ τοῦ αὐτοῦ κεφαλαίου ἐλήφθη, ἤγουν τοῦ συμφέροντος ἢ τοῦ δυνατοῦ, καὶ ἔστιν ὁμοία τοῖς ἄνωθεν. Καὶ τί πόνον ἐπίσταται λύειν ἢ ὁ γάμος; ἡ λύσις κατὰ τὸ βίαιον· ὁ μὲν γὰρ ἀντιτιθεὶς ἐπίπονον ἔλεγεν εἶναι τὸν γάμον, ἐν δὲ τῇ λύσει δείκνυται, ὡς οὐ μόνον οὐκ ἐπίπονόν ἐστιν ὁ γάμος, ἀλλὰ καὶ τοὺς πόνους οἶδε λύειν. Καὶ ῥᾳστώνη παντάπασιν, εἰς ὁμιλίαν γυναικὶ συνελθεῖν. Τρία σημαίνουσαν εὗρον τὴν τῆς ῥᾳστώνης ὀνομασίαν· τὴν εὐκολίαν ὡς ἐνταῦθα· τὴν ἡδύτητα, ὡς ἔχει τὸ ἐπιφερόμενον· μεθ' ὅσης δὲ ῥᾳστώνης ἐλπίζεται παῖς; καὶ τὴν ἀπέλειαν. Μέγα ὁ γάμος· τοῦτο οἱονεὶ ἐπίλογός ἐστι, τὰ ἐπίκαιρα τῶν ῥηθέντων ἀνακεφαλαιούμενος.

Καὶ παράγων θεούς· τὸ σχῆμα ἐπιφώνημα· καὶ γὰρ καὶ τῆς ἀληθείας ἔχεται τὸ λεγόμενον, καὶ τῶν ἔξωθέν τι προσλαμβάνει· τὸ μὲν γὰρ παράγειν τινὰς τῶν θεῶν, οὓς καὶ γεννητούς φασιν εἶναι οἱ Ἕλληνες, ἀλη-

θές· τὸ δὲ πάντας ἁπλῶς εἰπεῖν ἐπιφωνηματικόν· καὶ τὸ ἑπόμενον δὲ τούτῳ οὐκ ἀμοιρεῖ τῆς ἐπιφωνήσεως, τὸ τοῖς ἀνθρώποις παρέχειν θεοῖς εἶναι δοκεῖν διὰ τὴν τοῦ γένους διαδοχήν.

Καὶ παιδεύει μὲν τοὺς χρωμένους τὰ δίκαια· τὸ ἑξῆς· καὶ παιδεύει τὰ δίκαια τοὺς χρωμένους αὐτῷ.

Καὶ φιλοτιμεῖται τὰς ἡδονὰς, ὅσαι μὴ φανεῖσαι κακίζονται· τὸ ἑξῆς ὅσαι μὴ κακίζονται φανεῖσαι. Διὸ τὸν γάμον περὶ πλείστου πᾶσι ποιητέον καθέστηκε· περιττὸν τὸ καθέστηκεν, ἵν' ᾖ τὸ ποιητέον θετικὸν ἐπίρρημα· ἢ προσληπτέον τὸ ὑπαρκτικὸν ῥῆμα, τὸ εἶναι, ἵνα γένηται ὀνομαστικὸν τὸ ποιητέον.

Cap. XIV.

ΠΕΡΙ ΝΟΜΟΥ ΕΙΣΦΟΡΑΣ.

Περὶ τάξεως τοῦ παρόντος γυμνάσματος ἐν τοῖς προλαβοῦσιν εἰρήκαμεν· νῦν οὖν ὀφείλομεν ζητῆσαι, κατὰ πόσους τρόπους γίνεται κατὰ νόμου εἰσφορὰν γυμνασία, καὶ διατί μὴ νόμου ἐκφορὰ μᾶλλον ἀλλ' εἰσφορὰ νόμου καλεῖται τὸ γύμνασμα· ἔτι δὲ καὶ τί διαφέρει τῶν κατὰ νόμου εἰσφορὰν πραγματικῶν στάσεων· προσεπιτούτοις δὲ καὶ πρὸς ποῖον τῆς ῥητορικῆς εἶδος ἡ παροῦσα γυμνασία γυμνάζει, πρὸς ποῖον δὲ καὶ τοῦ πολιτικοῦ λόγου μέρος· νόμου τοίνυν εἰσφορὰ πολλαχῶς γίνεται· καὶ γὰρ ὅτε συνηγοροῦμεν νόμῳ, ἢ παρ' ἡμῶν τεθέντι καὶ νῦν εἰσφερομένῳ, ἢ πάλαι τεθέντι καὶ κυρωθέντι, εἰσφορὰν νόμου ποιοῦμεν· καὶ ὅτε δὲ κατηγοροῦμεν νόμου ἢ νῦν τεθέντος ἢ πάλαι, ὁμοίως· ὅτε οὐδὲ εἰσφορὰ ἀλλ' ἐκφορὰ νόμου μᾶλλον ἡ λύσις ἐστίν· ἔτι δὲ καὶ ἡνίκ' ἀμφότερα ποιοῦμεν, ἐν μέρει μὲν κατηγοροῦν-

τες τοῦ νόμου, ἐν μέρει δὲ καὶ συνηγοροῦντες αὐτῷ, ὡς καὶ ἡ τοῦ Ἀφθονίου ἔχει μελέτη, εἰσφορὰν νόμου ποιοῦμεν. Εἰσφορὰν δὲ νόμου ταύτην καλοῦμεν καὶ οὐκ ἐκφορὰν, ἀπὸ τοῦ κρείττονος μέρους ὀνομάζοντες· καὶ γὰρ ὁ τιθεὶς νόμον τοῦ λύοντός ἐστιν χρησιμώτερος· ὁ μὲν γὰρ λύων πειραθεὶς τοῦ κακοῦ οὕτως ἐγένετο φρονιμώτερος· ὁ δὲ ἐπ' ἀδήλοις ἐτέθη, καὶ διὰ τοῦτο ἀναγκαιότερος· εἰ δέ τις λέγει, ὅτι ὤφειλον μᾶλλον συνηγορίαι νόμων καλεῖσθαι, καὶ οὐκ εἰσφοραὶ, ἐπεὶ μὴ πᾶς συνηγορούμενος νόμος νῦν εἰσφέρεται, ἐνδέχεται γὰρ καὶ παλαιὸν αὐτὸν εἶναι, φήσομεν πρὸς αὐτὸν, ὅπερ καὶ ἀνωτέρω εἰρήκαμεν· τιμιώτερος γὰρ πάλιν ὁ νόμον εἰσφέρων τοῦ ἁπλῶς νόμῳ συνηγοροῦντος, εἴπερ ἐκεῖνος μὲν μόνος συνηγορεῖ, οὗτος δὲ καὶ συνηγορεῖ ἐν ταὐτῷ καὶ εἰσφέρει· ἔτι δὲ κἀκεῖνο, ὅτι πᾶς ὁ συνηγορῶν νόμῳ αὐτὸς δοκεῖ νῦν αὐτὸν εἰσφέρειν· εἰ γὰρ καὶ πάλαι ἐστὶ κεκυρωμένος, ὅμως ἐπεὶ συνηγορῶν νῦν αὐτὸν ἀξιοῖ κρατεῖν, δοκεῖ καὶ νῦν εἰσφέρειν. ἔστι κἀκεῖνο εἰπεῖν, ὅτι ἀπὸ τοῦ συνηθεστέρου καὶ πυκνότερον γινομένου τὴν γυμνασίαν ὠνόμασεν· παρὰ γὰρ τὸν τῆς θέσεως καιρὸν, ὡς εἰπεῖν, πάντες οἱ νόμοι δοκιμάζονται· διαφέρει δὲ τῶν κατὰ νόμου εἰσφορὰν ζητημάτων τὸ παρὸν γύμνασμα, ὅτι ἐν ἐκείνοις μὲν διά τινα συμβᾶσαν αἰτίαν ἢ εἰσφέρομεν νόμον ἢ λύομεν, οἷον νόμος ταριχεύειν τὰ σώματα· ἐμίχθη τις τεταριχευμένῳ σώματι καὶ γράφει τις λελύσθαι τὸν τῆς ταριχείας νόμον· τοῦτο ζήτημά ἐστιν, διὰ γὰρ τὸ ἀπαντῆσαι κακὸν ἐκ τοῦ νόμου ἡ κατηγορία αὐτοῦ γίνεται· εἰ μέντοι οὕτως εἴπωμεν· νόμος ταριχεύειν τὰ σώματα, καὶ γράφει τις αὐτὸν ἀναιρεθῆναι, γύμνασμα ἔσται· καὶ πάλιν εἰ μὲν οὕτως εἴπωμεν· Ἀλκιβιάδης μετὰ τὰ κατὰ Κύζικον εἰσφέρει νόμον μηδένα στρατηγὸν ἐκ τοῦ στρατοπέδου ἀνακαλεῖσθαι, ζήτημα ποιοῦμεν· κἀνταῦθα γὰρ διὰ τὸ ἀπαντῆσαν κακὸν κειμένου τοῦ

νόμου, διὰ τοῦτο εἰσφέρει τὸν νόμον ὁ Ἀλκιβιάδης· εἰ δὲ οὕτω πλάττομεν, γράφει τις μηδένα στρατηγὸν ἀπὸ τοῦ στρατοπέδου ἀνακαλεῖσθαι, γυμνασία ἔσται· καὶ ταῦτα μὲν ἡμεῖς εἰρήκαμεν ἀφ' ὧν μεμαθήκαμεν ἐν τῷ δευτέρῳ τόμῳ τοῦ περὶ εὑρέσεως βιβλίου. Λέγει γὰρ ἐν ἐκείνῳ ὁ Ἑρμογένης αὐταῖς λέξεσιν οὕτως· αἱ δὲ τῶν νόμων εἰσφοραὶ μετὰ περιστάσεως προδιηγήσεις ἔξουσι τοιάσδε· καὶ πάλιν προϊὼν λέγει· δεῖ γὰρ ὡς ἔφην, περίστασιν ἔχειν τὰς λύσεις τῶν νόμων· αἱ λύσεις γυμνασμάτων εἰσίν· ὁ δὲ [τῶν] Σαρδέων ἐξηγητὴς ἐξηγούμενος τὰ τοῦ Ἑρμογένους λέγει· μετὰ περιστάσεως καὶ τὰς εἰσφορὰς τῶν νόμων καὶ τὰς λύσεις· τουτέστι μετ' αἰτίας· ἓξ μὲν γάρ εἰσι τὰ περιστατικά· τούτων δὲ συνεκτικώτατον ἡ αἰτία· ἐξαιρέτως δὲ τὴν αἰτίαν καλεῖ περίστασιν· διὰ τὸ μὴ δυνατὸν εἶναι χωρὶς ταύτης ἢ λύειν νόμον ἢ εἰσφέρειν. καὶ ταῦτα μὲν ὁ Σαρδέων λέγει, τὰ τοῦ Ἑρμογένους ἐξηγούμενος· ἐν δὲ τῇ τοῦ παρόντος γυμνάσματος ἐξηγήσει ὥσπερ ἐναντιούμενος ἑαυτῷ λέγει, ὅτι καὶ αἰτίας μὴ ὑποκειμένης καιροῦ δὲ ἄλλου τινὸς τῶν περιστατικῶν ἐμφαινομένων τῷ νόμῳ, στάσις ἔσται πραγματική· αὐτίκα γάρ, φησί, τὸ· γράψει τις ἐν σπάνει ὠνητὰς εἶναι τὰς ἀρχὰς ζήτημά ἐστι πραγματικῆς στάσεως τῆς κατὰ νόμου εἰσφοράν· ἔχει γὰρ καιρὸν τὴν σπάνιν· καὶ ταῦτα μὲν ὁ Σαρδέων ἐναντιούμενος ἑαυτῷ περὶ τὰς ἐξηγήσεις· ἡμεῖς δὲ λέγομεν, ὅτι ἔνθα μέν ἐστι τὸ κῦρος τῶν περιστατικῶν ἡ αἰτία, ζήτημα ἔσται πάντως κατὰ νόμου εἰσφοράν· ἔνθα δὲ μὴ ἔστιν ἡ αἰτία, εἰ μὲν οὐδ' ἄλλο τῶν περιστατικῶν, οὐ γυμνασία ἔσται· εἰ δὲ καιρὸς εἴη, ἢ ἄλλο τι τῶν περιστατικῶν, οὔτε γυμνασία ἐκεῖνο οὔτε ζήτημα ἔσται, ἀλλὰ μεταξὺ ζητήματος κατὰ νόμου εἰσφορὰν καὶ γυμνασίας τοιαύτης ὀνομασθήσεται· καὶ ταῦτα οὐ τερατευόμενοι πάντως εἰρήκαμεν, ἀλλὰ τοῖς τῷ σοφωτάτῳ Γεωμέτρῃ ῥηθεῖσιν ἐν τῇ

περὶ τῆς θέσεως ἐξηγήσει ἑπόμενοι· καὶ γὰρ ἐν ἐκείνῃ διαφορὰν οὗτος ἀποδιδοὺς θέσεως καὶ ὑποθέσεως ἔφη· ἐπεὶ δὲ πολλάκις καί τινα μὲν τῶν περιστατικῶν εὑρίσκομεν ὡς παρὰ τοῖς παλαιοῖς, καί τινα δὲ ἐκλιπόντα, οἷον εἰ τύχῃ πρόσωπα εὑρίσκεσθαι καὶ καιροὺς καὶ τόπους καὶ αἰτίας ἀπολιμπάνεσθαι, καὶ τὸ ἀνάπαλιν, τί ἂν ὀνομάζοιμεν τὰς τοιαύτας τῶν ἐξετάσεων; ἢ δῆλον ὡς μεταξὺ θέσεών τε καὶ ὑποθέσεων· καὶ τῶν μὲν θέσεων πλεῖον, τῶν δὲ ὑποθέσεων ἔλαττον· κατὰ τοσοῦτον καθόσον ἂν καὶ ἐκλίπῃ ἢ πλεονάζῃ τὰ περιστατικά· καιριώτατον δὲ τῶν περιστατικῶν ἡ αἰτία, κἂν πάντα εὑρεθῇ τὰ περιστατικά, μόνον δὲ τὸ τῆς αἰτίας ἐστὶν ἀπολιμπανόμενον· ἀπολιμπάνεσθαι δηλαδὴ φήσομεν τῆς τελείας ὑποθέσεως καὶ τὸ πρᾶγμα, καὶ ταῦτα μὲν ὁ Γεωμέτρης. σὺ δὲ ἐπίστησον, ὅτι ὥσπερ μεταξὺ θέσεως καὶ ὑποθέσεως ἐκεῖνό ἐστι τὸ μήτε πάντη τῆς περιστάσεως ἀμοιροῦν, μήτε πάλιν ἐν ἑαυτῷ ἔχον τὰ περιστατικά, οὕτως ἐνδέχεταί τι καὶ κατὰ νόμου εἰσφορὰν πραγματικῆς στάσεως, καὶ τῆς γυμνασίας. Ὑπόλοιπον τῶν προτεθέντων εἰς ζήτησιν, πρὸς ποῖον μὲν τῆς ῥητορικῆς εἶδος, πρὸς ποῖον δὲ καὶ τοῦ πολιτικοῦ λόγου μέρος ἡ τοῦ νόμου εἰσφορὰ συμβαλεῖται· συμβαλεῖται τοίνυν πρὸς τὸ εἶδος τὸ συμβουλευτικόν· δῆλον δὲ τοῦτο ἐκ τοῦ πᾶσαν πραγματικὴν κατὰ νόμου εἰσφορὰν συμβουλευτικὴν εἶναι· πρὸς δὲ μέρος προηγουμένως μὲν πρὸς τὸ ἀγωνιστικόν· κατὰ δεύτερον δὲ λόγον καὶ πρὸς τὰ λοιπά· περιέχει γὰρ καὶ προοίμιον καὶ ἀγῶνας καὶ ἐπιλόγους· διηγήσεων δὲ οἷα μήτε περιστατικῆς οὔσης καὶ περὶ τῶν μελλόντων βουλῆς προκειμένης, οὐ σφόδρα ἐνταῦθα δεόμεθα.

Καὶ τὴν εἰσφορὰν τοῦ νόμου τινὲς εἶναι δεδώκασι γύμνασμα· ὅρα πῶς ἐν μὲν ταῖς τῶν ἄλλων προγυμνασμάτων μεθόδοις εὐθὺς ὁρίζεται ἐν τοῖς προκαταρκτικοῖς τὸ προκείμενον ζήτημα· ἐν δὲ τῇ τοῦ μύθου

μεθόδῳ καὶ τῇ τοῦ παρόντος γυμνάσματος οὐκ ἀποδίδωσιν ὅρον· ἐπειδή τινες ἔλεγον, μὴ δεῖν ταῦτα συντάττεσθαι τοῖς γυμνάσμασιν, πρῶτον θεραπεύει λέγων τὰς αἰτίας, δι' ἅσπερ προσῆκον ἡμᾶς αὐτοῖς γυμνασθῆναι, εἶθ' οὕτως ὁρίζεται. Οἷς μὲν γὰρ ὅλως σχήματος δέχεται πρόσωπον· ἀντίπτωσίς ἐστι τοῦτο· δέον γὰρ εἰπεῖν σχῆμα προσώπου, σχήματος πρόσωπον εἶπε, καὶ ἔστιν Ἀττικὸν, ὅμοιον τῷ ἐν τῇ πρώτῃ τῆς συγγραφῆς Θουκυδίδου[1] „καὶ οἱ πρεσβύτεροι αὐτοῖς τῶν εὐδαιμόνων οὐ πολὺς χρόνος ἐπειδὴ χιτῶνας λινοῦς ἐπαύσαντο φοροῦντες.“ ἔστι γὰρ ἀντὶ τοῦ οἱ εὐδαίμονες τῶν πρεσβυτέρων· ἔν τινι δὲ τῶν βιβλίων σχήματι δέχεται πρόσωπον εὗρον· ἦν δὲ ἐν ἐκείνῳ καὶ σχόλιον παρακείμενον τῷ ῥητῷ τοιοῦτον· τοῦτό φησιν, ὅτι οὐχ ὡρισμένον ἐστὶν τὸ πρόσωπον τοῦ τιθέντος τὸν νόμον, ἀλλ' ἀόριστον· νόμου γάρ ἐστι κατηγορία καὶ τοῦ τιθέντος αὐτοῦ τινος, ὃ καὶ σχῆμα μέν ἐστι προσώπου, οὐ μὴν τελεία περίστασις· διὸ οὐδὲ ἐξέτασιν ἐπιδέχεται ὡς ἐν τῷ περὶ[2] στάσεων βιβλίῳ μαθήσῃ· σχήματι οὖν πρόσωπον τὸ ἀόριστον· διὰ τοῦτο οὐδὲ τελείαν τὴν εἰσφορὰν τοῦ νόμου ποιεῖ ὑπόθεσιν· μείζων δὲ ἡ εἰσφορὰ τῆς θέσεως, ὅτι ἐνταῦθα μὲν σχήματι γοῦν τι ὅλως εἰσάγεται πρόσωπον, ἐν ἐκείνῃ δὲ οὐδαμῶς· καὶ τὸ μὲν σχόλιον ὧδέ πη ἔλεγεν· εἶχε δ' ἂν καλῶς, εἰ μὴ ἐναντιοῦτο αὐτῷ τὰ τοῦ Γεωμέτρου ὧδε καὶ αὐτὴ ἡ ἀλήθεια· ἔχει δὲ τὰ τοῦ Γεωμέτρου οὕτως· κἂν τούτῳ δέ φησι διαφέρειν τὴν εἰσφορὰν τοῦ νόμου τῆς θέσεως, τῷ τὴν μὲν ἀπροσώπως ἐκφέρεσθαι, ταύτην δὲ προσωπικῶς· ἀλλὰ δεῖ σκοπῆσαι τὸ πρόσωπον, ὁποῖόν ἐστιν καὶ περὶ οὗ διαλαμβάνειν τὴν τέχνην λέγωμεν· πρόσωπον οὖν οὐχὶ τὸ τοῦ γράψαντος· τοῦτο γὰρ καὶ ἡ θέσις ηὐπόρηκεν, ἀλλὰ καθ' ὧν ἡ ἀ-

1 I, 6. 2 Vind. τῆς.

πλῶς περὶ ὧν ἐστιν ἡ γραφή· κατὰ μὲν τὸν γράφοντα καὶ αἱ τῶν νόμων εἰσφοραὶ καὶ αἱ θέσεις ἀπρόσωποι· οὐδὲ γὰρ πρόσκειται καὶ τοῖς νόμοις ἢ τοῖς ψηφίσμασιν καὶ τοῖς δόγμασι τὸ τοῦ γράφοντος πρόσωπον· ἦ γὰρ ἂν καὶ αἱ θέσεις ταῖς τελείαις ἤγγιζον ὑποθέσεσιν· ἀλλ' ἐν οἷς καὶ περὶ ὧν ἐστιν ἡ γραφή, ταῦτα τὰ πρόσωπα κατὰ μὲν τὰς θέσεις εὑρεῖν οὐκ ἔστι, κατὰ δὲ τὰς εἰσφορὰς τῶν νόμων, καὶ οὐδ' ἐν ταύταις ἁπλῶς καὶ ὡρισμένως, οἷον περὶ μοιχῶν, περὶ ἀνδροφόνων, περὶ ἐπιόρκων· ἢ τοὐναντίον ὑπὲρ ἀριστέων, ὑπὲρ τυραννοκτόνων καὶ τῶν τοιούτων· λείπονται γοῦν ταῖς λοιπαῖς περιστάσεσι τῶν τελείων ὑποθέσεων κατὰ τὰς μελέτας· αἱ γὰρ ἐπ' ἀληθείας μελέται καὶ τὸ γράψαν αὐτὸ πρόσωπον ὡρισμένως ἔχουσιν, οἷον Δημοσθένης· καὶ τὸν τόπον, οἷον Ἀθηναίους, Λακεδαιμονίους, Ἀργείους· καὶ τὸν καιρόν, ὃς κοινῇ μὲν ἐκ τῶν Ὀλυμπιάδων, ἰδίως δὲ ἐκ τῶν κατὰ καιροὺς ἀρχόντων γνώριμος γίνεται· καὶ τὰς αἰτίας δὲ μᾶλλον· αἳ καὶ μόναι λείπουσαι οὐκ ἂν τέλος ταῖς τελείαις παράσχοιεν ὑποθέσεσι· δεῖ γὰρ καὶ ταύτας ὑποκεῖσθαι ταῖς ἀληθείαις. Ἔστι τοίνυν εἰσφορὰ νόμου διπλῆ γυμνασία, συνηγορία καὶ κατηγορία νόμου τεθέντος· οἱ μὲν τοῦτό φασιν, ὅτι ἢ συνηγοροῦμεν νόμῳ τινί, ἢ κατηγοροῦμεν ἑτέρου, ἐν ἄλλῳ μέντοι καὶ ἄλλῳ καιρῷ· οἱ δέ, ὅτι κατηγοροῦντες νόμου τινὸς ἕτερον ἀντ' αὐτοῦ [3] ἀντεισφέρομεν, ὡς ἐπὶ τῆς μελέτης τῆς κατηγορίας τοῦ νόμου τοῦ κελεύοντος ἐπ' αὐτοφώρῳ τοὺς μοιχοὺς κτείνεσθαι· ἐνταῦθα γὰρ κατηγορεῖν τούτου τοῦ νόμου ὁ σοφιστὴς φαίνεται ἕτερον εἰσάγων τὸν κελεύοντα, μὴ ἐπ' αὐτοφώρῳ κτείνειν τοὺς μοιχούς, ἀλλ' ἐπὶ τοὺς δικαστὰς ἄγειν· καὶ ταῦτα μὲν ἕτεροι· ἡμεῖς δὲ λέγομεν, ὅτι καὶ ἀμφότεροι καλῶς ἔχου-

3 ad marg. ἐν ταυτῷ.

σιν οἱ λόγοι· καὶ τοῦτο δῆλον ἐκ τοῦ εὑρίσκεσθαι καὶ ζητήματα τέλεια κατὰ νόμου εἰσφορὰν κατὰ τοὺς ῥηθέντας τρεῖς τρόπους γινόμενα· ὧν εἰσι καὶ παραδείγματα τάδε· τοῦ μὲν κατηγορίαν μόνην ἔχοντος τόδε, νόμος ταριχεύειν τὰ σώματα· ἐμίγη τις ταριχευομένῳ σώματι, καὶ γράφει τις λελύσθαι τὸν τῆς ταριχείας νόμον. τοῦ δὲ τοὐναντίον μόνην ἔχοντος νόμου συνηγορίαν τόδε· Ἀλκιβιάδης μετὰ τὰ κατὰ Κύζικον γράφει μηδένα στρατηγὸν ἐκ τοῦ στρατοπέδου ἀνακαλεῖσθαι· τοῦ δὲ καὶ ἀμφότερα ἔχοντος ἐκεῖνο· νόμος τοὺς μοιχοὺς χρήματα ἐκτινύναι· πολλοὶ μοιχεύουσι καὶ καταβάλλονται [4] χρήματα καὶ γράφει τις κτείνειν τοὺς μοιχούς. Κοινὴ δὲ συνθήκη πόλεως· ἀλλ' εἰ κοινή ἐστι συνθήκη πόλεως ὁ νόμος, πῶς τὸ παρ' ἑνὸς εἰσαγόμενον νόμον ἂν ὀνομάσαιμεν, ἢ ὅτι καὶ οὕτως τῇ κρίσει τῶν σοφῶν ἢ τῶν πολλῶν ἢ τῶν ἐνδόξων κύριος γίνεται, εἰ καὶ παρ' ἑνὸς μόνου εἰσήχθη. Ἐπανόρθωσις δὲ πλημμελημάτων τῶν εἰς ἀμφότερα· τὸν ὁρισμὸν τοῦ νόμου ἐκ τοῦ ῥήτορος λαβὼν παρῴδησεν ὁ Ἀφθόνιος· ἐκεῖνος γάρ φησιν ἐν τῷ πρώτῳ τῶν κατὰ Ἀριστογείτονος οὕτως· [5] „πᾶς ἐστι νόμος εὕρημα μὲν καὶ δῶρον θεῶν, δόγμα δ' ἀνθρώπων φρονίμων, ἐπανόρθωμα δὲ τῶν ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων, κοινὴ δὲ συνθήκη πόλεως·" δῆλον οὖν ὅτι τῶν εἰς ἀμφότερα εἴρηκεν ὁ Ἀφθόνιος, ἀντὶ τοῦ ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων. ἢ καὶ ἄλλως τὸ πλημμέλημα διαιρεῖται εἰς ἀδίκημα καὶ ἁμάρτημα· ἁμάρτημα μέν ἐστιν, οἷον πορνεία καὶ μέθη, καὶ τὰ ἄλλα, ὅσα τις ποιῶν ἑαυτὸν βλάπτει· ἀδίκημα δὲ, οἷον φόνος, μοιχεία, καὶ ὅσα ποιοῦντες ἑτέρους βλάπτομεν· ὁ οὖν νόμος ἐπανόρθωσίς ἐστι τῶν πλημμελημάτων τῶν εἰς ἀμφότερα· ἢ τῶν κατὰ ἁμάρτημα καὶ τῶν κατὰ

4 In codd. supra lineam ουσι. 5 p. 774.

ἀδίκημα· ἢ τὸ εἰς ἀμφότερα, πρὸς ἃ εἶπεν ἄνωθεν ἀποδοτέον· εἶπε γὰρ εἶναι τὸν νόμον δῶρον θεῶν, καὶ συνθήκην πόλεως· οὐκοῦν εἰπὼν τὸ εἰς ἀμφότερα τὴν πόλιν καὶ τοὺς θεοὺς ἐδήλωσε· τουτέστιν ἐπανόρθωσιν τῶν πλημμελημάτων, ἃ κατὰ θεῶν καὶ κατὰ πόλεων γίνεται· πλημμελήματα δὲ κατὰ θεῶν ἀσέβεια· κατὰ πόλεων δὲ πλημμελήματα μοιχεῖαι, προδοσίαι, τυραννίδες, καὶ ὅσα οἱ κατὰ πόλεις πλημμελοῦσιν. Ἡ μὲν οὖν διαίρεσις αὕτη τῆς εἰσφορᾶς τοῦ νόμου· Διαίρεσιν ἤτοι τεχνολογίαν λέγει ἢ τὴν κατηγορίαν καὶ συνηγορίαν καὶ τὴν εἰς ἀμφότερα ἐν ταὐτῷ τῆς τοῦ νόμου εἰσφορᾶς τομήν· φαίνεται γὰρ εἰς ταῦτα ὡσανεὶ, ὡς εἰς εἴδη, αὕτη διαιρουμένη.

Προοίμια δὲ θήσεις καὶ μετὰ τὸ προοίμιον τὸ κεκλημένον ἐναντίον· φαίνεται κατά τινας ὁ Ἀφθόνιος τὸ αὐτὸ νομίζων ἐναντίον καὶ ἀντίθετον· οὐκ ἔστι δέ· τὸ μὲν γὰρ ἀντίθετον σχῆμά ἐστι τοῦ λόγου· τὸ δὲ ἐναντίον κατὰ Ἑρμογένην δριμύτης ἐστὶ νοήματος ἀπὸ τῆς ἐργασίας λαμβανομένη· κατὰ δὲ ἄλλους ἐπιχείρημα ἢ κεφάλαιον, ἐν ᾧ τοῦ λεγομένου τὸ ἐναντίον παραλαμβάνομεν· ὡς ἐπὶ λειποτάκτου μὲν τὴν προτέραν εὐανδρίαν καὶ εὐταξίαν τῶν παρατάξεων, καὶ ἐπὶ τυράννου τὴν προτέραν εὐταξίαν τῆς πόλεως· ὅτι δὲ τὸ αὐτὸ εἶναι νομίζει ἐναντίον καὶ ἀντίθετον ὁ Ἀφθόνιος, δῆλόν φασιν ἐκ τοῦ ἐν τῇ τοῦ κοινοῦ τόπου μεθόδῳ εἰρηκέναι αὐτὸν, ὅτι μετὰ τὰ προοίμια δεῖ τιθέναι κεφάλαιον πρῶτον ἐκ τοῦ ἐναντίου, καὶ ἐν τῇ τοῦ παρόντος γυμνάσματος, τὸ αὐτὸ τοῦτο εἰπόντος ἐν ταῖς μελέταις ἀντιθέτοις σχήμασι χρήσασθαι ἀντὶ τῶν ἀπὸ τοῦ ἐναντίου κεφαλαίων· ἐν μὲν τῇ τοῦ κοινοῦ τόπου· τῷ, εἰ μὲν οὖν ἔμελλε τὴν παροῦσαν δίκην διαφυγὼν δημοτικώτερος ἔσεσθαι, τυχὸν ἂν τις αὐτὸν ἀφῆκε τῆς γνώμης· ἐπειδὴ δὲ τὸ παρὸν διαφυγὼν βιαιότερος ἔσται, ποῦ δίκαιον ἀρ-

χὴν τυραννίδος τὴν τοῦ παρόντος καταστῆναι συγγνώμην· ἐν δὲ τῇ παρούσῃ τῷ, εἰ μὲν δωροδοκίαν τῶν δικαζόντων κατεγνωκὼς ἀνῄρει τὰ δικαστήρια, φαύλην ἐλέγχεται περὶ τοὺς δικαστὰς κεκτημένος τὴν γνώμην. Εἰ δὲ δίκαια κρίνειν, ὥσπερ δίκαια κρίνεται, ποῦ δίκαιον ἐπαινεῖν μὲν δικαστὰς, ἐξαιρεῖσθαι δὲ τῶν δικαζόντων τὸν νόμον; ταῦτα γὰρ οὐκ ἐναντία μᾶλλόν εισιν, ἀλλὰ σχήματα κατὰ τὸ ἀντίθετον, ὡς ἐν τῷ τετάρτῳ τόμῳ τοῦ περὶ εὑρέσεων βιβλίου μανθάνομεν· ἀλλὰ περὶ μὲν τῆς ἐν τῷ κοινῷ τόπῳ μελέτης ἔχοιμεν ἂν εἰπεῖν, ὅτι μὴ τοῦτο τέθεικεν ἀντὶ κεφαλαίου τοῦ ἐκ τοῦ ἐναντίου, τὸ εἰ μὲν οὖν ἔμελλε τὴν παροῦσαν δίκην διαφυγὼν δημοτικώτερος ἔσεσθαι, ἀλλ' ἕτερον τὸ δοκεῖτε δέ μοι μᾶλλον περὶ τῆς τοῦ παρόντος διανοίας σκοπεῖν ἀκριβέστερον, εἰ τὰς τῶν προγόνων λογίσεσθε γνώμας καὶ τὰ ἑξῆς· ἐν δὲ τῇ παρούσῃ πάλιν μελέτῃ ἐκ τοῦ ἐναντίου φήσομεν εἶναι κεφάλαιον, οὐ τὸ μὲν, „εἰ μὲν οὖν δωροδοκίαν τῶν δικαζόντων κατεγνωκὼς,“ ἀλλὰ τὸ, „δοκεῖτε δέ μοι μᾶλλον πολὺ κάλλιον ἐξετάσαι τὸν νόμον,“ καὶ τὰ ἑξῆς. Ὅθεν καὶ ταύτῃ διήνεγκε θέσεως· ὁ καὶ σύνδεσμος δηλοῖ τὸ καὶ καθ' ἕτερόν τι διαφέρειν τῆς θέσεως τὴν τοῦ νόμου εἰσφοράν· τί τοῦτο; τὸ ἀνωτέρω τῷ σοφιστῇ εἰρημένον, τὸ τὴν μὲν θέσιν δηλονότι ἀπερίστατον εἶναι, τὴν δὲ τοῦ νόμου εἰσφορὰν ἔχειν πρόσωπον, εἰ καὶ μὴ πάντη γνώριμον.

Η ΜΕΛΕΤΗ ΤΟΥ ΠΡΟΓΥΜΝΑΣΜΑΤΟΣ.

Οὔτε εἰς ἅπαν ἐπαινέσω τὸν νόμον, οὔτε ἐπὶ παντὶ τὸ γραφὲν αἰτιάσομαι· ἡ παροῦσα μελέτη διπλῆ ἐστι· συνηγορίαν γὰρ νόμου ἔχει ἐν ταὐτῷ καὶ κατηγορίαν· ἔστι δὲ ἡ τοῦ προοιμίου πρότασις διμοιρὴς καὶ δίκωλος· τῶν δὲ κώλων τὸ μὲν ἀκατάληκτον, τὸ δὲ ὑπερ-

ὑπερκατάληκτον· καὶ αἱ αἰτίαι πρὸς ἑκάτερα ἀποδίδονται, κατά τε γοργότητα καὶ κάλλος.

Αἰτιῶμαι τὴν αἵρεσιν· τὴν βούλησιν, τὴν πρόκρισιν, τὸ αἱρετίσασθαι καὶ προελέσθαι ἀκρίτους ἀναιρεῖσθαι τοὺς μοιχοὺς παρὰ τοῦ κατειληφότος.

Εἰ μὲν οὖν δωροδοκίαν τῶν δικαζόντων κατεγνωκὼς ἀνῄρει τὰ δικαστήρια. Μέμψεται τῷ Ἀφθονίῳ ὁ Γεωμέτρης ὡς πλανηθέντι καὶ ἀντὶ τοῦ ἐναντίου σχῆμα κατὰ τὸ ἀντίθετον τεθεικότι· τοῦτο δέ, οἶμαι, πεποίηκε τοῖς πρὸ αὐτοῦ κατακολουθήσας, οἰηθεῖσι τοῦτο εἶναι τὸ ἀπὸ τοῦ ἐναντίου κεφάλαιον· ὁ δ' αὐτὸς καὶ τὸ ἑξῆς τὸ, οἱ μὲν οὖν ἄλλοι πάντες, ὅσοι τοῖς κειμένοις διαμάχονται νόμοις, νόμιμον εἶναι κεφάλαιον οἴεται· ἀκόλουθον γὰρ ἦν οἰηθέντα αὐτὸν ἐκ τοῦ ἐναντίου εἶναι τὸ ἀνωτέρω καὶ τοῦτο τὸ νόμιμον εἶναι νομίσαι κεφάλαιον· οὕτω γὰρ καὶ ὁ Ἀφθόνιος ἐν τῇ μεθόδῳ ἐδίδαξε· μετὰ μὲν τὰ προοίμια τὸ ἀπὸ τοῦ ἐναντίου κεφάλαιον ἀξιώσας τιθέναι, μετὰ δὲ τοῦτο τὸ νόμιμον· ἐγὼ δὲ οὔτε ἐκεῖνο οἶμαι ὡς ἀπὸ τοῦ ἐναντίου κεφάλαιον τεθεῖσθαι παρὰ τοῦ Ἀφθονίου, οὔτε τὸ δεύτερον κατὰ τὸ ἀντίθετον· τοῦτο δὲ ὡς τρίτον προοίμιον· ἄμεινον δὲ εἶναι νομίζω ἀπὸ τοῦ ἐναντίου κεφάλαιον ἐν τῇ παρούσῃ λέγειν μελέτῃ τό· δοκεῖτε δέ μοι πολὺ κάλλιον ἐξετάσαι τὸν νόμον καὶ τὰ ἑξῆς, ἐπειδὴ ἐν αὐτῷ λέγει τὰ ἐναντία τοῦ προκειμένου νόμου. Εἰ δὲ δίκαια κρίνειν, ὥσπερ δίκαια κρίνετε,[6] τοῦτο καθ' ὑποστροφήν, οὐ κατ' ἐπιδιόρθωσιν. Πάντα ὀλίγου δέω λέγειν· μικρόν μοι λείπει πρὸς τὸ λέγειν. Καὶ ψήφισμα κύριον τὸ παρ' ἑτέροις κρινόμενον· νόμου ψήφισμα διαφέρει· καθὸ τὸ μὲν ψήφισμα κατὰ τὴν[7] ἀμφισβήτησιν ἐφ' ᾗ τεθῇ κρατεῖ καὶ διενερ-

6 Vind. κρίνεται. 7 Codd. κατὰ τὴν ἐφ' ᾗ ἀμφισβήτησιν καὶ ὅτε τεθῇ κρατεῖ ἀμφισβήτησιν καὶ διεν.

γεῖ· καὶ ὅτε τεθῇ, εἶτα ἀπρακτεῖ καὶ ἀκυροῦται καὶ εἰς τὸ μηδὲν περιΐσταται· ὁ δὲ νόμος ἀεὶ καὶ ἐπὶ τῶν ὁμοίων τὴν ἰσχὺν καὶ τὴν ἐνέργειαν ἀποφέρεται. Αὖθις εἰς τὸ, εἰ μὲν οὖν δωροδοκίαν τῶν δικαζόντων κατεγνωκώς· περὶ τοῦ νομοθέτου ὁ λόγος, οὐ περὶ τοῦ νόμου.

Τὸ παρ' ἑτέροις ἀνακρινόμενον· οὐκ ἀντὶ τοῦ ἀκυρούμενον, ἀλλ' ἀντὶ τοῦ ἀναψηλαφώμενον, ἐξεταζόμενον.

Πῶς οὖν οὐκ ἄλογον, ἅπαντα μὲν ἀναμένειν τοὺς ἐξετάζοντας. τινὰ μὲν τῶν βιβλίων ἅπαντας ἔχει μετὰ τοῦ σ̄, τινὰ δὲ ἅπαντα, χωρὶς τοῦ σ̄. καὶ εἰ μὲν ἅπαντας ἔχει μετὰ τοῦ σ̄, περὶ τῶν ἄλλων νόμων ὁ λόγος, ἂν δὲ χωρὶς τοῦ σ̄, περὶ τῶν πολιτευομένων. ὥστε εἶναί πως ἅπαντα τὰ παρ' ἡμῖν πολιτευόμενα ἀναμένουσιν ἐξετάζεσθαι παρὰ [8] τοῖς δικασταῖς· ὁ δὲ παρὼν νόμος τοὺς φεύγοντας ἐπὶ μοιχείᾳ οὐκ ἐᾷ ἐξετάζεσθαι, εἴτε μάτην κατηγοροῦνται, εἴτε καλῶς καὶ δικαίως. Ναί φησιν, ἀλλὰ μεγάλα τὰ μοιχῶν ἀδικήματα· ἐντεῦθεν ἡ τῶν τελικῶν κεφαλαίων εἰσαγωγή· εἰσάγει δὲ ταῦτα ὁ σοφιστής, οὐχ ὡς παρ' ἑαυτοῦ κατὰ θέσιν, ἀλλ' ὡς παρὰ ἐχθροῦ κατὰ ἀντίθεσιν· ναί φησιν, ἀλλὰ μεγάλα τὰ μοιχῶν ἀδικήματα· ἡ ἀντίθεσις αὕτη ἀπὸ τοῦ δικαίου ἐστὶ, καὶ ἔστιν ἀντεγκληματική. καὶ γὰρ τὸ δίκαιον μιᾷ τῶν δικαιολογικῶν ὑποπίπτει στάσεων, καὶ κατ' ἐκείνην διαιρεῖται, ὥς φησιν ὁ Ἑρμογένης ἐν τῷ περὶ τῶν στάσεων βιβλίῳ.

Οὔτε τοῖς ὑφαιρουμένοις τὰ τῶν κρειττόνων ὑπῆρξέ τι παθεῖν· διαφέρει δὲ τὸ ἀφαιρεῖσθαι τοῦ ὑφαιρεῖσθαι, καθὸ τὸ μὲν ἐπὶ τῶν φανερῶς λαμβανόντων τι λέγεται τὸ ἀφαιρεῖσθαι· τὸ δὲ ἐπὶ τῶν λάθρα· ὑφαιρουμένους δὲ τὰ τῶν κρειττόνων τοὺς ἱεροσύλους λέ-

8 ad marg. περὶ τῶν δικαστῶν.

γει. Καὶ μὴ δοκεῖν τι τούτων ὡς ἕκαστον, ἂν μὴ δικαστὴς ἐπενέγκῃ τὴν ψῆφον· ὁ γὰρ παριστάμενος ἐπ' ἐρημίας καὶ θάπτων τὸ νεοσφαγὲς σῶμα καὶ φεύγων ἀνδροφονίας οὐ πρότερον δοκεῖ καὶ νομίζεται ἀνδροφόνος, εἴτε μὴ, μέχρις ἂν οἱ δικασταὶ περὶ αὐτοῦ ψηφίσαιντο, ἢ ὑπεύθυνον αὐτὸν ἀποφαίνοντες τῷ ἐγκλήματι ἢ ἀνεύθυνον· καὶ ὁ ἐξ ἱεροῦ ἀφελόμενος τὰ ἰδιωτικὰ χρήματα καὶ φεύγων ἱεροσυλίας οὐ πρότερον δοκεῖ κλέπτης ἢ ἱερόσυλος, μέχρις ἂν περὶ αὐτοῦ οἱ δικασταὶ ψηφίσωνται, ἢ ταῖς τῶν ἱεροσύλων ἢ ταῖς τῶν κλεπτῶν δίκαις ὑπεύθυνον αὐτὸν ἀποφαίνοντες.

Κρίνουσιν· ἑτέρα ἀντίθεσις ἀπὸ τοῦ δικαίου· φησὶ δὲ ὁ Γεωμέτρης, ὅτι ἐπείπερ ἐμάθομεν, ὅτι τὸ δίκαιον καὶ κατὰ μίαν μελετᾶται τῶν δικαιολογικῶν στάσεων, μεμελέτηται δὲ ἐνταῦθα κατὰ μετάληψιν, ὡς τὸ μὲν πρᾶγμα συγχωροῦντος τοῦ ἀντιλέγοντος, ἤτοι τοῦ τὸν νόμον ἀνασκευάζοντος, τὸν δὲ χρόνον μόνον μεταλαμβάνοντος. ὡς δίκαιον μὲν τὸν μοιχὸν ἀναιρεῖσθαι, μὴ μέντοι πρὸ τῆς κρίσεως καὶ τῆς τῶν δικαστῶν ἀποφάσεως, εὐλόγως ἡ ἀντίθεσις πρὸς τὴν μετάληψιν ἀπήντησε συλλογιστικῶς· καὶ γὰρ καὶ τοῦτο κἀν τῇ διαιρετικῇ παραδέδοται τέχνῃ, τὸ μετὰ τὴν μετάληψιν συλλογισμὸν εὑρίσκεσθαι, καὶ ταύτην λύεσθαι τούτῳ, ὥσπερ κἀνταῦθα συλλογιζόμενος ὁ τῷ νόμῳ συνιστάμενος, τί, φησὶ, διαφέρει, εἴτε πρὸ τῆς κρίσεως, εἴτε μετὰ τὴν κρίσιν ὁ μοιχὸς ὑφέξει τὴν δίκην· δι' ἀμφοτέρων γὰρ αὐτὸ πάντως ἀπαντήσεται τέλος.

Ὅσον τυράννου καὶ νόμου τὸ μέσον· ἡ λύσις κατὰ ἔνστασιν· καὶ δῆμος μὲν, ὅσα ἂν ἐκκλησιάζων σκοπῇ, πρὸς ἐξέτασιν τίθησιν· ὅσα γὰρ ἐν τῇ βουλῇ ἔδοξε, ταῦτα ἐπὶ τὸν δῆμον ἀνεφέρετο, καὶ ἐκ τοῦ ἐναντίου τὰ ὑπὸ τοῦ δήμου ψηφιζόμενα ὑπὸ τῆς βουλῆς ἐκυροῦτο. Μοναρχία δὲ κολάζει μὲν, ἃ συναμφότερα δῆ-

μος καὶ νόμος· ἐξ ἐναντιωμάτων δὲ ἅπαντα πέπραχε πρὸς τὸν μόνον ἄρχειν καὶ τυραννεῖν προελόμενον. Ἔν τινι βιβλίῳ σχόλιον εὗρον παρακείμενον τῷ παρόντι ῥητῷ τοιοῦτον· ἡ μοναρχία, φησὶ, καὶ τῇ δημοκρατίᾳ καὶ αὐτοῖς τοῖς νόμοις ἐναντιοῦται, καὶ κολάζει ἐκεῖνα, ἃ πέπραχε τὸ συναμφότερον· τί ἐστι τὸ συναμφότερον; δῆμος καὶ νόμοι· ἅπερ οὖν συμφθεγξάμενος ὁ δῆμος τῷ νόμῳ πράξει, ταῦτα ἡ μοναρχία κολάζει; ὅτι ἐκεῖνος μὲν, ἅπερ ἂν σκοπήσῃ, ἐπὶ μέσον προτίθησιν εἰς ἐξέτασιν, ἡ δὲ τὸ παρὰ τὸν νόμον ἡγεῖται καὶ τοῦτο ποιεῖν αἱρεῖται γνώμης τῶν ἀρχομένων χωρίς. τὸ δὲ ἐξ ἐναντιωμάτων ἅπαντα οὕτω νοητέον· οἱ νόμοι πάντες ἐξ ἐναντιωμάτων ἐτέθησαν· οἷον ἐτολμήθη φόνος καὶ νόμοι κατὰ φονέων ἐγράφησαν· μοιχεία καὶ κατ' ἐκείνων ὡσαύτως, οὕτω καὶ κατὰ ἱεροσύλου καὶ τυμβωρύχων καὶ τῶν λοιπῶν, καὶ ὁ μοναρχῶν, φησὶν, εἴτουν τυραννῶν ἐναντιώματα τοιαῦτα πεποιηκὼς καὶ κινήσας τὰς τῶν νομοθετῶν ἐπ' αὐτῶν γνώμας, εἰς ἀνατροπὴν — **reliqua desunt.**

IV.

ΣΧΟΛΙΑ

ΕΙΣ ΤΑ

ΤΟΥ ΑΦΘΟΝΙΟΥ

ΠΡΟΓΥΜΝΑΣΜΑΤΑ.[1]

Cap. I.

ά. Τὸ Ἀφθόνιος ὄνομα ἐστὶ μὲν κύριον καὶ παράγωγον· τὰ μάλιστα δὲ οἰκειότατον τῷ ῥήτορι[2] *πέφυκε τῷ*[3] *ἀφθόνως εἴτουν πλουσίως τὰ τοῦ λόγου ῥεῖθρα προχέειν, τῷ τε πάθους ἐκτὸς, δηλαδὴ φθόνου, ἐπαντλεῖν τοῖς μαθητευομένοις τῆς διδασκαλίας τὰ νάματα.*

β. Τὸ σοφίζω[4] *διττῶς νοεῖται· ποτὲ μὲν τὸ διδάσκω καὶ σοφόν τινα ἀποτελῶ*[5] *περὶ σοφίας αὐτῷ τῆς ἀληθεστάτης διαλεγόμενος· ποτὲ δὲ*[6] *τὸ ἐξαπατῶ καὶ παραλογίζομαι, ὡς τὸ σοφίσαι τι περὶ τὴν ἀνταπόδο-*

1 Descripsi hunc commentarium ex codice Monacensi 8. et initio contuli cum Par. 2977. (Par. 1.) 2981. (Par. 2.) 2985. (Par. 3.) et 2986. (Par. 4.) qui ex hoc et Doxopatri commentário consuti sunt. 2 Mon. τοῦ ῥήτορος. 3 Mon. τό. 4 in Codd. Parr. 2. 3. 4. et in Ambr. 2. sectio haec usque ad ὑπικράτησας Doxopatri commentario inserta est. 5 Mon. ἀποτελῶ. reliqui omnes ἀποτελεῖν. 6 Ambr. 2. καὶ inserit.

σιν,[7] καὶ τὸ[8] σοφιστὴς εἶναι κατὰ τὰ αὐτὰ σημαινόμενα διχῶς εἴληπται· λέγεται γὰρ ὅτε μὲν ὁ σοφίζων τινὰ, ὥσπερ καὶ νῦν ἐξενήνεκται· σοφιστὴς γὰρ ἦν τῶν φοιτητῶν ὁ Ἀφθόνιος τὰ τῆς ῥητορικῆς τέχνης αὐτοῖς ἀναπτύσσων, ὅτε δὲ ἀπατεὼν[9] καὶ πλάνος καὶ παραλογιστὴς, ὡς τὸ, ὦ σοφιστὰ κακίας, πῶς τὸ ἐξῆς ὑπεκράτησας; καὶ σοφιστικῶς καὶ ἀνελευθέρως.

γ'. Γυμνάζεσθαι[10] κυρίως ἐστὶ τὸ γυμνὸς ἀγωνίζεσθαι, καὶ ἐκμανθάνειν εἴτε πολεμικὴν ἄσκησιν, εἴτε ἀμιλλητηρίους ἀγῶνας, δίαυλον τυχὸν ἢ παγκράτιον ἢ πυγμὴν ἢ πάλην, εἴτι ἕτερον τοιουτότροπον, ὥσπερ Ξενοφῶν ἐν τῇ Κύρου παιδείᾳ τὸν Κῦρον αὐτὸν ποιεῖν μετὰ τῶν ἑταίρων ἔγραψεν, ἀσκούμενον τὰ πολεμικά· ἐκεῖθεν οὖν εἴληπται τὸ γυμνάζεσθαι. καὶ καταχρηστικῶς ἐκφέρεται ἐπὶ πάσης παιδείας λογικῆς τε καὶ πρακτικῆς, καὶ γυμνάζομαί τις εἰπὼν οὐ τοῦτο ἁπλῶς ἐρεῖ[11] τὸ γυμνὸς διὰ πεῖραν ποιοῦμαι μαθήματα· τοῦτο γὰρ ἡ κυριολεξία ἐστὶν, ἀλλὰ τὸ ἁπλῶς ἐκπαιδεύομαί τι· προγύμνασμα οὖν τὸ πρὸ τῆς γυμνασίας φαμὲν, ὡς εἶναι γύμνασμα μὲν καὶ ἄσκησιν καὶ ἀληθῆ παίδευσιν ῥητορικῆς αὐτὰ τὰ τοῦ[12] Ἑρμογένους βιβλία, τὰς στάσεις, τὰς εὑρέσεις, τὰς ἰδέας, καὶ τὸ περὶ μεθόδου δεινότητος·[13] τὰ δὲ τοῦ Ἀφθονίου προγυμνάσματα εἰσαγωγή τις ὄντα πρὸς ἐκεῖνα καὶ οἷον ἀνάπτυξις βραχεῖα καί τις ἐθισμὸς ἀλείφων καὶ διεγείρων τοὺς νέους εἰς τὴν ἐκείνων ἐξέτασιν.

δ'. Διατί[14] ἐπενοήθη τὰ προγυμνάσματα;

---

7 Mon. et Ambr. 2. ἀπόδοσιν. 8 τὸ Ambr. 2. om. 9 Mon. ἀπαταιών. 10 Interjectis quibusdam ex commentariis Doxopatri in Ambr. 2. et Par. 2. 3. 4. eadem continentur. 11 Mon. αἴρει. 12 τοῦ recepi ex Ambr. 2. deest in Mon. et Par. 13 Mon. περὶ μαθήσεως δεινότατον. 14 Pluribus ex Doxopatri commentario interjectis eadem in Ambr. 2. Tauri-

ἐπειδὴ κατὰ μικρὸν φανεῖσα τοῖς ἀνθρώποις ἡ τέχνη εἰς διαιρέσεις καὶ μεθόδους ἔτι τοῖς νέοις δυσμεταχείριστος ἦν, διὸ προῆλθεν ἡ τῶν προγυμνασμάτων χρεία, ἵνα δι' αὐτῶν ἰδίᾳ [15] γυμνασθέντες πρὸς ἕκαστον μέρος τοῦ πολιτικοῦ λόγου οὕτω δυνηθῶμεν πρὸς τὰς τελείας χωρεῖν ὑποθέσεις.

ε. Πόσα προγυμνάσματα; δεκατέσσαρα· μῦθος, διήγησις, χρεία, γνώμη, ἀνασκευὴ, κατασκευὴ, κοινὸς τόπος, ἐγκώμιον, ψόγος, σύγκρισις, ἠθοποιΐα, ἔκφρασις, θέσις καὶ εἰσφορὰ νόμου. τούτων ὁ μὲν μῦθος καὶ ἡ χρεία καὶ ἡ γνώμη τοῦ συμβουλευτικοῦ εἴδους, ἡ δὲ ἀνασκευὴ καὶ κατασκευὴ καὶ κοινὸς τόπος καὶ ἡ εἰσφορὰ τοῦ νόμου τοῦ δικανικοῦ, τὸ δὲ ἐγκώμιον καὶ ὁ ψόγος καὶ ἡ σύγκρισις καὶ ἡ ἠθοποιΐα τοῦ πανηγυρικοῦ, ἡ δὲ ἔκφρασις καὶ τὸ διήγημα κοινά, ἡ δὲ θέσις ἐστὶ μὲν τοῦ συμβουλευτικοῦ, τὴν δὲ ὕλην ἐκδέχεται ἐκ τοῦ πανηγυρικοῦ.

ς. Πρὸς ποῖα μέρη τοῦ πολιτικοῦ λόγου ἕκαστον αὐτῶν γυμνάζει; ὁ μὲν μῦθος καὶ τὸ διήγημα καὶ ἡ ἔκφρασις πρὸς μόνην τὴν διήγησιν καὶ ἀντίθεσιν· ὡσαύτως καὶ ἡ κατασκευὴ πρός τε προοίμια καὶ διήγησιν καὶ λύσιν· ὁ δὲ κοινὸς τόπος πρὸς ἐπιλόγους· ἡ θέσις δὲ καὶ ἡ εἰσφορὰ τοῦ νόμου μερικῶς πρὸς τὰ πέντε· τὸ δὲ ἐγκώμιον καὶ τὰ λοιπὰ ἰδίαν ἐπιδέχεται διαίρεσιν.

ζ. Διατί προτάττει τὸν μῦθον; ὡς τῶν ἄλλων ἀφελέστερον καὶ ἁπλούστερον, ἄλλως τε καὶ συγγενείᾳ τινὶ κεχρημένον πρὸς τὰ ποιήματα, ἵνα μὴ δοκῇ ξένα, τοῖς εἰσαγομένοις τὰ τῆς ῥητορικῆς μαθήματα.

η. Μῦθος σημαίνει δύο· τὸν ἁπλῶς λόγον, ὡς τό· Μῦθον ἀγασσάμενοι [16] Διομήδεος ἱπποδάμοιο.

---

nensi et Parr. 1. 2. 3. continentur. 15 Ambr. 2. γυμνασθέντες ἰδίᾳ. 16 Mon. ἀγασσάμενοι. Il. η, 404.

καὶ τὸν χρωματουργοῦντα καὶ εἰκονίζοντα τὴν ἀλήθειαν, οἷος ὁ τῶν μυρμήκων, καὶ μυθεῖθαι δὲ τὸ λέγειν φαμέν.

θ'. Ἰστέον ὡς τῶν προγυμνασμάτων καὶ μερῶν ὄντων καὶ ὅλων, ὁ μῦθος τῶν μερῶν ἂν εἴη μόνον. οὐ γὰρ ἰδίαν πληροῖ ὑπόθεσιν, ἀλλὰ πρὸς [17] ἄλλην παραλαμβάνεται ἀεὶ χρείαν, ὃ ἴδιόν ἐστι μέρος, ποτὲ δὲ καὶ αὐτὸς ἰδίαν πληροῖ ὑπόθεσιν.

ι'. Τὸν μῦθον προδήλως τοῦ συμβουλευτικοῦ τῶν κατὰ ῥητορικὴν φαμὲν εἰδῶν· ἢ γὰρ προτρέπομεν ἐπί τι, ἢ ἀποτρέπομεν ἀπό τινος τὸν ἀκροατὴν διὰ τοῦ μύθου. ἤδη δέ τισιν [18] ἔδοξε καὶ πρὸς τὴν τῶν τριῶν εἰδῶν μελέτην εἶναι χρήσιμος, ἐν ᾧ μὲν γάρ, φησὶ, προτρέπομεν ἢ ἀποτρέπομεν, τὸ τῆς συμβουλῆς ἴδιον φυλάττεται· ἐν ᾧ δὲ καταδρομὴν τῶν ἁμαρτανόντων [18*] ποιούμεθα, καὶ τὰ ψευδῆ πιθανῶς διηγούμεθα, τὸ δικανικὸν μέρος σώζεται· ἐν ᾧ δὲ καθαρᾷ τῇ λέξει χρώμεθα καὶ μετὰ ἀφελείας προάγομεν ἐπαινοῦντες ἅμα, τῆς πανηγυρικῆς ἰδέας οὐκ ἀφιστάμεθα· ἄλλως τε καὶ ἔθος, φασὶν, ἐν ταῖς πανηγυρικαῖς ὑποθέσεσι μύθους παραλαμβάνειν, καὶ οἱ τοῦτον δόξαντες τὸν τρόπον διὰ τοῦτο καὶ τὴν πρώτην αὐτῷ τάξιν ἀποδεδώκασιν, ἐπειδὴ πρὸς τὰ τρία ἡμᾶς γυμνάζει, φασὶν, εἴδη, πλὴν καλῶς ἔχει· ὃ καὶ πρόδηλον τῷ συμβουλευτικῷ νέμει ὁ μῦθος τὸ χρήσιμον· μετὰ γὰρ τῆς ψυχαγωγίας ὠφελεῖ τοὺς πειθομένους, ἀποτρέπων μὲν τῶν φαύλων, τῶν δὲ ἀγαθῶν ἐφίεσθαι παραινῶν, [19] καὶ μετὰ ἡδύτητος ἐθίζων, τῆς ὠφελείας ἀντέχεσθαι· συντελέσει δέ [20] τι καὶ τοῖς

17 ἀλλὰ πρὸς ἄλλην — — πληροῖ ὑπόθεσιν Mon. om. Recepi ex Par. 1. 18 Mon. τι. 18* Taur. ἁμαρτόντων. 19 παραινῶν καὶ μετὰ ἡδ. — — ἀντέχεσθαι Mon. om. 20 Mon. συντελέσει δ' ἄν τι. Taur. συντελέσοι δ' ἄν τι. Par. συντελέσει δέ τι.

μέρεσι τοῦ πολιτικοῦ λόγου· πέντε γὰρ ὄντων[21] τὴν διήγησιν ἡμᾶς προασκήσει· καὶ γὰρ ἐν αὐτῷ τῷ πλάττειν μανθάνομεν, ὅπως δεῖ τὰ γινόμενα διηγεῖσθαι.

ιά. Τὰ προγυμνάσματα ἔχει ἕκαστον αὐτῶν πρὸς ἓν τῆς ῥητορικῆς εἶδος· ὁ μῦθος καὶ ἡ χρεία καὶ ἡ γνώμη ἐπὶ τὸ συμβουλευτικὸν ἀνάγεται, ὁ κοινὸς τόπος ἐπὶ τὸ δικανικόν, τὸ ἐγκώμιον καὶ ὁ ψόγος ἐπὶ τὸ πανηγυρικόν, τὰ δὲ ἄλλα κοινά. μετέχει γὰρ ἕκαστον ἑκάστου τῶν τριῶν εἰδῶν.[22]

---

21 πέντε γὰρ ὄντων Ambr. 2. Taur. Par. 4. πῶς Mon.

22 Post εἰδῶν Ambr. 2. Taur. Parr. 2. 3. 4. ita pergunt: *Προγύμνασμά ἐστι καθόλου ἄσκησις μετρίων πρὸς μειζόνων ἐπίῤῥωσιν πραγμάτων· ῥητορικὸν δὲ προγύμνασμά ἐστιν εἰσαγωγικὴ τριβὴ διὰ λόγου τῶν κατὰ ῥητορικὴν μερῶν καὶ εἰδῶν, χρήσιμά τινα προασκουμένη. ἐπειδὴ οὐ πρὸς πάντα ὁμοῦ τὰ κατὰ ῥητορικὴν μέρη καὶ εἴδη, ἀλλὰ πρὸς ἕκαστον τῶν μερῶν ἢ εἰδῶν ἰδίᾳ τοῖς προγυμνάσμασι γυμναζόμεθα. Προετάγη τῶν λοιπῶν προγυμνασμάτων ὁ μῦθος, ἢ ὅτι τοῖς νέοις ἄρτι τῶν ποιητικῶν πεπαυμένοις ἃ ἐστι μυθώδη, ἐπὶ γνώριμόν τε καὶ οἰκειότερον δέλεαρ, ἢ ὅτι ἁπλούστερός ἐστι καὶ ἀφελέστερος τῶν ἄλλων προγυμνασμάτων, ἄλλως τε καὶ συγγενείᾳ τινὶ κεχρημένος πρὸς τὰ πράγματα· ἢ ὅτι ἐπειδὴ τοῦ συμβουλευτικοῦ εἴδους ἐστίν, ὃ προτροπὴν δὲ τῶν φαύλων, τέλος δὲ τὸ συμφέρον, ἅτε καὶ αὐτὸς ποιηταῖς καὶ ῥήτορσι πρὸς παραίνεσιν εὑρημένος, διὰ τοῦτο προτέτακται· ἢ ὅτι πᾶς λόγος ἀπὸ τεσσάρων τούτων συνίσταται, προοιμίων, διηγήσεων, ἀγώνων καὶ ἐπιλόγων, καὶ ἐπειδὴ ἀναλογεῖ* (Ambr. *ἀλογεῖ*) *τῷ προοιμίῳ ὁ μῦθος, τὸ δὲ προοίμιον τάττεται πρῶτον, διὰ τοῦτο ὁ μῦθος προετάγη τῶν λοιπῶν προγυμνασμάτων. Ἀποροῦσί τινες, διατί οὐ προέθηκε τὸν ὅρον τοῦ μύθου, ὥσπερ καὶ ἐπὶ τῶν λοιπῶν προγυμνασμάτων, καὶ φαμεν λύοντες τὸ ἄπορον, ὅτι ἐπειδὴ ἐδόκει τισὶν ἀνωφελὴς εἶναι ὁ μῦθος εἰς βίον πρῶτον ἔδειξεν αὐτὸν ἔχοντα τὴν γένεσιν ἐκ ποιητῶν καὶ ἐξ ἄλλων τινῶν ἀξίων λόγου προσώπων· εἶθ' οὕτως εἶπε καὶ τὸν ὅρον. Πρόκειται δὲ τὸ ὄρθρον εἰκότως· ἔδειξε γὰρ αὐτὸν καθολικὴν ἔχειν τὴν σύστασιν, καὶ οὐκ ἰδικήν, ὥσπερ οἱ φιλόσοφοι λέγουσι· καὶ*

ιβ'. Ἐπεὶ δ' ἐπὶ τὸ συμβουλευτικὸν τῆς ῥητορικῆς εἶδος ὁ μῦθος ἀνάγεται, τούτου δὲ τέλος τὸ συμφέρον, διὰ τοῦτο ὁ Ἀφθόνιος τὸ ἐκ παραινέσεως προσέθηκεν, ἕνεκα γὰρ παραινέσεως τέτακται.

ιγ'. Τὸ προῆλθε[23] *δηλοῖ τὸ γεγένηται· τὴν ἀρχαιογονίαν δὲ αὐτοῦ διηγεῖται, αἰδέσιμον αὐτὸν διὰ τούτου*

ἄλλως τὰ ἄρθρα τῶν ἐγνωσμένων πραγμάτων εἰώθασι προτάττεσθαι· ἂν γὰρ εἴπῃς, ναῦς ἦλθεν, ἀγνοεῖν μοι δυκεῖ, ποία, ἂν δὲ σὺν τῷ ἄρθρῳ τεθῇ, εἰς γνῶσιν μοι παραλαμβάνεται ἡ ὑποκειμένη οὐσία τοῦ πράγματος. Εἰκότως οὖν ἐπὶ τῶν ἄλλων προγυμνασμάτων, ἀγνώστων τοῖς ἐκ πολιτικῆς ἄρτι ἐρχομένοις ὄντων οὐ προτάττει τὰ ἄρθρα, ἐπὶ δὲ τοῦ μύθου προτάττει, ἅτε δὴ οὐκ ἀγνοουμένου αὐτοῦ, ἢ ὅτι ἐπὶ μὲν τῶν ἄλλων προγυμνασμάτων προτιθεὶς τὸν ὅρον, οὐκ ἐχρῆτο ἄρθρῳ, ἅτε δὲ πρὸ τοῦ ὁρισμοῦ ἀγνοουμένου ὄντος τοῦ προγυμνάσματος τοῦ προκειμένου, ὥσπερ καὶ ἐνταῦθα ὁριζόμενος τὸν μῦθον ἐποίησεν· ἔφη γάρ, ἔστι δὲ μῦθος λόγος ψευδής, μετὰ δὲ τὸν ὁρισμὸν χρῆται τοῖς ἄρθροις λέγων· τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ μικτόν, ἢ περὶ τοῦ διηγήματος, τὸ μέν ἐστι δραματικόν, τὸ δὲ ἱστορικόν, (ἢ περὶ τοῦ διηγ. — — ἱστορικὸν Taur. om.) *καὶ ἐν τοῖς ἄλλοις ὁμοίως, ἅτε δηλουμένων αὐτῶν ἡμῖν διὰ τῶν ὁριστικῶν λόγων. Τὸν μῦθόν τινες καὶ αἶνον ἐκάλεσαν ἀπὸ τῆς ἐν αὐτῷ παραινέσεως, ὡς Ἡσίοδος· νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω· ἔνιοι δὲ καὶ λόγον αὐτὸν ὀνομάζουσι, διὸ καὶ Αἴσωπος λογοποιὸς λέγεται. Τῷ μύθῳ παρέπεται πέντε, γένεσις, ὅρος, κλῆσις, εἶδος, διαφορά.* Ambr. et Parr. om. *τῷ μύθῳ παρέπεται — διαφορά.* Taur. et Par. 3. hic desinunt: Par. 2. ad Aphthonii interpretationem progreditur: *διατί τὸν μῦθον ἀπὸ ποιητῶν προελθεῖν εἶπε.* E Par. 4. folium excidit: sed mox cum Par. 2. consentit: eadem habet Ambr. scriptura minutissima et pallida, sed ad cap. *περὶ ἐκφράσεως* desinit in verbis: *καὶ ἡ τῶν σχημάτων ποικιλία, καὶ διὰ ταχέων ἐξ ἑτέρων εἰς ἄλλο μετάβασις, μάλιστα μὲν μιμεῖσθαι τὰ ἐκφραζόμενα, ὁποῖα ἂν εἶεν.* Ad sqq. capita spatium scholiorum vacuum est. 23 *Τὸ προῆλθε* sqq. — — *τίμιος ἔσται* habet Par. 1. 2. omissis ultimis verbis: *καὶ φίλος τοῖς ἀσκουμένοις.*

ἀπεργαζόμενος. πατέρας γὰρ ὁ μῦθος τοὺς ποιητὰς ἔσχηκεν· ὧν τὸ αἰδέσιμον ἐχόντων διά τε τἄλλα, καὶ αὐτὴν δὲ οὐχ ἥκιστα τὴν ἀρχαιότητα, εἰκότως καὶ ὁ ἐξ ἐκείνων φὺς μῦθος τίμιος ἔσται καὶ φίλος τοῖς ἀσκουμένοις.

ιδ'. Ῥήτωρ [24] ἐκ τοῦ ῥῶ τὸ λέγω παράγεται, [25] εἴη δ' ἂν καὶ πᾶς μὲν ὁ δεινὸς [26] λέγειν, ἰδίως [27] δὲ ὁ δημηγόρος, ὁ περὶ τὰ δικαστήρια τὴν σπουδὴν ποιούμενος, καὶ νῦν μὲν κατηγορῶν, νῦν δὲ ἀπολογούμενος, νῦν δὲ προτρέπων ἢ [27*] ἀποτρέπων, ἐπαινῶν ἢ ψέγων. ἐν τούτῳ δὲ καὶ ἡ ὅλη θεωρεῖται ῥητορική. οὐχ ὡρίσατο δὲ τὸν μῦθον ὁ τεχνικὸς κατὰ τὸ ἔθος, ὥσπερ ποιεῖ ἐν τοῖς λοιποῖς προγυμνάσμασι, διότι οἱ [28] ὁρισμοὶ φανερῶν πραγμάτων εἰσὶν ὁρισμοί. ὁ δὲ μῦθος οὐ φανερόν ἐστιν, εἴτε [29] πρὸς ὠφέλειαν συντείνει τοῖς ῥήτορσιν, εἴτε ὅλως χρῶνται αὐτῷ, διὸ πρότερον ἀποδείκνυσιν αὐτὸν καὶ συνιστᾷ τὸ γένος αὐτοῦ, καὶ ὁρίζεται.

ιέ. Ποσαχῶς τὸ κοινόν; τετραχῶς ἢ ἀπὸ διαιρέτου, ὡς χρυσίον ἢ ἱμάτιον, ἢ ἀπὸ ἀδιαιρέτου, ὡς ἀργυρώνητος ἢ τι ἕτερον τοιουτότροπον, κοινὴ λέγεται καὶ ἡ ἐπὶ πάντας λαλουμένη τοῦ κήρυκος φωνή· λέγεται καὶ τὸ τοῦ προλαβόντος ἴδιον, ὥσπερ ὅταν ἐν ἐκκλησίᾳ ἢ ἐν τόπῳ τινὶ τύχῃ ἱστάμενος, ἢ ἐν θεάτρῳ.

ιϛ'. Ἀντὶ τοῦ ἕνεκα παραινέσεως· πρόθεσις ἀντὶ προθέσεως, θέλει γὰρ λέγειν, ὅτι διὰ παραινέσεως εἴληπται ὁ μῦθος.

ιζ'. Ἔστι δὲ μῦθος λόγος ψευδής, εἰκονίζων ἀλήθειαν. ψευδὴς [30] πρόσκειται, ἐπειδὴ ὁμολογουμένως ἐκ

---

24 ῥήτωρ ἐκ τοῦ ῥῶ — — — ἐπαινῶν ἢ ψέγων est etiam in Par. 1. 2. 25 Par. 1. παραγίνεται 26 Par. 1. δεινῶς. 27 Par. 1. 2. ἰδώς. 27* Par. 2. καί. post ἀποτρέπων Par. 1. 2. inserunt καί. 28 οἱ Mon. om. 29 Mon. οὔτε — οὔτε· 30 Sunt haec in Par. 1. 2. ψευδὴς προτέτακται etc.

ψεύδους σύγκειται· εἰκονίζων δὲ εἶπε καὶ [31] οὐχ ὁμοιῶν, ἐπειδὴ ὁμοίωμα καὶ εἰκὼν διαφέρει· ὁμοίωμα [32] μὲν γὰρ ἐπὶ τῶν ὁμοουσίων λαμβάνεται, ὡς ἄνθρωπος ἀνθρώπῳ ὁμοιοῖ· [33] εἰκὰν δὲ ἐπὶ τῶν ἑτεροουσίων, ὡς τὸ ἐκτύπωμα εἰκονίζει τὸν ἄνθρωπον. ἐπεὶ τοίνυν τὸ ψεῦδος ἐναντίον πάντη ἐστὶ τῇ ἀληθείᾳ, ὁ δὲ μῦθος λόγος ἐστὶ ψευδὴς, διὰ τοῦτο οὐκ εἶπεν, ὁμοιῶν, ἀλλ' εἰκονίζων. [34] δεῖ τοίνυν προσθεῖναι ἐν τῷ ὅρῳ τῷ πιθανῶς συγκεῖσθαι εἰκονίζων τὴν ἀλήθειαν. οὐ γὰρ ἂν ἐργάσαιτο τὸ ἑαυτοῦ μὴ ἔχον ὁμοίωσιν πρὸς τὸ ἀληθές· ἡ δὲ ὁμοίωσις ἐκ τοῦ πιθανοῦ περὶ τὴν πλάσιν γενήσεται. [35]

ιή. Μῦθός ἐστι λόγος ψευδὴς τῷ πιθανῶς συγκεῖσθαι εἰκονίζων τὴν ἀλήθειαν. λόγος μὲν ψευδὴς, ἐπειδὴ ὁμολογουμένως ἐκ ψευδῶν σύγκειται, εἰκονίζων δὲ τὴν ἀλήθειαν, ἐπειδὴ οὐκ ἂν ἐργάσαιτο τὸ ἑαυτοῦ μὴ ἔχων τινὰ πρὸς τὸ ἀληθὲς ὁμοιότητα. πῶς δὲ πιθανῶς σύγκειται καὶ πόθεν ἂν γένοιτο τοῦτο σκοπητέον.

ά. Πολλαχόθεν δὲ τοῦτο ἐκ τόπων, περὶ οὓς διατρίβειν [36] εἴωθε τὰ ὑποκείμενα τῷ λόγῳ ζῶα, οἷον περὶ ἐλεφάντων λέγοντας ἢ στρουθῶν Λιβυστῶν δεῖ κατὰ τὰ τῆς χώρας ἰδιώματα, ἐν οἷς πέφυκε γίνεσθαι ταῦτα, πλάττειν τὸν μῦθον, [37] οἷον αὐχμηρᾶς ταύτης καὶ ψαμματώδους ὑπαρχούσης, μὴ ὡς περὶ εὐγαίου καὶ διαῤῥύτου ὕδασι ποιεῖσθαι τὸν λόγον.

β'. Ἐκ καιρῶν, ἐν οἷς φαίνεσθαι φιλεῖ τὰ ὑποκείμενα τῷ λόγῳ ζῶα, οἷον εἰ περὶ ᾠδῆς λέγοιμι τεττίγων ἢ ἀηδόνων, ἐν ἔαρι [38] καὶ θέρει ταῦτα, ἀλλ' οὐκ ἐν χειμῶνι ὑποτίθεσθαι πιθανόν.

---

31 καὶ Par. 1. 2. om. 32 Par. 2. ὅμοιον. 33 Mon. et Par. ὁμοιεῖ. 34 Parr. 1. 2. omissis sequentibus usque ad litt. ιθ'. ita pergunt: οὐ γὰρ, ὡς ἔτυχε, τὸ ὁμοιῶν τὸ εἰκονίζων δηλοῖ. 35 Par. 4. γίνεται. 36 Mon. περιδιατρίβειν. omisso οὓς. Pro εἴωθε Par. 4. ἔοικε. 37 μῦθον Mon. om. 38 Mon.

γ'. Ἐκ λόγων τῶν τῇ φύσει ἑκάστου ἁρμοζόντων, δεῖ γὰρ προβάτοις μὲν εὐήθεις περιτιθέναι λόγους, λύκοις δὲ ὠμούς, ἀλώπεκι δὲ δολεροὺς καὶ πανούργους, πιθήκοις δὲ πάντα τὰ πρὸς σύνεσιν ἀνθρωπείαν ἀπονεύοντα.

δ'. Ἐκ πραγμάτων δὲ [39] ἃ μὴ ὑπερβαίνει [40] τὴν ἐκείνου ποιότητα, ἵνα μὴ λέγωμεν, ὅτι ὁ μῦς περὶ βασιλείας τῶν ζώων ἐβουλεύετο, ἢ ὅτι ὁ λέων ὑπὸ τυροῦ κνίσης [41] ἐζωγρήθη, καὶ αὖ ὁ μὲν ἀετὸς ἁρπακτικὸς καὶ νεβρῶν καὶ ἀρνίων εἰσάγεται, ὁ δὲ κολοιὸς μηδὲν τοιοῦτον μηδὲ ἐννοῶν· εἰ δ' ἄρα ποτὲ τοιοῦτον γένοιτο, δεῖ προοικονομεῖσθαι τὸν περὶ τὴν φύσιν τι πλάττοντα, καὶ παρέχειν τῷ πλαττομένῳ τὴν ἐκ τοῦ μύθου διάνοιαν· οἷον, εἰ τὰ πρόβατα φιλικῶς τοῖς λύκοις διαλέγοιντο, προοικονομεῖσθαι τὴν φιλίαν, καὶ ὅσα ἄλλα τοιαῦτα. καὶ πιθανῶς μὲν οὕτω συνθείης τὸν μῦθον. Εἴρηται δὲ μῦθος ἀπὸ τοῦ μυθεῖσθαι, ὅ ἐστι λέγειν, οὐχ ὅτι καὶ ἐν τοῖς ἄλλοις οὐ λέγομεν, ἀλλ' ὅτι ἐν αὐτῷ πρῶτον τὸ λέγειν πολιτικῶς μανθάνομεν. τινὲς δὲ αὐτὸν καὶ αἶνον ἐκάλεσαν ἀπὸ τῆς δι' αὐτοῦ παραινέσεως· ἄλλοι δὲ λόγον· δεῖ δὲ τὴν τοῦ μύθου φράσιν ἁπλουστέραν εἶναι καὶ ἀνεπιβούλευτον καὶ δεινότητος ἁπάσης καὶ περιοδικῆς ἀπαγγελίας ἀπηλλαγμένην, ὥστε καὶ τὸ βούλευμα εἶναι σαφές· καὶ τὰ λεγόμενα μὴ μείζω τῶν ὑποκειμένων προσώπων τῆς ποιότητος φαίνεσθαι· καὶ μάλιστα ὅταν ἐξ ἀλόγων ζώων ὁ μῦθος ὑπάρχῃ συγκείμενος. ταύτῃ τοι ἁπλούστερον αὐτὸν εἶναι δεῖ, ὀλίγον τῆς ἐν τῇ συνηθείᾳ ὁμιλίας ἐξαλλάττοντα τὸ πιθανὸν τοῦ μύθου. ἐκ τῶνδε καὶ τοσῶνδε, ἐκ τόπου, ἐκ καιροῦ, ἐκ τῶν τῇ φύσει ἑκάστου προσηκόντων λόγων, [42] ἐκ πραγμάτων, ἃ τὴν ἑκά-

---

ὡς ἔαρι καὶ θέρι. 39 Mon. καὶ πραγμάτων μέν. 40 Par. 4. ὑπερβαίνοι. 41 Mon. τυρᾶς κνίσης. Par. 4. τυροῦ κνίσης. 42 λόγων Par. 4. om.

στου οὐχ ὑπερβαίνει ποιότητα, ἀλλὰ τῇ δυνάμει τῶν ὑποκειμένων περιορίζεται.

ιϑ'. Οὐχ ὡς ἔτυχε τὸ ὁμοιῶν τὸ εἰκονίζων δηλοῖ, ἀλλὰ τὸ χρωματουργῶν, τὸ παριστῶν καὶ οἷον ὑπ' ὄψιν ἄγων. ὡσανεὶ γάρ τισι χρώμασι τοῖς ἐμφερομένοις πλάσμασι τὴν ὑποκειμένην ἀλήθειαν τρανοῖ καὶ ὑπ' ὀφθαλμοὺς ἄγει τῷ ἐντυγχάνοντι.

κ'. Διατί ὁ μῦθος Συβαριτικὸς καὶ Κίλιξ καὶ Κύπριος καλεῖται· ὅτι οἱ [43] Συβαρῖται τρυφηλοὶ ὄντες ἐφεῦρον καὶ ἐκ μόνων λογικῶν ζώων μύθους, οἷα εἰκὸς τοὺς τρυφῶντας τέρψεως καὶ ἡδονῆς καὶ γέλωτος χάριν· οἱ δὲ Κίλικες καὶ Κύπριοι ἐμπορευόμενοι καὶ τόπους ἀγνώστους διερχόμενοι ἀνεπλάσαντο τοὺς ἐξ ἀλόγων ζώων μύθους, ὡς ἑωρακότες ἐν τόποις τισὶ ξένην μορφὴν ἔχοντα ζῶα. ὁ δὲ Αἴσωπος τοὺς ἐξ ἀλόγων καὶ λογικῶν μύθους ἀνεπλάσατο, βιωφελῆ τὴν παραίνεσιν, οἷα ῥήτωρ διὰ μύθων ποιούμενος, διὸ καὶ ἐκνενίκηκε [44] πάντας τοὺς μύθους, καὶ Αἰσωπείους καλεῖσθαι πεποίηκε· τοὺς δὲ περὶ θεῶν μύθους μυθικὰ διηγήματά τινες ἐκάλεσαν, τοῖς περὶ τῶν μορφώσεων λόγοις αὐτοὺς [45] συντάττοντες· τοῖς δὲ τοιούτοις φιλοσοφία μᾶλλον προσήκει. ἐκείνης γὰρ ἴδιον, τὰς τούτων ἀνασκοπεῖν θεωρίας.

κά. Οὐχ ὁ μῦθος τοῖς εὑροῦσιν αὐτὸν δέδωκε τὰ ὀνόματα, ἀλλ' οὗτοι ἀνάπαλιν τούτῳ.

κβ'. Φιλοτίμως εἴρηται τοῦτο. Ἀναφέρει γὰρ τὸ ὄνομα ὁ μὲν λογικὸς πρὸς τὸν Συβαρίτην, ὡς παρ' ἐκείνου γενόμενος, ὁ δὲ ἠθικὸς πρὸς τὸν Κίλικα καὶ τὸν Κύπριον, ὁ δὲ μικτὸς πρὸς τὸν Αἴσωπον. ἔστι δὲ λογι-

---

43 Parr. 1. 2. 4. οἱ μὲν Συβ. 44 Parr. 1. 2. νενίκηκε. iidem post πεποίηκε sqq. omittunt usque ad τοῦτο φησιν, ὅτι ἐπεὶ ὁ Αἴσωπος — — μικτὸς κατονομασθείς. tum inferunt: λογικὸν, ὡς ἐὰν λόγῳ ἐπέταττε. 45 Mon. ἐπισυντάττοντες omisso αὐτούς.

γικὸς μὲν, ὡς ἐὰν λέγω· [46] ἐπέταττε τοὺς δεκατρεῖς ἄθλους Εὐρυσθεὺς Ἡρακλεῖ, λογικοὶ γὰρ ἄμφω καὶ ὁ ἐπιτάττων καὶ ὁ [47] ὑπείκων. ἠθικὸς δὲ, ὡς ἐὰν γράψω, σπονδαὶ περὶ φιλίας γαλῇ καὶ μυσὶν ἐγίνοντο· ἄλογον γὰρ ἑκάτερον· μικτὸς δὲ, ὡς ἐὰν πλάττω λογικὸν ζῶον ἀλόγῳ διαλεγόμενον, ὡς Αἴσωπος ἐποίησεν ὄψιν πλήξαντα καὶ ἀνελόντα παῖδα τινὸς, εἶτ' ἐπιβουλευόμενον ἐν τῇ χειᾷ, καὶ λόγους περὶ σπονδῶν ποιούμενον [48] πρὸς τὸν πατέρα τοῦ παιδός. τοῖς γὰρ δυσὶν θάτερον μὲν λογικὸν, ὁ ἄνθρωπος, τὸ ἕτερον δὲ ἄλογον, ὁ ὄφις. [49]

κγ'. Τοῦτο φησὶν, ὅτι, ἐπεὶ ὁ [50] Αἴσωπος μίξιν τινὰ τῶν δύο πεποίηκε, λογικοῦ τε καὶ ἠθικοῦ, καταστρέφει ὁ μῦθος εἰς τὸ μὴ κεκλῆσθαι Συβαριτικὸς ἢ Κίλιξ ἢ Κύπριος, ἀλλὰ μόνον Αἰσώπειος, ὡς ἀπὸ τῶν δύο ἀχθεὶς, καὶ τοῖς ἀμφοτέροις πλάσιν ἀναδεξάμενος. καὶ διὰ τοῦτο μικτὸς κατονομασθείς.

κδ'. Παρέπεται [51] τῷ μύθῳ πέντε, γένεσις, ὅρος, κλῆσις, εἶδος, διαφορά. καὶ γένεσις μὲν ἐν τῷ εἰπεῖν· ὁ μῦθος ποιητῶν μὲν προῆλθε· γεγένηται δὲ καὶ ῥητόρων· ὅρος δὲ, μῦθός ἐστι λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν. κλῆσις, καλεῖται δὲ Συβαριτικὸς καὶ Κίλιξ καὶ Κύπριος· τὸ ἐξῆς Αἰσώπειος. εἶδος· τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικὸν, τὸ δὲ μικτόν· διαφορά· τὴν δὲ παραίνεσιν, δι' ἣν ὁ μῦθος τέτακται, προτάττων μὲν ὀνομάσῃς προμύθιον, ἐπιμύθιον δὲ τελευταῖον ἐπενεγκών.

---

46 Par. 1. 2. λόγῳ. 47 ὁ Mon. om. 48 ποιούμενον Par. 4. post παιδὸς ponit. 49 Post ὁ ὄφις Parr. 1. 2. add. ἦθος ἐντεῦθα τὸν τρόπον· οἷον τὸ μεγαλόφρον τοῦ λέοντος, τῆς ἀλώπεκος τὸ πανοῦργον, τῶν λαγωῶν τὸ δειλὸν, τὸ λίχνον τῶν μυῶν, τῶν ἱεράκων τὸ ἁρπακτικὸν, τὸ ἀναιδὲς τῶν κυνῶν, τὸ εὔηθες τῶν προβάτων. 50 ὁ Par. 4. Mon. om., recepi ex Par. 1. 2. 51 Παρέπεται τῷ μύθῳ sqq. usque ad litt. κέ. Par. 1. 2. om.

κέ. Ἐπιμύθιόν ἐστι λόγος ὁ πρὸς τὸν μῦθον ἐκφερόμενος, καὶ δηλῶν τὸ ἐν αὐτῷ χρήσιμον· τοῦτο δὲ τριχῶς ἐκφέρεται· παραδειγματικῶς· οἷον, οὕτως· ὁ μῦθος ἡμᾶς διδάσκει· τόδε τι μὴ ποιῇς, καὶ οὕτω νεότης ποεῖν οὐκ ἐθέλουσα περὶ τὸ γῆρας κακοπραγεῖ· ἐνθυμητικῶς, οἷον, ὁ γὰρ μὴ τόδε ποιῶν κατηγορίας ἄξιος. προσφωνηματικῶς· οἷον· καὶ σὺ δὲ, ὦ παῖ, τῶνδε καὶ τῶνδε ἀπέχου· τινὲς [52] δὲ τὸ ἐπιμύθιον τοῦτο προτάττουσι [53] καὶ ὀνομάζουσιν αὐτὸ προμύθιον, οἱ δὲ ἐμφορνέστερον διαιροῦντες ἐπὶ τῷ μύθῳ τάττουσιν· εἰ γὰρ ὁ μῦθος διὰ τοὺς νέους εὕρηται, ἵνα τῇ ἀφ' ἑαυτοῦ ἡδονῇ τὰς τῶν νέων προμαλάξας ψυχὰς, οὕτως εὐπαράδεκτον τὴν παραίνεσιν ἀπεργάσηται, τῶν νέων ὡς ἐπίπαν πεφυκότων τὰς φανερὰς ἀποστρέφεσθαι παραινέσεις, δῆλον πάντως, ὅτι μετὰ τὸν μῦθον τὸ ἀπ' αὐτοῦ προτεθήσεται χρήσιμον, ἐπεὶ εἰ προτάττοιτο, [54] καὶ δραῖ τι τὰς τῶν νέων ψυχὰς, περιττὴ ἡ τοῦ μύθου χρῆσις.

κϛ'. Τὸ πιθανὸν ὁ παρὼν μῦθος ἐκ τοῦ καιροῦ ἐργάζεται καὶ τῶν πραγμάτων, ᾗ καὶ τῇ διαφορᾷ τῶν ὑποκειμένων ἀκολουθεῖ, καὶ τῷ ἑκάστου ἐπιτηδείματι. ᾄδει τε γὰρ ὁ τέττιξ τοῦ θέρους, καὶ συλλέγει ὁ μύρμηξ τοὺς καρποὺς, καὶ τοῦτο ἐπιτήδευμα ἑκατέρων παρὰ τὸν εἰρημένον καιρόν· ἀλλὰ καὶ τοῦ χειμῶνος ὁ τέττιξ καταπαύων τὴν ᾠδὴν ὑπείληπται τροφῆς ἀπορίᾳ τοῦτο ποεῖν, ὁ δὲ μύρμηξ ἀφανιζόμενος τῶν ἑαυτοῦ πρὸς ἀπόλαυσιν πόνων ποιεῖσθαι σχολήν· ἀκμὴ γὰρ μεσαίτατον, ὅ ἐστιν ἀκρότατον. τοῦτο δὲ πολλάκις θεωρήσεις ἐπὶ τῆς ὥρας ἀκροτάτης τῆς θέρμης ἢ μέση τῆς θεωρίας ἐστὶν ἐπὶ τῆς ἡλικίας· ἀκρότης τῆς ἡλικίας καὶ ῥώμης ὁ τριακοστὸς καὶ τεσσαρακοστὸς χρόνος· ὡς δὲ καὶ ἐπὶ νοσημάτων

---

52 Parr. 1. 2. σημείωσαι, ὅτι τινὲς τὸ ἐπιμ. 53 Mon. πράττουσι. 54 Mon. προτάττοι.

των ἀρχὴ, ἀνάβασις, καὶ παρακμή· ἀκμὴν γὰρ οἱ τῶν ἰατρῶν παῖδες ἀποκαλοῦσι τὴν ἐπ' ἄκρου ἰσχὺν τοῦ νοσήματος, καὶ Ὅμηρος δὲ, ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς,[55] *ἔφη, ὃ σημαίνει τὴν ὀξύτητα· πλεονάσαντος τοῦ κ' Ὁμήρος· ἀκὴν ἐγένοντο σιωπῇ.*[56] *Τὸ ἀναβάλλεσθαι ποτὲ μὲν τὸ προανακρούεσθαι τὰς χορδὰς καὶ οἱονεὶ προοιμιάζεσθαι τὴν ᾠδὴν σημαίνει, ὥσπερ καὶ νῦν, καὶ Ὅμηρος·*[57]

Αὐτὰρ ὃ φορμίζων ἀνεβάλλετο καλὸν ἀείδειν.

ποτὲ δὲ τὸ ἀναδύεσθαι καὶ ὑπερτίθεσθαι, ὡς καὶ ὁ θεολόγος, καὶ ἀναβάλλεται ὥσπερ ἐκείνοις τὴν ὀργὴν, οὕτως ἡμῖν τὴν χρηστότητα, ἀφ' οὗ ἀναβολὴ ἡ μέλλησις, καὶ ἀναβεβλημένον τὸ βραδὺ καὶ ὑφειμένον. καὶ ἀμβολιεργὸς ὁ ἀναβαλλόμενος· τὸ δὲ ἀναβάλλεσθαι ἀντὶ τοῦ περιβεβλῆσθαι οὐκ εὔχρηστον.

Σύντονον μέλος μουσικῆς· σύντονον καὶ βαρύτονον καὶ διάτονον καὶ ἐπίτονον· μέλη μουσικὰ σύντονον μὲν καὶ βαρύτον τὰ ἐπιμονὴν ἔχοντα μέλους· διάτονον δὲ τὸ διακοπὴν μέσον δεχόμενον· ἐπίτονον δὲ τὸ ἐπὶ τοῦ τέλους τὴν διακοπὴν ἔχον· ἐπῄει δὲ ἀπήρχετο, κυρίως δὲ ἡ λέξις ἐπὶ τῶν λογικῶν εἴληπται· μῦθος διχῶς, ἢ παντελῶς ψευδὴς; ἢ πιθανὸν, ὡς οὗτος. διαφέρει δὲ χρείας καὶ γνώμης, ὅτι ἐν ἐκείνοις ἐξ ἀληθῶν ἡ παραίνεσις, ἐνταῦθα δὲ διὰ ψευδῶν, καὶ ἐκείνας μὲν ἀνασκευάζομεν, μῦθον δὲ οὐδαμῶς· κακεῖ μὲν ἐξ ἐνδόξου καὶ ὡρισμένου τὰς χρείας καὶ τὰς γνώμας κατασκευάζομεν, ἐπαινοῦντες τὸν εἰρηκότα ἢ διαβάλλοντες, ἐνταῦθα δὲ εἰς οὐδένα τὸν λόγον ἀναφέροντες, ὡς οἰκείᾳ τῇ γνώμῃ τὸν μῦθον παραινοῦμεν, λελῃθότως τὴν ὠφέλειαν τοῖς νέοις προσάγοντες.

---

55 Il. κ, 173. 56 Il. γ, 95. 57 Od. α, 155.

Cap. II.

ΟΡΟΣ ΔΙΗΓΗΜΑΤΟΣ.

ιζ'. Διήγησις μέν ἐστι μετὰ τῶν αἰτιῶν, ἀφήγησις δὲ ἡ τοῦ πράγματος διατύπωσις· περιήγησις δὲ ἡ τοῦ τι ἐκφράζειν μετὰ καί τινων αἰτιῶν. Μετὰ τὸν μῦθον τὸ διήγημα· εἴ τι γὰρ διήγημα, τοῦτο καὶ προγύμνασμα· οὐ μὴν εἴ τι προγύμνασμα, τοῦτο καὶ διήγησις. Δεύτερον τὸ διήγημα, ὡς τοῦ μύθου μὲν ἐναγωνιώτερον, τῶν δὲ λοιπῶν ἁπλούστερον· ἀλλὰ τί μὲν διήγημα, ἀποχρώντως ἐδίδαξεν ὁ Ἀφθόνιος. διαφορὰν δὲ τούτου πρὸς τὴν διήγησιν οἱ μὲν ἦν καὶ ὁ τεχνικός φησι· διαφέρει γὰρ διήγησις τοῦ διηγήματος τῷ καθολικωτέρῳ καὶ μερικωτέρῳ· ἄλλοι δὲ διήγησιν μὲν τὴν ἐν δικαστηρίῳ ἀμφισβήτησιν καὶ πρὸς τὸ τοῦ λέγοντος συμφέρον ἔκθεσιν εἶπον, διήγημα δὲ τὴν τῶν ἱστορουμένων ἀπαγγελίαν καὶ γεγονότων. ἔτι δὲ διήγησιν μὲν τὴν τῶν ἀληθῶν πραγμάτων ἔκθεσιν ἐκάλεσαν, διήγημα δὲ τὴν τῶν ὡς γεγονότων· οἱ πλείονες μέντοι τῷ τεχνικῷ συνεῖπον. Τῶν διηγημάτων τρεῖς τὰς πάσας πρὸς ἀλήθειαν φασὶν εἶναι διαφοράς. τὰ μὲν γάρ ἐστιν ἀφηγηματικά, τὰ δὲ δραματικά, τὰ δὲ μικτά· ἀφηγηματικὰ μὲν, ὅσα ἀπὸ μόνου τοῦ ἀπαγγέλλοντος προσώπου εἰσίν, οἷα τὰ παρὰ Πινδάρῳ. δραματικὰ δὲ, ὅσα ἀπ' αὐτῶν τῶν ὑποκειμένων προσώπων ἐστὶ μόνον, μὴ παρεμφαινομένου τοῦ συντιθέντος προσώπου. εἶτα τὰ κωμικὰ πάντα καὶ τραγικά. μικτὰ δὲ τὰ ἐξ ἀμφοῖν, τοῦ τε συντιθέντος καὶ τῶν ὑποκειμένων συγκείμενα προσώπων, οἷα τὰ Ἡροδότου καὶ Ὁμήρου· ταῦτα γὰρ πῇ μὲν ἀπ' αὐτοῦ τοῦ ἀπαγέλλοντος ἐκφέρεται, πῇ δὲ ἐξ ἑτέρου προσώπου. Ὅτι τῶν διηγημάτων τὰ μὲν ἐπιμυθικὰ τὰ δὲ ἱστορικὰ, τὰ δὲ πραγματικὰ, ἃ καὶ δικανικὰ καλοῦνται, τὰ δὲ πλασματικά. μυθικὰ μὲν, τὰ οὐκ ἀναμφισβήτως πίστιν

ἐχόμενα, ἀλλ' ἔχοντα καὶ ψεύδους ὑπόνοιαν, οἷα τὰ περὶ Κυκλώπων καὶ Κενταύρων· ἱστορικὰ δὲ τὰ τῶν ὁμολογουμένως γενομένων πολλῶν πραγμάτων· οἷα τυχὸν τὰ περὶ Ἐπιδάμνου, πραγματικὰ δὲ ἤτοι σκηνικὰ τὰ ἐν τοῖς πολιτικοῖς ἀγῶσι λεγόμενα· πλασματικὰ δὲ τὰ ἐν ταῖς κωμῳδίαις καὶ τοῖς ἄλλοις δράμασιν· κοινωνεῖ δὲ τὰ μὲν μυθικὰ τοῖς μύθοις τῷ ἀμφότερα δεῖσθαι πίστεως· τὰ δὲ διαφέρει, ὅτι ὁ μὲν μῦθος ὁ τῶν ὁμολογουμένως ψευδῶν, τὰ δὲ μυθικὰ καὶ παρ' ἄλλων ὡς γεγονότα ἱστόρηται, καὶ τῶν ἐνδεχομένων ἐστὶ καὶ μή· ἔτι κοινωνεῖ τὰ πλασματικὰ τοῖς μύθοις τῷ ἀμφότερα πεπλάσθαι, διαφέρει τῷ τὰ μὲν, εἰ καὶ μὴ γέγονεν, ὅμως ἔχειν φύσιν γενέσθαι. Τῶν διηγημάτων στοιχεῖά ἐστιν ἓξ, ἃ ἐξ ἀναγκαίου τῷ διηγήματι παρέπεται, ἔσθ' ὅτε μὲν πάντα, ἔσθ' ὅτε καὶ τινά· εἰσὶ δὲ ταῦτα· πρόσωπον μὲν, οἷον τὸ ποιοῦν, ὡς Δημοσθένης ἢ Μειδίας· πρᾶγμα δὲ τὸ τελούμενον, οἷον ὕβρις· τόπος δὲ, οἷον τὸ θέατρον, χρόνος δὲ, οἷον πότε· αἰτία δὲ δι' ἣν, οἷον ἔχθρα· τρόπος καθ' ὃν, οἷον λόγοις, χερσίν· εἰσὶ δὲ οἳ τὴν ὕλην ἕβδομον στοιχεῖον προσέθηκαν· διαιροῦντες αὐτὴν ἀπὸ τοῦ τρόπου, καὶ τῷ μὲν τρόπῳ παρανέμοντες τὸ παρανομεῖν καὶ βιαίως πρᾶξαι, ἢ ὅτι ὀπωσοῦν ᾖ κατέναντι·[1] τῇ δὲ ὕλῃ τῷ ξίφει τυχὸν ἢ λίθῳ ἢ καὶ παλτῷ ἢ καὶ ἄλλῳ τινὶ χρῆσθαι τοιούτῳ.

Τῶν προγυμνασμάτων τῶν μὲν μερῶν ὄντων, τῶν δὲ μερῶν καὶ ὅλων τὸ διήγημα τῶν μερῶν ἐστι μόνων· μέρους γὰρ ἀεὶ χρείαν πληροῖ, καὶ οὐδέ ποτε ἀρκεῖ πρὸς ὕλην ὑποθέσεως ἐν τοῖς πολιτικοῖς λόγοις, εἰ μή τις οὐκ ὀρθῶς εἴπῃ ἐν ταῖς φράσεσιν, αἵ τινες αὐτῶν τῶν διηγημάτων εἰσὶν, ὡς εἰπεῖν, μέρος, ὡς ἐν τῷ περὶ ἐκφράσεως δειχθήσεται. Ἰστέον δὲ, ὡς μέρη μέν εἰσι μόνα, ἃ ἐν

1 Mon. ad marg. κατὰ τὸ ἐναντίον.

ἄλλαις ὑποθέσεσι πάντως συμπαραλαμβάνεται, μέρη δὲ καὶ ὅλα, ἃ ποτὲ μὲν ὡς ἄλλων μέρη ἐργάζεται, ποτὲ δὲ καὶ αὐτὰ ἰδίαν πληροῖ ὑπόθεσιν. Πόσα ἴδια τοῦ διηγήματος; πέντε, ὅρος, διαφορὰ πρὸς τὴν διήγησιν, εἶδος, παρεπόμενα, ἀρεταί· ὅρος μέν· διήγημά ἐστιν ἔκθεσις πράγματος γεγονότος, ἢ ὡς γεγονότος. διαφορά· διενήνοχε δὲ διήγημα διηγήσεως· εἶδος τοῦ διηγήματος τὸ μέν ἐστι δραματικόν, τὸ δὲ ἱστορικόν, τὸ δὲ πολιτικόν· παρεπόμενα· παρέπεται τῷ διηγήματι ἑπτά, τὸ πρᾶξαν πρόσωπον, τὸ πραχθὲν πρᾶγμα, χρόνος καθ' ὃν, τόπος ἐν ᾧ, τρόπος ὅπως· αἰτία δι' ἣν, ὕλη, λίθος, ἢ ξίφος, οἷον· Ὀδυσσεὺς πόλιν Ἀσίας ξυλίνῳ ἵππῳ διεῖλεν πολιορκήσας· ἐνέπρησε μετὰ τὴν τῶν νεῶν ἀναχώρησιν· πρόσωπον, ὁ Ὀδυσσεύς· τὸ πραχθὲν πρᾶγμα, ἐνέπρησε· χρόνος, μετὰ τὴν τῶν νεῶν ἀναχώρησιν· τόπος, ἐν Ἀσίᾳ· τρόπος, διὰ τοῦ ξυλίνου ἵππου· αἰτία, διὰ τὴν Ἑλένην· ὕλη, πυρί. Ποσαχῶς τὸ διηγεῖσθαι καὶ ποσαχῶς αὐτῷ ἐγγυμναζόμεθα; πενταχῶς· κατὰ τὸ ὀρθὸν, κατὰ τὸ ἐγκεκλιμένον, κατὰ τὸ ἐλεγκτικὸν, κατὰ τὸ συγκριτικὸν καὶ κατὰ τὸ ἀσύνδετον· [2] κατὰ τὸ ὀρθὸν μέν· οἷον Φαέθων, ἡλίου παῖς, ἐρασθεὶς τοῦ ἅρματος τοῦ ἰδίου πατρὸς, καὶ τὰ ἑξῆς· κατὰ δὲ τὸ ἐγκεκλιμένον, οἷον Φαέθοντα τὸν ἡλίου παῖδα φασὶν ἐρασθῆναι τοῦ ἅρματος τοῦ ἰδίου πατρός· καὶ τὸν πατέρα πείσαντα ἐπιβῆναι τοῦ ἅρματος· κατὰ δὲ τὸ ἐλεγκτικὸν, ὅταν ὡς ἐλέγχοντες λέγωμεν· τί δὲ οὐκ ἠράσθη Φαέθων ἡλίου παῖς τοῦ πατρικοῦ ἅρματος; οὐκ ἔπεισε τὸν πατέρα; οὐκ ἐπέβη τοῦ ἅρματος; κατὰ δὲ τὸ συγκριτικὸν, ὅταν λέγωμεν, ἀντὶ τοῦ σωφρονεῖν ἠράσθη ἀτόπου, ἀντὶ δὲ τοῦ κρατῆσαι τοῦ ἔρωτος, ἐπέβη τῶν ἵππων, ἐδέξατο τὰς ἡνίας· κατὰ δὲ τὸ ἀσύνδετον, οἷον ἐπέβη τῶν ἵππων,

2 Mon. ἀσύνθετον. supra θ posito δ.

ἐδέξατο τὰς ἡνίας, οὐχ ὑπεῖξε[3] λέγοντι τῷ πατρί. Καὶ
ποῦ χρησιμεύει ἕκαστον; τὸ μὲν κατ' ὀρθὸν, ὡς τοῖς
ἱστορικοῖς, καὶ ὅπου δεόμεθα σαφηνείας· τὸ δὲ κατὰ τὸ
ἐγκεκλιμένον καὶ τὸ ἐλεγκτικὸν ἐν τοῖς ἀγῶσι, τὸ δὲ κατὰ
τὸ ἀσύνδετον ἐν τοῖς ἐπιλόγοις· τὸ δὲ κατὰ τὸ συγκρι-
τικὸν, ὅπου ὁ καιρὸς δίδωσι· πανταχοῦ γάρ ἐστι καὶ ἐν
ἅπασι τοῖς τῆς ῥητορικῆς εἴδεσι καὶ τοῖς τοῦ πολιτικοῦ
λόγου μέρεσιν αὐτῷ χρώμεθα. Ποῖα τῶν προγυμνασμά-
των εἰσὶ μέρη καὶ ποῖα ὅλα καὶ μέρη; μέρη μὲν, ἅτινα
ἐν ἄλλαις ὑποθέσεσιν ὡς μέρη παραλαμβάνονται, ποτὲ
δὲ καὶ αὐτὰ ἰδίαν ὑπόθεσιν πληροῖ. Πόσα εἴδη τοῦ δι-
γήματος; Τέσσαρα, τὰ μὲν γάρ ἐστι μυθικὰ, τὰ δὲ
πλασματικὰ, τὰ δὲ ἱστορικὰ, τὰ δὲ πραγματικὰ, ἅτινα
καὶ πολιτικὰ λέγονται· καὶ μυθικὰ μέν ἐστι τὰ ἔμφασιν
ἔχοντα καὶ ὑπόνοιαν ψευδῆ, ὡς τὰ Κυκλώπων· πλασμα-
τικὰ δὲ καὶ πεπλασμένα, ὡς τὰ τραγικά· ἱστορικὰ δὲ τὰ
παλαιὰν ἀφήγησιν ἔχοντα, ὁμολογουμένην καὶ ἀληθῆ·
πραγματικὰ δὲ, ἅτινα καὶ πολιτικὰ λέγονται, τὰ ἐν τοῖς
πολιτικοῖς ἀγῶσι λεγόμενα. Τί κοινωνεῖ τὰ μυθικὰ δι-
γήματα τοῖς μύθοις; καὶ τὸ ἀμφότερον δεῖσθαι πί-
στεως· καὶ τί διαφέρει; ὅτι οἱ μὲν μῦθοι ὁμολογουμέ-
νως εἰσὶ ψευδεῖς, τὰ δὲ μυθικὰ διηγήματα παρ' ἄλλων
ὡς γεγονότα διηγεῖται καὶ ἱστορεῖται, καὶ τῶν ἐνδεχο-
μένων εἰσί.

Τί κοινωνεῖ τὰ πλασματικὰ διηγήματα τοῖς μύθοις;
κατὰ τὸ ἀμφότερα πεπλάσθαι. καὶ τί διαφέρει; ὅτι οἱ
μὲν μῦθοι οὔτε ἐγένοντο, οὔτε φύσιν ἔχουσι γενέσθαι·
τὰ δὲ πλασματικὰ διηγήματα, εἰ καὶ μὴ ἐγένοντο, ἀλλ'
οὖν φύσιν ἔχουσι γενέσθαι. Πόσαι διαφοραὶ διηγήμα-
τος; τρεῖς. ἀπαγγέλλεται γὰρ ἀφηγηματικῶς, δραματι-
κῶς καὶ μικτῶς· ἀφηγηματικῶς μὲν, ὅταν ἀπ' αὐτοῦ

4 Mon. ὑπῆξε.

λέγηται τοῦ προσώπου τοῦ συντιθέντος αὐτό, δραματικῶς δὲ, ὅταν ἀπὸ τοῦ ὑποκειμένου προσώπου, καὶ οὐκ ἀπὸ τοῦ συντιθέντος ἐκφέρηται, ὡς τὰ τραγικά· μικτῶς δὲ, ὅταν ποτὲ μὲν ἀπὸ τοῦ συντιθέντος προσώπου λέγηται, ποτὲ δὲ, ὡς ἀπὸ κειμένων, οἷα τὰ τοῦ Ὁμήρου.

Πόσα παρέπεται τῷ διηγήματι; ἓξ, πρόσωπον, πρᾶγμα, χρόνος, ἃ καὶ περιστατικὰ καλεῖται, καὶ τόπος καὶ τρόπος καὶ αἰτία. τινὲς δέ φασι ταῦτα εἶναι, διαιροῦντες ἀπὸ τοῦ τρόπου τὴν ὕλην, καὶ τῷ μὲν τρόπῳ ἀπονέμουσι τὴν ποιότητα τῆς πράξεως, τῇ δὲ ὕλῃ τῷ ξίφει τυχὸν, ἢ λίθῳ, ἤ τινι τοιούτῳ.

Πόσαι κακίαι διηγήματος; τέσσαρες, ἀσάφεια, μακρηγορία, ἀπίθανον, καὶ ὁ μὴ τῶν λέξεως ἑλληνισμός.

Διὰ τὴν συντομίαν εἰς ἀσάφειαν περιστάντες διὰ τὸ σαφὲς μήκους δεόμεθα, πῶς χρὴ τὸ ἀκριβὲς ποιεῖν; Διὰ τῆς συμμετρίας μήτε παραλιμπάνοντάς τι τῶν δεόντων, μήτε πλεονάζειν ποιοῦντας κατὰ κακίαν τοῦ λόγου, ὅταν παραλιμπάνηταί τι τῶν χρησίμων, ἢ πλεονάζῃ τῶν οὐ δεόντων· δυσκόλου ὄντος τοῦ σαφηνείας ὁμοῦ καὶ συντομίας φροντίζειν, ποίαν κατασκευάσωμεν σαφήνειαν· οὐ γὰρ τοσοῦτον ἐκ μήκους ὁ λόγος, ὅσον ἐκ τῆς ἀσαφείας βλαβήσεται. σαφήνεια δὲ γίνεται, ὅταν καθαρῶς καὶ ἀποικίλως καὶ διευκρινημένως λέγῃ· εἴδη γὰρ τῆς σαφηνείας καθαρότης καὶ εὐκρίνεια. Τί συντελέσει πρὸς σαφήνειαν; πολλὰ μὲν καὶ ἄλλα, ἅπερ ἐν τῷ περὶ ἰδεῶν μαθήσῃ, μάλιστα δὲ καὶ ἡ κατ᾽ εὐθεῖαν ἀπαγγελία. Πρὸς ποῖον μέρος τοῦ πολιτικοῦ λόγου γυμνάζει ἡμᾶς τὸ διήγημα; τὸ μὲν ὅλον ἐστὶ τῆς διηγήσεως, πολλάκις δὲ αὐτῷ καὶ ἐν τοῖς ἀγῶσι χρώμεθα, καὶ μάλιστα ἐν ταῖς παραδειγματικαῖς ἀποδείξεσιν, ἀλλὰ καὶ ἐν τοῖς ἐπιλόγοις, ὅταν ἀναμιμνήσκωμεν τοῖς προειρημένοις. διὸ καὶ διαφόρως αὐτῷ ἐγγυμναζόμεθα.

Τί ἐστι σαφήνεια; ἡ ἐναργὴς τῶν πραγμάτων δι-

δασκαλία, μηδὲν ἐξ ἑρμηνείας ἀμφίβολον ἔχουσα. Ἀρεταὶ διηγήσεως κατὰ μέν τινας πέντε, συντομία, σαφήνεια, πιθανότης, ἡδονή, μεγαλοπρέπεια· καθ' ἑτέρους δὲ μόνη πιθανότης, τὰς γὰρ ἄλλας τέσσαρας κοινὰς παντὸς λόγου ἐνόμισαν· ὡς δὲ τοῖς ἀκριβεστέροις δοκεῖ, τρεῖς εἰσι μόναι, σαφήνεια, συντομία καὶ πιθανότης· δεῖ δὲ εἰδέναι, ὅτι σφόδρα δυσχερές ἐστι τοῖς τῆς σαφηνείας ἐπιμελουμένοις τῆς συντομίας φροντίζειν. πολλάκις γὰρ ἢ διὰ συντομίαν εἰς ἀσάφειαν προάγομεν τὸν λόγον, ἢ διὰ τὸ σαφῶς εἰπεῖν μήκους δεόμεθα· χρὴ τοίνυν τὴν συντομίαν σκοπεῖν, εἰ σύμμετρός ἐστι, μήτε παραλιμπάνοντάς τι τῶν ἀναγκαίων, μήτε πλεονάζοντας. τότε γὰρ ἀρετὴ κατὰ λόγον· εἰ γὰρ φανῇ τι παραλιμπάνουσα τῶν χρησίμων, κακία γίνεται· ἀλλὰ περὶ μὲν τούτων κρεῖττον ἢ κατ' εἰσαγωγὴν ἀκριβολογεῖσθαι· δεῖ μέντοι, ἵνα τι μικρὸν περὶ τούτων ὡς ἔνι μάλιστα εἴπωμεν, τὸν κρίνειν μέλλοντα καλῶς, ὅταν σαφηνείας καὶ συντομίας φροντίζειν ἀναγκάζηται, εἰ μὲν ἀμφότερα σημαίνει, χρῆσθαι ἀμφοτέροις, εἰ δὲ ἕν, μένειν τὸν κατεπείγοντα, τὸ δὲ ἐστὶ μᾶλλον τῆς σαφηνείας γίνεσθαι. Οὐ γὰρ τοσοῦτον ἐκ τοῦ μήκους, ὅσον ἐκ τῆς ἀσαφείας ὁ λόγος βλαβήσεται. Συντελοίη δ' ἂν πρὸς σαφήνειαν ἐν τοῖς διηγήμασι μετὰ πολλῶν καὶ ἄλλων ἡ κατ' εὐθεῖαν πτῶσιν ἀπαγγελία· εὔγνωστον γὰρ ταῖς συνεχέσιν ἀναπαύσεσι ποιεῖ τὸν λόγον, ὅπερ οὐκ ἔστι ῥᾳδίως εὑρεῖν ἐν ταῖς πλαγίαις πτώσεσι· γυμνάζει δὲ ἡμᾶς τὸ διήγημα καὶ πρὸς τὰ πάντα τῆς ῥητορικῆς εἴδη, συμβουλευτικόν φημι καὶ δικανικὸν καὶ πανηγυρικόν· ἐν πᾶσι γὰρ αὐτοῦ δεόμεθα, ἔτι δὲ καὶ πρὸς τὰ μέρη τοῦ πολιτικοῦ λόγου, ὧν ἐστι τὸ διήγημα· ἔστι δ' ὅτε καὶ ἐν τοῖς ἀγῶσιν αὐτῷ χρώμεθα, καὶ μάλιστα ἐν ταῖς παραδειγματικαῖς πίστεσιν· ἤδη καὶ ἐν τοῖς ἐπιλόγοις, ὅταν ἀναμιμνήσκωμεν τῶν λεχθέντων, διὸ καὶ διαφόροις αὐ-

τῷ σχήμασιν ἐγγυμναζόμεθα. Διαφόρου οὖν τῆς ἀπαγγελίας οὔσης, τῇ μὲν κατ' ὀρθὸν διὰ τὴν σαφήνειαν ἐν ταῖς ἱστορικαῖς χρησόμεθα, ἢ ἐν οἷς δεόμεθα σαφηνείας, τῇ δὲ κατὰ τὸ ἐγκεκλιμένον καὶ ἐλεγκτικὸν καὶ ἀσύνδετον, καθὰ προείπομεν.

Συντομία ἡ τῶν προηγουμένων καὶ ἀναγκαίων πραγμάτων ἀφήγησις τῶν ἐκ περιστάσεως πιθανῶν οὐκ ἐκτεινόντων τὸν λόγον. Πιθανότης δὲ ἡ τῶν πραγμάτων διασκευὴ, ἐπαγομένη πρὸς πειθὼ τοὺς ἀκούοντας. Ἑλληνισμός ἐστι τῶν ὀνομάτων τὸ μὴ βαρβαρίζειν ἢ σολοικίζειν, οἷον μὴ λέγειν Δημοσθένεος, ἀλλὰ Δημοσθένους.

ιή. Πρᾶγμα λαμβάνων τὸ ἐρᾷν, καὶ ὅπερ, φησὶν, ὁ Ἄρης ὑπῆρχεν Ἀφροδίτῃ, τοῦτο ὑπῆρχεν Ἀφροδίτῃ Ἀδώνιδι· ὥσπερ, φησὶν, ἐραστοῦ τάξιν ὑπεῖχεν Ἀφροδίτη πρὸς Ἄδωνιν, οὕτω καὶ Ἄρης ἐραστοῦ τάξιν ἐπληροῦτο πρὸς αὐτήν· ἀπὸ τοῦ „ὁ τὸ ῥόδον θαυμάζων“ ἄχρι τοῦ, „ἦρα μὲν,“ πρότασις ψιλὴ, μήτε ἀξίωσιν μήτε ἕτερόν τι ἔχουσα, εἶτα ἡ διήγησις, καὶ ἔστι τὸ μὲν ἦρα τὸ πρᾶγμα, τὸ δὲ ἡ Θεὸς τὸ πρόσωπον, τὸ δὲ ζηλοτυπῶν ὁ τρόπος, τὸ δὲ λύσιν ἔρωτος ἡ αἰτία, τὸ δὲ ἀκάνθαις προσέπταισεν ὁ τόπος, ὁ δὲ χρόνος συναναφαίνεται· ἦρος γὰρ ἀπὸ τῆς κάλυκος τὸ ἄνθος τῶν ῥόδων ἔξεισιν, ὥστε πάντα εὑρίσκονται τὰ περιστατικὰ ἐν τῷ διηγήματι. ἔστι δὲ δραματικὸν ὡς πεπλασμένον καὶ μυθικὸν, τὸ μέντοι, „ἦρα ἡ Θεὸς τοῦ Ἀδώνιδος,“ σχῆμά ἐστι κατ' ὀρθότητα, τοῦτο δὲ σαφηνείας ἐργαστικόν. Κόρη τις ἦρα τοῦ ἰδίου πατρός· ἀποροῦσα δὲ, ὅ τι καὶ δράσει, λάθρα αὐτῷ συνεγένετο. Γνοὺς οὖν τὸ γεγονὸς ὁ πατὴρ κατὰ τῆς παιδὸς ἠγανάκτησεν, ἡ δὲ Ἀφροδίτης δεηθεῖσα μήτε ζῆν διὰ τὸν πατέρα, μήτε ἀποθανεῖν διὰ τεκνογονίαν, μετέβαλλεν εἰς δένδρον. καὶ ἀποδενδρωθεῖσα τῷ ἐννάτῳ μηνὶ τὸν φλοιὸν ἀπορρήξασα τῆς δρυὸς

τὸν Ἄδωνιν ἔτεκεν, ὃν λαβοῦσα ἡ Ἀφροδίτη ἀνέθρεψεν, καὶ ἀνδρωθέντος ἦρα.

Cap. III.

ΟΡΟΣ ΧΡΕΙΑΣ.

Παρέπεται τῇ χρείᾳ τρία· ὅρος, εἶδος, ἐργασία· ὅρος μὲν χρείας ἐστὶν ἀπομνημόνευμα σύντομον· εἶδος· εἴδη δὲ αὐτῆς τρία, λογικόν, πρακτικόν, μικτόν· ἐργασία· κεφάλαια δὲ τῆς ἐργασίας ὀκτώ, οἷς ἐργάζεται ἡ χρεία, ἐγκωμιαστικόν, παραφραστικόν, τὸ τῆς αἰτίας, ἐκ τοῦ ἐναντίου, παραβολή, παράδειγμα, μαρτύριον παλαιῶν, ἐπίλογος βραχύς. Τί ἐστι χρεία; διδασκαλία καὶ ἀπόφθεγμά τινος σύντομον. χρεία μετὰ τὸ διήγημα τέτακται, ὡς ποικιλωτέρα, ἐπιδεχομένη τοῦ διηγήματος τὴν διαίρεσιν·[1] ὅσοι γὰρ πρὸ τοῦ διηγήματος αὐτὴν ἔταξαν, τῷ ὥσπερ τὸν μῦθον καὶ αὐτὴν προτρέπειν καὶ ἀποτρέπειν τοὺς νέους ἐπὶ αἱρετὰ καὶ μή, οὗτοι ὅσον κατὰ τοῦτο οὐκ ἔξω σκοποῦ ἔβαλον, ἐπεὶ μηδὲ κατὰ τὴν νῦν διαίρεσιν αὐτὴν ἠβούλοντο διαιρεῖν, ἀλλὰ κατὰ πάσας μόνον ὁμοῦ τὰς πτώσεις· κατ' εὐθεῖαν μέν, οἷον Πιττακὸς ὁ Μιτυληναῖος ἐρωτηθείς, εἰ λανθάνει τις τοὺς θεοὺς φαῦλα ποιῶν, ἀπεκρίνατο, ἀλλ' οὐδὲ διανοούμενος· κατὰ δοτικήν· Πιττακῷ ἐρωτηθέντι ἐπῆλθεν εἰπεῖν, ἀλλ' οὐδὲ διανοούμενος. κατὰ αἰτιατικήν, Πιττακὸν ἐρωτηθέντα φασὶν εἰπεῖν, ἀλλ' οὐδὲ διανοούμενος· καὶ ἐπὶ τῶν ἑξῆς ἀριθμῶν οὕτως· τοῦτο δὲ ἐποίουν οἰόμενοι τοῖς νέοις ἄρτι ποιητικῆς ἁψισταμένοις καὶ ἐπὶ τὰ ῥητορικὰ ἰοῦσιν ἀρκεῖν αὐτὴν οὕτως πρὸς τὴν τοῦ πολιτικοῦ λόγου μελέτην· ὅσοι μὲν οὖν διὰ ταῦτα τοῦ διη-

---

1 Mon. διήγησιν. ad marg. διαίρεσιν.

γήματος προὔταξαν, οὐκ ἔξω πεποιήκασι λόγον, ᾗ καὶ προείρηται, ἀλλ' ἐπειδὴ νῦν πλείονός τε τύχῃ διαιρέσεως καὶ ποικιλωτέρου τοῦ μύθου καὶ διηγήματος, διὰ ταῦτα καὶ μετ' ἐκεῖνον τάττεσθαι καλῶς ἔδοξεν· ὁρίζονται δὲ αὐτὴν οὕτως· χρεία ἔστιν λόγος ἢ πρᾶξις εὔστοχος καὶ σύντομος εἴς τι πρόσωπων ἔχουσα τὴν ἀναφοράν, πρὸς ἐπανόρθωσίν τινος τῶν ἐν τῷ βίῳ παραλαμβανομένη· πρόσκειται λόγος ἢ πρᾶξις εὔστοχος καὶ σύντομος, εἴς τι πρόσωπον ἔχουσα τὴν ἀναφοράν, πρὸς ἐπανόρθωσίν τινος τῶν ἐν τῷ βίῳ παραλαμβανομένη· πρόσκειται λόγος ἢ πρᾶξις, ἐπειδὴ καὶ ἐν λόγοις εὑρίσκεται καὶ ἐν πράξεσιν· εὔστοχος δὲ, ἐπειδὴ ἐν τῷ εὐστόχως εἰρῆσθαι ἡ τῆς χρείας ἰσχύς· σύντομος δὲ διὰ τὰ ἀποιννμονεύματα, καὶ ἐν συντόμῳ ἂν γένοιντο· αἱ δὲ χρεῖαι διὰ βραχυτέρων ἀεί· εἴς τι δὲ πρόσωπον ἔχουσα τὴν ἀναφορὰν διὰ τὴν γνώμην πρόσκειται· ἐκείνη γὰρ οὐ πάντως εἰς ὡρισμένον ἀναφέρεται πρόσωπον· καὶ καθ' ἃ ἄλλα γνώμη καὶ χρεία διαφέρουσιν, ἐν τῷ περὶ χρειῶν εἰρήσεται· τὸ δὲ πρὸς ἐπανόρθωσίν τινος τῶν ἐν τῷ βίῳ διὰ τὸ ὡς ἐπὶ πᾶσαν ἀγαθήν τινα παραίνεσιν τῇ χρείᾳ ἕπεσθαι πρόσκειται· χρεία δὲ εἴρηται, οὐχ ὅτι καὶ τὰ ἄλλα προγυμνάσματα οὐ πληροῖ τινα χρείαν, ἀλλὰ κατ' ἐξοχήν· ὥσπερ καὶ τὸν Ὅμηρον ποιητὴν φαμεν εἶναι, ἢ ὅτι τὴν ἀρχὴν ἐκ περιστάσεώς τινος καὶ χρείας αὐτῇ τις ἐχρήσατο. Τρεῖς αἱ ἀνώταται τῆς χρείας διαφοραί· αἱ μὲν γὰρ αὐτῶν εἰσι λογικαὶ μόνον, αἱ δὲ πρακτικαὶ, αἱ δὲ μικταί· πρόσκειται τὸ ἀνώταται, ἐπειδὴ αὗται πολλὰς διαφορὰς ἔχουσιν, ἃς δεῖ μανθάνειν ἐκ παρασκευῆς τῆς περὶ τὴν τέχνην, ἢ ὕλης πλείονος· λογικαὶ μὲν οὖν εἰσιν αἱ διὰ λόγων μόνων δηλοῦσαι τὴν ὠφέλειαν· οἷον Ἰσοκράτης ἔφη, τῆς παιδείας τὴν μὲν ῥίζαν εἶναι πικρὰν, γλυκεῖς δὲ τοὺς καρπούς· πρακτικαὶ δὲ αἱ δι' ἔργων, οἷον Ἀλέξανδρος ὁ Μακεδὼν, ἐρωτηθεὶς, ποῦ οἱ θησαυ-

ροὶ τῶν χρημάτων, οἷς τὰ ἐν χερσὶ κατορθοῖ, τοὺς φίλους ἔδειξε· μικταὶ δὲ ἐξ ἀμφοτέρων· οἷον Λάκων ἐρωτηθεὶς ποῦ τὰ τείχη τῆς Σπάρτης, ἐνταῦθα, ἔφη, τὸ δόρυ ἀνατείνας. Ἔτι τῶν χρειῶν αἱ μὲν χρησίμου τινὸς ἕνεκα παραλαμβάνονται, οἷον Ἰσοκράτης τῆς παιδείας τὴν μὲν ῥίζαν ἔφη πικρὰν, γλυκεῖς δὲ τοὺς καρπούς· συμβάλλεται γὰρ πρὸς τὸ δεῖν καρτερεῖν τὰ δυσχερῆ διὰ τὴν ἡδονήν, τὴν μετὰ ταῦτα· αἱ δὲ χαριεντισμοῦ· οἷον Ὀλυμπία, φησὶν, ἡ μήτηρ Ἀλεξάνδρου, ἀκούουσα, ὅτι ὁ παῖς αὐτῆς Διὸς ἑαυτὸν εἶναι λέγει, οὐ παύεται, ἔφη, τὸ μειράκιον διαβάλλον με πρὸς τὴν Ἥραν· δοκεῖ γὰρ χαριεντισμὸν ἔχειν· καὶ πάλιν. Δάμων ὁ παιδοτρίβης, φησὶ, στρεβλοὺς ἔχων τοὺς πόδας καὶ τὰ ὑποδήματα ἀπολέσας ᾔτχετο ταῦτα τοῖς ποσὶ τοῦ κλέψαντος ἁρμόσαι· δοκεῖ γὰρ καὶ τοῦτο χαριεντισμὸν ἔχειν· ἡ μὲν γὰρ ἀποτρέπει τὸν παῖδα τοῦ ἑαυτὸν Διὸς εἶναι λέγειν, ὁ δὲ τὴν κλοπὴν φεύγειν, ὡς ἀτοπώτατον· δι' οὗ δὲ ὑπακτέον τοῖς ἀνασκευάζουσι τὰς χρείας. εἰσὶ γάρ τινες, οἳ καὶ αὐτὰς καὶ τοὺς μύθους ἀνασκευάζειν πειρῶνται· πρὸς οὓς λεκτέον, ὅτι δεῖ μήτε τὰ ὁμολογούμενα ἀγαθὰ ἀνασκευάζειν, διὰ τὸ μηδένα ἔχειν τὸν πειθόμενον, μηδὲ τὰ ὁμολογούμενα ψευδῆ, διὰ τὸ πρόδηλον εἶναι τὸ ψεῦδος. ὅτι δὲ ὁ μῦθος ψευδῶς πέπλασται, καὶ ὅτι πρός τι βιωφελὲς καὶ αὐτὴ ἡ χρεία προῆκται, οὐδεὶς ἂν ἀμφιβάλλοι τῶν νοῦν ἐχόντων· ἔτι τῶν χρειῶν αἱ μὲν δηλοῦσιν, ὁποῖά εἰσι τὰ πραγματικὰ, ὡς ἐκεῖνο. Αἴσωπος ὁ λογοποιὸς ἐρωτηθεὶς, τί ἰσχυρότερον τῶν ἐν ἀνθρώποις, ὁ λόγος, ἀπεκρίνατο, τοῦτο δὲ ἰσχυρότατόν ἐστιν· αἱ δὲ δηλοῦσιν, ὁποῖα δεῖ εἶναι, ὡς ἐκεῖνο, Ἀριστείδης ἐρωτηθεὶς τί ἐστι τὸ δίκαιον, τὸ μὴ ἐπιθυμεῖν, εἶπε, τῶν ἀλλοτρίων· τοῦτο δὲ δεῖ εἶναι· τοῦτο δὲ συμβάλλεται ἡμῖν εἰδέναι πρὸς τὴν διαίρεσιν· ἐὰν μὲν γὰρ ᾖ χρεία δηλοῦσα, ὁποῖά εἰσι τὰ πράγματα, μετὰ τὸ προοίμιον καὶ τὴν πα-

ράφρασιν ἐπαινέσομεν αὐτὴν, ὡς ἀληθῶς ἔχουσαν, ἐὰν δὲ ὁποῖα δεῖ εἶναι, ὡς εἰκότως ἔχουσαν· ἔτι τῶν χρειῶν αἱ μὲν εἰσὶν ἁπλαῖ, αἱ δὲ πρός τι· ἁπλαῖ μὲν, οἷον Ἰσοκράτης ἔφη, τῆς παιδείας τὴν μὲν ῥίζαν πικράν· πρός τι δὲ, οἷον Πλάτων ἐρωτηθεὶς, ποῦ οἰκοῦσιν αἱ Μοῦσαι, ἐν ταῖς τῶν πεπαιδευμένων, ἔφη, ψυχαῖς. Τῶν δὲ προγυμνασμάτων καὶ μερῶν ὄντων καὶ ὅλων ἡ χρεία τῶν μερῶν ἂν εἴη· αὐτὴ γὰρ ἐφ' ἑαυτῆς οὐκ ἂν πληροῖ μόνη ὑπόθεσιν· ἔτι τριῶν ὄντων τῶν εἰδῶν, ὡς ἤδη δεδήλωται, τῆς ῥητορικῆς, ἡ χρεία προδήλως μὲν τῷ συμβουλευτικῷ χρησιμεύει· πάντως γὰρ ἐπί τι προτρέπει χρηστὸν, ἢ πονηροῦ τινος ἀπείργει· συντελέσῃ δ' ἂν καὶ πρὸς τὰ ἄλλα διὰ τοῦ ἐν τῷ προοιμίῳ τοῦ φήσαντος ἐπαίνου· τῷ δικανικῷ δὲ διὰ τοῦ ἀπὸ παραδειγμάτων εἰκότος· ἀλλὰ καὶ τοῖς μέρεσι τοῦ πολιτικοῦ λόγου συντελέσει τῷ μὲν προοιμίῳ διὰ τοῦ ἐν τῷ ἐπαίνῳ τοῦ εἰρηκότος προοιμίου· τῇ δὲ διηγήσει διὰ τῆς παραφράσεως, τοῖς δὲ ἀγῶσι κἂν μὴ ἀντιτιθῶμεν διὰ τοῦ κατασκευάζειν τὸ καλῶς εἰρῆσθαι· τοῖς δὲ ἐπιλόγοις διὰ τῆς παραινέσεως, ἐν οἷς ζηλοῦν ταῦτα προτρέπομεν· ἡ δὲ χρεία τοῖς μὲν ὀκτὼ τούτοις τέμνεται κεφαλαίοις, οἷον ἐγκωμίῳ τοῦ εἰρηκότος βραχεῖ καὶ οὐκ εἰς μῆκος ἐκτεινομένῳ· οὐ γὰρ καὶ διὰ πάντων πρόεισι τῶν ἐγκωμιαστικῶν κεφαλαίων, ἵνα μὴ μεῖζον ᾖ τὸ προοίμιον τῆς ὑποθέσεως· ἔπειτα μετ' αὐτὸ τῇ παραφράσει, εἶτα τῷ εἰκότι, καὶ τῷ ἀληθεῖ, ἃ ἐκ τῆς αἰτίας καὶ τοῦ ἐναντίου Ἀφθόνιος εἶπεν. εἶτα τῷ ἀπὸ παραδειγμάτων, ὃ πάλιν διττὸν, ἐκ πράξεως καὶ προσώπου· ὧν τὸ μὲν παράδειγμα τὸ ἀπὸ προσώπου, ἡ δὲ παραβολὴ τὸ ἀπὸ πράξεως λέγεται· καὶ ἐπὶ πάσῃ τῇ ἀφ' ἑτέρων κρίσει, μεθ' ἣν ἂν δέῃ καὶ ἐπὶ βραχεῖάν τινα παράκλησιν ἐρχόμεθα. καὶ τούτοις μὲν τέμνεται τοῖς ὀκτώ. Ἰστέον δὲ, ὅτι τινὲς μετὰ τὸ εἰκὸς τὸ ἀπὸ παραβολῆς τάττουσιν, ὅπερ ἐστὶ μέρος τοῦ εἰκότος, ἐμπίπτον

ἐν αὐτοῖς ὡς ἐνθύμημα· τῶν γὰρ ἀποδείξεων ἁπασῶν τῶν μὲν οὐσῶν ἐνθυμηματικῶν, τῶν δὲ παραδειγματικῶν, ἐν μὲν τῷ εἰκότι ταῖς ἐνθυμηματικαῖς χρησόμεθα, ἐν δὲ τῷ ἀπὸ παραδειγμάτων ταῖς παραδειγματικαῖς· ὡς μὲν οὖν ἐν βραχεῖ προγυμνάσματι, οὕτως, πῶς δεῖ κεχρῆσθαι ταῖς ἀποδείξεσιν ἐν τελειοτέραις ὑποθέσεσι μαθησόμεθα· προμηθῶς δ' ἂν ἔξει, καὶ ἐπ' αὐτῆς τῆς ὕλης ἐπιδειξασθαι. τὴν διαίρεσιν ἴσμεν, ὅτι τὰ προοίμια δεῖ οἰκεῖα εἶναι τῶν ὑποκειμένων προσώπων καὶ ὑποθέσεων, ὥστε μὴ κοινὰ φαίνεσθαι, μηδὲ πολλοῖς τὰ αὐτὰ δύνασθαι ἁρμόζειν, καὶ μάλιστα ἐν ταῖς χρείαις, ὅτι δεῖ ἐν τῷ προοιμίῳ εἶναι τὸν ἔπαινον τοῦ εἰπόντος ἢ πράξαντος· πῶς οὖν οἷόν τ' ἐστιν εἶναι μὴ μόνης τῆς προκειμένης χρείας τὸ οἱονεὶ προοίμιον. Δεῖ οὖν τὸν ἔπαινον τὸν κατασκευαζόμενον διὰ βραχέων εἶναι, ἵνα μὴ, ὥσπερ εἴρηται, μεῖζον τοῦ δέοντος ᾖ τὸ πάρεργον· κἂν μὲν ᾖ τινὰ αὐτῷ ἕτερα πεπραγμένα ἢ δι' ἔργων ἢ διὰ λόγων, ἐν παραιτήσεως ἤτοι ἀποσιωπήσεως ἢ παραλείψεως σχήματι, ὡς ἕνι μάλιστα διὰ βραχέων αὐξήσαντες τὸν ἔπαινον, οὕτως ἐπὶ τὸ προκείμενον ἥξομεν, ὑπερτιθέντες αὐτὸ πάντων ἐκείνων· ἂν δὲ μὴ ἔχωμεν τοιοῦτον, ἀπὸ τῆς οἰκείας αὐτῷ ποιότητος αὐξήσομεν τὸν ἔπαινον· οἷον Ἀθηναῖος φέρε ἀπὸ τῆς πόλεως καὶ τῶν Σόλωνος νόμων ὡς ἀξίως τούτων τέθραπται· εἰ δὲ Λακεδαιμόνιος, ὁμοίως ἀπό τε τῆς πόλεως καὶ τῶν Λυκούργου νόμων καὶ τοῦ ἐπιτηδεύματος, καὶ δεῖ σπεύδειν, ἁρμόττειν τῷ προκειμένῳ λόγῳ τὰ ἀπὸ τῆς ποιότητος ἀναφαινόμενα ἐξαίρετα· ἔσθ' ὅτε δὲ καὶ ἀπὸ τῶν καθολικωτέρων βεβαιωτέον τὸν ἔπαινον, οἷον ποιητὴν ἢ λογογράφον ἀπὸ τῶν ὁμοίων, ὡς ἐστὶ λέγειν οὕτως, οἱ ποιηταὶ καὶ λογογράφοι πολλοὶ τοῖς ἀνθρώποις ἄξιοι πεφήνασι, πολλῷ μᾶλλον οὗτοι· ὁμοίως καὶ στρατιώτην ἢ ῥήτορα ἢ φιλόσοφον ἢ στρατηγὸν ἢ βασιλέα· ἡ μὲν οὖν τέχνη αὕτη· σκοπεῖν δὲ καὶ

ἐπὶ τοῦ προκειμένου τὰ ἐμπίπτοντα χρή· οἰκεῖον μὲν Ἰσοκράτους τὸ προοίμιον· οὐ μόνον διὰ τὸ ὄνομα προφαίνειν, ἀλλὰ καὶ διὰ τὸ ἐπιτήδευμα· οὕτω δὲ βραχύ τι καὶ σύντομον, ὥστε τὰ αὐτῷ πεπονημένα εἰς αὔξησιν ἐπαίνου ἢ παραλειφθῆναι ὀφείλοντα τῷ κατὰ παράλειψιν σχήματι διὰ τὴν συντομίαν παρειλῆφθαι· εἶτα μετὰ ταῦτα εἰσβολὴ τοῦ προκειμένου τῆς χρείας λόγος καὶ μεταχείρισις μετὰ τῆς ἀπὸ τοῦ θαυμασμοῦ αὐξήσεως, καὶ τῆς τῶν προλεχθέντων ἁρμογῆς· εἰ γὰρ τοῖς ἄλλοις τὸν τῶν ἀνθρώπων εὖ πεποίηκε βίον αὐτοῦ πόνοις, πάντως καὶ ἡ παιδεία ἓν τοῦ κατὰ ἀνθρώπους ὑπάρχουσα βίου εὖ τετύχηκε καὶ Ἰσοκράτους τοιούτου ἀξιωθεῖσα ἐπαίνου, ἠὔξητο δὲ ὅμως πλέον τῶν ἄλλων, ὡς καὶ προείρηται, τῷ θαυμασμῷ· τὸ γὰρ οἷον θαυμαστικόν ἐστι· τοῦτο θαυμασίως ἀντέστρεψεν, ὡς οὐχὶ τέχνη τοῦτον, ἀλλ' αὐτὸς τὴν τέχνην ἐσέμνυνεν. Ἰστέον δὲ καὶ τοῦτο, ὡς οὐ πάντοτε τὸ κατὰ παράλειψιν χρηστέον, ἐφ' ὧν καὶ ἄλλοις τισὶν εὔπορον κατορθώματι τὸν ἔπαινον αὔξειν τοῦ τὴν χρείαν προενεγκόντος· ἔσθ' ὅτε γὰρ καὶ ψιλὴ ἀπαρίθμησις τοῦτο δύναται ἀπεργάσασθαι ἄνευ τῆς περὶ τὰ ἀριθμούμενα τριβῆς.

Διαφέρει χρεία γνώμης τῷ τὴν μὲν χρείαν μετὰ προσώπων ἐκφέρεσθαι, τὴν δὲ γνώμην χωρὶς, καὶ τῷ τὴν μὲν χρείαν ἐνίοτε καὶ πρακτικὴν εἶναι, τὴν δὲ γνώμην ἀεὶ λογικήν· τέτακται δὲ ἡ χρεία μετὰ τὸ διήγημα, διότι ἡ χρεία εἰς πρόσωπον ἔχει τὴν ἀναφοράν. Καὶ πάντα τὰ προγυμνάσματα χρειώδη, ἡ δὲ χρεία μόνη τούτῳ κέκληται τῷ ὀνόματι, ὅτι τοῖς καθολικοῖς ὀνόμασι τὰ κάλλιστα τῶν πραγμάτων καλλωπίζειν εἰώθαμεν. Ἡ παράφρασις γυμνάζει εἰς τὸ τὰ αὐτὰ διαφόρως δύνασθαι ἀπαγγέλλειν τῇ ἑρμηνείᾳ· τοιαύτη δέ τις ὀφείλει εἶναι, οἷον μήτε ἀφισταμένη τοῦ προκειμένου, μήτε ἐπ' αὐτῶν τῶν λέξεων ἀκριβῶς μένουσα. Ἡ αἰτία τὰ εἰκότα δι-

δάσκει, τουτέστι τὰ ἐκ τοῦ πράγματος ἀναφαινόμενα, εὖ τι καὶ ὡς ἑτέρως ἔχοντα· ταύτην δὲ καὶ ἐν ταῖς ἐνθυμηματικαῖς ἀποδείξεσι βεβαιώσομεν· ἔστι δὲ τὸ μὲν πρότερον ἀπὸ τῶν ἐν τῷ πράγματι, τὰ δὲ ἐνθυμήματα ἀπὸ τῶν περὶ τὸ πρᾶγμα· ἐνταῦθα δὲ ἀπὸ τῆς παρούσης μελέτης τὸ εἰκὸς ἀπὸ τῶν ἐν τῷ πράγματι εἴργεται· τουτέστιν ἀπ' αὐτοῦ τοῦ πράγματος, καὶ οὐκ ἀπὸ τῶν ἐνθυμηματικῶν ἀποδείξεων· οὐδέ τις ταῦτα φοβούμενος καὶ ἀπὸ τοῦ ἐναντίου τὴν πίστιν τῶν λεγομένων ἐργάζεται, ὃ καὶ αὐτὸ μέρος τοῦ εἰκότος, ἵνα μᾶλλον αἰξήσῃ καὶ φανερὰν τὴν ὠφέλειαν τοῦ λεγομένου καταστήσῃ, πέφυκε γὰρ τὰ πράγματα τῇ παραθέσει τῶν ἐναντίων διαδηλότερα φαίνεσθαι· οὕτω φῶς τῇ τοῦ σκότους παραβολῇ, καὶ λευκὸν τῇ τοῦ μέλανος παρουσίᾳ τὴν ἑαυτῶν ἀρετὴν ἐπεδείξαντο· ὥσπερ οἱ γῆν ἐργαζόμενοι, καὶ ταῦτα, ἡ παραβολή φημι τό τε παράδειγμα, μέρη τοῦ εἰκότος προαποδέδεικται· διαφέρει δὲ τούτοις ἀλλήλων ταῦτα, καθὸ ἡ μὲν παραβολὴ διὰ πράξεως, τὸ δὲ παράδειγμα διὰ προσώπων εἰσφέρεται· διὸ [2] θαυμασίως ἡ μαρτυρία βούλεται τῇ ἀφ' ἑτέρων κρίσει βεβαιοῦν τὸ ἀποδεικνύμενον, ὡς ἂν μὴ μόνον πραγματικῇ, ἀλλὰ καὶ διὰ λόγων σοφῶν καὶ γνώμης ἀνδρῶν παλαιῶν τὸ κράτος ἔχοι· εἰ δ' ἄρα ποτὲ καὶ ἀποροίημεν οὕτως ἐναργοῦς μαρτυρίας τῶν παλαιῶν, τῷ κατὰ παράλειψιν σχήματι χρησόμεθα, λέγοντες οὕτω· πολλοὺς ἔτι καὶ παλαιῶν λόγους παραθεῖναι συνηγοροῦντας τοῖς προκειμένοις· εἰ μὴ τῆς παρούσης ὑποθέσεως τὸ πολλὰ λέγειν ἠπιστάμην ἀλλότριον· ἢ οὕτως, εἰ μὴ τὰ πολλὰ λέγειν οὐ κατὰ τὴν παροῦσαν ὑπόθεσιν· τοῦτο ὑπερβολικόν, εἰ μὴ γὰρ αὐτὸς ὑπὸ ταύτης ἐκρύχθη, οὔτ' αὐτὴν οὐκ ἂν ἐκήρυξεν.

σι

2 Mon. δ' ὧν θαυμα ad marg. διό.

Cap. IV.

ΟΡΟΣ ΓΝΩΜΗΣ.

Πόσα παρέπεται τῇ γνώμῃ; τρία, ὅρος, εἶδος, διαφοραὶ πρὸς τὴν χρείαν· ὅρος μέν· γνώμη ἐστὶ λόγος ἐν ἀποφάσει κεφαλαιώδης ἐπί τι προτρέπων· εἶδος· τῆς δὲ γνώμης τὸ μέν ἐστιν ἁπλοῦν, τὸ δὲ συνεζευγμένον· καὶ ἁπλοῦν μὲν, ὡς τὸ, εἷς οἰωνὸς ἄριστος· [1] *τὸ δὲ συνεζευγμένον, ὡς τὸ, οὐκ ἀγαθὸν πολυκοιρανίη·* [2] *ἕκαστον δὲ τούτων εἴδη ἔχει ἓξ, ὡς εἶναι τούτων ὑποδιαίρεσιν, τὸ μὲν γάρ ἐστι προτρεπτικὸν, ὡς τὸ, χρὴ ξεῖνον παρεόντα φιλεῖν·* [3] *τὸ δὲ ἀποτρεπτικὸν,*

Οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα· [4]

τὸ δὲ ἀποφαντικόν· „δεῖ δὴ χρημάτων, [5] *καὶ ἄνευ τούτων·“ τὸ δὲ πιθανὸν, ὡς τὸ, τοιοῦτός ἐστιν ἕκαστος, οἷσπερ ἥδεται ξυνών· τὸ δὲ ἀληθὲς, ὡς*

Οὐκ ἔστιν [6] *εὑρεῖν βίον ἄλυπον ἐν οὐδενί·*

τὸ δὲ ὑπερβολικὸν, ὡς·

Οὐδὲν [7] *ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο.*

Διαφοραὶ πρὸς τὴν γνώμην· ὅτι ἡ χρεία γίνεται καὶ πρακτικὴ, ἡ δὲ γνώμη ἀεὶ λογική, καὶ ὅτι ἡ μὲν χρεία δεῖται προσώπων, ἡ δὲ γνώμη ἀπροσώπως ἐκφέρεται. Τὴν γνώμην ἀπόφασιν εἶναι βούλεται, καθολικὴν συμβουλήν τινα καὶ παραίνεσιν ἔχουσα πρός τι τῶν ἐν τῷ βίῳ χρησίμων· διαφέρει δὲ τῆς χρείας κατὰ πᾶσαν κοινωνοῦσα τὴν διαίρεσιν. πρῶτον μὲν τούτῳ, καθὸ ἡ μὲν χρεία καὶ ἐν λόγοις ἐστὶ καὶ ἐν πράξεσιν, ἡ δὲ γνώμη ἐν λόγοις μόνον· εἶτα ὅτι ἡ μὲν γνώμη ἀπόφασίς ἐστι καθολικὴ, καὶ οὐ πάντως εἴς τι πρόσωπον ἀναφέρεται,

ἡ

---

1 Il. μ, 243. 2 Il. β, 204. 3 Od. ο, 74. 4 Il. β, 22. 5 Olynth. I. p. 15. 6 Eurip. Fragm. p. 381. Matth. 7 Od. σ, 130.

ἡ δὲ χρεία τὴν ἀναφορὰν ὡς πρόσωπον πάντως ἔχει, καὶ πρὸς τούτοις, ὅτι ἡ μὲν χρεία ἐκ περιστάσεώς τινος σύγκειται, ἡ δὲ γνώμη ἐν πλήθει λόγων· ἐνθυμητικὴν γὰρ ἀπόδειξιν, ἔχουσα τοῦ προειρημένου καθολικὴν ἅμα ποιεῖται παραίνεσιν, ὅτι ἡ μὲν γνώμη πάντως αἵρεσιν ἀγαθοῦ ἢ κακοῦ εἰσηγεῖται φυγήν, ἡ δὲ χρεία καὶ χαριεντισμοῦ ἕνεκα εἰσάγεται· ἔστι καὶ ἄλλας ἐπιστήσαντας διαφορὰς τούτων εἰπεῖν, ἀλλὰ καὶ αὗται ἱκανῶς ὅσον πρὸς εἰσαγομένους. Εἴρηται δὲ γνώμη ἀπὸ τοῦ γνῶσίν τινα καὶ πίστιν ἐμποιεῖν τοῦ προκειμένου, οὗ χάριν ἐνθυμηματικῶς παρείληπται. τὸ γὰρ „οὐκ ἀγαθὸν πολυκοιρανίη“ γνῶσιν ἐναργῆ οἷον ἐπιστρέφουσαν ἐφιστάνειν τῷ προειρημένῳ ἐνεποίησεν, καὶ ἀπόδειξιν ἐναργῆ τοῦ μὴ πάντας ἐθέλειν βασιλεύειν· οὐδὲ γὰρ ἀγαθόν· ἐκεῖ δὲ κοινωνεῖ καὶ τὸ ἀπομνημόνευμα τῇ χρείᾳ καὶ τῇ γνώμῃ κατὰ τὴν προαίρεσιν. δεῖ καὶ τούτου πρὸς ταύτας εἰπεῖν τὰς διαφοράς. διαφέρει οὖν τῆς μὲν γνώμης σχεδὸν πᾶσιν, οἷς καὶ ἡ χρεία· τῆς δὲ χρείας τῷ μήκει τῶν λόγων· ἃ γὰρ εἰσηγεῖται δι' ὀλίγου ἡ χρεία, ταῦτα διὰ πλειόνων τὸ ἀπομνημόνευμα, καὶ τούτου μάρτυς Ξενοφῶν ἐν τοῖς καλουμένοις ἀπομνημονεύμασι. Τῶν γνωμῶν πρὸς ἀλλήλας εἰσὶ διαφοραὶ αὗται· αἱ μὲν γὰρ αὐτῶν εἰσιν ἀληθεῖς, αἱ δὲ πιθαναί· ἀληθεῖς μέν,

Οὐ χρὴ πανύχιον εὕδειν βουληφόρον ἄνδρα.

πιθαναὶ δέ, τοιοῦτός ἐστιν ἕκαστος οἷσπερ ἥδεται ξυνών· ἔτι αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ διπλαῖ· ἁπλαῖ μέν, οἷον·

Οὐκ ἔστιν εὑρεῖν βίον [8] *ἄλυπον οὐδενί·*

διπλαῖ δέ· οἷον·

Εὐθλῶν μὲν γὰρ [9] *ἀπ' ἐσθλὰ διδάξεαι, ἢν δὲ κακοῖσι*
Συμμίξῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον. [10]

8 Mon. ἄλυπον βίον. 9 γὰρ Mon. om. — Theogn. v. 35.
10 Mon. βίον. ad marg. νόον.

Πάλιν τῶν γνωμῶν αἱ μὲν ἄνευ αἰτίας προσφέρονται, ὡς ἐκείνη· οἷον·

Εἷς ἐστι δοῦλος, οἰκίας ὁ δεσπότης·

αἱ δὲ μετὰ αἰτίας, ὡς αὕτη·

Ἄλκιμος ἔσσ', [11] *ἵνα τίς σε καὶ ὀψιγόνων εὖ εἴπῃ.*

καὶ αὖθις· τῶν γνωμῶν αἱ μὲν δηλοῦσιν ὥσπερ αἱ χρεῖαι, ὁποῖά ἐστι τὰ πράγματα, αἱ δέ, ὁποῖα δεῖ εἶναι· ὁποῖα μέν ἐστιν, ὡς τὸ, οἱ πλεῖστοι κακοί· ὁποῖα δὲ δεῖ εἶναι, ὡς τό· μηδὲν ἄγαν. Ἔτι τῶν γνωμῶν αἱ μέν εἰσι προστακτικαὶ, οἷον, ἄλκιμος ἔσσο. αἱ δὲ εὐκτικαὶ, οἷον·

Μὴ μοι γένοιτο λυπρὸς εὐδαίμων βίος.

αἱ δὲ ἀπαγορευτικαί·

Μήδ' [12] *ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι.*

αἱ δὲ κατ' ἐπίκρισιν,

Ὡς αἰεὶ [13] *τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον.*

καὶ ἔτι τῶν γνωμῶν αἱ μέν εἰσιν ἄδοξοι, ὡς αὕτη,

Ἕα με κερδαίνοντα κεκλῆσθαι κακὸν,

αἱ δὲ ἔνδοξοι,

Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

ταύτας μὲν οὖν οἱ περὶ Σιρίκιον τὰς διαφορὰς προστιθέασι, καὶ ἄλλας ἄλλος πλείστας· ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις, νῦν δὲ τοσοῦτον εἰπεῖν ἀναγκαῖον· ὡς τριῶν μὲν ὄντων εἰδῶν τῆς ῥητορικῆς, πέντε δὲ μερῶν τοῦ πολιτικοῦ λόγου, τὴν αὐτὴν τούτοις γυμνασίαν παρέχει ἡ γνώμη, ἣν καὶ ἡ χρεία. ἔστι δὲ καὶ τῶν μερῶν μόνων, οὐδὲ γὰρ δύναται αὕτη καθ' ἑαυτὴν ἰδίαν πληρῶσαι ὑπόθεσιν· καὶ τοῦτο παντὶ δῆλον, τῷ καὶ μικρὸν ἐπιστήσαντι, πλὴν εἰ μὴ κατὰ τὴν ἀπόφασιν μόνην τις ἡγεῖτο ἀρκεῖν καὶ πρὸς ὅλην ὑπόθεσιν τὸ εἰπεῖν·

Μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι·

μᾶλλον δ' ἂν εἰκότως τῶν μερῶν νομίζοιτο, ὥσπερ καὶ

---

11 Mon. ἔσυ. — Od. α, 302. 12 Il. η, 111. 13 Od. ρ, 218.

ἡ χρεία· ἡ μὲν οὖν διαίρεσις αὕτη τῆς γνώμης· περὶ τῶν διαιρέσεων τῶν κεφαλαίων οὐδὲν πλέον ἔχομεν εἰπεῖν τῶν ἐν τῇ χρείᾳ εἰρημένων, τοῖς γὰρ αὐτοῖς καὶ αὕτη τέμνεται κεφαλαίοις, καὶ πέρα τῶν εἰρημένων ἐν τῇ χρείᾳ οὐκ ἔχει τι. Ὁ ἀδιαστάκτως καὶ ἀνενδοιάστως προφερόμενος[14] λόγος σύντομός ἐστι καὶ ἀνακεφαλαιώδης. ἀνακεφαλαίωσις δέ ἐστι λόγος τὰ διεξοδικώτερα ἀπὸ τοῦ τῆς διηγήσεως καὶ τῶν ἁπλῶν μερῶν τοῦ λόγου διηγούμενα ἐν ἐπιτομῇ ἀφηγούμενος. ἁπλοῦν ἐστι τὸ μίαν γνώμην ἔχον, συνεζευγμένον δὲ τὸ δύο γνώμας ἔχον· διαφέρει δὲ τὸ ἁπλοῦν τοῦ συνεζευγμένου, καθὸ τὸ μὲν ἁπλοῦν δι' ὅλου λεγόμενον τὴν διάνοιαν μόνον ἀπαρτίζει, τὸ δὲ συνεζευγμένον καὶ μὴ δι' ὅλου λεγόμενον δύναται αὐτὴν παριστᾶν ἀπὸ τοῦ ἡμίσεος μέρους· προειπὼν γὰρ ὅτι κακὸν ἡ πολυαρχία, ἐδήλωσε δι' αὐτοῦ, ὡς χρηστὸν ἡ μοναρχία. Ἰστέον δὲ, ὅτι καὶ τὸ ὑπερβολικὸν πιθανόν ἐστι. Τὸ ἥδεται, Ἀφθόνιε, προστεθὲν οὐκ ἀφίησι πιθανὸν εἶναι τὸ ῥητόν· δηλοῖ γὰρ τὸ ἔμμονον καὶ ἐνδιάθετον, καὶ σὺν ἡδονῇ διατριβήν τε καὶ συναναστροφήν. Τὰ μὲν ἄλλα ζῶα ἔχουσι φυσικὰ ἐνδύματα, οἷον τὰ πρόβατα τὸν μαλὸν, ὁ δὲ ἄνθρωπος γυμνὸς ὢν ἄλλων δεῖται, τῆς γῆς καὶ τῶν ζώων, οὐδὲν γὰρ τούτου ἀσθενέστερον.

Διὰ γὰρ τὸ μύθοις χρῆσθαι πολλοῖς ὡς ψευδὴς ἀποστρέφεται· τουτέστι τοῦ ἡρωϊκοῦ· χάριν δὲ τὴν ὠφέλειαν τῆς παραινέσεως καὶ τὴν ἡδονὴν εἶπεν, ὠφέλειαν εἰπὼν κατὰ τὸ ἐναντίον· οὐ μὴν οἱ πενίας ἀπηλλαγμένοι δρῶσί τι χαλεπὸν, ἀλλ' ἐξέφυγε τὴν τελείαν ἀρετὴν, εἰδὼς ὥς τινες ταύτης ἐκπίπτουσι, τὸ κακοὶ εἶναι ἐκ τοῦ πλουτεῖν ἔχοντες. Χορηγία καὶ εἰσφορὰ διαφέρει· χορηγία μέν ἐστιν ἐκ προαιρέσεως, εἰσφορὰ δὲ ἀπὸ προταγῆς ἑτέρου.

---

14 Mon. προσφερόμενος.

Τί ἐστι παραβολή; πράγματος οἷόν τε γίγνεσθαι ἀπομνημόνευσις εἰς ὁμοίωσιν τοῦ ζητουμένου· παράδειγμα δέ ἐστι πράγματος γεγονότος ἀπομνημόνευσις εἰς ὁμοίωσιν τοῦ ζητουμένου.

Cap. V.

ΟΡΟΣ ΑΝΑΣΚΕΥΗΣ.

Πῶς οἷόν τε προϋπάρχειν τὴν ἀνασκευὴν τῆς κατασκευῆς. μήπω γάρ τινα μαθόντες περὶ αὐτῆς πῶς ἀνασκευάζειν δυνάμεθα, ὅτι ἡ ἀνασκευὴ περὶ ἐγνωσμένων καὶ προδήλων πραγμάτων γίνεται· πῶς δὲ δυνατὸν κατασκευάζειν τὰ μὴ ἀνασκευαζόμενα; ταῦτα γὰρ ἀφ' ἑαυτῶν τὴν σύστασιν ἔχουσι, καὶ οὐ χρείαν ἔχουσι κατασκευῆς· τούτου χάριν ἡ τῶν φησάντων διαβολὴ καὶ εὐφημία προϋπάρχει τῆς ἐκθέσεως προεγνωσμένη καὶ δήλη ὑπάρχουσα· ἐν γὰρ τῇ διηγήσει διδάσκει αὐτήν. Παρέπεται δὲ τῇ ἀνασκευῇ τρία, ὅρος, εἶδος, διαβολή. ὅρος μέν, ἀνασκευή ἐστιν ἀνατροπὴ προκειμένου πράγματος· εἶδος· ποῖα τὰ ἀνασκευαζόμενα; τὰ μήτε λίαν σαφῆ, μήτε ἀδύνατα παντελῶς, ἀλλ' ὅσα μέσην τὴν τάξιν ἔχει. διαβολὴ τοῦ προσώπου καὶ τοῦ πράγματος, τοῦ μὲν προσώπου ὡς ἀμαθοῦς, τοῦ δὲ πράγματος κεφαλαίοις διαβαλλομένου ἔξ· ἀσάφει, ἀπιθάνῳ, καὶ τὰ ἑξῆς.

Μετὰ τὴν γνώμην τάττεται ἡ ἀνασκευή· αὗται γὰρ ἐγγεγυμνασμένους ἡμᾶς ἤδη διὰ τῶν προειρημένων παραλαβοῦσαι, ταῖς τε παραδειγματικαῖς καὶ ἐνθυμηματικαῖς ἀποδείξεσιν, διδάσκουσι διὰ πλειόνων, πῶς δεῖ τοὺς πρὸς τὰς ἀντιθέσεις ἀγῶνας δέχεσθαι, δι' ὧν καὶ ἐν ταῖς τελείαις ὑποθέσεσι δυνησόμεθα τὰ περὶ τῶν ἐναντίων φερόμενα λύειν τε, καὶ πρὸς τὸ δοκοῦν ἡμῖν κατασκευάζειν

εὐχερῶς. ἀνασκευὴ τοίνυν ἐστὶ λόγος ἀνατρεπτικὸς τοῦ πιθανῶς προτεθέντος λόγου. Πρόσκειται τοῦ πιθανῶς, ἵνα γνῶμεν, ὡς οὔτε τὰ ὁμολογούμενα ἀληθῆ ἀνασκευάσομεν, οὔτε τὰ ὁμολογούμενα ψευδῆ, ἀλλὰ τὰ δεχόμενα τοὺς ἀφ' ἑκατέρων λόγους πιθανούς. οὔτε γὰρ τὰ ὁμολογούμενα ἀνατρέποντες ἀληθεῖς φανησόμεθα, οὐδὲις γὰρ ὁ προσέξων, ἀλλὰ πρὸς τῷ γελοῖον εἶναι ἔτι καὶ κολάσεως ἢ αἰσθήσεως κατὰ τὸν Σταγειρίτην δεησόμεθα· οὔτε τὰ ὁμολογουμένως ψευδῆ· οὐδεὶς γὰρ ὁ τοῦ πεισθῆναι δεύμενος· δεῖ οὖν περὶ τὰ πιθανὰ τὴν τοιαύτην μελέτην στρέφεσθαι. Ἰστέον δὲ, ὅτι ἡ τούτων τάξις ἀδιάφορος· οὔτε γὰρ τὴν ἀνασκευὴν πάντως προτάξαντες μετὰ ταύτην κατασκευάσομεν, οὔτε αὖ πάλιν τὸ ἐναντίον ὡρισμένως ποιήσομεν, ἀλλὰ ἔχομεν ἐπὶ πολλῆς ἀδείας, ὁποτέρᾳ ἂν αὐτῶν ἐθέλωμεν χρῆσθαι προτέρᾳ· ἡ ἀνασκευὴ τοίνυν εἴωθε διαιρεῖσθαι τοῖσδε τοῖς κεφαλαίοις· τῷ ἀπιθάνῳ, τῷ ἀδυνάτῳ, τῷ ἀπρεπεῖ, τῷ ἀσυμφόρῳ, τῷ μαχομένῳ, καὶ ἔτι τῶν περιστατικῶν μορίων τοῖς ἐμπίπτουσι, τόπῳ ἢ χρόνῳ, ἢ προσώπῳ, ἢ ἄλλῳ τινὶ τούτων. Ἰστέον δὲ, ὅτι τῶν κεφαλαίων τούτων τινὲς τάξιν ἀπέδωκαν ὡρισμένην, ὥσπερ καὶ ὁ παρὼν τεχνικός· κατὰ γοῦν τὴν ἀκρίβειαν οὐκ ἔχει τάξιν ταῦτα ἐν τῇ ἀνασκευῇ καὶ κατασκευῇ, ἀλλ' ὡς ἂν ἡ τοῦ ὑποκειμένου δίδωσι φύσις χρῆσθαι τῇ τέχνῃ, οὕτως προάγειν δεῖ τὰ κεφάλαια, μικρὰ τῆς τάξεως αὐτῶν φροντίζοντας· ἀλλ' οὐδὲ πάντα τὰ κεφάλαια δεῖ βιάζεσθαι, ἂν μὴ χορηγῇ τὸ πρᾶγμα, ἀλλὰ τοῖς ἐμπίπτουσιν ἀρκεῖσθαι· εἰ γὰρ μὴ τοῦτο, εἰς ψυχρολογίαν περιστῆναι τοῦ λόγου ἀνάγκη, πλῆθος ἀπειρόκαλον ἐπισωρευόντων ἡμῶν, οἷον ὡς ἐπὶ ὑποδείγματος. προσκείσθω τοίνυν ἡμῖν εἰς ἀνασκευὴν τὸ κατὰ Λάφνην· τὸ τοίνυν πρῶτον μέρος τοῦ διηγήματος, ἀπὸ τοῦ ἀπιθάνου ἐστὶν ἢ ἀδυνάτου, καὶ οὕτω τῇ ἐργασίᾳ τοῦ κεφαλαίου χρησόμεθα· τοῦτο καὶ

ἐπὶ τοῦ δευτέρου καὶ τρίτου μέρους τοῦ διηγήματος, κἀὶ ἐφεξῆς ἐπὶ πάντων ὁμοίως· οὕτω γὰρ οὐ συγχυθήσεται ὁ λόγος βιαζομένων ἡμῶν εἰς τὴν τῶν κεφαλαίων τάξιν κατατέμνειν τὸ διήγημα, ἀλλὰ μὴ πρὸς τὴν τοῦ διηγήματος τάξιν ἐπάγειν τὰ κεφάλαια. τοῦτο δὲ καὶ Δημοσθένης ἐν ἄλλοις τε πεποίηκε, καὶ ἐν τῷ κατὰ Τιμοκράτους· τὸν γὰρ νόμον τὸν Τιμοκράτους καὶ ἀσύμφορον διαβάλλων, καὶ προελθὼν εἰς τοῦτο, μετὰ τὴν τοῦ νόμου ἐξέτασιν πάλιν ἄνωθεν ἐξ ἀρχῆς ἀρξάμενος κατὰ μέρος τὰ δοκοῦντα ἀσύμφορα εἶναι κατὰ μέρος τίθησι καὶ ἀγωνίζεται. δεῖ δὲ κἀκεῖνο ἐπισημήνασθαι, ὅτι οὐδὲν κωλύει καὶ ἓν μέρος τοῦ διηγήματος ὑπὸ πλείονα ἀνάγεσθαι κεφάλαια, οἷον εἰ τύχοι ὑπὸ τὸ ἀσύμφορον, καὶ ὑπὸ τὸ ἀπίθανον, καὶ ὑπὸ ἕτερον, καὶ χρησόμεθα μὲν αὐτῷ ἐν ἅπασι· τῇ δὲ περὶ τὴν ἐργασίαν διαφορᾷ τὴν ἐξαλλαγὴν μηχανησόμεθα· τὸ δὲ ἀγωνιστικώτατον καὶ κάλλιστον ἡμῖν συμβαλλόμενον κεφάλαιόν ἐστι τὸ καλούμενον μαχόμενον, ὅπου τοῦτον ὥσπερ ἀντιλέγοντα ἑαυτὸν ἑαυτῷ καὶ ἐναντίως προσφέροντα τὸν τὴν ἱστορίαν γράφοντα τοῖς προειρημένοις ἡμεῖς ἀνασκευάζοντες δείκνυμεν· οὕτω καὶ Δημοσθένης ἐν τῷ προειρημένῳ λόγῳ πεποίηκε· καὶ γὰρ δείκνυσι τοῖς πρώην ὑπὸ Τιμοκράτους τεθεῖσι νόμοις ἐναντίον τὸν νῦν ὑπ' αὐτοῦ τούτου τιθέμενον· συλλάβοι δ' ἂν καὶ ἡ ἐκ τῶν περιστατικῶν μάχη πολύ, ἐλεγκτικὸν ποιοῦσα τὸν λόγον, οἷον ἐν ποίοις τόποις ἡ Δάφνη ἢ χρόνοις ἢ εἴ τι ἄλλο ἐμπίπτει. Ἔτι καὶ τοῦτο προσθετέον, ὡς οἱ μὲν κατὰ μέρος τιθέντες ἠγωνίσαντο, οἱ δὲ πρὸς ὅλον ἐμαχέσαντο τὸν λόγον· ἀλλ' ἐμοὶ δοκεῖ ἡ κατὰ μέρος εἶναι μάχη· ἀγωνιστικώτερος γὰρ οὕτως ὁ λόγος γίνεται· οὕτω δὲ ἔχει καὶ ἡ προσκειμένη μελέτη, εἶτα ἡ κατὰ μέρος ἀνασκευή. πάντων μὲν οὖν ἤλγουν. ἀπὸ τῆς τοῦ κρείττονος ἴβρεως καὶ τῆς ὑπὲρ τούτου ἀγανακτήσεως ἔοικεν εὐπα-

ράδεκτον ποεῖσθαι τοῖς ἀκροαταῖς τὸν λόγον,[1] καὶ πείθειν ὑπερφρονεῖν τῶν εἰρηκότων. Τριῶν δὲ ὄντων τῶν τῆς ῥητορικῆς εἰδῶν, ὡς πολλάκις εἰρήκαμεν, περὶ τὸ δικανικὸν μᾶλλον ἡ μελέτη ἐν τοῖς προγυμνάσμασι τούτοις γίγνοιτο. τὸ γὰρ συμφέρον, ὅπερ ἐστὶ τοῦ συμβουλευτικοῦ, οὐ προηγουμένως ἐνταῦθα ἐξετάζεται, ἀλλ' ἐπὶ ταῖς ἄλλαις ἀποδείξεσιν εἰσφέρεται, ἀλλὰ καὶ πρὸ παντὸς τὰ τοῦ πολιτικοῦ λόγου μέρη πλὴν τῶν ἐπιλόγων συντελέσοι. καὶ γὰρ προοιμιακῶν ἐννοιῶν προγυμνασία γένοιτ' ἂν καὶ διηγήσεων καὶ ἀντιθέσεων καὶ λύσεων, ὡς ἐν τῇ κατασκευῇ· ἃ γὰρ ἡ ἀνασκευὴ ἀναμοχλεύειν πειρᾶται, ταῦτα λύει ἡ κατασκευή· πρὸς δὲ τὴν τῶν ἐπιλόγων γυμνασίαν ὁ κοινὸς ἀσκήσει ἡμᾶς τόπος· εἰσὶ δὲ τῶν ὡς μερῶν μόνων, ἀλλ' οὐχὶ τῶν ὡς μερῶν καὶ ὅλων, ἢ τῶν ὡς ὅλων· καίτοι με οὐ λέληθεν, ὥς τινες ἀπεφήναντο ταῦτα δύνασθαι καὶ ἐφ' ἑαυτῶν πληροῦν ὑπόθεσιν· καὶ τούτου τεκμήριον λέγουσιν εἶναι τὸν Ἀριστείδου ὑπὲρ τῶν τεσσάρων λόγον, ὃν ἀνασκευὴν ἡγοῦνται, ἀλλ' οἱ τοιοῦτοι δῆλοί εἰσι τὴν τοῦ ἀντιῤῥητικοῦ εἴδους διαίρεσιν ἀγνοοῦντες καὶ ἀνασκευὴν τὴν ἀντιῤῥησιν ὀνομάζοντες. ὥστε ταῦτα, ἢ καὶ προείρηται, τῶν ὡς μερῶν ἂν εἴη, εἰ καὶ δοκεῖ ἐκ πάντων τῶν μερῶν τοῦ λόγου συνίστασθαι· ἀλόγως δὲ οἱ διὰ πάντων μὲν ἐπεξιόντες, μὴ ἐξετάζοντες δὲ τὰς διαφοράς, μηδὲ ὁρῶντες, τί μὲν ἐνταῦθα πρὸς τὸ ὅλον ἐλλείπει, τί δὲ ἀντιῤῥήσεως ἴδιον, ἐπὶ τὸ ἀντιῤῥητικὸν εἶδος τὸν λόγον ἀπάγουσι. δεῖ δὲ καὶ τοῦτο εἰδέναι, ὡς ἡνίκα πρὸς ἔνδοξα πρόσωπα ἔχομεν, οὐ δεῖ τῇ τραχύτητι χρῆσθαι προοιμιαζομένους, ἀλλὰ τῇ ποιότητι τῶν ὑποκειμένων προσώπων, ἀφ' ὧν τὸ ἀνασκευαζόμενον πρόσεισι μετρεῖν τὸν λόγον. ἐπεὶ τυχὸν, ἐὰν νέος ᾖ ὁ ἀνασκευάζων, οὐκ ἔχει παῤῥησίας πολλὴν ἄδειαν· ἀλλ' οὐδ' ἂν πρεσβύτης· ὀφείλει γὰρ καὶ

1 Mon. νόμον. ad marg. λόγον.

οὗτος ἠθικῶς καὶ ὑφειμένως πως ἐφιέναι καὶ κατασκευάζειν τὸν λόγον. εἰ δὲ ποταμὸς, ἐκ τῆς τοῦ γένους διαδοχῆς μετὰ τοῦ ἀντιστρόφου βεβαιοῖ ὡς ἀπίθανον, ὃ καὶ εἰς αὔξησιν τοῦ ἀπιθάνου προείληπται. τί δὲ γάμον ποταμοῦ· τὸ ἐκ τοῦ ἀπιθάνου ἐκ τούτων κατεσκευάσθη τῶν περιστατικῶν· τρόπου, οἷον ὁ Λάδων συνάπτεται γῇ· προσώπου, εἰ δὲ ποταμοῦ προελήλυθε. πράγματος· οἷον· τί δὲ γάμον. ἀλλ' ἤτω συγκεχωρήσθω· ἐξ ἀντιπαραστάσεως τὸ ἀδύνατον· κατασκευάζεται δὲ ἀπὸ τούτων τῶν περιστατικῶν· προσώπου, οἷον παρὰ τίσιν ἐτρέφετο; τόπου, οἷον ποῦ ἡ παῖς εἶχε τὴν δίαιταν; τρόπου, ἐλάνθανεν ὁ πατὴρ ἀποπνίγων τοῖς ῥεύμασιν· ἀλλὰ καὶ τὸ ὑπὸ τὴν γῆν· οὐκοῦν ἐλάνθανεν τοῦ τόπου ἐστὶ, τῆς ἀπὸ τοῦ ἔρωτος αἰτίας εισάγων ἀναίρεσιν, ἐλάνθανεν ὁ πατὴρ, ἀντὶ τοῦ ἠγνόει ἂν ἀποπνίγων ἢ τρέφων. ἢ ἀντὶ τοῦ ἄκων ἂν ἀπέπνιγεν, ἔτρεφεν· Ἀριστοφάνης·[2]

Πόθεν ὑπόχρεως σαυτὸν ἔλαθες γενόμενος,
καὶ πάλιν ἐν Πλούτῳ·[3]
Οἷοις ἄρ' ἀνθρώποις ξυνὼν ἐλάνθανον·

καὶ γὰρ καὶ τὸ πρῶτον ἀντὶ τοῦ ἠγνόεις, οἷον πόθεν ὑπόχρεως γενόμενος ἠγνόεις ἢ ἄκων γέγονας, καὶ τὸ δεύτερον ὁμοίως· ἀντὶ γὰρ τοῦ οἷοις ἀνθρώποις ἄκων ξυνῆν ἢ ἠγνόουν ξυνών. Πῶς ἥρα θεός· ἀπὸ τοῦ τρόπου τὸ ἀκόλουθον καὶ δι' ἐνθυμηματικῶν ἀποδείξεων, αἵ εἰσιν ἀπὸ τοῦ, εἰ μὲν γὰρ πάντα νοσοῦσι θεοί· καὶ ἀπὸ τῆς τῶν προσώπων διαφορᾶς, ὃ καὶ καθολικῶς μετεχειρίσατο εἰς πίστιν τοῦ μετρικοῦ· πῶς δὲ διώκων τὴν κόρην· ἀπὸ τοῦ τρόπου κἀνταῦθα τὸ ἁρπεπὲς καὶ τῆς τῶν προσώπων διαφορᾶς· κατεσκευάσθη δὲ καὶ ἀπὸ τοῦ μαχομένου, ὃ καὶ ἠὔξητο πάλιν ἀπὸ τοῦ πράγματος, ἀντιτεθέντος αὐτῷ τοῦ τρόπου· ἔστι δὲ πρᾶγμα μὲν ὁ γάμος· τρόπος δὲ, πῶς μητέρα γενέσθαι, ἐκ τῆς αἰτίας

2 Nub. 242. 3 Plut. 775.

δὲ τὸ μαχόμενον εἰσήχθη· οἷον φαῦλον ὁ γάμος ἢ ἀγαθόν· εἰσήχθη δὲ καὶ πάλιν δεύτερόν τι μαχόμενον, ἀπὸ τῆς αἰτίας καὶ αὐτό· τὴν δὲ ἐναντιότητα ἀπὸ τοῦ πράγματος δεικνύει· ἐναντίον γὰρ ἡ ψυχαγωγία τῇ λύπῃ, ὥσπερ ἀνωτέρω ἀπὸ τῆς περὶ τὸ πρᾶγμα ποιότητος εἰσῆγε τὴν ἐναντιότητα, φαῦλον, λέγων, ὁ γάμος ἢ ἀγαθόν· τοῦτο δὲ κατὰ διλήμματον ἐξήνεγκεν, ὡς καὶ ἤθη εἴρηται· τί δὲ ὁ θεὸς ἐστεφανοῦτο· ἀπὸ τῆς αἰτίας τὸ ἀσύμφορον, οὐκ ἔστι δὲ γυμνὸν τὸ ἀσύμφορον, ἀλλὰ τῷ ἀπρεπεῖ συμπεπλεγμένον ἐκ τοῦ μαχομένου καὶ αὐτὸ κρατυνόμενον. πράγματα δὲ τὰ μαχόμενα· ἡδονὴ γὰρ ἀρετῇ τὸ ἀντίθετον, ἐνταῦθα κατὰ τὸν τρόπον μαχόμενα τῆς ὑπάρξεως· εἰσάγεται δὲ καὶ ἄλλη ἀντίθεσις κατὰ τὸ ἄπορον, ὃ καὶ καθαρῶς τοῦ ἀσυμφόρου ἐστὶν ἐκ τῆς αἰτίας καὶ τῆς αἰτίας διαφορᾶς· ἄπορον γὰρ τὸ κατὰ τὰς διαφορὰς, τίνος ἕνεκεν ἐκ θνητῆς προφάσεως ἀθάνατον προελήλυθε πάθος. πῶς οὖν συνῆψεν ὁ Πύθιος; τρόπος ὑπάρξεως.

ΑΝΑΣΚΕΥΗ, ΟΤΙ ΟΥΚ ΕΙΚΟΤΑ ΤΑ ΚΑΤΑ ΔΑΦΝΗΝ.

Τὸ πρὸς μείζονας ἀντιλέγειν ἄλογον. ἐπεὶ καὶ οἱ ποιηταὶ πρὸς μείζονας τοὺς θεοὺς ἀντιλέγουσιν, ἀντιλέγομεν καὶ ἡμεῖς τοῖς ποιηταῖς, ὅτι καὶ αὐτοὶ ἑαυτοῖς ἀντιλέγουσι, θεοῖς ἀντιλέγοντες.

Στεφανοῦσι γὰρ δάφνῃ τὸν τρίποδα μαντευόμενοι· τρίπους δὲ εἴρηται διὰ τὸ περὶ τῶν τριῶν χρόνων ἐπισταμένως χρησμῳδεῖν. Διαφέρει νᾶμα καὶ ῥεῦμα, νᾶμα μὲν τὸ ἁπλῶς ὕδωρ, ῥεῦμα δὲ τὸ κινούμενον καὶ ῥέον· ἀφορμὴ, τουτέστιν ἡ δάφνη· ἀνάδοσις τοῦ φυτοῦ ἐποίησε τὸ πάθος ἀθάνατον.

Ἐκ τοῦ ἀσυμφόρου· ἀσύμφορον τὸ μαχόμενον, ὃ μὴ συμφέρεται μηδὲ σύνεισιν εἰς ταὐτόν.

Cap. VI.

ΟΡΟΣ ΚΑΤΑΣΚΕΥΗΣ.

Κατασκευὴ κοινωνεῖ τῇ γνώμῃ τῷ προτρεπτικῷ καὶ ἀποτρεπτικῷ. τοῖς ἄλλοις διαφέρει κεφαλαίοις. Παρέπεται τῇ κατασκευῇ τρία· ὅρος, εἶδος, εὐφημία· ὅρος, κατασκευή ἐστι προκειμένου βεβαίωσις πράγματος· εἶδος, κατασκευαστέον δὲ τὰ μήτε λίαν σαφῆ μήτε ἀδύνατα· εὐφημία τοῦ τε προσώπου τοῦ φήσαντος καὶ τοῦ πράγματος κατασκευαζομένου καὶ βεβαιωμένου τοῖς ἑξῆς κεφαλαίοις τοῖς ἐναντίοις τῆς ἀνασκευῆς. [1] *Κατασκευή ἐστι λόγος κατασκευαστικὸς τοῦ πιθανῶς προτεθέντος λόγου. πρόσκειται πιθανῶς, ἵνα γνῶμεν, ὡς οὔτε τὰ ὁμολογούμενα ἀληθῆ κατασκευάσομεν· πάντες γάρ εἰσι περὶ αὐτῶν ἤδη προπεπεισμένοι· οὔτε τὰ ὁμολογούμενα ψευδῆ, οὐδεὶς γὰρ ἀνέξεται· δεῖ οὖν περὶ τὰ πιθανὰ τὴν τοιαύτην στρέφεσθαι μελέτην. Ἰστέον δὲ, ὡς περί τε τῆς τάξεως τῆς ὅλης ταύτης μελέτης καὶ περὶ τῶν κεφαλαίων τῆς τάξεως καὶ τῆς διαιρέσεως καὶ τῶν λοιπῶν ἐν τῇ ἀνασκευῇ εἰρήκαμεν, διὸ καὶ περιττὸν ἐνομίσαμεν, ταῦτα πάλιν ἐνταῦθα παρατίθεσθαι· κατὰ πάντα γὰρ τῇ ἀνασκευῇ ἡ κατασκευὴ ἀκολουθεῖ, κατὰ μόνον τὸ ἐναντίον τὰ κεφάλαια μεταχειριζομένη. Ὁ ποιητὴς ἀντερῶν. κἀνταῦθα πάλιν ἀπὸ τῆς τῶν κρειττόνων εἰσηγήσεως εὐλαβείας ἀξίους ἀποφαίνει τοὺς τὴν ἱστορίαν γράφοντας, καὶ ἀναντίῤῥητον τοῦτο καθιστᾷ τὸν λόγον. τοῦτο δὲ καὶ πίστιν ἄτεχνον καλεῖν εἰώθαμεν. εἰρῆκται δὲ καὶ ἐνθυμηματικῶς, τί τοῦτο πρὸς θεῶν ἐκ τῆς τῶν ἁπάντων ἀρχικώτατον γενέσεως καταδεῖται τὸν λόγον. γεγονυῖα δὲ, ὅθεν ἅπαντα γίνεται· σκόπει τὴν*

---

1 Mon. καταοκευῆς.

τέχνην, ὅλως οἷς οὐκ εἶχε διὰ τὴν ἐνάργειαν ἀντειπεῖν ταῦτα παρατρέχει, ἕτερα δὲ κατασκευάζει, ἃ μὴ ἐν τῇ ἀνασκευῇ ἠπορήθη. τοῦτο δὲ ποιεῖ, καὶ τῶν μὲν ἑκοῦσα ἐπιλανθάνεται διὰ τὸ ἀμφίλεκτον· τὰ δὲ προστίθησιν, ὡς ἂν τῷ πλήθει τῶν λόγων συγχέῃ τῶν ἀκροατῶν τὴν διάνοιαν, καὶ τὴν μνήμην τῶν πρώην ἐκβάλοι τῷ μήκει τῶν λεγομένων παρακρουσάμενος. Διαφερούσης δὲ Δάφνης τὴν ὄψιν τὸν τρόπον· ἐνταῦθα κατασκευάζει, ὡς οὐκ ἀδύνατον, ἀπὸ τῆς ποιητικῆς αἰτίας αὐτὸν μεταχειρισάμενος καὶ τῆς περὶ τὸ πρᾶγμα διαφορᾶς· ἔστι δὲ τρόπῳ μὲν, τὸ πῶς ἦρα· ποιητικὸν δὲ αἴτιον, ὁ Θεὸς, πρᾶγμα δὲ τὸ κάλλος, οἷ διαφορὰ τὸ εὐδαιμονέστερον. ἐνθυμηματικῶς δὲ καὶ τοῦτο· καὶ ἀπὸ τῶν εἰκότων κατεσκευάσθη· τὰ δὲ εἰκότα ἠθικῶς εἴληπται· ἀπὸ γὰρ τῶν ἐρώντων· παρεκρούσατο δὲ πάλιν ἐνταῦθα τὸ μαχόμενον, διὰ τὸ μὴ εὐπορεῖν ἀντιθέτου λόγου· οὐ γὰρ εἶχε καὶ φαῦλον ἀποδεῖξαι τὸν γάμον ἢ ἀγαθὸν καὶ μηδὲν τοῖς προκειμένοις λυμαινόμενον· ὅθεν ἐᾷν τὸν Πύθιον λέγει, καὶ τὸ ἁρπεπὲς ἀπὸ τῆς αἰτίας διορθοῦται τῷ κατὰ ἀναίρεσιν χρησάμενος· ἡ δὲ αἰτία ἀπὸ τῆς περὶ τὸ πρᾶγμα ποιότητος· καὶ δεξαμένη τὴν κόρην ἡ γῆ· οὐδὲ ἐνταῦθα τὸ μαχόμενον ἰᾶται, ἀλλὰ τὸ μὲν περὶ ἐκεῖνα λέγει, αὐτὸ δὲ καταλείπει· τὸ μὲν γὰρ δέξασθαι καὶ πάλιν φυτὸν ἀντ' αὐτῆς ἀναβλαστῆσαί φησι· τὸ δὲ λύπην καὶ ψυχαγωγίαν καταλείπει· οἷς τοίνυν ἠγνόησεν, οὐδὲ ἐνταῦθα τὸ μαχόμενον ἐπ' εὐθείας θεραπεύει· οὐ γὰρ πρὸς τὴν ἡδονὴν ἀπήντησε καὶ τὴν ἀρετήν. οὐδὲ πρὸς τὸ θνητὸν καὶ ἀθάνατον, ἀλλ' ἑτέρως, ὡς ὅτε καιρὸς ἐδίδου αὐτῷ καὶ ἡ τοῦ πράγματος φύσις ἀπήντησεν. Διὰ τοῦτο ἐν μέρει προσέθηκεν, ἵνα μὴ φωραθῇ ἐναντία ἑαυτῷ διηγούμενος· ὑπέσχετο γὰρ ἀποδεῖξειν τὸ αὐτὸ πρᾶγμα τὴν ἐφ' ἑκατέρου δεχόμενον μεταχείρισιν· ἐνταῦθα οὖν ἐν μέρει διηγεῖται τὴν κατασκευὴν ποιεῖ-

σθαι, ἀποδιδράσκων τὰ ἐν οἷς τὴν βεβαίωσιν ἀσφαλῆ οὐκ ἐξισχύει τίθεσθαι.

Προοίμιόν φησι καὶ διήγησιν καὶ ἀντίθεσιν καὶ λύσιν καὶ ἐπίλογον.

ΚΑΤΑΣΚΕΥΗ, ΟΤΙ ΕΙΚΟΤΑ ΤΑ ΚΑΤΑ ΔΑΦΝΙΝ.

Ἀπὸ συλλογισμοῦ ἤρξατο, ἵνα δείξῃ τὴν ἑαυτοῦ ἰσχύν. Τὸ φιλοσοφήσαντος νῦν μὲν τὸ εἰρηκότος δηλοῖ, ἐν ἑτέροις δὲ τὸ ἡσυχάσαντος, ἠρεμήσαντος. Σκόπει πῶς οὐ πάντα τὰ τῆς ἀνασκευῆς ἐκτίθεται. ἀλλ' ἐν μέρει τὴν γένεσιν ἀρχὴν διδασκαλίας ποιεῖται, κατὰ τὸ ἀναλυτικὸν εἶδος· τέσσαρες γὰρ τρόποι διδασκαλιῶν, ἀναλυτικὸς, διαιρετικὸς, ὁριστικὸς καὶ ἀποδεικτικὸς, ὃν καὶ διαλεκτικὸν ὀνομάζουσιν, ὅτι οὐκ ἦν ἕτερον πρὸς σύγκρισιν, διὰ τὸ πρώτην φανῆναι, ἢ ὅτι ἀληθείᾳ πάντων τῷ κάλλει διέφερεν. Ἐκεῖνο τὸ κάλλος φησὶν εὔδαιμον ὁ σοφιστὴς καὶ ἐράσιμον Θεοῖς, ὃ δώρημά ἐστι τῶν θεῶν, ὁπότερον βούλει νοεῖν· εἴτε κατὰ τὴν ἱστορίαν τὸ σωματικὸν, εἴτε κατὰ ἀναγωγὴν τὸ ἀληθὲς καὶ κατὰ ψυχήν. τῶν ἐπὶ γῆς οὖν ἀγαθῶν τὸ κάλλος εὐδαιμονέστερον εἶναι λέγεις, ἐκείνοις δηλαδὴ, οἷς τὸ τοιοῦτον δῶρόν ἐστι θεῶν, οὗ καὶ ἐρῶσιν, ὡς ἐξ ἐκείνων δεδομένου καὶ ἀγαθοῦ. Οὐδὲν γὰρ τῶν ἀγαθῶν εὔκολον, ἀλλὰ βίᾳ κτᾶται, ᾗ φησι καὶ ὁ ποιητής·[1]

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν.
Μακρὸς δὲ καὶ [2] ὄρθιος οἶμος ἐπ' αὐτὴν,
Καὶ τρηχὺς τὸ πρῶτον, ἐπὴν [3] δ' εἰς ἄκρον ἵκηται,
Ῥηϊδίη δ' ἤπειτα [4] πέλει, χαλεπή περ ἐοῦσα.

Βία δὲ δύο δηλοῖ, νῦν μὲν τὴν σωματικὴν ῥώμην· ὡς τὸ,

1 Hes. Ἔ. κ. Ἡ. 287. 2 Par. 1983. 2977. ex quibus Schol. hoc edidit Bastius ad Gregor. Cor. p. 105. δὲ ὁ ὄρθιος οἶμος ἐς αὐτήν. 3 Parr. ἐπήν. Mon. ἐπάν. 4 Parr. Mon. ἔπειτα.

Οὐ γὰρ τίς με βίῃ γε [5] *ἑκὼν ἀέκοντα δίηται.*

νῦν δὲ τὴν ἐπέλευσιν καὶ μετὰ σφοδρότητος ἐπιφοράν, ὡς τό· βίαν ἐπενεγκὼν τῇ παρθένῳ, ἀφ' [6] *οὗ καὶ βιάζομαι ῥῆμα;*

Αἴας δ' οὐκ ἔτι μίμνε, [7] *βιάζετο γὰρ βελέεσσι.*

κατὰ τοῦτο γοῦν τὸ σημαινόμενον νοεῖται καὶ τὸ πρὸς βίαν ἔχουσιν, οἷον ὅτι αἱ ἀρεταὶ πόνῳ καὶ βίᾳ καὶ ἐπιμονῇ κτῶνται. Ἀνέφικτον τὸ τῆς ἀρετῆς τέρμα πάσῃ τῇ ἀνθρωπείᾳ φύσει· κἂν δόξῃ τις ἐλᾶσαι πρὸς τὸ ἀκρότατον, ἴστω πλεῖον ὃ λείπεται τοῦ κατορθοῦντος εἶναι, θεοῦ γὰρ μόνου τὸ τέλειον. Εἰς τὸ λέγουσι τελεία στιγμὴ, κειμένου ἀπολύτου τοῦ ἐρᾷν καὶ προσυπακουομένου τοῦ τῆς δάφνης· τὸ δὲ οὐ γῆν ἐξ ἑτέρας ἀρχῆς ἀναγνωστέον, ἵν' ᾖ, οὐ γῆν, ἀλλὰ τὴν τῆς ἀρετῆς φύσιν δηλοῦντες ὑπαίτιον ἐρᾷν τὸν Πύθιον λέγουσι, μὴ ἐξελέγχοντες κατὰ τοῦτο μηδὲ φαυλίζοντες τὴν τῶν θεῶν φύσιν τῇ ἀρετῇ μᾶλλον, ἥπερ τινὶ ἄλλῳ ἥδεται.

Ἀπὸ κοινοῦ τὸ ἐλέγχοντες τὴν γῆν, ἐμπαθῆ πρὸς θεοὺς ἐκφέρει κυήματα, οὐ τὸν θεὸν ἐμπαθῶς ὁρμᾷν. Ἕτερον ὑφ' ἑτέρου χαρακτηρίζεται, καὶ ἕτερον ὑφ' ἑτέρου διώκεται, ἥ τε γὰρ ἀρετὴ θεὸν διώκει, καὶ πρὸς ἐκεῖνον ἐπείγεται, καὶ τὸν κτώμενον ἐκεῖνο κατὰ τὸ ὠόν ἀφομοιοῦν σπεύδει· τοῦτο γὰρ χαρακτηρίζειν· τό τε θεῖον τοῖς τὴν ἀρετὴν μετιοῦσιν ἐπαναπαύεται, καὶ τούτους μεταδιώκει, καὶ ἑαυτῷ ἐνδιαιτήματα καὶ ἀπεικονίσματα τίθησι· θεοῦ γὰρ χαρακτὴρ καὶ εἰκὼν πᾶς ὁ τὰ ἐκείνου, καθ' ὅσον οἷόν τ' ἐστιν, ἐκμιμούμενος· χαρακτὴρ δὲ τὸ ὁμοίωμα ἀπὸ τοῦ χαράττω, ὁποῖον ἐπὶ τῶν δακτυλίων γίνεται. Σύμβολον τὸ σῆμα, ἐκ τοῦ συμβάλλειν, ὅ ἐστιν ἐπιγινώσκειν.

---

5 Mon. *τις ἦν βίηφι.* — Il. η, 197. 6 Parr. *ἐξ.* 7 Parr. *οὐκέτ' ἔμιμνε.* — Il. ο, 727.

ΚΑΤΑΣΚΕΥΗ ΧΡΙΣΤΙΑΝΙΚΗ, ΤΑΙΣ ΑΛΛΗΓΟΡΙΑΙΣ ΕΑΥΤΗι ΑΚΟΛΟΥΘΟΣ.

Ὁ τοῖς σοφοῖς ἀντερῶν αὐταῖς ἀντερεῖν δοκεῖ μοι ταῖς ἐπινοίαις τοῦ κρείττονος· εἰ γὰρ ὅσα λέγουσιν οἱ σοφοὶ, ταῦτα τῇ ἀνωτάτῳ διεξέρχονται γνώμῃ, πῶς οὐκ ἀντιλέγει θεῷ ὁ τὰ τῶν σοφῶν κακίσαι ζητῶν· πάντων μὲν οὖν ἐγὼ τὴν αἵρεσιν ἀποδέχομαι τῶν σοφῶν, πάντων δὲ μάλιστα τοῦ τὴν Ἀάφνην ἐρωμένην γενέσθαι φιλοσοφήσαντος Θεοῦ· οἷον γὰρ εἰπόντι τινὲς ἀπιστοῦσι, Ἀάφνη, φασὶ, γῆς προῆλθε καὶ Λάδωνος, τί τοῦτο πρὸς τῆς ἀληθείας ἀνεπινόητον; οὐχ ἅπασι γένεσις ὕδωρ καὶ γῆ; καὶ τὰ λοιπά. Σωφροσύνη ἡ παρθένος ἐρρέθη ἀπὸ τῆς κοινῆς ἀρετῆς τῆς [1] *γενικῶς κατὰ σωφροσύνην, διὰ τὸ μετέχειν ἐκείνης, καὶ μήπω πεῖραν ἡδονῆς δέξασθαι. σωφροσύνη δὲ τῶν ἐμμέσων ἐστί· μέση γὰρ κεῖται ἀκολασίας καὶ ἠλιθιότητος· σωφρονεῖν δὲ ἐνίοτε καὶ τὸ σῶα φρονεῖν καὶ προσήκοντα δηλοῖ, ὡς Θουκυδίδης· „πεῖσον αὐτὸν σωφρονεῖν, καὶ μὴ τῶν ἑταίρων κατεξανίστασθαι.“ ὅτι δὲ τὸ χρησμῳδεῖν καὶ περὶ τῶν μελλόντων προλέγειν διὰ σωφροσύνης τινὶ προσγίγνεται, τοῦτο γὰρ τὸ σωφροσύνῃ προέρχεται, δῆλόν ἐστι παντί. Τὸ οἷς δοτικὴ ὂν ἀντὶ γενικῆς κεῖται· ὅπερ ἀντίπτωσις λέγεται· δι' ὧν οὖν ἄγνοιαν καὶ ἡδονῆς ἔσχεν ἡ παῖς ὡς ἀνωτέρα παθῶν ὀφθεῖσα, ταῖς χρησμῳδίαις ἀνετέθη, αἷς ἀνατίθενται οἱ ἀσκήσαντες ἀρετήν. οὐ γάρ ἔστι, φασὶν, ἰδεῖν ἢ πρὸ ἀνακραγῆς τὸ μέλλον τινὰ τῶν νοσησάντων τὴν ἀκρασίαν, δηλονότι τῶν κηλίσι τισὶν ἑαυτοὺς καταῤῥυπαράντων· νόσημα δὲ ψυχῆς ἡ τοῦ καλοῦ διαμαρτία. Ἐπὶ παντὸς πράγματος τὸ τέλος ὁρᾶται· οὐκ ἔστιν οὖν ἰδεῖν τὸ τέλος εἴτουν τὸ μέλλον τὸν ἀκολασίαν νοσήσαντα, ἀλλὰ τὸν πρὸς ἀρετὴν σπεύδοντα.*

1 Mon. τῇ. Sq. γενικῶς est ad marg.

Cap. VII.

ΟΡΟΣ ΚΟΙΝΟΥ ΤΟΠΟΥ.

Ἰστέον ὅτι τὰ προγυμνάσματα εἰς τοὺς λόγους εὑρισκόμενα εὑρίσκονται μετὰ προοιμίων. Διαφέρει ὁ κοινὸς τόπος τοῦ ἐγκωμίου, ὅτι ὁ μὲν κοινὸς τόπος κατὰ παντὸς τόπου καὶ προσώπου λέγεται, ἐπειδὴ κατὰ τὸ πρᾶγμα θεωρεῖται, τὸ δὲ ἐγκώμιον κατὰ παντὸς τόπου οὐ λέγεται, οὐ γὰρ Ἀθηναῖόν τις ἐγκωμιάζων διὰ τῶν αὐτῶν καὶ Θηβαῖον ἐγκωμιάσει. Εἴρηται δὲ κοινὸς τόπος ἀπὸ μεταφορᾶς τῶν εἰς ἐπιτήδειον τόπον ἱσταμένων, καὶ εὐχερῶς τὸν ἀντίπαλον ἐξισχυόντων κατ̓αγωνίσασθαι. Τί ἐστι κοινὸς τόπος; αὔξησις καὶ καταδρομὴ ὁμολογουμένων κακῶν. Παρέπεται τῷ κοινῷ τόπῳ ὀκτώ· ὕρος, αἰτία, ὁμοιότης πρὸς τὴν δευτερολογίαν καὶ τὸν ἐπίλογον, ἔκθεσις τοῦ ἐναντίου, σύγκρισις, διαβολὴ γνώμης, κατηγορία τοῦ προτέρου βίου, ἐλέου ἐκβολὴ διὰ τῶν ἐξ τελικῶν κεφαλαίων. Τινὲς μετὰ τὴν ἔκφρασιν τὸν κοινὸν ἔταξαν τόπον, ἕτεροι πρὸ τῆς ἀνασκευῆς καὶ κατασκευῆς, ἄλλοι δὲ ἄλλως· πάντες δὲ οὗτοι πάντως καλῶς εἰδότες· χρὴ γὰρ τοὺς ἀρίστην αὐτῷ τάξιν ἀπονέμοντας μετὰ τὴν ἀνασκευὴν καὶ κατασκευὴν αὐτὴν κατὰ τὴν νῦν τιθέναι τάξιν· εἰ γὰρ τοῖς προγυμνάσμασι πρὸς τὰς τελειοτέρας ὑποθέσεις προασκούμεθα, καὶ εἰ ἕκαστον τούτων πρὸς ἑνὸς τῶν τοῦ πολιτικοῦ λόγου μερῶν μελέτην ἐπιτήδειον, πάντως ἐχρῆν αὐτοῦ μετὰ τὴν ἀνασκευὴν καὶ κατασκευὴν τετάχθαι. εἴγε ἐκεῖναι ἐγύμνασαν μὲν ἡμᾶς πρὸς τὰς ἀντιθέσεις καὶ λύσεις· λοιπὸν δὲ κεφάλαιον οἱ ἐπίλογοι, οὗ πρὸς ἄσκησιν ὁ κοινὸς ἡμᾶς γυμνάσει τόπος· τόπος δέ ἐστι κοινὸς αὔξησις, καταδρομὴ ὁμολογουμένου ἀδικήματος καὶ οὗτος μὲν ὁ τέλειος ὁρισμός· ὅσοι δὲ καὶ ἀνδραγαθήματος αὐτὸν εἶναι αὔξησιν ὡρίσαντο, οὐκ ἐπέστησαν τὸ ἐγκώμιον τῆς

οἰκείας ἐκβάλλοντες χρείας· εἰ γὰρ ὁ κοινὸς τόπος τὸ τοῦ ἐγκωμίου ἐργάσαιτό, περιττὸν καὶ ἄλλως [1] ὄχλος ἡ τοῦ ἐγκωμίου μάθησις· ἄλλως τε εἰ πρόκειται ἐν κοινῷ τόπῳ ὑπέρ τινων λέγειν, πάντως ἢ ὑπὲρ αὐτῶν ἐροῦμεν, καθ' ὧν ἤδη εἰρήκαμεν, ἢ ὑπὲρ ἑτέρων· ἀλλ' εἰ μὲν ὑπὲρ τούτων, καθ' ὧν καὶ προειρήκαμεν, οἷον κατὰ φονέως ἢ ὑπὲρ φονέως, οὐκέτι τὸ πρᾶγμα ὡμολόγηται· εἰ δὲ ὑπὲρ ἑτέρων τῶν τὰ ὁμολογούμενα ἀγαθὰ διαπεπραγμένων, τῷ ἐγκωμίῳ μᾶλλον ἁρμόζων ὁ τοιοῦτος φανεῖται λόγος. ὥστε οὐκ ἂν ἐν κοινῷ τόπῳ λέγειν δειχθείην ὑπέρ τινος, ἀλλὰ πάντως καταδρομὴν χρὴ γίγνεσθαι ἐν αὐτῷ κατὰ ἀνθρώπου ὁμολογουμένως ἠδικηκότος καὶ ἐξελεγμένου, ὥστε καὶ ἐν δευτερολογίᾳ τοὺς λόγους ποιησόμεθα. ἄλλοι δὲ καὶ οὕτως ὡρίσαντο· κοινὸς τόπος ἐστὶν αὔξησις καὶ καταδρομὴ ὁμολογουμένου κακοῦ πράγματος· ἀλλὰ καὶ οὗτοι ἐλάνθανον ἑαυτοὺς ὑπὸ τὸν κοινὸν τόπον ἐξελαύνοντες πάντα τὰ διαβολῆς ἄξια· οἷς πάλιν ὁ ψόγος ἀργὸς γένοιτο ἀριθμός, ἄλλως τοῖς προγυμνάσμασι συνταττόμενος. εἰ γὰρ κατὰ οἰνόφλυγος [2] φέρε ἤ τινος ἄλλου φαῦλον μὲν διαπραττομένου, μὴ μέντοι καὶ τιμωρίας ἀξίου οὐκ ἀρκέσει ὁ κοινὸς τόπος, περιττὴ ἡ τοῦ ψόγου προσθήκη ἐν προγυμνάσμασιν, ἀλλ' οὐχ οὕτως ἔχει· ταῦτα γὰρ ὑπὸ τὸν ψόγον τάττεται, καὶ ταύτῃ διαφέρειν ψόγον κοινοῦ τόπου φαμὲν, καθ' ὃ ὁ μὲν κοινὸς τόπος δικαστὰς ἐπὶ τιμωρίᾳ τοῦ ἡμαρτηκότος παρακαλεῖ, ὁ δὲ ψόγος κοινὴν ἔχει διαβολὴν, καὶ μίσος μόνον κατὰ τοῦ διαβαλλομένου κρινεῖ. ἔτι δὲ καὶ κατὰ τοῦτο διαφέρει, ὅτι ἐν μὲν τῷ κοινῷ τόπῳ ἀόριστόν ἐστι τὸ πρόσωπον, ἐν δὲ τῷ ψόγῳ ὡρισμένον, ὅταν προσώπου διαβολὴν, ἀλλὰ μὴ πράγματος ποιώμεθα. εἴρηται δὲ κοινὸς τόπος διὰ ταῦτα, ἢ ὅτι τό-

1 Mon. ἄλλος. 2 Mon. καὶ τὰ οἰνίφλοιγος.

τόπος τὰ ῥητορικὰ ἐπιχειρήματα λέγονται, ἵνα ᾖ κοινὸν ἐπιχείρημα, ἢ ὅτι ὥσπερ ἀπὸ τόπου ἤτοι ἀπό τινος κοινοῦ χωρίου ἐντεῦθεν ὁρμώμενοι καὶ τοὺς κατὰ τῶν ὡρισμένων προσώπων ποιούμεθα λόγους, ῥᾳδίως τῇ ἐκ τούτου προγυμνασίᾳ καὶ κατ' ἐκείνων ἐπιχειροῦντες, κοινῶς δὲ, ὅτι οὐχ ὡρισμένου προσώπου ἐστὶν, οἷον κατὰ Τιμάρχου φέρε, ἢ τινος ἄλλου ὡρισμένου, ἀλλ' ἁπλῶς κατὰ πόρνου ἢ μοιχοῦ. Διαφορὰν δὲ κοινοῦ τόπου τινὲς παραδιδόντες εἰρήκασι τῶν κοινῶν τόπων τοὺς μὲν εἶναι ἁπλοῦς, τοὺς δὲ διπλοῦς· ἁπλοῦς μὲν, οἷον κατὰ ἱεροσύλου ἢ κλέπτου ἢ προδότου· διπλοῦς δὲ κατὰ ἱερέως ἱεροσύλου, ἢ στρατηγοῦ προδότου. ἁμαρτάνουσι δὲ οὗτοι ἐν τοῖς διπλοῖς· εἴπερ γὰρ διπλοῦς γένοιτο, οὐ τῇ τοῦ ἱερέως ἢ στρατηγοῦ προσθήκῃ γένοιτ' ἄν· οὐ γὰρ ὑπεύθυνα τὰ πρόσωπα ταῦτα· ὅθεν καὶ περιαιρεθέντος τοῦ ἀδικήματος κατὰ στρατηγοῦ καὶ ἱερέως μόνου οὐδέν τι λέγειν τις ἕξει, ἀλλ' εἰ ἄρα καὶ γένοιτο διπλοῦς τόπος κοινὸς μοιχοῦ φονέως, ἢ κλέπτου φονέως, ἐνδέχεται γὰρ, ἢ ἄλλου τοιούτου, ἐν ᾧ δύο εἰσὶν ἀδικήματα, ὧν καὶ ἑκάτερον ἰδίαν κρίσιν ἐπιδέχεται· ἐπεὶ δὲ εἴρηται, ὅτι ἐπιλόγου χρείαν πληροῖ ὁ κοινὸς τόπος, καὶ ὅτι ὡς ἐν δευτερολογίᾳ τοῦτον ἐργαστέον, ζητητέον, εἰ ἐν τῷ κοινῷ τόπῳ καὶ προοίμιον ἐργασόμεθα, ἢ εὐθὺς ἐπὶ τὴν ἄλλην διαίρεσιν ἥξομεν. φαμὲν οὖν, ὅτι προοίμιον ἐργασόμεθα, ὡς αὐτῷ Ἀφθονίῳ δοκεῖ· εὑρίσκομεν γὰρ τούς τε ἄλλους ῥήτορας καὶ αὐτὸν τὸν Δημοσθένην πολλάκις μετὰ τὸ τὴν πᾶσαν ἐργάσασθαι ὑπόθεσιν ἐν αὐτῷ τῷ μέλλειν ἅπτεσθαι τῶν ἐπιλόγων, οἷον προοιμίοις τισὶ κεχρημένον, δι' ὧν προσέχειαν ὅλως ἐργάζεται, καὶ ἔστιν ἡ τῶν προοιμίων καὶ ἐπιλόγων χρῆσις παρ' αὐτῷ ἀδιάφορος· καὶ γὰρ προοιμιακαῖς ἐννοίαις καὶ ἐν ἀρχῇ καὶ ἐν μέσοις κέχρηται καὶ δὴ καὶ πρὸς τῷ τέλει, καὶ μὴν καὶ τοῖς ἐπιλόγοις ἔν τε τοῖς μέσοις πολλάκις καὶ

ἐν τῷ τέλει· οὐδὲν ἂν οὖν κωλύῃ καὶ ἐν κοινῷ τόπῳ προοιμιάζεσθαι· εἰ δὲ ὅτι δευτερολογία ἐστὶ, διὰ τοῦτο παραιτοῦνται τὰ προοίμια (τεχνικῷ μὲν γὰρ κέχρηνται λόγῳ· πάντα γὰρ ὅσα δεῖ διὰ προοιμίων ἐργάζεσθαι, ὁ πρότερος ἔσχε λόγος), ὅμως δὲ καὶ οὕτω χρή τινας εἶναι προοιμιακὰς ἐννοίας, ὡς ἂν μὴ ἀκέφαλος καὶ οὕτω φαίνοιτο ὁ λόγος· δέδεικται γὰρ, ὅτι κεφαλῆς τάξιν ἐπέχει τὰ προοίμια· καὶ φαίνεται καὶ Δημοσθένης ἐν ταῖς δευτερολογίαις αὐτοῖς χρησάμενος, οἷον ἐν τῷ κατ' Ἀνδροτίωνος, καὶ ἐν τῷ κατὰ Τιμοκράτους, καὶ μέντοι καὶ ἐν τῷ πρὸς Λεπτίνην, εἰ καὶ βραχὺ, ὅμως γοῦν οἷον προοίμιον ἔταξε. Τούτου δὲ δειχθέντος, ζητητέον, εἰ ἐνὶ χρησόμεθα προοιμίῳ ἐν τῷ κοινῷ τόπῳ, ἢ καὶ πλείοσι. φαμὲν οὖν, ὅτι καὶ ἑνὶ ἔξεστι καὶ πλείοσιν· εἰ γὰρ μελέτης ἕνεκα παραλαμβάνεται, οὐδὲν κωλύει, ἑνὶ καὶ πλείοσιν ἐγγυμνάζεσθαι· ἄλλως τε καὶ ἐν ταῖς τελείαις ὑποθέσεσιν οὐχ ὥρισται ἡ τῶν προοιμίων ποσότης, ἀλλ' ἡ χρεία τὸ πλεῖον ἢ ἔλαττον ὁριεῖ τῷ ῥήτορι· αὐτίκα γοῦν καὶ μέχρι πέντε προῆλθον τινὲς προοιμίων, καὶ οὐδὲν ὁ λόγος ἐβλάβη· ὥστε, ὅπερ εἶπον, καὶ πλείοσι προοιμιακαῖς ἐννοίαις ἐν τῷ κοινῷ τόπῳ χρησόμεθα· ἡ δὲ τοῦ προοιμίου ἀρετὴ, τὸ ἴδιον αὐτὸ τῆς ὑποθέσεως, καὶ μὴ πάσαις τὸ αὐτὸ ἁρμόζειν ὑποθέσεσιν ἐν τῷ κοινῷ τόπῳ· συγκεχωρισμένου δὲ τοῦ προσώπου, καθ' οὗ ποιούμεθα τοὺς λόγους, πῶς ἂν ἰδιάζοντα εὑρεθείη προοίμια· λέγουσι τοίνυν, ὅτι δεῖ ἐν τῷ κοινῷ τόπῳ ἀντὶ ὡρισμένου προσώπου τῇ τοῦ πράγματος ποιότητι προσαρμόζειν τὰ προοίμια, οἷον ἵνα ἁρμόζῃ κατὰ παντὸς μὲν, εἰ τύχοι, μοιχοῦ, μηκέτι δὲ τὰ αὐτὰ καὶ κατὰ προδότου, ἢ κατὰ προδότου μὲν, μηκέτι δὲ κατὰ ἱεροσύλου, καὶ ὅλως ἵνα μόνοις τοῖς ὑποκειμένοις πράγμασιν ἐπιτήδειος φαίνοιτο, καὶ οὕτως ἡ ἰδιότης αὐτοῖς γενήσεται. Πᾶν δὲ προοίμιον, ὡς ἐν κεφαλαίοις εἰπεῖν, ἐκ τεσσάρων λαμ-

βάνεται τούτων· ἢ ἀπὸ τοῦ πράγματος, ἢ ἀπὸ τοῦ ἀντιδίκου, ἢ ἀπὸ τῶν δικαστῶν, ἢ ἀφ' ἑαυτοῦ, καὶ τοῦτο ἐν παντὶ λόγῳ παρατηρητέον· διαιρεῖται δὲ ὁ κοινὸς τόπος ἐν ἄλλοις ἄλλως· οἱ μὲν γὰρ τὸ πρᾶγμα, ὃ κρίνουσι, πρῶτον τάττουσιν, οἱ δὲ τὰ προβεβιωμένα ἐξετάζουσιν, ἅπερ καὶ πρὸ τοῦ πράγματος καλοῦσιν, ἄλλοι δὲ εὐθὺς ἐπὶ τὰ συγκριτικὰ ἔρχονται, ἐπειδὴ οἱ καλῶς διαιροῦντες οὐκ ἐδοκίμασαν οὐδεμίαν τούτων τῶν τάξεων· οὐδὲ γὰρ τὰ πρὸ τοῦ πράγματος ἔφησαν δεῖν πράττειν, ἄτοπον γὰρ πρὸ τοῦ παρόντος βίου τὸν παρελθόντα ἀνασκέπτεσθαι· οὔτε αὐτὸ τὸ πρᾶγμα πρῶτον· οὐ γὰρ νῦν τοῦ διδάσκειν, ἀλλὰ τοῦ παροξύνειν χρεία· οὐ γὰρ διηγεῖσθαι μέλλομεν αὐτὰ ἐν τῷ προτέρῳ λόγῳ δηλονότι μεμαθηκόσιν, ἀλλ' οὐδὲ συγκρίσεις ἐπάξομεν μὴ πρῶτον τὸ παρὸν αὐξήσαντες· διὰ τοῦτο γοῦν ἔταξαν μετὰ τὰ προοίμια πρώτην τοῦ ἐναντίου τὴν σύστασιν, ἣν καὶ ἔπαινόν τινες τοῦ ἠδικημένου καλοῦσι πράγματος· ἔστι δὲ τὸ κεφάλαιον τοῦτο τοιοῦτον, οἷον εἰ κατὰ μοιχοῦ λέγομεν, ἐπαινέσομεν τὴν σωφροσύνην, εἰ κατὰ τυράννου, τὴν δημοκρατίαν καὶ τὰ ἐν αὐτῇ καλά, εἰ καὶ περὶ προδότου, τὴν περὶ τὴν πόλιν εὔνοιαν, καὶ ὅλως οὕτως ἐπὶ πάντων τὰ ἐναντία ζητήσομεν, καὶ μετὰ τὸ ἐργάσασθαι δεόντως ἐπάξομεν τὸ πρᾶγμα, οὐχ ὡς διηγούμενοι, ἀλλ' ὡς δεινοποιοῦντες καὶ ἐν τῶν χαλεπωτάτων ἀποδεικνύντες. καὶ εὐθὺς ἐπισυνάψομεν αὐτῷ τὴν καλουμένην περιοχήν, καὶ δείξομεν, πόσα τῷ νῦν τούτῳ συναδικεῖται πράγματι, οἷον ὅτι νόμοι καταλύονται, δικαστήρια, βουλευτήρια, πάντα ἁπλῶς τὰ τῆς πόλεως καλά, καὶ ἁπλῶς εἰς ἄτοπον ἀπαγωγῇ χρησόμεθα, ἐξ ἑνὸς τούτου τὰ ἔσχατα συμβαίνειν λέγοντες, καὶ οὕτως χώραν ἔχει τὰ συγκριτικά, ἐν οἷς πρὸ τῶν ἄλλων φροντιοῦμεν, ὥστε ὁμοιογενέσι κεχρῆσθαι πράγμασιν· ὁμοιογενῆ δὲ λέγεται τὰ ἐν ταῖς αὐταῖς αἰτίαις γινόμενα, οἷον εἰ κατὰ τυμβω-

ρύχου λέγοιμεν τὴν σύγκρισιν, ἐργασόμεθα πρὸς κλέπτας, πρὸς ἱερόσυλον, πρὸς πάντας τοὺς κέρδους ἕνεκα τὰ τοιαῦτα τολμῶντας, γενήσονται δὲ αἱ συγκρίσεις ἀπὸ τοῦ μείζονος, ἀπὸ τοῦ ἐλάττονος, ἀπὸ τοῦ ἴσου· τὸ μὲν γὰρ μεῖζον ἴσον αὐτὸ ἀποδείξομεν· τοῦ δὲ ἴσου μεῖζον· ἐπὶ μέντοι τῇ ἀπὸ τοῦ ἐλάττονος ἐπιτιμήσει χρησόμεθα, λέγοντες ἄτοπον εἶναι, ἐπὶ μὲν δραχμῇ εὐθύνεσθαί τινα, ἐπὶ δὲ ἱεροσύλῳ τοῦτον μένειν ἀτιμώρητον. Ἰστέον δὲ, ὡς οὔτε κατὰ τοὺς τρεῖς τόπους πάντως ἐμπεσοῦνται αἱ συγκρίσεις, οὔτε κατὰ ὡρισμένην τάξιν, ἀλλὰ καὶ ποῖα δεῖ πρῶτα ἢ δεύτερα ἢ τρίτα ἐξετάσαι, ἢ ποῖα ὅλως ἐμπεσεῖται, ἢ ὅλως ἐκλείψει, ὁ διαιρῶν εἴσεται· ἐργασάμενοι δὲ τὰ συγκριτικὰ, εὐθὺς καὶ τοῖς καλουμένοις πρὸ τοῦ πράγματος χρησόμεθα· ποιησόμεθα δὲ καὶ ἐν τούτοις φροντίδα τοῦ ὁμοιογενῆ ταῦτα εἶναι· στοχαζόμενοι γὰρ τῶν προγεγενημένων καὶ λέγοντες, μετὰ πολλὰ ἕτερα καὶ νῦν ταῦτα τὸν κρινόμενον διαπεπρᾶχθαι, ὀφείλομεν τὸ πιθανὸν προσάγειν τοῖς λόγοις, ἐκ τοῦ ὅμοια τοῖς νῦν κρινομένοις ἐπιζητεῖν πράγματα, οἷον τυχὸν οἷον ἐπὶ τυμβωρυχίᾳ τινὸς κρινομένου λέγομεν, ὅτι ὡς εἰκὸς πολλὰς πρότερον κλοπὰς ἐργασάμενος τὸ τελευταῖον καὶ ἐπὶ ταύτην ἦλθε τὴν ἀφορμὴν τοῦ κέρδους. καὶ ἔστι τοῦτο κεφάλαιον πρὸ τοῦ πράγματος λεγόμενον ἐοικὸς τοῖς ὀνομαζομένοις παρακατηγορήμασιν ἐν ταῖς τελείαις ὑποθέσεσιν, ἃ ἐκεῖ παραλαμβανόμενα οὐχ ὡς πρωτότυπα κρίνοντες, ἀλλ' ὡς διὰ τούτων τὰ ἐν τῷ νῦν κρινόμενα πιστούμενοι· οἷον ὁ Δημοσθένης δεῖξαι τὸν Μειδίαν βουλόμενος ἐκ προαιρέσεως ὑβρικότα κατὰ τὸν καιρὸν τῆς χορηγίας, ἐμνημόνευσε καὶ παλαιῶν αὐτοῦ ἀδικημάτων, καὶ πρὸς ἄλλους ὕβρεων, ἵνα ἐξ ἐκείνων καὶ τοῖς νῦν ἰσχύν τινα παράσχῃ· οὕτως οὖν ἐν τῷ κοινῷ τόπῳ τὸν κρινόμενον διαβάλλοντες ἔκ τε τῶν νῦν καὶ τῶν πάλαι πεπραγμένων ἥξομεν ἐπὶ τὰ τελικὰ καλούμενα

κεφάλαια, ἃ διὰ τί μὲν εἴρηται οὕτως, κατὰ τὸν καιρὸν μαθησόμεθα. ἔστι δὲ ταῦτα, τὸ συμφέρον, τὸ δίκαιον, τὸ νόμιμον, τὸ δυνατόν, τὸ ἔνδοξον, τὸ ἀναγκαῖον, τὸ ῥᾴδιον, ὧν τοῖς ἐμπίπτουσι χρησόμεθα· οὐ γὰρ πᾶσα ἀνάγκη διὰ πάντων ἰέναι, πλεονάσει δὲ ὅμως τὸ συμφέρον· καὶ οὕτως μετὰ τὴν τῶν κεφαλαίων ἐργασίαν τὴν μόνην λοιπὴν αὐτῷ πρὸς σωτηρίαν ἀφορμὴν ἀναιρήσομεν· ἔστι δὲ αὕτη ἡ τοῦ ἐλέου ἐκβολὴ ὀνομαζομένη, ᾗ πάντες εἰώθασιν οἰκτειρόμενοι χρῆσθαι μετὰ τὸ μηδεμίαν ἐλπίδα ἔχειν τοῦ φυγεῖν δύνασθαι, καὶ θέντες αὐτὴν καὶ πλατύναντες, ὡς ἐνδέχεται, λύσομεν δι' αὐτῶν τε τῶν τελικῶν κεφαλαίων πάλιν, οἷς ἂν δυνώμεθα χρώμενοι, καὶ διὰ τῆς καλουμένης ὑποτυπώσεως· ἔστι δὲ ὑποτύπωσις κεφάλαιον εἰς ὄψιν ἄγον τὸ γεγενημένον, καὶ δι' ἐκφράσεως θεατὰς τῶν ἀτόπων ἐργαζόμενον ἡμᾶς· σκοπεῖν δὲ ἐπὶ τούτου δεῖ τοῦ κεφαλαίου, ὅπως μὴ λάθωμεν ἐκφράζοντες αἰσχρὰ πράγματα, ὃ συμβαίνει, ὅταν κατὰ μοιχοῦ τινος ἢ παιδοφθόρου ποιώμεθα τὸν λόγον· ἐπὶ γὰρ τούτων δεῖ φυγεῖν τὴν διατύπωσιν· ἐκφράζοντες γὰρ πλέον ἡμᾶς αὐτοὺς ἢ ἐκεῖνον διαβαλοῦμεν· ἀλλ' εἰ δεῖ χρῆσθαι ἐπὶ τοιούτων πραγμάτων ὑποτυπώσει, παραστήσομεν αὐτοῦ διὰ ταύτης τὴν προπέτειαν, θρασύν τινα ἄνθρωπον καὶ καταφρονοῦντα τῶν νόμων ἐκφράζοντες, καὶ διὰ τοῦτο λέγοντες αὐτὸν μηδὲ αὐτὸν ὀκνῆσαι τὰς οὕτως ἀτόπους τῶν πράξεων. καὶ ταῦτα μὲν τὰ κεφάλαια, οἷς ὁ κοινὸς τύπος διαιρεῖται· τῶν δὲ προγυμνασμάτων τῶν μὲν ὄντων μερῶν, τῶν δὲ καὶ μερῶν καὶ ὅλων, ὁ κοινὸς τύπος ἔστι ποτὲ μὲν τῶν ὡς μερῶν παραλαμβανομένων, ποτὲ δὲ τῶν ὡς ὅλων. ἔστι γὰρ ὅπου καὶ ὅλην ὑπόθεσιν ἀρκέσει πληρῶσαι, ὡς εὑρίσκομεν ἐν ταῖς δευτερολογίαις, ἐν αἷς ἀκριβῶς τῶν πρωτέρων κατηγορησάντων καὶ ταῖς ἀποδείξεσι χρησαμένων οἱ δεύτεροι κοινοῖς τόποις κέχρηνται καταδρο-

μὴν τῶν ἡμαρτηκότων ποιούμενοι, καὶ παρακαλοῦντες ἐπὶ τὴν ψῆφον τοὺς δικάζοντας· καὶ τούτου τεκμήριον ὁ λόγος, ὅτι ἄντικρυς ὢν ἐπίλογος· οὐδαμοῦ γὰρ ἰσχυραὶ ἀντιθέσεις οὐδὲ ἀγῶνος μεσταὶ ἀποδείξεις, ἀλλὰ καταδρομαὶ πανταχοῦ· ἴδιον δὲ ἐπιλόγων τὸ δεινώσεις παραλαμβάνειν καὶ σχετλιασμούς, καὶ παθητικὴν ὅλως ἐργάσασθαι τὴν φράσιν, καὶ αὐτῇ τῇ ὑποκρίσει κεχρῆσθαι περιπαθεστέρᾳ, ἅπερ δεῖ πάντως ἐν τῷ κοινῷ τόπῳ φυλάττειν, ἔστι γὰρ, ὅπερ ἔφην, ἐπίλογος· εἰ καὶ μὴ πάντα ἔχει, ὅσα οἱ ἐπίλογοι, ἀλλὰ κατά τινα διαφέρει, τινὰ δέ ἐστι τὰ τοῦ ἐπιλόγου ἴδια. καὶ κατὰ τί τοῦ κοινοῦ τόπου διαφέρει, ἐν ἑτέρῳ καιρῷ μαθησόμεθα· ὅτι δὲ τριῶν ὡς ἐγκεφάλων μερῶν ὄντων τοῦ ῥητορικοῦ τὴν περὶ τὸ δικανικὸν ὁ κοινὸς τόπος ἐπαγγέλλεται μελέτην, δῆλον ἅπασι τοῖς μὴ προσδεχομένοις ἐν κοινῷ τόπῳ τοὺς ὑπὲρ ἀριστέων ἢ τυραννοκτόνων ἢ τῶν ὅλως ἀγαθόν τι πεποιηκότων λόγους· ἐπεὶ κατά γε ἐκείνους γένοιτο ἄν τις ἐν κοινῷ τόπῳ καὶ περὶ τὸ πανηγυρικὸν γυμνασία. Ἔοικεν ὁ κοινὸς τόπος δευτερολογίᾳ καὶ ἐπιλόγῳ· δευτερολογίᾳ μέν, ὅτι τὰ αὐτὰ ἐγκλήματα καθ' ἕκαστον δευτερολογεῖ κεφάλαιον· ἐπιλόγῳ δέ, ὅτι καθ' ἕκαστον κεφάλαιον ποιεῖ ἐπίλογον, κυρίως δὲ δευτερολογία ἐστὶ τὸ ἄλλον προσειπεῖν, καὶ ἄλλον τινὰ τοῖς αὐτοῖς χρήσασθαι, ὡς Δημοσθένης ἐν τῷ περὶ ἀτελείας.

ΚΟΙΝΟΣ ΤΟΠΟΣ ΚΑΤΑ ΤΥΡΑΝΝΟΥ.

Τὸ ὡς τὸ ἕως ἔτι σημαίνει· ἕως ἔτι, φησὶν, ἑστήκασιν οἱ νόμοι καὶ οὔπω πεπτώκασι τῇ τυραννίδι, ἀλλὰ δικασταὶ καὶ δικαστήρια πολιτεύονται, δι' αὐτῶν τῶν νόμων ὑπεχέτω τὴν δίκην, ἢ αὐτοῖς ἀδικουμένοις τοῖς νόμοις δότω τὴν τιμωρίαν ὁ φυγὼν τυραννίδος ἐπιθέσεως καὶ ἁλούς. οὐ μέλλει, φησὶν, εἰ φύγῃ καὶ ἀπαλλαγῇ τοῦ ἐγκλήματος, πρὸς τὸ δημοτικώτερον ἀποκλῖναι, ἀλλ' ἀρ-

χὴν τυραννίδος συγγνώμην ποιήσεται· οὔκουν δίκαιός ἐστι τυχεῖν ταύτης.

Τυραννίδος, φησὶ, καταστάσης οὐκέτι δικαστήρια πολιτεύονται, οὐδὲ καταλείπεται ὡς ἐν δημοκρατίᾳ τὸ δικάζειν καὶ ψήφους ἐκφέρειν· ὥστε συγγνώμην καὶ ἄφεσιν τυραννίδος ἐπ' αὐτοὺς ἄγει τὴν βλάβην τοὺς δικαστάς· ἠθικῶς κεῖται τὸ ὡς· οὔτε γὰρ ὁμοίωσιν, οὔτε τι ἄλλο, οὐδὲ μὴν ἐνδοιασμόν τινα, ᾗ δοκεῖ, δηλοῖ, ἀλλὰ μόνον ἠθικῶς εἴρηται, ὥσπερ ἐὰν λέγῃ τις, ἔγωγε οἶμαι, μὴ ἁπλῶς οἰόμενος, ἀλλ' εἰδώς. Τοῦτό ἐστιν, ὅ φησιν Ἑρμογένης ἐπίκρισιν· ἔτι δὲ ἐπίκρισις ἡ τοῦ προτεθέντος κεφαλαίου μετ' αἰτίας διάλυσις· Οἱ νόμοι κανών εἰσι καὶ στάθμη, καὶ ἴσην καὶ τὴν αὐτὴν γνώμην ἐμποιοῦσι πᾶσι τὸ φιλεῖν τὸ καλὸν καὶ δίκαιον, καὶ τῶν ἀδίκων ἀπέχεσθαι, καὶ διὰ τοῦτο, φησὶ, ταῖς πόλεσιν οἱ νόμοι ἐπινενόηνται, ἵνα ἐπανορθῶνται τὰ ἐκ τῆς τύχης ἐπιγινόμενα καλά· ἡ τύχη γὰρ, ὡς τὰ πολλὰ, αἰτία κακῶν, τὸν μὲν ἐπαίρουσα καὶ φυσῶσα καὶ εἰς τὸ καταδυναστεύειν πτεροῦσα, τὸν δὲ ὑποτιθεῖσα, καὶ πάσχειν κακῶς ἀναγκάζουσα, μὴ δυνάμενον ἀνταίρειν καὶ ἀντιμάχεσθαι. Τὸ ἀρκεῖσθαι τοῖς ἰδίοις καὶ τῶν ἀλλοτρίων μὴ ἐφίεσθαι· τουτέστιν ἴσος τῷ πένητι ἔσομαι. Τὸ ἄλλως ῥήτορες ἐπὶ τῶν χυδαίων λαμβάνουσιν. Εὔνοιά ἐστιν ἡ ἀφ' ἡμῶν πρὸς τὸν βασιλέα· πρόνοια δὲ ἡ ἀπ' ἐκείνου πρὸς ἡμᾶς, ὥσπερ ἂν ἡ ἀπὸ τοῦ Θεοῦ· εἰπὼν οὖν εὔνοιαν Θεῶν οὐ κυρίως εἶπεν, ὅμως, ἵνα δείξῃ, ὅτι διὰ τὴν πρὸς ἡμᾶς ἄκραν ἀγάπην οἱ Θεοὶ ὑπῆρχον ὡς παῖδες ἡμέτεροι. Μὴ διασώσειεν αὐτὸν σήμερον τὰ οἰκεῖα βουλεύματα, ἃ μὴ ἐπέρανε, δι' ὧν ἐποφείλομεν τοῖς Θεοῖς χάριν, ὡς κωλυθέντος αὐτοῦ ὑπὸ τῶν Θεῶν, εἰς τὸ ἐπιθεῖναι αὐτοῖς πέρας· ὅσον γὰρ τὸ ἐπ' αὐτῷ καὶ τέλος αὐτοῖς παρίσχετο, καὶ ἑαυτὸν ἀνάξιον ἐλέου κατέστησεν. Οὐκ εἶπεν ὅλως μιαιφονεῖ· οἱ γὰρ πλείους διὰ

τὸν φόβον ὑπείκουσιν, ἀλλ' ὅλας τὰς τῆς πόλεως τύχας μεταβάλλει, νόμους ἀνατρέπων, τὴν δημοκρατίαν εἰς τυραννίδα μετατιθεὶς, καὶ πάντα τῆς πολιτείας καταστρέφων.

Φαυλότερον νῦν ἀντὶ τοῦ ἔλαττον, ἐν ἄλλοις δὲ τὸ κάλλιστον· ἔστι δέ τινα καὶ παρὰ γνώμην γινόμενα, οἷον ὁ κλέπτης πείναν καὶ πτωχείαν ἀποβάλλεται εἰς ἀπολογίαν τῆς κλοπῆς· διὰ τοῦτο ἐπήγαγε τό· ἔπεται τοῖς ἄλλοις, τῷ λέγειν, ὅτι παρὰ γνώμην τοῦτ' ἐποίησε, τουτέστι κατὰ ἀνάγκην· ἀντὶ τοῦ, οὐκ ἔστι δίκαιον τὴν γνώμην ἐκβάλλειν καὶ χωρίζειν ἀπὸ τῆς πράξεως τὴν καὶ πρὸ τῆς πράξεως γεγενημένην· οἱ μὲν ἄλλοι φασὶν, οἳ πρὸς δίκην συνελαυνόμενοι, οἱ μὲν ἀντιληπτικῶς ἐξεῖναι αὐτοῖς τοῦτο δρᾷν ἀντιλέγουσιν, οἱ δὲ εἰς μίαν τῶν ἀντιθετικῶν καταφεύγουσιν· ὁ δὲ τύραννος, πρὸ τῶν ἔργων τῇ γνώμῃ γενόμενος τύραννος καὶ βεβουλευμένως πράξας ἑλέου παντὸς ἀποστερεῖ ἑαυτόν· τὸ μὲν γὰρ ἐξῆν μοι λέγειν οὐ δύναται ἀντίθεσιν οὐδὲ μίαν ἔχειν, οὐδὲ αὐτὴν τὴν συγγνώμην, ἅτε βεβουλευμένως πράξας· χρὴ τοίνυν αὐτὸν ὑπὸ δίκην συνελαθῆναι. Τοῦτό φησιν, ὅτι καὶ ὁ πρώην βίος τῆς ἐπιθεμένης τῇ τυραννίδι δημοκρατίας ἀλλότριος ἦν· οὐκ ἄγοντος αὐτοῦ τὴν εὐδαιμονίαν ἐπὶ μετρίου, ἀλλὰ κατεπαιρομένου τῶν δημοτικῶν, καὶ τῇ εὐδαιμονίᾳ πρὸς τὸ ἐναντίον χρωμένου. καὶ νῦν δὲ τοῖς ἀτόποις ἐκείνοις τὴν τυραννίδα, ὅσον ἐφ' ἑαυτῇ, προσέθηκε, πρὸς τοσοῦτον κακίας ἐκριπισθείς. χρὴ τοίνυν αὐτὸν οὐ διὰ τὴν ἐπίθεσιν μόνον τῆς τυραννίδος, ἀλλὰ καὶ διὰ τὸν φθάσαντα βίον ἀνάξιον ὄντα δημοκρατουμένων εὐθύνας ὑποσχεῖν. Παρισταμένων, φησὶ, τῶν τοῦ τυράννου παίδων, καὶ κινούντων τοῖς δάκρυσιν ἔλεον καὶ πρὸς οἶκτον ἐκκαλουμένων ἡμᾶς ἀντιπαρεστάναι τοὺς νόμους ἠγεῖσθε καὶ ὀλοφύρεσθαι, ὡσὰν μὴ ἐρήμην ἁλῶσιν, οἷς προσέσθαι μᾶλλον καὶ ψῆφον τὴν νικῶσαν ἐπινεγκεῖν

προσήκει, ἢ τοῖς τοῦ τυράννου παισίν. εἶτα καὶ τὴν αἰτίαν προσέθηκεν εἰπών, ὡς τοῖς παισὶ μὲν γὰρ τοῦ τυράννου προσχόντες οὐ καλῶς πράξετε, ἀλλὰ τὴν τυραννίδα βεβαιώσετε ζῶντα τὸν ἐπιθέμενον καταλιπόντες· τοῖς δὲ νόμοις δεδακρυμένοις καὶ ἱκετεύουσι προσθέμενοι εὖ ἂν εἴητε διαπεπραχότες· δι' ἐκείνων γὰρ καὶ τὸ δικάζειν εἰλήφατε· ἤτοι θαῤῥῶν ἀφεθήσεται διὰ τούτων, ἢ πάλιν τυραννήσει αὐτοὺς διαδόχους καταλιπὼν τυραννίδος. Τὸ ταύτην δίκαιόν ἐστιν αὐτὸν ὑποσχεῖν τιμωρίαν, ὁπόσην αὐτὸς ἐπιθεῖναι ἡμῖν ἐβούλετο, τουτέστιν ὅσον αὐτὸς ἀνελεῖν ὄχλον διενοεῖτο, τὸν πάντων θεὸν τὸν αὐτὸν ὑποστήσεσθαι. Σημείωσαι, ὅτι τὸ ἔνδοξον κατέλιπε καὶ τὸ ἐκβησόμενον, οὐ πᾶσι γὰρ ἀναγκαῖον χρῆσθαι, ἀλλὰ τοῖς λυσιτελοῦσι μόνοις.

Cap. VIII.

ΟΡΟΣ ΕΓΚΩΜΙΟΥ.

Παρέπεται τῷ ἐγκωμίῳ πέντε, ὅρος, αἰτία, διαφορὰ πρὸς ὕμνον καὶ ἔπαινον, ὑποκείμενον, ὕλη ἤτοι ἐργασία διὰ τῶν πέντε κεφαλαίων· τὰ κεφάλαια τοῦ ἐγκωμίου εἰσὶ πέντε· γένος, ἀνατροφὴ, πρᾶξις, σύγκρισις, ἐπίλογος· εἰς πόσα διαιρεῖται τὸ γένος; εἰς τέσσαρα, εἰς ἔθνος, εἰς πατρίδα, προγόνους καὶ πατέρας· εἰς πόσα διαιρεῖται ἡ ἀνατροφή; εἰς τρία, εἰς ἐπιτήδευμα, τέχνην, νόμους· εἰς πόσα αἱ πράξεις; εἰς ψυχὴν, σῶμα καὶ τύχην. Ἀρεταὶ ψυχῆς· φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη· τοῦ σώματος, μέγεθος, ἰσχὺς, κάλλος, ὑγεία· ὧν ἐκτὸς ἀρχὴ, πλοῦτος, εὐτυχία καὶ φιλία· πάνυ δὲ σαφῶς διεῖλεν ὁ Ἀφθόνιος τὰς ψυχικὰς

ἀρετὰς, αἵ τινές εἰσι φρόνησις, ἀνδρεία, σωφροσύνη, δικαιοσύνη· ἐπικοσμοῦσι γὰρ καὶ οἱονεὶ παιδαγωγοῦσιν αὗται, ἡ μὲν ἀνδρεία τὸν θυμόν· ὥσπερεὶ γὰρ ῥυθμόν τινα αὐτῷ ἐπιτίθησι, πρὸς ἃ δεῖ τὴν ἑαυτοῦ ἐκφέρειν ἰσχύν· ἡ δὲ φρόνησις ἀποσεμνύνει τὸν λόγον, παιδαγωγοῦσα τὸν ἐκ τῆς ἀλογίας ἐπιγινόμενον ἐσμὸν τῶν παθῶν· ἡ δὲ σωφροσύνη καταδεσμεῖ τὰς ἀτάκτους ἐπαναστάσεις, αἳ ταῖς ἀνθρωπίναις εἰώθασιν ἀποτίθεσθαι διανοίαις, διὰ τὸ τὸν χρῶτα πρὸς τὰ γεώδη διηνεκῶς ὁρᾶν τε καὶ καταφέρεσθαι. Ἔστι μὲν ἁπλῶς οὐκέτι ὁ περὶ τοῦ ἐγκωμίου λόγος, ἀλλὰ πολυσχιδής τε, καὶ εἰς πολλὰ διαιρούμενος· καὶ γὰρ οἱ ἐπιβατήριοι καὶ οἱ προφωνητικοὶ καὶ οἱ ἐπιθαλάμιοι καὶ οἱ ἐπιτάφιοι· καὶ μέντοιγε γὰρ οἱ εἰς τοὺς θεοὺς ὕμνοι, καὶ πάντες ἁπλῶς οἱ εὐφημίαν ἔχοντες λόγοι ὑπὸ τοῦτο τὸ εἶδος τάττονται· δεῖ δὲ τοσαῦτα περὶ αὐτοῦ νῦν εἰπεῖν, ὅσα προαρχομένους ἁρμόζει· καὶ πρῶτόν γε ἐκεῖνο ἐζήτηται, διατί τριῶν ὄντων ὡς ἐν γένει εἰπεῖν τῶν τῆς ῥητορικῆς μερῶν ἢ εἰδῶν, ἢ ὅπως τις ἐθέλοι καλεῖν, τοῦ τε συμβουλευτικοῦ καὶ δικανικοῦ καὶ πανηγυρικοῦ, τὸ τρίτον μέρος, λέγω δὴ τοῦτο τὸ τοῦ πανηγυρικοῦ, οὗπερ ἐστὶ τὸ ἐγκώμιον, ἐν τοῖς προγυμνάσμασι τέτακται· εἰ γὰρ ἕκαστον τῶν ἄλλων προγυμνασμάτων εὕρηται διὰ τὸ εἴς ἔν τι τῶν τελείων ἡμᾶς ὑποθέσεων γυμνάζειν ὅτου χάριν τοῦτο τέλειον ὂν ἐν τοῖς μέρεσι παρείληπται. φαμὲν οὖν πρὸς τοῦτο, ὡς ἤδη πρότερον εἰρήκαμεν, ὅτι τῶν προγυμνασμάτων τὰ μέν ἐστι μέρη, τὰ δὲ μέρη καὶ ὅλα· μέρη μὲν, ὅσα μόνον πρὸς χρείαν ἑτέρου παραλαμβάνεται· μέρη δὲ καὶ ὅλα, ἃ ποτὲ μὲν καὶ καθ' ἑαυτὰ ὑπόθεσίν τινα ἐξεργάζεται· ποτὲ δὲ εἰς ἑτέρων ὑποθέσεων μέρη συντελεῖ. Τὸ τοίνυν ἐγκώμιον τῶν μερῶν ἐστι καὶ ὅλων· ὡς ὅλον μὲν γὰρ αὐτὸ ἐργαζόμεθα, ὅταν αὐτὸ τοῦτο προθώμεθά τινα εὐφημῆσαι, ὡς μέρος δὲ, ὅταν ἢ συμβουλεύοντες

ἐπαινέσομεν τυχὸν τὸ πρᾶγμα τόδε, ἐφ' ὃ καὶ προτρέπομεν ἢ καὶ κατηγοροῦντες συστήσομέν τε τὴν οἰκείαν ποιότητα καὶ διαβαλοῦμεν τὴν τοῦ ἐναντίου. ὧν τοῦ μὲν προτέρου παράδειγμα ὁ πανηγυρικὸς Ἰσοκράτους λόγος, συμβουλευτικὸν μὲν ἔχων τὸ εἶδος, διὰ δὲ ἐγκωμιαστικῆς ὕλης κατασκευαζόμενος. Τοῦ δὲ δευτέρου ὁ περὶ τοῦ στεφάνου Δημοσθένους, καὶ αὐτὸς δικανικοῦ μὲν εἴδους ὤν, δι' ἐπαίνου δὲ τοῦ εἰς ἑαυτὸν καὶ διαβολῆς τῆς εἰς αὐτὸν Αἰσχίνην ἅπας ὑπὸ τοῦ ῥήτορος εἰργασμένος· ἐπεὶ οὖν ποτὲ μὲν ἐν μέρει, ποτὲ δὲ ὡς ὅλον παραλαμβάνεται, διὰ τοῦτο καὶ ἐν τοῖς γυμνάσμασι τέτακται. Ἐγκώμιον δέ ἐστιν εὑφημία ὡρισμένου προσώπου ἢ πράγματος ἐπὶ ὁμολογουμένοις ἀγαθοῖς διεξοδικῶς γινομένη· διεξοδικοὺς δὲ λόγους λέγομεν τοὺς εἰς μῆκος ἀποτεταμένους, καὶ διὰ πάντων τῶν πλεονεκτημάτων ἐργασθέντας, καθ' οὓς καὶ διαφέρει τῶν ἐπαίνων τὸ ἐγκώμιον· ἔπαινος μὲν γάρ ἐστι τὸ δι' ὀλίγων κατασκευαζόμενον, οἷον ἡ ἑνὸς ἀγαθοῦ μνήμη· ἐγκώμιον δὲ τὸ διὰ πασῶν τῶν ἀρετῶν καὶ διὰ πάντων τῶν τοῦ ἐπαινουμένου πλεονεκτημάτων ἐργασθέν· τέλος δὲ ἐγκωμίου τὸ καλὸν, ὥσπερ τοῦ δικανικοῦ τὸ δίκαιον, καὶ τοῦ συμβουλευτικοῦ τὸ συμφέρον· εἴρηται δὲ ἐγκώμιον ἀπὸ τοῦ ἐν κώμῃ τινὶ καὶ παιδιᾷ πάλαι τοὺς ἀνθρώπους τούς τε εἰς θεοὺς ὕμνους καὶ τοὺς εἰς ἀλλήλους ἐπαίνους ἐργάζεσθαι· διήρηται δὲ ἕκαστον μὲν τῶν ὑπ' αὐτὸ εἰδῶν, οἷον λέγω ἐπιθαλάμιος ἢ προσφωνητικὸς ἢ σμινθιακὸς, ἢ ἄλλος ὅλως ἐπὶ ἑορταῖς λεγόμενος λόγος, ἢ ὕμνος θεῶν. Διήρηται οὖν ἕκαστον τῶν εἰδῶν ἰδίᾳ τινὶ διαιρέσει, ἥτις οὐκ ἔστι τῆς κατ' εἰσαγωγὴν ἐξετάσεως· δεῖ δὲ, ὡς εἰπεῖν ἐν βραχέσιν, ἐφ' ἑκάστης ἐκείνων τῶν ὑποθέσεων τὸ ἰδιάζον πλεονάζειν κεφάλαιον, οἷον ἐπιθαλαμίοις τὸ ἐπὶ τῷ γάμῳ, ὃ καὶ θετικὸν καλεῖται, ἐν Παναθηναϊκῷ ἢ καὶ ἄλλῳ τινὶ τῶν τοιούτων τὸ περὶ τῆς ἑορ-

τῆς, καὶ ὅλως ἐν ἑκάστῳ αὐτῶν, ὅπερ ἔφην, τὸ παρέχον τῇ ὑποθέσει τῆς προφάσεως· τὸ δὲ νῦν ὑφ' ἡμῶν αὐτὸ δὴ τοῦτο ἐγκώμιον ὀνομαζόμενον, ὃ ἐκπονοῦμεν εἰς ἔπαινον τυχὸν ἀνδρὸς βεβιωκότος πρὸς ἀρετὴν, ὡς μὲν ἕτεροί τε τῶν ἀρχαίων, καὶ ὡς ὁ θειότατος Πλάτων ἐν Φαίδρῳ διεῖλεν, εἰς τὰ περὶ ψυχῆς, εἰς τὰ περὶ σώματος, εἰς τὰ ἐκτὸς διαιρεῖται· ὧν τὰ μὲν περὶ ψυχὴν εἰς φρόνησιν, δικαιοσύνην, σωφροσύνην, ἀνδρείαν μεριζόμενά ἐστι, τὰ δὲ περὶ σῶμα εἰς κάλλος, ἰσχὺν καὶ μέγεθος καὶ τάχος· τὰ δὲ ἐκτὸς εἰς γένος, φίλους, πλοῦτον καὶ ὅσα τοιαῦτα· ἡμεῖς δὲ οὐ ταύτῃ νῦν τῇ διαιρέσει ἀλλὰ τῇ κρατούσῃ ἐψόμεθα· διαιρεῖται τοίνυν μετὰ τὰ προοίμια· χρησόμεθα γὰρ καὶ ἐν τούτοις προοιμίοις, οὐχ ὡρισμένοις, ἀλλ' ὅσοις ἡ χρεία παρέχει· κατὰ τὸν αὐτὸν τρόπον, καθ' ὃν ἤδη πολλάκις εἰρήκαμεν. Διαιρεῖται οὖν μετὰ τὰ προοίμια πρώτῳ κεφαλαίῳ τῷ καλουμένῳ ἀπὸ τοῦ γένους, ὅπερ λαμβάνεται ἀπὸ ἔθνους, ἀπὸ πόλεως, ἀπὸ προγόνων· ταῦτα δὲ ἢ πάντα ἐμπίπτει, ἢ τοῖς ἐμπίπτουσι χρησόμεθα, οἷον ἐὰν ἡ πόλις ᾖ λαμπρὰ καὶ ἐπίδοξος, τότε μᾶλλον ἐν τῷ περὶ αὐτῆς λόγῳ ἢ τῷ τοῦ ἔθνους διατρίψομεν· ἐὰν δὲ μηδὲν ἔχωμεν γενναῖον εἰπεῖν περὶ τῆς πόλεως, τότε ἐπὶ τὸ ἔθνος καταφευξόμεθα· εἰ δ' ἄρα περὶ ἑτέρου λέγειν τι δυνώμεθα σπουδαῖον, τότε εὐθὺς ἀπὸ τῶν προγόνων ἀρξόμεθα· ὅσα δὲ ἐνδέχεται καὶ περὶ ἐκείνων, λέγω δὴ τῶν ἀπὸ ἔθνους ἢ πόλεως, εἰπόντες πρότερον· οἷον βουλόμεθα Σίφνιόν τινα ἐπαινεῖν, ἐπειδὴ οὐδέν ἐστιν ἄξιον περὶ Σίφνου εἰπεῖν, ἀρκέσει αὐτῇ πρὸς ἔπαινον εἰπεῖν τὸ πλησίον αὐτὴν κεῖσθαι τῆς Ἀττικῆς, καὶ μέσον τῶν Κυκλάδων νήσων, καὶ ἐκ τοιούτων φυλάξαντες τῇ τέχνῃ τὴν τάξιν ἥξομεν ἐπὶ τὰ οἰκειότερα, καὶ αὖ πάλιν τοὺς ἐνδοξοτέρους ἐπαινοῦντες, τοὺς ἄλλους ἀποκρύψομεν, ἀεὶ δὲ δεῖ σπεύδειν καὶ ἐπείγεσθαι ἐπὶ τὰ ἴδια, καὶ μόνῳ αὐτῷ ὑπάρχοντα, οἷον

λέγω ἐκ τῶν ἀνωτάτων προγόνων εἰκὸς πολλοὺς κατάγεσθαι, καὶ πολλὰς οἷον σειρὰς [1] εἶναι καὶ πλείοσιν ἁρμόζειν τὰς αὐτὰς εὐφημίας. ἐπὶ δὲ πατρὸς πλεονεκτήμασι μόνους τοὺς ἐξ αὐτοῦ γενομένους δεῖ σεμνύνεσθαι, διὸ ἐπὶ ταῦτα μᾶλλον ἥξομεν. οὐ μὴν ἀμέσως οὐδὲ ὡς ἔτυχε τὴν ἐκείνων μνήμην παραδραμούμεθα, ἵνα μὴ δόξωμεν κακίαν τινὰ συνειδότες ἀποφεύγειν τοὺς περὶ αὐτῶν λόγους· ἀλλ' εἴτε βουλόμεθα αὐτὰ ἐξετάζειν, μετὰ ἀξιώματος ἐπ' αὐτὴν χωρήσομεν, λέγοντες ὅτι ἄτοπόν ἐστιν ἐν τοιᾷδε μνήμῃ μὴ καὶ τὰς ἐκ τῶν προγόνων αὐτοῦ σκοπεῖν ἀρετάς, εἴτε ὑπερβαίνειν ἐθέλομεν, πειρασόμεθα αἰτίαν εἰπεῖν εὔλογον, ἵνα μὴ δοκοίημεν αὐτὰς ὑποκρύπτειν ἐθελοντί· μετὰ δὲ ταῦτα ἀπὸ τοῦ γένους εἰς τὸ ἀπὸ τῆς γενέσεως ἥξομεν, οἷον εἴτε κατὰ τὸν καιρὸν τῆς ὠδῖνος ἔξομεν λέγειν συμβεβηκὸς περὶ αὐτὸν· οἷον δὴ ἐπὶ τῆς Περικλέους λέγεται μητρὸς τῆς Ἀγαρίστης, [2] ἢ δι' ἐνυπνίου προεῖπεν ὁ θεὸς, ὅτι λέοντα τέξεται, ἢ ἐπὶ τῆς Κύρου μητρὸς ἐπικλύσει τοῦ ὀνείρου θρυλλούμενον· πολλὰ δ' ἡμῖν καὶ ἄλλα τοιαῦτα παραδέδοται, οἷα ἐπὶ Εὐαγόρου τοῦ Κυπρίων βασιλέως, ἢ ἐπὶ ἑτέρων· εἶτα μετὰ τὸ ταῦτα εἰπεῖν παραληψόμεθα τὸ ἐκ τῆς ἀνατροφῆς, ἂν ἔχωμέν τι περὶ αὐτῆς ἐξαίρετον λέγειν καὶ οἷον μὴ ἑτέροις γέγονεν, ὥσπερ ἐπὶ Ἀχιλλέως, ὅτι μυελοῖς ἐλάφων ἐτράφη, καὶ ὅτι ὑπὸ Χείρωνος ἤχθη, [3] καὶ τὰ κατὰ μέρος ἐπ' αὐτῷ λεγόμενα· μετὰ ταῦτα ἅπερ ἐν τῇ νέᾳ ἡλικίᾳ ἐπετήδευσεν, εἰ ῥητορικὴν ἤσκησεν ἢ ποιητικὴν, ἤ τι τῶν τοιούτων· εἶτα ἐπ' αὐτὰ τὰ ὑπ' αὐτοῦ πεπραγμένα· κἀνταῦθα μᾶλλον δὲ ἐν πᾶσι τοῖς μέρεσιν,

---

1 Mon. *συράς*. scr. *σειράς*. Marin. vit. Procl. p. 64. *δείγματα φέρων — τῆς ἀπὸ Σόλωνος χρυσῆς ὄντως τοῦ γένους σειρᾶς*. ubi cfr. Fabric. et Boisson. 2 Mon. *ἀγαρύστης*. 3 *ἤχθη* Mon. om., inserui ex Hermog. Prog. p. 37.

ἵνα μὴ ὕπτιος ὁ λόγος γίγνηται· εἰ καὶ ἁρμόζειν πως τοῖς πανηγυρικοῖς ἡ ὑπτιότης δοκεῖ. Ὅμως ἵνα μὴ πάντη ἐκλύηται μόνην μνήμην ποιουμένων ἡμῶν καὶ ἀνεξέργαστον, πειρασόμεθα εἰς ἀρετὰς ἀναφέρειν τὰς πράξεις, καὶ ἐπάγειν κατὰ μέρος τὰς συγκρίσεις· οὕτω γὰρ ἥ τε ὑπτιότης διαλύεται καὶ ἐναγώνιος ὁ λόγος κατασκευάζεται· καὶ εἴπου τι ἐλάττωμα ἔχει, καὶ τοῦτο πειρασόμεθα περιστέλλειν εὐφημοτέροις λόγοις, τὴν δειλίαν εὐλάβειαν καὶ προμήθειαν καλοῦντες, τὸ δὲ θράσος ἀνδρείαν καὶ εὐψυχίαν, καὶ ὅλως ἀεὶ πάντα ἐπὶ τὸ κάλλιον ἐργαζόμενοι. ὅπερ δὲ εἶπον, πανταχοῦ δεῖ τὰς συγκρίσεις ἐπάγειν τὴν ὑπὲρ τὸ μέτρον ὑπτιότητα διαφεύγοντας, καὶ ἐπὶ τὰς τῶν ἀρετῶν ἐξετάσεις ἰέναι, ἵνα ἔμψυχος ὁ λόγος φαίνηται. ζητητέον δὲ, εἰ ἀντίθεσιν ἐπιδέχεται τὸ ἐγκώμιον· εἰ γὰρ δεῖ ὁμολογουμένων ἀγαθῶν βάσανον γίνεσθαι, οὐκέτι ὁμολογηθήσεται τὰ ἔχοντα ἀντίθεσιν· εἰ δὲ ἐξ ἰδιαζούσης ὕλης ἐμπέσοι, ὃ ἀποκρύψαι οὐ δυνάμεθα διὰ τὸ τὸν ἀκροατὴν αὐτὸ ζητεῖν, τῇ τε μεθόδῳ αὐτὰ καθαιρήσομεν, καὶ τὰς λύσεις ἐπάξομεν ἰσχυροτέρας, ἵνα πανταχόθεν τὸ τῆς ἀντιθέσεως βλάβος λύηται. Παράδειγμα δὲ τούτου παρά τε τῷ Ἀριστείδῃ καὶ τῷ Ἰσοκράτῃ [4] ἐν τῷ Πανηγυρικῷ καὶ ἐν τῷ Βουσίριδι, ὧν μάλιστα ἐν τῷ Πανηγυρικῷ ἀντίθεσιν ζηλωτέον, ἐπειδὴ καὶ καλῶς λέλυται· ἡ γὰρ ἐν τῷ Βουσίριδι εἰσαχθεῖσα ἀσθενέστερον λελύσθαι δοκεῖ, ἐξ ἰδιαζούσης δὲ ὕλης ἐμπεσοῦσαι ἀντιθέσεις κανόνα τῷ εἴδει τούτῳ τῆς ῥητορικῆς καθολικὸν οὐ ποιήσουσιν. Σημειωτέον, ὅτι καὶ πρόσωπα καὶ πράγματα εἰπὼν ἐγκωμιάζεσθαι διὰ τοῦτο καὶ σοφίας ποιεῖται ἐγκώμιον ὡς πράγματος, οὐχὶ Θουκυδίδου μόνου, ὅ ἐστι πρόσωπον.

---

4 Mon. Σωκράτει.

ΕΓΚΩΜΙΟΝ ΘΟΥΚΥΔΙΔΟΥ.

Ἕως τοῦ τὰ χρήσιμα ἡ πρότασις· τὸ οἷς ἐπορίσαντο ἡ αἰτία, καὶ ἄλλως δὲ χωρὶς αἰτίας. ἐν τίσι δεῖ τιμᾶν τοὺς εὑρόντας τὰ χρήσιμα, ἐν οἷς ἐπορίσαντο δηλονότι· καὶ ἔστιν ὄνομα τούτῳ πρότασις δίκωλον. Οἱ γὰρ εἱρόντες τὰ χρήσιμα δηλονότι δι' ἐκείνων ἐπορίσαντο τὰ κάλλιστα· μισθὸς γὰρ τοῦ χρησιμόν τι ἐφευρηκέναι τὸ δι' ἐκείνου τὰ κάλλιστα πορίσασθαι εἴτουν προσκτήσασθαι· ὥσπερ γὰρ διὰ ματαιοτεχνίας ἢ κακοτεχνίας ἢ ψευδοτεχνίας ὕνησις οὐδεμία προσγίνεται, οὕτω διὰ τῆς ἀληθοῦς τέχνης ὠφέλεια οὐχ ἡ τυχοῦσα τῷ ἐφευρηκότι προσγίνεται, ἧς τὸ μεῖζον ἀΐδιος μνήμη καὶ κλέος ἀείμνηστον. ἔστι δὲ ματαιοτεχνία μέν, ὡς ἡ ὄρχησις, κακοτεχνία δέ, ὡς ἡ φαρμακεία· ψευδοτεχνία δέ, ὡς ἡ ἐπὶ τῶν ψήφων γινομένη καὶ λανθάνουσα τὴν αἴσθησιν. Ἴδιον ἑκάστῳ, τιμᾶσθαι ἐκεῖνο, ἐφ' ᾧ ἐπόνησε καὶ οἷον ἀπαρχάς τινας ἐκείνου δρέπεσθαι καὶ καρποῦσθαι. εὐφραίνεται γὰρ τῷ ἰδίῳ ἕκαστος κατορθώματι, γεηπονίᾳ μὲν ὁ ἀρότης, ναυτιλίᾳ δὲ ὁ ναυτικὸς ἢ κυβερνήτης, στρατηγήμασι δὲ καὶ ἀνδραγαθίαις ταῖς κατὰ πόλεμον ὁ στρατιώτης ἢ στρατηγὸς, ὡς δὲ καὶ λόγοις ὁ ἐν αὐτοῖς εὐδοκιμηκώς· Θουκυδίδην οὖν, φησὶ, τιμᾶν προελόμενος λόγοις διαπράξομαι τοῦτο, ὅτι καὶ λόγοι Θουκυδίδῃ, ὡς ἔτι περιῆν, ἐτύγχανον ἐπιτήδευμα. Τοῦτο παραβολή ἐστι τὴν αὐτὴν ἔννοιαν ἔχουσα τοῦ δευτέρου κώλου τῆς προτάσεως· παραβολὴ δὲ λέγεται κάλλος τοῦ προοιμίου, οἷον διπλασιάσαι ὄνομα καὶ διπλασιάσαι κῶλον, καὶ ἔστιν ὁ τρόπος τοῦ προοιμίου συλλογιστικός· τὸ δὲ συμπέρασμα ἀποδοτικόν.

Τὸ οὐκοῦν Θουκυδίδην ἐπαινέσω τοῖς λόγοις ἀπόδοσίς ἐστι τοῦ πρώτου κώλου· τὸ δὲ αὐτὸν τοῖς αὐτοῦ τιμᾶν προελόμενος, ἀπόδοσις τοῦ δευτέρου κώλου τῆς προ-

τάσεως. Κατασκευὴ τῆς συγκριτικῆς προτάσεως, τουτέστι δεύτερον προοίμιον. Διὰ δύο τούτων συνήγαγε, τοῦ ὅτι λόγου μηδέν ἐστι τῶν περὶ τὸν βίον κρεῖττον, καὶ τοῦ ὅτι ἐν λόγοις οὐδεὶς Θουκυδίδου κρείττων γεγένηται. Τὸ τιμᾶσθαι δίκαιον Θουκυδίδην τοῖς λόγοις. εἰ γὰρ λόγου μὲν οὐδὲν κρεῖττόν φησιν, ἐν λόγοις δὲ οὐδεὶς Θουκυδίδου κρείττων, ἐπαινετέος ἄρα Θουκυδίδης καὶ λόγοις εὐφημητέος, ἵνα τῶν οἰκείων πόνων δρέπηται τοὺς καρποίς· τοῦτο δὲ συλλογισμός ἐστιν. Ἑκάτερον, φησὶν, ἑκατέρῳ διορθοῦται, γένει μὲν καὶ πλούτῳ τὴν δημοτικὴν ἔνδειαν ἐπανορθούμενος· τὸ δὲ μὴ καταδυναστεύειν τῶν ὑποδεεστέρων καὶ ἀδίκως προσκτᾶσθαι, διὰ τῆς δημοτικῆς ἰσηγορίας περιποιούμενος ἑαυτῷ. Δυσὶ γὰρ τούτοις διελὼν ἑαυτὸν φαίνεται, λόγοις καὶ ὅπλοις· ποτὲ μὲν γὰρ ῥήτορος τῶν καλλίστων ἐπλήρου χρείαν, ποτὲ δὲ ἀρίστου τῶν στρατηγῶν· τὸ δὲ φιλοσοφεῖν νῦν ἀντὶ τοῦ ῥητορεύειν καὶ δημηγορεῖν εἴληπται, ἐν ἑκατέροις τὸ ἠρεμεῖν καὶ ἡσυχάζειν δηλοῦν. Ταῖς λογικαῖς μὲν, φησὶν, ἐπιστήμαις καὶ τέχναις οἷον ὅρμον τινὰ χρυσοῦν καὶ κόσμον τὸ στρατηγεῖν προσῆπτε· τῇ στρατηγίᾳ δὲ ὡς τι μέγα καὶ περιβόητον τὸν λόγον καὶ τὸ ἐξ αὐτοῦ κέρδος ἐπετίθη, φρόνησιν ἅμα καὶ ἀνδρείαν μιγνὺς, καὶ δεικνὺς, ὡς οὐ μέρος φρονήσεως ἡ στρατηγικὴ, ἀλλ' αὐτόχρημα φρόνησις. οὐ γὰρ ἀνδρείας τοσοῦτον δεῖ, ὁπόσον συνέσεως τῷ ἀνεπισφαλῶς μέλλοντι στρατηγεῖν· εἰκότως οὖν καὶ μίαν τῶν δύο τούτων ἐποιεῖτο μελέτην ὁ Θουκυδίδης, καὶ ἄσκησιν ὧν μίαν οὐκ εἶχε τὴν τέχνην, καὶ εἰς ἓν συνῆγε τὰ τῇ φύσει διεστηκότα· πλείστη γὰρ τῶν δύο, στρατηγίας καὶ λόγων, διαφορά· Συνεγράψατο γὰρ ἅπαντα ἠκριβωμένως Θουκυδίδης, καὶ ἰδίαν ἐποιήσατο τέχνην τὰ τοῖς πρὸ αὐτοῦ πᾶσι πεποιημένα, καὶ λήθης βυθοῖς οὐδὲν ὑπελείπετο συγχωθῆναι· φυλακὴ γὰρ τῶν τοιούτων τὰ τούτου συγγράμματα γέγονεν, καὶ

ἐξ-

ἔξεστι τῷ φιλοπονεῖν ἐθέλοντι ἀναλέγεσθαι τῶν ἐκείνου λόγων τὰ περὶ Πλαταιέων, τὰ περὶ τῆς δηϊώσεως Ἀττικῆς, τὰ περὶ Πελοποννήσου, τὰ περὶ Ναυπάκτου, τὰ περὶ Λέσβου, ἃ καὶ μέχρι τοῦ νῦν διὰ τῆς ἐκείνου κηρύττεται συγγραφῆς, τὰ περὶ Ἀμβρακιωτῶν, τὰ περὶ δικαστηρίου Λακεδαιμονίων καὶ τὰ λοιπὰ, πάντα γὰρ ἠκριβωμένως διέξεισιν.

ΕΓΚΩΜΙΟΝ ΣΟΦΙΑΣ.

Καὶ αὐτὸ τὸ ὄνομα τῆς σοφίας ἐπαίνετόν ἐστιν, ἐκ τοῦ σέβω γινόμενον. τί γὰρ ἐκείνης σεμνότερον, ὅπου γε καὶ αὐτὸ τὸ θεῖον τῷ ταύτης ὀνόματι χαίρει καλούμενον· σοφὸς δὲ οὐ μόνον ὁ περὶ λόγους δόκιμος ὀνομάζεται, ἀλλὰ καὶ πᾶς ὁ συνέσει καὶ ἀγχινοίᾳ κοσμούμενος· λόγος γὰρ οὐχ ὁ προφορικὸς μόνον, ἀλλὰ πολλῷ μᾶλλον ὁ ἐνδιάθετος λέγοιτ' ἄν, ὃς καὶ προβολεύς τις καὶ πατὴρ πέφυκε τῆς σοφίας. Ταύτην, φησὶν, ὁπόσης ἐστὶ τύχης ἀγαθῆς τὸ κτήσασθαι, τοσοῦτον ὑπὲρ δύναμιν τὸ κατ' ἀξίαν ἀνευφημεῖν. Ὅρα δὲ τὸ ὑπερέχον ταύτης καὶ ἐξ αὐτοῦ μύθου. ἄλλος μὲν γὰρ ἄλλῳ τῶν κατὰ τὸν βίον ἐπιστατεῖ τῶν λεγομένων θεῶν· Ἥρα γάμοις, Ἄρης αἱμασι καὶ σφαγαῖς, Ἥφαιστος τῷ πυρὶ, ὁ δὲ τῶν ἁπάντων κορυφαῖος ὁ Ζεὺς ταύτῃ μᾶλλον σεμνύνεται, ἧς καὶ μέρει τινὶ τοὺς ἄλλους φιλοτιμεῖται· οἷον λόγῳ Ἑρμῆν, φρονήσει τὴν Ἀθηνᾶν· ἀλλὰ καὶ αὐτῷ τῷ Διΐ, κατὰ τὸν μῦθον φάναι, σοφία τὴν ἀρχὴν ἐκρατύνετο· ἐπιβουλευσάντων γὰρ ἐκείνῳ ποτὲ Ἥρας, Ποσειδῶνος καὶ Ἀθηνᾶς σοφία ὑπέθετο τὸν Βριάρεων καλέσαι, ὃν οἱ προειρημένοι δείσαντες ἀπέστησαν τῆς ἐπιβουλῆς, ἧ φησιν Ὅμηρος· [5]

Ὁππότε μιν ξυνδῆσαι Ὀλύμπιοι ἤθελον ἄλλοι,

5 Il. α, 499.

"Ηρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη.
Ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα, θεά, ὑπελύσαο δεσμῶν,
Ὦχ' ἑκατόγχειρον καλέσασ' εἰς μακρὸν Ὄλυμπον·
Τὸν καὶ ὑπέδδεισαν μάκαρες θεοὶ, οὐδέ τ' ἔδησαν.

Θαυμάσαι, φησὶ, τοὺς ποιητὰς ἄξιον· θεῶν παῖδας Παλαμήδην καὶ Νέστορα, καὶ τοὺς κατ' ἐκείνους σοφοὺς ὀνομάσαντας, οὐχ' ὅτι φύσαντας ἔσχον θεοὺς, τοῦτο γὰρ τὸ καταστάντας τὴν φύσιν θεῶν παρίστησιν· ἦ γὰρ ἂν θεοὶ πάντως καὶ αὐτοὶ καθειστήκεισαν, καὶ ἀθανασίᾳ τετίμηνται, ἀλλ' ὅτι τὸ θεῖόν τι χρῆμα τὴν σοφίαν ἐκτήσαντο· τὸ δὲ τῇ κοινωνίᾳ τοῦ γένους τὸ κοινὸν ἐδήλουν τῆς ἀρετῆς ταὐτόν ἐστι τῷ καταστάντας τὴν φύσιν θεῶν· ἦ γὰρ ἂν καὶ αὐτοὶ θεοὶ καθειστήκεισαν, καὶ εἰς τὴν αὐτὴν ἔννοιαν καταστρέφει διπλασιασμός τις ὢν κώλου, δι' ἑτέρων λέξεων ἐξενηνεγμένος· εἰ γὰρ θείαν, φησὶ, καὶ ἀκήρατον εἶχον φύσιν, πάντως ἂν καὶ ἀθανασίας μετειλήφεισαν, καὶ τῇ κοινωνίᾳ τῆς θείας φύσεως τὸ κοινὸν ἐδήλουν τῆς ἀρετῆς, ἀγήρω καὶ ἀνώλεθρον ἐσχηκότες ζωήν· ἀλλ' ἄνθρωποι μὲν ἐτύγχανον ὄντες, διὰ τοῦτο δὲ μόνον θεῶν παῖδες προσηγορεύθησαν, τὸ τὸ θεῖον χρῆμα τὴν σοφίαν καταλαβεῖν, καὶ ταύτης ἀναφανῆναι τοῖς μεταγενεστέροις διδάσκαλοι. διὰ δὲ τοῦ εἰπεῖν ὁ Ἀφθόνιος τὴν σοφίαν σύμφυτον εἶναι θεοῖς τὴν ἀρχαιογονίαν αὐτῆς ἐδήλωσε, καὶ κατὰ τοῦτο πάντως ἀπεμύνων αὐτήν· τὸ γὰρ σύμφυτον τὸ συμφυὲν, ὅ ἐστι τὸ συναναφανὲν, καὶ συμπραχθὲν δηλοῖ, ἐκ τῆς σὺν προθέσεως καὶ τοῦ φύω τὸ βλαστάνω γινόμενον. Ἐν ἄλλοις οὐκ ἔστι τὸ κτῆμα, ἀλλὰ μόνον, ὧν σοφία προῆλθε τοῦ γένους ὑπόμνημα· κτῆμα οὖν ἐνταῦθα καὶ ὑπόμνημα τὸ αὐτό ἐστιν· ὅδε δὲ ὁ νοῦς τοῦ ῥητοῦ· Νέστωρ καὶ Παλαμήδης καὶ οἱ κατ' ἐκείνους σοφοὶ δόκησιν παρέχοντες τοῖς πολλοῖς τοῦ προῆχθαι θεῶν διὰ τὸ σοφίαν κτήσασθαι, ἥτις κτῆμα καὶ ὑπόμνημα τοῦ θείου γένους ἐστίν.

Εἰπών, ὅτι παρ' ἑκάτερα τῶν πραγμάτων εὐδοκιμεῖ, εἰρήνην καὶ πόλεμον, καὶ ἀμφοτέροις νέμει τὸ ἑαυτοῖς χρήσιμον, ἐπήγαγεν, ὅτι οὕτως ἰσχυρὰ ἐν ἑκατέροις ἐστὶν, ὥστε τῆς εἰρήνης οὔσης πολιτευομένη δοκεῖν μόνης ἐκείνης εἶναι· τὸ δὲ πολέμιον ἀγνοεῖν καὶ ὅπλων κεκινημένων οὕτως ἐν ἐκείνοις εὐδοκιμεῖν, ὡς οὐκ εἰδυῖαν τὰ τῆς εἰρήνης, ἀλλ' αἵμασι μόνοις καὶ πληγαῖς καὶ ἁλώσεσι καὶ τοῖς ἑπομένοις ἐνησκημένην· ἀκούσας, φησὶν, ὅτι σοφία αἰτία γίνεται τοῦ ἐν ὅπλοις κρατεῖν, μὴ δόξῃς αὐτὴν ἐν ἐκκλησίᾳ φέρειν τὰ δεύτερα· ἐν ταύτῃ γὰρ μᾶλλον, ἢ ἐκείνοις τὸ κράτος φέρεται· τίς γὰρ ἐν ἐκκλησίᾳ τοῦ σοφοῦ δοκιμώτερος, τί τὸν δημηγόρον ἀσθμαίνειν πυρὸς δριμύσσει, ὁμοκλῆν ἐν ταῖς κατηγορίαις πτεροῖ; τί τοὺς ἀκροωμένους τὸ κρεῖττον ἐν βουλαῖς τοῦ χείρονος ὑποτίθησι πρεσβεύειν, καὶ περὶ τῶν πρακτέων λυσιτελῶς σκοπεῖν; τί τοὺς δικαστὰς τὸν φεύγοντα τοῦ διώκοντος μᾶλλον ἢ τοὔμπαλιν τὸν διώκοντα τοῦ φεύγοντος ἐν τῷ δικάζειν ἐπικρατέστερον ἡγεῖσθαι, κἀκείνῳ διδόναι ψῆφον τὴν μείζονα; τί τὸ ἐπαινοῦν ἀρετὴν ἢ διαβάλλον τὴν κακίαν ἐν ἐκκλησίᾳ; ταῦτα πάντα σοφίας. ὥστε μᾶλλον ἐν ἐκκλησίαις καὶ λόγοις καὶ ἐν ὅπλοις ἡ σοφία εὐδοκιμεῖ. Ὑπόκρισίς ἐστιν ἡ μίμησις, καὶ ὑποκριτὴν φαμεν τὸν πρόσωπον ἕτερον ὑποδυόμενον κατὰ μίμησιν· ὑποκρίνεται οὖν καὶ μιμεῖται ἡ σοφία κατὰ τοῦτο τὸ θεῖον τὸ προειδέναι καὶ προλέγειν τὰ μέλλοντα. Θεῖον γάρ τι τὸ λογικὸν, ἀπορρόη τις ἐκείνου καὶ μετουσία τυγχάνον. καθ' ὑπόκρισιν οὖν καὶ μίμησιν τοῦ πρωτοτύπου τὸ μέλλον προορᾷ. Καὶ τῶν ἐν οὐρανῷ, φησὶ, δίδωσι τὴν γνώμην τοῖς ἀνθρώποις σοφία. ἐκείνης γὰρ ἡ ἀστρονομία, δι' ἧς πλανητῶν καὶ ἀπλανῶν ἀστέρων συνόδους καὶ ἀποκλίσεις καὶ περιόδους γινώσκομεν, καὶ κίνησιν καὶ φορὰν ἡλίου τε καὶ σελήνης καὶ ἀπό τινος ζώνης πρὸς ἑτέραν μετάβασιν καὶ ζωδιακοὺς κύκλους, καὶ εἴτι ἕτερον

τῶν κατ' οὐρανόν. Καὶ περὶ τοῦ μέλλοντος, φησὶν, αἰῶνος εἴδησιν ἀνθρώποις ἡ σοφία παρέχει, φιλοσοφεῖ γὰρ περὶ τῆς ψυχῆς ὡς ἀθάνατος· καὶ ὅτι μετὰ τὴν λύσιν τοῦ σώματος ὑφίσταται, καὶ λόγους, ὧνπερ ἔπραξε, δίδωσιν. Εἰς τὸ εἶλε στιγμὴ τελεία, εἶτ' ἀφ' ἑτέρας ἀρχῆς ἡ ἀνάγνωσις, ἣν ἑλεῖν ὁ πολὺς οὐ δεδύνηται χρόνος, σοφὸν παρεστήσατο βούλευμα· λέγει δὲ πλὴν μὲν χρόνον τὸν τριβέντα δεκαετῆ τοῖς Ἕλλησιν ἐν ναυστάθμῳ καὶ τοῖς περὶ τὴν Τροίαν χωρίοις, σοφὸν δὲ βούλευμα τὸ τέχνασμα τοῦ δορείου ἵππου, ὃν Ὀδυσσεὺς σοφίᾳ ἐπετηδεύσατο· τὴν Τροίαν οὖν φησὶν, ἣν ὁ τῶν δώδεκα ἐνιαυτῶν χρόνος καὶ ἡ ἐν τοσούτῳ προσεδρεία τοῦ Ἑλληνικοῦ ἑλεῖν καὶ παραστήσεσθαι οὐ δεδύνηται, ταύτην παρεστήσατο καὶ ὑπέταξε τὸ σοφὸν Ὀδυσσέως βούλευμα. Λύναμιν Περσῶν τὴν μετὰ Ξέρξου φησὶν, ὅτε τῇ Ἑλλάδι ἐπεστράτευσε τὰς μυριάδας ἐκείνας ἐπαγόμενος τὰς πολλὰς, καὶ τὰς μεγίστας κενοτομίας τῶν στοιχείων, ἢ μᾶλλον εἰπεῖν τερατείας ἐπιδεικνύμενος καὶ τὴν ἤπειρον μὲν ἀπεργαζόμενος θάλατταν, γεφυρῶν δὲ, καὶ ὡς ἂν εἴπῃ τις, τὴν θάλατταν ἠπειρῶν, καὶ νέος δημιουργὸς κατὰ τὸν Σαλμωνέα γινόμενος. Τούτου τοίνυν τὴν τοσαύτην ἀλαζονείαν, καὶ τὸ ἐν κενοῖς φρύαγμα τὸ σοφὸν Θεμιστοκλέους διέλυσε βούλευμα. ἀνδρεία ῥώμης διαφέρει· ἀνδρεία μὲν γὰρ ἀρετὴ ψυχῆς, ἡ εὐτολμία λεγομένη, μία οὖσα τῶν τεσσάρων γενικῶν καὶ μέση κειμένη δειλίας τε καὶ θρασύτητος, ῥώμη δὲ ἰσχὺς σώματος, ἣν καὶ σθένος φαμέν· τὸ δὲ „κἂν τῆς ἀνδρείας ἀνέλῃς τὴν φρόνησιν κατηγορούμενον ἔμεινεν" οὕτω νοήσεις· ὡς ἀνδρεία πάντως ἐστὶν ἡ μετὰ συνέσεως τόλμα· ἐπείτοιγε τόλμα χωρὶς συνέσεως θρασύτης ἐστίν· ἡ δὲ θρασύτης κακία ψυχῆς καὶ τῶν κατηγορουμένων ἐστί· τὸ δὲ κατηγορούμενον ἀντὶ τοῦ κακῶς ἀκοῦον, διαβαλλόμενον, μισούμενον. Ἰστέον δὲ, ὡς οἱ φιλόσοφοι τὸ κατηγορεῖσθαι

καὶ τὸ κατηγορούμενον ἑτέρως καὶ οὐχ οὕτως ἐκλαμβάνουσι· κατηγορούμενον γὰρ λέγουσι τὸ ἐπάνω κείμενον τοῦ ὑποκειμένου· ὡς γενικώτατον γένος τῶν ὑπ' αὐτοῦ γενῶν τὸ ζῶον τυχὸν κατὰ παντὸς ἀλόγου καὶ λογικοῦ. κατηγορούμενον οὖν τὸ ζῶον· ὑποκείμενον δὲ τὸ λογικὸν καὶ τὸ ἄλογον, καὶ ὡς εἶδος εἰδικώτατον τῶν ἀτόμων· οἷον ἄνθρωπος τοῦ Σωκράτους· κατηγορεῖται γὰρ ὁ ἄνθρωπος Σωκράτους καὶ Πλάτωνος, οἵ τινές εἰσιν ἄτομα, ἄτομον δὲ τὸ μὴ δυνάμενον διαίρεσιν ἐπιδέξασθαι.

Κατὰ παράλειψιν ἐστὶ σχῆμα. πολλὰ εἶχον, φησὶν, ἕτερα περὶ τῆς σοφίας διεξελθεῖν, ἀλλ' ἐμποδών μοι τὸ πλῆθος καθέστηκεν, ἀδυνατοῦντι καθ' ἓν αὐτῶν ἐπεξιέναι τοῖς βουλομένοις περὶ σοφίας μανθάνειν, τὸ δὲ κατὰ παράλειψιν σχῆμα τὰ μέγιστα πρὸς τὸ ἐγκώμιον συντελεῖ· τί γὰρ μεῖζον τοῦ φάσκειν ἠττᾶσθαι τὸν λόγον τοῦ μεγέθους τοῦ ἐγκωμιαζομένου.

Cap. IX.

ΟΡΟΣ ΨΟΓΟΥ.

Σημείωσαι ὅτι τοῖς αὐτοῖς κεφαλαίοις διαιρεῖται, οἷς καὶ τὸ ἐγκώμιον. παρέπεται δὲ τῷ ψόγῳ τέσσαρα· ὅρος, διαφορὰ πρὸς τὸν κοινὸν τόπον, ὑποκείμενον, ὕλη ἤτοι ἐργασία δι' αὐτῶν τῶν πέντε κεφαλαίων, γένους καὶ τῶν λοιπῶν. Καὶ ὁ ψόγος δὲ τοῖς αὐτοῖς διαιρεῖται κεφαλαίοις ἀπὸ τῶν ἐναντίων ἐνθυμημάτων καὶ ἐπιχειρημάτων συμπληρούντων ἡμῶν τὴν ἅπασαν ἐργασίαν καὶ διαίρεσιν· τῶν γὰρ ἐγκωμίων τὸ μέν ἐστιν ἔπαινος, τὸ δὲ ψόγος· διὰ τοῦτο καὶ ὁ κατὰ τῶν σοφιστῶν Ἰσοκράτους λόγος, καίτοι ἐκ λοιδοριῶν ἅπας τῶν περὶ τοὺς ἁμαρτάνοντας εἰς τὰς τέχνας κατεσκευασμένος ἐν τοῖς ἐγκωμίοις τέτακται· οὐ λέληθε δέ με, ὅτι ἐπέσκηψάν τινες

τῇ ἐπιγραφῇ ἐκείνου τοῦ λόγου, ὅτι μὴ ψόγον αὐτὸν τῶν σοφιστῶν ἐπέγραψεν, ἀλλὰ κατὰ τῶν σοφιστῶν ἔθετο αὐτῷ ὄνομα, ὥστε δοκεῖν εἶναι κοινὸν τόπον. Ἰστέον δέ, ὅτι οὐχ αἱ ἐπιγραφαὶ κοινοῦσι τὰ εἴδη, ἀλλ' ἡ ὑποκειμένη ὕλη. εἴρηται μὲν οὖν ἤδη καὶ ἐν τῷ κοινῷ τόπῳ ἡ διαφορὰ τοῦ τε ψόγου καὶ αὐτοῦ τοῦ κοινοῦ τόπου· οὐδὲν δὲ κωλύει, καὶ νῦν αὐτῆς ἀναμνησθῆναι· διὰ γὰρ αὐτῆς εἰσόμεθα, ποῖα δεῖ ὑπὸ ψόγον ἄγειν, καὶ ποῖα ὑπὸ τοὺς τόπους. ὅταν μὲν οὖν ᾖ πρᾶγμα τὸ ἐξεταζόμενον, καθ' οὗ τιμωρία τις ὑπὸ τῶν νόμων διώρισται, τότε τῇ καταδρομῇ κατὰ τὰ κεφάλαια τοῦ κοινοῦ τόπου χρησόμεθα· ὅταν δὲ πρᾶγμα ᾖ, μόνην λοιδορίαν τῷ χρωμένῳ φέρον, τότε ὡς ψόγον ἐργαζόμεθα, ὥστε καὶ ὁ κατὰ τῶν σοφιστῶν κατὰ τοῦτον τὸν λόγον ὑπὸ πανηγυρικὸν εἶδος ἂν τάττοιτο. Ἔστι δὲ [1] καὶ ἄλλα πολλὰ εἴδη, ὥσπερ ἤδη καὶ μικρὸν ἔμπροσθεν ἐπεσημηνάμεθα, ἀγόμενα ὑπὸ τὸ πανηγυρικὸν, ἰδίας διαιρέσεως δεόμενα, ὥσπερ καὶ ὑπὸ τὸ δικανικὸν καὶ συμβουλευτικόν· μᾶλλον δὲ χρὴ καὶ περὶ αὐτῶν δι' ὀλίγων εἰπεῖν, οὕτω γὰρ ἂν τοῖς περὶ ἐκείνων τῶν εἰδῶν τέχναις ἐπιμελέστερον ἐντευξόμεθα· τῶν γὰρ τεχνογράφων οἱ μὲν ἀπὸ τῶν ὑποκειμένων προσώπων μόνον ἐχαρακτήρισαν τοὺς λόγους, καὶ ἐν τρισὶν εἴδεσιν ἔστησαν τῆς ῥητορικῆς, λέγοντες, ὡς οἱ ὑποκείμενοι ἡμῖν ἀκροαταὶ ἢ ἐκκλησιάζουσιν ἢ δικάζουσιν ἢ πανηγυρίζουσι, καὶ δεῖ πάντως ἑνὸς τῶν εἰδῶν εἶναι τούτων τὸν λόγον τὸν λεγόμενον, οἱ δὲ οὐκ ᾠήθησαν δεῖν τρία μόνον ὀνομάζειν εἴδη, ἀλλ' εἰς πλείονα ἐξέτειναν, καὶ ἐμοὶ δοκεῖν πρὸς τοῦτο ἐκινήθησαν πεισθέντες ὑπὸ τοῦ Ἀριστοτέλους· ὁ ἀνὴρ γὰρ ἐκεῖνος αἰδέσιμος ὢν τέταρτον περὶ τὰ τρία τὰ προλεχθέντα τὸ ἱστορικὸν ἐκά-

1 Haec et sqq. usque ad p. 632, 9. edidit Spengel. συναγ. τεχν. p. 224 sqq.

λεσε, μικτὸν ἀπὸ τῶν τριῶν εἶναι εἰπών· εἰ δὲ δοίη τις εἶναι τέταρτον, ὥσπερ οὖν καὶ δεῖ δοῦναι, οὐδὲν κωλύει καὶ τοῖς ἄλλοις ἕπεσθαι τοῖς μέχρι τριάκοντα εἰδῶν, οἶμαι, προελθοῦσιν· ἴσως δ' ἂν εὑρεθείη καὶ πλείονα· σχεδὸν γὰρ ὅσα ἐν ἀνθρώποις πράγματα, τοσοῦτοι καὶ λόγοι. ἀλλὰ λήσεταί τις οὕτω[2] σύγχυσιν ἐργαζόμενος· διὸ ὑπ' ἐκεῖνα τὰ παρὰ τῷ Κουρνούτῳ ὀνομαζόμενα καὶ Πορφυρίῳ ἅπαντα χρὴ πειρᾶσθαι ἀνάγειν τὰ πράγματα, εἰδοποιοῦντας αὐτῶν τὰς ὑποθέσεις. δύναιτο δ' ἄν τις καὶ ἐκείνων τὴν μὲν διαίρεσιν διαφορὰν λέγειν· ἀνάγειν δὲ αὐτὰ ἐπὶ τὰ τρία εἴδη, εἰ προσέχοι τοῖς ὑποκειμένοις προσώποις, καὶ τῷ ἑκάστου τῶν τῆς ῥητορικῆς εἰδῶν τέλει. οἷόν τι λέγω τοῦ δικανικοῦ τέλος τὸ δίκαιον, ὅπερ ἐκ ψήφου τῶν δικαστῶν κατὰ τοὺς νόμους κρινόντων δείκνυται· ἆρα οὖν οἱ ἀντιῥῥητικοὶ, ἐπεὶ πρός τινας ἔχουσι τοὺς ἀγῶνας, εἶεν ἂν τοῦ δικανικοῦ, ἀλλ' οὐκ ἂν εἴποι τις· οὐδὲ γὰρ οἱ ἀκροαταὶ ὑπόκεινται, ὡς μέλλοντες ζημίαν ἐπάγειν τινὰ, ἣν νόμοι διώρισαν, ὥστε μᾶλλον ἂν ὑπὸ τὸ πανηγυρικὸν εἶδος τάττοιντο, καὶ ὅλους τοὺς νομοθετικοὺς, τοὺς χαριστηρίους, τοὺς πρὸς ἀπολογίαν αἰτιῶν οὐκ ἐχουσῶν τιμωρίαν ἐκ νόμων ἐπομένην, ἀλλὰ πρὸς διαβολὴν μόνην μεμηχανημένους πάντας τοὺς περὶ τῶν τοιούτων πραγμάτων ἔξεστι τάττειν ὑπὸ τὰ εἴδη τὰ τρία, εἰ βούλοιτό τις βιάζεσθαι καὶ προσδέχεσθαι τὴν εἰς πλείονα τομὴν, τὰς δὲ ὕλας, δι' ὧν κατασκευάζονται, ἐπιπλέκειν. εἰ γὰρ καὶ ἐπὶ τοῦ πανηγυρικοῦ Ἰσοκράτους, καὶ ἐπὶ τοῦ περὶ στεφάνου Δημοσθένους, ὁμολογουμένως ὄντος τοῦ μὲν τοῦ δικανικοῦ, τοῦ δὲ τοῦ συμβουλευτικοῦ εἴδους, αἱ ὕλαι ἐκ τοῦ πανηγυρικοῦ παρελήφθησαν, τί κωλύει τοιαύτας εἶναι μίξεις καὶ ἐπιπλο-

2 Mon. ὅτῳ. — v. 7. respicit sine dubio ad Cornuti ῥητορικὰς τέχνας de quibus vide Martini Disp. de L. Annaeo Cornuto p. 93.

κὰς καὶ ἐπὶ τῶν ἄλλων εἰδῶν, ἵνα ἕτερόν τι ἔχῃ τέλος ὁ λόγος, ὅπερ ἐκ τῶν ὑποκειμένων μὲν ἀκροατῶν εὑρίσκεται, ἐξ ἑτέρας δὲ ὕλης κατασκευάζεται· οὕτω καὶ ὁ ὑπὲρ τῶν τεσσάρων Ἀριστείδου τοῦ ἀντιῤῥητικοῦ ἂν λέγοιτο, καὶ πολλοὶ ἂν εὑρεθεῖεν οἱ λόγοι αὐτοῦ τοῦ Ἀριστείδου καὶ τῶν κατ' αὐτὸν, καὶ τῶν χρόνοις ὕστερον σοφιστῶν, δυνάμενοι δεικνύναι καλῶς δόξαντας καὶ τοὺς στῆναι μέχρι τριῶν εἰδῶν ἑλομένους, ἀλλὰ περὶ μὲν τούτων ταῦτα. ἐλέγομεν δὲ ἀνωτέρω, ὅτι περὶ πραγμάτων εὐφημίας ἀσχολεῖται τὸ ἐγκώμιον· τὰ δὲ πράγματα ἢ ἄψυχά εἰσιν ὄντα ἐν σώμασιν, οἷον ῥητορική, καὶ ὅλως τὰ ἐν ἐπιτηδεύμασιν· εἰκὸς οὖν τινα ζητῆσαι, πῶς οὖν ταῦτα ἐγκωμιάσομεν, εἰ καὶ δυνατὸν τοῖς αὐτοῖς χρῆσθαι κεφαλαίοις, οἵσπερ καὶ ὅταν ἄνδρα τινὰ ἐπαινῶμεν. δεῖ τοίνυν εἰδέναι, ὅτι καὶ ἐπὶ τούτων τοῖς ἐνδεχομένοις τῶν ἐγκωμίων τόποις χρησόμεθα, οἷον τυχὸν ἐπὶ τῶν ἐπιτηδευμάτων, ἀντὶ μὲν γένους περιλαμβάνοντες τοὺς εὑρόντας ἢ πρώτους χρησαμένους αὐτοῖς, ἀντὶ δὲ ἀγωγῆς τὴν ἐν αὐτοῖς ἄσκησιν, ἀντὶ δὲ πράξεων τὰς χρείας, ἂν πληροῖ τῷ τῶν ἀνθρώπων βίῳ καὶ τὰς ὠφελείας, καὶ ἐφ' ἑκάστου τῶν ἄλλων οὕτως, ἐπεὶ καὶ αὐτῶν τῶν εἰς ἔμψυχα γενομένων ἐπαίνων οἱ μέν εἰσι κοινοὶ, οἷον ἀνθρώπου, ἵππου, οἱ δὲ ἴδιοι, οἷον Σωκράτους ἢ ἄλλου τινός· καὶ ἐπ' ἐκείνων οὖν τῶν κοινῶν τῶν μὲν ἐνδεχομένων δεῖ στοχάζεσθαι, καὶ ὅλως αὐτὸν τὸν λέγοντα δεῖ κατὰ τὸν Ἰσοκράτην φάναι, μανθάνειν μὲν τὰς διαιρέσεις, κριτὴν δὲ εἶναι τῆς κρίσεως, καὶ συμβαίνοντας καὶ καιροῖς καὶ προσώποις καὶ πράγμασι ποιεῖσθαι τοὺς λόγους· φασὶ δὲ ἐν τοῖς ἐγκωμίοις, ὅτι ἐπιτηδεύειν δεῖ τὴν γλαφυράν τε καὶ ἁβροτέραν καὶ θεατρικὴν φράσιν μετά τινος σεμνότητος· ὥσπερ γὰρ ἐν τοῖς συμβουλευτικοῖς ὄγκου δεόμεθα καὶ ἀξιώματος, καὶ ἐν τοῖς δικανικοῖς σφοδρότητός τινος τῆς ἔμψυχον τὸν ἀγῶνα ποιούσης, οὕτω

καὶ ἐχρῆν ἡμᾶς μαθεῖν, ὦ φίλτατοι παῖδες. Περὶ ἐγκωμίου ἀρκούντως εἴρηται, καὶ ἴσως οὐ δεῖσθαι πρὸς τοῦτο διαιρέσεως, τῶν εἰρημένων ἱκανῶν ὄντων ὑμᾶς ἐπιστῆσαι καὶ δοῦναι ὁδὸν τῆς τοῦ προγυμνάσματος τούτου μελέτης.

ΨΟΓΟΣ ΦΙΛΙΠΠΟΥ.

Πολλὴ μὲν ἡ μέσον τῶν δύο τούτων διαφορὰ, κακίας φημὶ καὶ ἀρετῆς· οὐδεμία γὰρ αὐτοῖς παράλληλος κοινωνία μακρῷ ἀλλήλων ἀπέχουσι καὶ ἐκ διαμέτρου κειμένοις οὐχ ἧττον ἢ σκότος πρὸς φῶς, καὶ ἄλογος φύσις πρὸς λογικήν· πλὴν οὕτως ἐσχηκότα πρὸς ἄλληλα ὅμως γοῦν πρὸς ἔν τι κατὰ τοῦτο συντελοῦσι καὶ συναρμόζονται, τὸ πρὸς τὸ καλὸν ποδηγεῖν· τὸ μὲν ἐπαινούμενον ἡ ἀρετὴ, τὸ δὲ διαβαλλόμενον ἡ κακία. ζήλου μὲν γὰρ ὁ ἔπαινος πρόξενος, ᾗ τῶν σοφῶν τις πεφιλοσόφηκεν· ὃ δὲ μισεῖται καὶ διαβάλλεται, ἀποτρόπαιον καὶ φευκτὸν τοῖς εὖ φρονοῦσι καθίσταται, καὶ πρὸς τοῦτο ἄρα Ἰσμηνίας ὁ αὐλητὴς ὁρῶν ἐν τῷ παιδεύειν ᾄδειν τοὺς μαθητευομένους οὐ καλῶς ᾖδε μόνον, ἀλλὰ καὶ παρὰ τὸν εἰκότα ῥυθμὸν, ἐπιλέγων τῷ καλῶς μὲν ᾄδειν, οὕτως αὐλεῖν δεῖ, τῷ δὲ παρὰ τὸ εἰκὸς, οὕτως αὐλεῖν οὐ δεῖ· ἀλλὰ καὶ Λακεδαιμόνιοι τοῖς παισὶ δεικνύντες, οἷον τὸ μεθύειν κακὸν, οὐ μόνον τοῦ πίνειν συνεχῶς ἀπεῖργον αὐτοὺς, ἀλλὰ καὶ τοὺς εἵλωτας ἀναγκάζοντες σπᾷν εἰς κόρον τὸν ἄκρατον καὶ μεθύειν ἐδείκνυον τοῖς παισὶ, πείρᾳ διδάσκοντες, ἃ μὴ λόγοις εὐχερὲς ἦν διὰ τῶν εἰρημένων δηλοῦν, ὅτι καὶ ἀπὸ τοῦ ἐπαινεῖσθαι μὲν τὸ καλὸν ἱκανὴ πρὸς ἀρετὴν ἡ παράκλησις· οὐχ ἧττον δὲ ἀπὸ τοῦ ψέγεσθαι καὶ διαβάλλεσθαι τὸ κακόν· καλῶς οὖν ἄρα καὶ ὁ σοφιστὴς Ἀφθόνιος εἶπεν, ὅτι παρ' ἀμφοτέρων καταλείπεται κέρδος, τοῦ τε τοὺς τὴν ἀρετὴν ἠγαπηκότας ἐπαινεῖσθαι, ὡς ἀσπασαμένους τὸ κύριον καὶ ὄντως ὂν

ἀγαθὸν, καὶ τοὺς τὴν κακίαν ἠσκηκότας διαβάλλεσθαι, κέρδος εἰπὼν αὐτὸ τοῦτο πάντως, τὸ δι' ἑκατέρας τούτων εἰς ἀρετὴν τοὺς ἀκροατὰς ἐπάγεσθαι.[3] Δυσὶ, φησὶν, ἀτυχήμασιν ἐν τῷ μέλλειν κατοικεῖν οἱ Μακεδόνες περιπεπτώκασιν, ἀνανδρίᾳ καὶ πλεονεξίᾳ, τοῖς κρείττοσι μὲν εἴξαντες καὶ τοῖς τῆς ἐνεγκαμένης ἀπάραντες, τοῖς χείροσι δὲ ἐπιθέμενοι, κακείνους μὲν ὅπλοις τῆς οἰκείας μετακινήσαντες, αὐτοὶ δὲ τὴν ἐκείνων χώραν σφετερισάμενοι. Ὅρα τοῦ ψόγου τὸ ὑπερβάλλον· τοσοῦτον, φησὶν, ἡ Πέλλη πρὸς κατοίκησιν ἀνεπιτηδείως εἶχεν, ὡς τοὺς προσοίκους, ἀλλὰ μὴν καὶ τοὺς πολίτας αὐτοὺς χαίρειν τῷ δουλοῦσθαι μόνον, εἰ τῆς οἰκείας στερηθέντες τὴν ἀλλοτρίαν ἀλλάξαιντο· τί τοίνυν τοιαύτης πόλεως χεῖρον γένοιτ' ἄν, ὅταν ὁ πολίτης αὐτὸς πρὸς τῷ μὴ στέρχειν τὴν οἴκησιν ἔτι καὶ δουλείαν ἀσπάζηται, πρᾶγμα οὕτω μισούμενον, διὰ τοῦτο μόνον τὸ χαλεπῆς ἐλευθερωθῆναι πόλεως.

Οὐ γειτνιῶντα, φησὶν, ἔθνη, οὐκ ὀθνεῖοί τινες οὐδὲ ἀλλοδαποὶ, ἀλλὰ αὐτοὶ οἱ καθ' αἷμα προσήκοντες οὐ συνεχώρουν Φιλίππῳ τὸ τοῦ ἔθνους αὐτῶν ἄρχειν· τοῦτο δὲ μεγίστη διαβολὴ, οὐκ αὐτῷ μόνῳ Φιλίππῳ τῷ πάππῳ τοῦ διαβαλλομένου Φιλίππου, ἀλλὰ καὶ τοῖς συγγενέσιν ἐκείνου. παρίστησι γὰρ οὐκ ἐκεῖνον μόνον ἀνάξιον τοῦ ἄρχειν διὰ κακίας ὑπερβολὴν, ἀλλὰ καὶ ἐπὶ τῷ τοῦ φθόνου πάθει δουλεύοντας· ἱστορεῖται γὰρ, ὅτι ἐξώσθη Ἀμύντας τῆς ἀρχῆς, Θηβαῖοι δὲ ἐληλαμένον αὐτὸν κατήγαγον δεηθέντα καὶ τῇ βασιλείᾳ μόλις ἀποκατέστησαν· καὶ τοῦτο δὲ μέγιστον εἰς ψόγον ἐστί· πρὸς τῇ ἄλλῃ γὰρ κακίᾳ καὶ ἀνάλκιδα δηλοῖ τὸν Ἀμύνταν. Ὁμηροί εἰσιν οἱ διὰ πίστεις βεβαιοτέρας ἐξ ἔθνους ἔθνει παρατιθέμενοι καὶ κατεχόμενοι διὰ τὴν εἰρήνην· ἐδόθη οὖν καὶ ὁ Φίλιππος,

3 Mon. ad marg. ἐνάγεσθαι.

ὡς ἱστορεῖται, παρὰ τοῦ πατρὸς Ἀμύντα Ὅμηρος Ἀθηναίοις, καὶ παρ' ἐκείνοις χρόνον διέτριψεν ἱκανόν· οὐ μὴν τῷ συνεῖναι τὸν τρόπον ἤμειψεν, ἀλλὰ τὴν βαρβαρικὴν περὶ τὰς ἡδονὰς ἀκολασίαν, τοῦτο γὰρ ἡ ἀκρασία, ἐν μέσῃ τῇ Ἑλλάδι ὢν ἐπετήδευε, μηδὲ τῇ συνουσίᾳ τῶν τοιούτων εἰς ἀρετὴν ἀνδρῶν τὸ ἀνώμαλον τοῦ ἤθους ῥυθμίσας, ἀλλὰ διῃρημένων πάντων Ἕλλησι καὶ βαρβάροις νόμων, ἐθῶν, ἐπιτηδευμάτων, πραγμάτων, αὐτὸς μίξιν εἰργάζετό τινα, οἰκῶν μὲν τὴν Ἑλλάδα, τῆς δὲ βαρβαρικῆς μιαρίας οὐκ ἀφιστάμενος, ἐν ἀνόμοις ἔθνεσιν ἐπὶ τῆς τοιαύτης κακίας ἱστάμενος. Τοῦτο, φησὶ, πρῶτον αὐτῷ κατόρθωμα γέγονε τὸ καταδουλώσασθαι τὸ συγγενὲς, καὶ ἣν εἶχεν ἀπίστειαν, τὸ ἀβέβαιον δηλονότι καὶ ἀπαγὲς περὶ τὰς πίστεις ἐκείνοις ἐνδείξασθαι πρώτοις, ἀφ' ὧν προῆλθεν, ἵνα καὶ πρὸς ἀλλοδαποὺς περὶ τὰς συνθήκας καὶ τὰς σπονδὰς ποιῶν, μηδὲν κοινὸν διαπεπρᾶχθαι δοκῇ, ἀλλὰ ἀκόλουθον ἑαυτῷ· ὅθεν, φησὶν, ἀπὸ τοῦ γένους, δηλαδὴ ὁρμηθεὶς τοὺς προσχώρους καὶ γειτνιῶντας διέφθειρε, Παίονας, Ἰλλυριοὺς, Τριβαλλοὺς, ἐκεῖνα τῶν γενῶν χειρούμενος, οὐχὶ τὰ εὐπραγοῦντα καὶ πρὸς τὸ πολεμεῖν ἐξηρτημένα, ἀλλ' ὁπόσα διά τινας ἀτυχίας καὶ δυσπραγίας εὐχείρωτα καὶ ἁλώσιμα οὐκ ἐκείνῳ μόνον, ἀλλὰ καὶ παντὶ τῷ βουλομένῳ ἐτύγχανον, καὶ ᾖρει μὲν τὰ σώματα τῶν βαρβάρων, πολέμου νόμῳ τούτους δουλούμενος, οὐ μὴν καὶ τὰς ἐκείνου γνώμας συνεδουλοῦτο, ἀλλ' ὅναρ ἢ ὕπαρ τὴν ἀποστασίαν ἑώρων, καὶ ταύτης μελέτην ἐποιοῦντο διηνεκῆ, καὶ τοῖς ἔργοις αὐτοῖς αἰχμάλωτοι καὶ δοῦλοι τυγχάνοντες τοῖς λογισμοῖς ὑπῆρχον αὐτόνομοι, ὡς ἄρτι τῆς ἐκείνου τυραννίδος ἀπαλλαττόμενοι· παρωτησάμενος δὲ καὶ χειρωσάμενος τοὺς ὁμοροῦντας βαρβάρους, ὥσπερ ὁδῷ τινι προβαίνων ἐχώρει πρὸς τὸ Ἑλληνικὸν καὶ εἷλεν Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, τὴν τῶν Παγασῶν, ἧς οὐκ

ἔξω τὰς Φερὰς ἐποιήσατο, ἀλλ' ἦρηκε μετ' αὐτῶν κἀκείνας, ἀλλὰ μὲν πρὸς ταῖς Φεραῖς καὶ τὴν Μάγνησαν· οὗτος δὲ ὁ νοῦς, ὅτι ὥσπερ τὰς Φερὰς οὐκ ἔξω τῶν Παγασῶν ἐποιήσατο, οὕτως οὐδὲ τῶν Φερῶν ἔξω τὴν Μάγνησαν· καταστρέφει δὲ εἰς τὸ καὶ τὰς τρεῖς εἶλε, τὴν τῶν Παγασῶν, τὰς Φερὰς καὶ τὴν Μάγνησαν. Σύμβολον τὸ σημεῖόν φαμεν, ἐκ τοῦ συμβάλλω, ὃ δηλοῖ τὸ νοῶ· σημεῖον οὖν τοῦ γένους αὐτοῖς, φησὶν, ἡ δουλεία ἦν· ἤδη γὰρ εἶπεν, ὅτι πρῶτοι τῆς ἐκείνου κακίας οὐχ οἱ πρόσχωροι μόνον, ἀλλὰ καὶ οἱ συγγενείᾳ προσήκοντες ἀπέλαυσαν ἁλισκόμενοι καὶ δουλούμενοι, οἱ μὲν διὰ τὰ προσπίπτοντα τῶν ἀτυχημάτων, οἱ δὲ διὰ τὸ θαῤῥεῖν ταῖς σπονδαῖς, ὧν οὐδένα λόγον ὁ Φίλιππος ἐποιεῖτο. Ὃν συνεχώρησαν, φησὶν, οἱ Θεοὶ μαχόμενον αὐτὸν διά τινος ἀριστέως ἀναιρεθῆναι, ἵνα μηδὲ τὸ τέλος αὐτῷ τοῦ βίου χρηστὸν καὶ τίμιον νομισθῇ, ἀλλὰ κατέστρεψε τὸν βίον αἰσχρῶς, καὶ ἀξίως ὧν βιοτεύων εἰργάζετο· τὸ δέ ἐστι τὸ ἐν αὐταῖς ἡδοναῖς, ἵνα ἀκόλουθον ᾖ τῷ παντὶ τοῦ Φιλίππου βίῳ τὸ ἐπενηνεγμένον τέλος καὶ προσῆκον ἐντάφιον, καὶ δύο τῆς κακίας φέρηται μάρτυρας, τόν τε βίον, καὶ τὴν ἀκόλουθον καὶ ὁμοίαν αὐτῷ τελευτήν. Ἐχέτω πολλὴν ἀπανθρωπίαν καὶ ἀγριότητα ὁ ποιητὴς μαρτυρεῖ, δι' ὧν φησιν, [4]

Εἰς Ἔχετον βασιλῆα, βροτῶν δηλήμονα πάντων.

Ἐκείνου τοίνυν ἀπανθρωπότερον καὶ ἀγριώτερον τὸν Φίλιππον ὁ σοφιστὴς εἶπε, τῷ τὸν μὲν Ἔχετον μέρη τῶν σωμάτων περιαιρεῖν, ἢ καὶ μύρια, χεῖρας τυχὸν καὶ πόδας, ἢ εἶτα καὶ ὀφθαλμούς, τὸν δὲ ὅλα σώματα, ἢ μᾶλλον τὸ οἰκειότερον φάναι τῷ τὸν μὲν μέρος τι τοῦ δήμου περιτέμνειν, ἕνα τυχὸν τῶν δημοτῶν ἀναιρεῖν· τὸν δὲ Φίλιππον ὅλας πόλεις, καὶ ὅλους δήμους ἀθρόους δη-

4 Od. φ, 308.

λοῦσθαι καὶ καθαιρεῖν. Ἰστέον δὲ, ὡς Λουκιανὸς σύγκρισιν Φαλάριδος τοῦ Ἀκραγαντίνου πρὸς τὸν Ἔχετον ἔγραψεν. εἰ καὶ μὴ λήγειν, φησὶ, τῶν κακῶν ὁ Φίλιππος ἤδει ἕως περιῆν ἔτι, ἀλλ' ἡμᾶς τοὺς τὰ ἐκείνου συγγράφοντας λήγειν ἀνάγκη, καὶ μὴ περαιτέρω τὰ τῶν λόγων ἐκτείνειν.

Cap. X.

ΣΥΓΚΡΙΣΙΣ ΑΧΙΛΛΕΩΣ.

ά. Παρέπεται τῇ συγκρίσει τέσσαρα· ὅρος, συζυγία, εἶδος, ποιότης· ὅρος μέν· σύγκρισίς ἐστι λόγος ἀντεξεταστικὸς ἐκ παραθέσεως συνάγων τῷ παραβαλλομένῳ τὸ μεῖζον· συζυγία δὲ, δεῖ συγκρίνοντας ἢ καλὰ παραθεῖναι χρηστοῖς, ἢ φαῦλα φαύλοις· εἶδος· τοσαῦτα δὲ συγκρίνειν προσήκει, ὅσαπερ καὶ ψέγειν καὶ ἐγκωμιάζειν. ποιότης· οὐ δεῖ δὲ συγκρίνοντας ὅλον ὅλῳ παραβάλλειν, ὕπτιον γὰρ, ἀλλὰ μέρος μέρει, ὡς καὶ ὁ τεχνικὸς πεποίηκεν, ἵνα ἀγωνιστικὸς ὁ λόγος ᾖ.

β'. Τὴν καλουμένην σύγκρισιν οἱ μὲν οὐδὲ ὅλως ἔταξαν ἐν τοῖς προγυμνάσμασι· διὰ τὸ ἔν τε τοῖς κοινοῖς τόποις, ἡνίκα τοῦ νῦν κρινομένου πράγματος πρὸς ἕτερα ἀδικήματα ἐποιούμεθα τὴν ἐξέτασιν, καὶ ἐν αὐτοῖς τοῖς ἐγκωμίοις, ὅπου τῇ πρὸς ἕτερον παραθέσει μεγάλα ἐπιδεικνύναι ἐπειρώμεθα τὰ τοῦ νῦν ἐπαινουμένου ἱκανὴν αὐτοῖς γεγενῆσθαι τὴν μελέτην. ἔνιοι δὲ, εἶναι μὲν καὶ αὐτὴν ἐβουλήθησαν τῶν ἄλλων προγυμνασμάτων, ἔταξαν δὲ ὅμως πρὸ τοῦ ἐγκωμίου ὧν οὐδ' ἑτέρους ἂν τις ἐπαινέσειεν, οὐ γὰρ ἐπειδὴ ὡς μέρος παρελήφθη, διὰ τοῦτο ἔδει ἢ μηκέτι αὐτὴν καὶ ὡς ὅλην ἐξετασθῆναι, ἢ ἐξεταζομένην τετάχθαι μετὰ τὸ ἐγκώμιον· ἥ τε μὲν γὰρ ὡς μέρος παρελαμβάνετο, καὶ μάλιστα ἐν τῷ κοινῷ τόπῳ

καθ' ἕτερον τρόπον ἡ ἐργασία αὐτῆς ἐγίγνετο, συγκρινόντων ἡμῶν ἢ πρὸς ἴσον, ἢ πρὸς ἔλαττον, ἢ πρὸς τὸ κρεῖττον. ὅπερ ἐν αὐτῇ τῇ συγκρίσει οὐ γενήσεται, ἀλλ' οὐδὲ ἐν αὐτῷ τῷ καλουμένῳ ἐγκώμιον ὅλου πρὸς ὅλον ἡ ἐξέτασις ἔσται, ἀλλὰ μέρους πρὸς μέρος, οἷον ἐξετάζοντες τὴν εὐγένειαν τοὔδε τοῦ νῦν ἐπαινουμένου βουλόμεθα αὐτὸν δεῖξαι μηδὲν εὐγενείᾳ τυχὸν Ἀχιλλέως λειπόμενον, ἐνταῦθα βραχύ τι ἐκ τῶν περὶ Ἀχιλλέως ἱστορουμένων παραλαμβάνοντες, ὅσον πρὸς τὴν χρείαν ἡμῖν ἀρκεῖ, ἀλλὰ τὰ περὶ τοῦ ἥρωος παραλείψομεν,[1] ἐπεὶ συμβαίνει μεῖζον εἶναι τοῦ ἔργου τὸ πάρεργον, καὶ τὸν ἅπαντα ἡμῖν περὶ τούτου δαπανᾶσθαι λόγον· πρὸ τοῦ ἐγκωμίου δὲ αὐτὴν τάττειν οὐκ ἐχρῆν, ἐπειδὴ διπλοῦν ἐστιν ἐνταῦθα ἐγκώμιον· ἡ γὰρ σύγκρισις λόγος τὸ βέλτιον ἢ χεῖρον παριστὰς, ἤτοι οὕτως· σύγκρισίς ἐστι παράλληλος ἐξέτασις ἀγαθῶν ἢ φαύλων προσώπων ἢ πραγμάτων, δι' ἧς πειρώμεθα ἢ ἴσα ἀλλήλοις ἀμφότερα δεικνύναι τὰ προκείμενα, ἢ τὸ ἕτερον προέχον[2] τοῦ ἑτέρου. ἐν τοίνυν τῇ συγκρίσει καλουμένῃ, λέγω δὴ ἐν τούτῳ τῷ προγυμνάσματι, τέως τὴν πρὸς τὸ ἔλαττον σύγκρισιν ἣν ἐν τῷ κοινῷ τόπῳ κατ' ἐπιτίμησιν παραλαμβάνομεν, φευξούμεθα ἤδη. εἰ τοίνυν διπλοῦν ἐστιν ἐγκώμιον ἡ σύγκρισις, πῶς εἰκὸς ἦν τοῦ ἁπλοῦ τὸ διπλοῦν προτάττειν· οὐκ ἄρα οὖν πρὸ τοῦ ἐγκωμίου ταχθήσεται· ἔστι δὲ καὶ αὐτὴ τῶν μερῶν καὶ ὅλων· καὶ γὰρ ὡς μέρος παραληφθήσεται, ὥσπερ ἐν τοῖς ἐγκωμίοις καὶ ἐν τοῖς κοινοῖς τόποις· καὶ ὡς ὅλον· ὥσπερ ὅταν τυχὸν πρόκειται καλοῦ βίου γέρας, καὶ ἀμφισβητοῦσι πρὸς ἀλλήλους δύο τινὲς, ἐπ' αὐτῷ διαπρέψαντες· χρησόμεθα οὖν διαιρέσει καὶ ἐνταῦθα, ἥπερ καὶ ἐν τῷ ἐγκωμίῳ, τοσοῦτον μόνον εἰδότες, ὅτι διπλᾶ εὑρίσκεται ἐν αὐτῇ τὰ κε-

1 Mon. παραλήψομεν. 2 Mon. προσέχον.

φάλαια· καὶ ὥσπερ ἐκεῖνα τὰ ἐνδεχόμενα ζητήσομεν τοῖς ὑποκειμένοις ἀκολουθοῦντες ἢ προσώποις ἢ πράγμασι, τοσαῦτα δὲ ἢ καλὰ ἢ μὴ ἀλλήλοις συγκρινοῦμεν, ὅσα δὴ ἐγκωμιάζομεν ἢ ψέγομεν· οὐδὲν οὖν δεῖ ἐνταῦθα πλέον περὶ τούτων λέγειν, ἐκεῖνο δὲ χρὴ μόνον προσθεῖναι, [3] ὅτι, εἴτε ἀγαθῶν, εἴτε κακῶν ποιούμεθα ἐξέτασιν, δεῖ μὴ καθαιρέσει τῶν ἀντεξεταζομένων αὔξειν τὰ ἡμέτερα· οὐ γὰρ οὕτω μεγάλα ταῦτα ἐπιδείξομεν, ἀλλὰ τότε ἐστὶ τὰ ἡμέτερα μεγάλα, ὅταν μεγάλων μείζονα φανῇ· ὡς τὸ Ὁμηρικόν· [4]

Πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων,

οἷον ἐθέλομεν Θεμιστοκλέα Παυσανίου δεῖξαι βελτίονα· οὐκ ἐρεῖ πρὸς αὐτὸν Θεμιστοκλῆς, ὅτι οὐδὲν ἀγαθὸν διεπράξατο εἰς τοὺς Ἕλληνας, ἀλλ' ὅτι ἔπραξας μὲν καὶ σὺ πολλὰ καὶ μεγάλα· τὰ δὲ ἐμὰ πολλῷ τῷ μέσῳ κρείττονα, καὶ ἐπὶ τῶν κακῶν ὁμοίως, ὡς ὑπέδειξαν ἡμῖν ὁ Δημοσθένης εὐθὺς ἐν τῷ προοιμίῳ τοῦ κατ' Ἀνδροτίωνος· Διόδωρος γὰρ οὐκ εἶπεν, ὅτι οὐδὲν Εὐκτήμων παρ' αὐτοῦ ἠδίκηται, ἀλλ' ὅτι πολλὰ μὲν ἠδίκηται καὶ μεγάλα· πολλῷ δὲ ἐγὼ μείζονα· καὶ οὕτω τῇ τῶν γενομένων εἰς Εὐκτήμονα αὐξήσει τὰ ἑαυτοῦ αὐξήσας ἔλαθε· φράσιν δὲ ὁμοίως κἀνταῦθα πομπικὴν καὶ θεατρικὴν εἶναι δεῖ, τοῦ σεμνοῦ μὴ ἀφισταμένην· τριῶν μὲν ὄντων τῆς ῥητορικῆς μερῶν, τοῦ μὲν ἑνός, λέγω δὴ τοῦ ἐγκωμίου, φανείη ἂν ἰσότιμος· γυμνάσει δὲ ἡμᾶς καὶ πρὸς τὰ ἄλλα· καὶ γὰρ συμβουλεύοντες δεόμεθα τῶν ὑφ' ἑτέρων λεγομένων τὰ ἡμῶν αὐτῶν δεῖξαι καλλίονα· καὶ κατατρέχοντες τῶν ἀδικημάτων τὸ αὐτὸ τοῦτο ἐργασόμεθα, καὶ τὰ νῦν ταῦτα πάντων ἐπιχειρήσομεν δεικνύναι μείζονα· καὶ ὅλως πολυσχιδὴς τούτου ἡ χρεία, ὥσπερ καὶ τοῦ ἐγκωμίου· καὶ καθ' ἑαυτὸ ὡς ὅλου παραλαμβανομένου, καὶ μεθ'

3 Mon. προσθῆναι. 4 Il. χ, 158.

ἑτέρου ὡς μέρους· πέντε δ' ὄντων τῶν μερῶν τοῦ λόγου γυμναζόμεθα ἐν αὐτῷ καὶ εἰς προοιμίων εὑρέσεις καὶ εἰς διηγήσεων μεταχειρίσεις,[5] ἐν οἷς ὡς διηγούμενοι τὰ πλεονεκτήματα λέγομεν, καὶ ὡς ἀγώνων σφοδρότητας, ἐν οἷς ἢ ὅμοια ἀποπειρώμεθα δεικνύναι ἢ μείζονα, καὶ εἰς ἐπιλόγων πάθη, ἐν οἷς καταπαύομεν τὰς ὑποθέσεις· εἰ δὲ ἀνθέων ἡμῖν ἢ φυτῶν ἢ τοιούτων ὅλως γίνοιτο ἡ ἀντεξέτασις, ἐξέσται ἡμῖν καὶ ἀνειμένῃ χρήσασθαι τῇ φράσει, ὥστε μηδὲ ἀναγκάζεσθαι διὰ πάντων τῶν κεφαλαίων ἰέναι, μηδὲ ζητεῖν παραιτήσεως τρόπους τῆς ἀνειμένης φράσεως ἐχούσης ἄδειαν, μὴ σφόδρα ἔπεσθαι τῇ τέχνῃ τῶν ἐγκωμίων τῶν διὰ συντόνου χαρακτῆρος τιθεμένων ἐν διαιρέσει.

γ'. Τὸ συνάγω φωνὴ τῶν φιλοσόφων ἐστὶν ἐπὶ τοῦ συμπεράσματος ἐξενηνεγμένη· συνάγειν γὰρ τὸ ἐπάγειν τὸ συμπέρασμά φησι· συμπέρασμα δέ ἐστιν ὁ μιγνύων τὰς δύο προτάσεις λόγος· πρότασις δὲ ἐκ δύο γίνεται ὅρων ὥσπερ καὶ τὸ συμπέρασμα ἐκ δύο προτάσεων γίνεται· οἷον ὁ ἄνθρωπος ζῶον, μία πρότασις ἐκ δύο ὅρων· ἑνὸς μὲν τοῦ ὁ ἄνθρωπος, ἑτέρου δὲ τοῦ ζῶον· εἶτα ἑτέρα δευτέρα· τὸ ζῶον οὐσία, καὶ αὕτη ἐκ δύο ὅρων, μιᾶς μὲν τοῦ τὸ ζῶον, ἑτέρας δὲ τοῦ οὐσία· εἶτα ἡ συναγωγὴ εἴτουν τὸ συμπέρασμα, συνάγον τὰς δύο προτάσεις καὶ παριστῶν τὴν ἀλήθειαν ἀναγκαίως, ὁ ἄνθρωπος ἄρα οὐσία· ἐπειδή, φησὶν, ὁ μὲν ἄνθρωπος ζῶον, τὸ δὲ ζῶον οὐσία, ἀναγκαῖον τὸ ἑπόμενον τὸ τὸν ἄνθρωπον οὐσίαν εἶναι· καθ' ὃ οὖν ἐκ τῶν δύο προτάσεων συνάγεται, συναγωγὴ κέκληται· καθὸ δὲ συμπεραίνει καὶ ἀπαρτίζει τὸ ἀληθὲς, συμπέρασμα ὀνομάζεται. Καὶ ἐπὶ τῆς συγκρίσεως οὖν τοῦτο θεωρεῖται, ὡς ἐὰν εἴπω· ὁ

Ἔχε-

---

5 Mon. μεταχειρήσεις. Par. 2. μεταχειρήσεις.

Ἔχετος ἀπάνθρωπος καὶ ὠμὸς καὶ ἀνηλεής τις ἦν· ὁ Φάλαρις τὴν ἐκείνου κακίαν παρήλασεν, ὁ Φάλαρις ἄρα τοῦ μισεῖσθαι κατὰ τὸν Ἔχετον καὶ διαβάλλεσθαι ἄξιος.

δ'. Τὸ φαῦλα ἐνταῦθα ἐπὶ τῶν διαβαλλομένων καὶ μισουμένων καὶ ψεγομένων ὁ Ἀφθόνιος ἐξενήνοχεν· οἰκειότερον δέ ἐστιν ἡ λέξις τιθεμένη ἐπὶ τοῦ ἥττονος· εἰ μὴ ἄρα τις τοῦτο λέγει, ὅτι πᾶν τὸ ἧττον τοῦ πρὸς ὅ ἐστιν ἧττον τούτου καὶ χεῖρον καθέστηκεν.

ε'. Εἰ μὲν γὰρ χρηστὰ συγκρίνεις χρηστοῖς, διπλοῦν ἐστι τὸ ἐγκώμιον, ἄμφω ἀναγκαίως ἐπαινουμένων· εἰ δὲ φαῦλα φαύλοις, διπλοῦς ὁ ψόγος, κατὰ τὸν προλεχθέντα τρόπον, ἀνάγκην γὰρ ἔξεις ἄμφω διαβαλεῖν· καὶ πάντες δὲ οἱ τόποι ἦγουν τὰ ῥητορικὰ ἐπιχειρήματα, ταῦτα γὰρ καὶ χωρία καὶ τόποι καλοῦνται, δεινοὶ διόλου πεφύκασι καὶ πολλῆς ἐπιστασίας ἐν τῷ λέγειν δέομενοι, μάλιστα δέ, ὅτε τις ἀπὸ τῶν ἡττόνων αὔξει τὰ μείζονα, ὡς φέρε στρατηγὸν ἐπὶ τροπαίοις καὶ νίκαις ἐγκωμιάζων, ἐὰν οὕτως ἐρεῖ· εἰ στρατιώτης ἅπαξ ἠριστευκὼς γερῶν ἐστιν ἄξιος, πολλῷ μᾶλλον στρατηγὸς οὕτω καταγωνισάμενος τὸν ἀντίπαλον· δεῖ γὰρ οὐκ ἐπιχειρημάτων μόνον ἐν τοῖς τοιούτοις, ἀλλὰ δὴ καὶ ἐνθυμημάτων, διὰ τοῦτο τοίνυν καὶ ὁ Ἀφθόνιος δεινὸν εἶναι τὸν τοιοῦτον τόπον κατὰ τὸ εἰκὸς εἴρηκεν.

ς'. Ὅπερ ἐν τῷ ὅρῳ εἶπε, τοῦτο τετήρηκε καὶ ἐν τῷ παραδείγματι ὁ Ἀφθόνιος· οὐ γὰρ ἁπλῶς ὅλην σύγκρισιν Ἕκτορος πρὸς Ἀχιλλέα πεποίηται, ἀλλὰ καθ' ἓν αὐτὴν τῶν κεφαλαίων εἰργάσατο, ἐπὶ μὲν πατρίδος εἰπών· ὅσῳ δὴ τὸ γεγενῆσθαι χώρας ὁμοίας οὐ χεῖρον εἰς ἔπαινον, τοσούτῳ Ἕκτωρ Ἀχιλλέως οὐκ ἀπολείπεται· ἐπὶ δὲ προγόνων, ὅσῳ δὴ παραπλήσιον τὸ θεοῖς συνοικεῖν καὶ συνδιαιτᾶσθαι τοῖς κρείττοσι, τοσούτῳ Ἕκτωρ Ἀχιλλεῖ παραπλήσιος· ἐπὶ δὲ ἀνατροφῆς, τὸ δὲ τραφῆναι πρὸς ἀρετὴν ἴσον ὄν, ἴσην αὐτοῖς ἐπιφέρει τὴν εὔκλειαν· τοῦτο

δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἁπάντων κεφαλαίων εὑρήσεις, ὡς εἴγε τις μὴ οὕτω ποιεῖ, ἀλλὰ διαιρεῖ μόνον τὰ κεφάλαια, μὴ ἐπάγων ἑκάστῳ τὴν σύγκρισιν, ἐγκώμιον ἔσται τὸ συγγραφὲν, ἀλλ' οὐ σύγκρισις, ἣ φησιν ὁ Ἀφθόνιος.

ζ'. Ἀπὸ τῆς Φθίας γὰρ ὥρμηται ὁ Ἕλλην, ἀφ' οὗ τὴν ἐπωνυμίαν ἔσχον τὸ ἔθνος οἱ Ἕλληνες· καὶ ἡ χώρα δὲ δι' ἐκείνων Ἑλλὰς ἐκλήθη.

ἡ. Μυθολογεῖται γὰρ, ὡς ὅτε ἀντῆρε Ποσειδῶν τῷ Διὶ καὶ διημφισβήτει τούτῳ τῆς ἀρχῆς συναιρομένων αὐτῷ Ἀπόλλωνος, Ἥρας καὶ Ἀθηνᾶς, οὐκ ἐπέρανε δὲ τὸ βούλευμα, οὐδὲ γὰρ μετεκίνησε τὸν Δία τῆς ἀρχῆς, θητείαν κατακριθεὶς ἅμα Ἀπόλλωνι ἐπιταγαῖς Λαομέδοντος τὴν Ἴλιον ἐδείματο· τοῦτο Ὅμηρος ἐμφαίνει κατ' ἐκεῖνο τὸ χωρίον, ἐν ᾧ φησιν· [6]

Ἥρῳ Λαομέδοντι πονήσαμεν ἀθλήσαντε.

θ'. Παλιλλογία τοῦτο, εἰς τὴν αὐτὴν γὰρ ἔννοιαν καταστρέφει τῷ θεοῖς τὸ κρείττοσι, καὶ τῷ συνοικεῖν τὸ συνδιαιτᾶσθαι· εἰ μήτις συνοικεῖν μὲν φήσει τὸ ὑπὸ τὸν αὐτὸν οἶκον, ὑπὸ τὴν αὐτὴν ἑστίαν εἶναι, συνδιαιτᾶσθαι δὲ τὸ συνευωχεῖσθαι καὶ συνεσθίειν.

ι'. Τῷ μὲν Ἀχιλλεῖ, φησὶ, καθηγεμὼν καὶ διδάσκαλος ἀρετῆς ὁ Χείρων ἦν· τῷ δὲ Ἕκτορι Πρίαμος, οὐ τέχναις τισὶ καὶ μηχαναῖς, ὡς ἱπποκένταυρος Χείρων, ἀλλ' αὐτῇ τῇ φύσει χρώμενος πρὸς τὰ τῆς ἀρετῆς διδάγματα· αὐτοδίδακτος γὰρ, ὡς ἂν εἴποι τις, ἐγγίνεται τοῖς παισὶν ἡ ἀρετὴ, τοῖς γεννήτορσιν ἑπομένοις, καὶ ταῖς ἐκείνων πράξεσι καὶ τοῖς ἤθεσιν ἐνασκουμένοις· ὅπερ καὶ ἐπὶ τῆς τῶν ἀλόγων ζώων φύσεως γίνεσθαι πέφυκεν.

ια'. Πρόβολός ἐστιν ὁ προβεβλημένος τινὸς καὶ κρειττων φαινόμενος τῶν σὺν αὐτῷ· γίνεται γὰρ ἐκ τοῦ προβεβλῆσθαι. Ἕκτωρ οὖν, ἕως ἔτι, φησὶ, περιῆν, πρό-

6 Il. η, 452. πολίσσαμεν.

βολος ἐτύγχανε τῆς Ἰλίου, πρὸ ταύτης ἱστάμενος καὶ ὑπερμαχῶν, καὶ κρείττων τῶν ἄλλων μακρῷ δεικνύμενος, δεῖγμα δὲ, ὅτι πεσὼν παρέσχε καὶ τὴν Τροίαν κεῖσθαι.

ιβ'. Μυθολογεῖται γὰρ ἐν εἴδει τοῦ Ἀλεξάνδρου τὸν Ἀπόλλωνα τόξῳ ἀνελεῖν τὸν Ἀχιλλέα.

ιγ'. Οὐχ ὁ βίος μόνον, φησὶ, τῶν δύο, ἀλλὰ καὶ ὁ θάνατος παραπλήσιος ἦν, ὥστε καὶ ὁ Ἕκτωρ Ἀχιλλεῖ ἐστι παραπλήσιος.

Cap. XI.

ΟΡΟΣ ΗΘΟΠΟΙΙΑΣ.

α'. Τί ἐστιν ἠθοποιΐα· ποιότης ψυχῆς ἀπεσκιῤῥωμένη [1] καὶ δυσαπόβλητος, τουτέστι παγία καὶ εἰς ἕξιν ἐλθοῦσα· ἔστι δὲ ἠθοποιΐα λόγος ἁρμόζων τοῖς ὑποκειμένοις, ἦθος ἢ πάθος ἢ τὸ συναμφότερον ἐμφαίνων.

β'. Παρέπεται τῇ ἠθοποιΐᾳ πέντε· ὅρος, διαφορὰ, εἶδος, χαρακτὴρ, χρόνος, ὅρος· ὅρος· ἠθοποιΐα ἐστὶ μίμησις ἤθους ὑποκειμένου προσώπου· διαφορά· διαφοραὶ δὲ ταύτης τρεῖς, εἰδωλοποιΐα, προσωποποιΐα, ἠθοποιΐα· εἶδος· τῶν δὲ ἠθοποιῶν αἱ μέν εἰσι παθητικαὶ, αἱ δὲ ἠθικαὶ, αἱ δὲ μικταί· χαρακτήρ· ἐργάσῃ δὲ τὴν ἠθοποιΐαν χαρακτῆρι σαφεῖ, συντόμῳ, ἀνθηρῷ καὶ ἐξῆς· πέμπτον· χρόνοις διαιρήσεις· ἀντὶ κεφαλαίων τοῖς τρισὶ χρόνοις, ἐνεστῶτι, παρῳχηκότι, μέλλοντι.

γ'. Τινὲς μετὰ τὴν σύγκρισιν εὐθὺς τὴν ἔκφρασιν τάξαντες, τὴν δὲ ἠθοποιΐαν μετὰ τὴν θέσιν οὕτως ἔγραψαν· καλῶς μετὰ τὴν θέσιν ἠθοποιΐα τέτακται· τρόπον γάρ τινα ὁδός ἐστιν ἀπὸ τῆς θέσεως διὰ ταύτης ἐπὶ τὰς τελείας ὑποθέσεις· οἷον ἔστι τις θέσις· εἰ φιλοσοφητέον·

---

1 Mon. ἀτεσκιρωμένη.

αὕτη κατασκευάζεται. διʼ ὧν εἴπομεν ἐργασιῶν ἐν τοῖς περὶ αὐτῆς λόγοις· ἐν δὲ τῇ ἠθοποιΐᾳ ἐροῦμεν· γεωργὸς φιλοσοφεῖν τὸν υἱὸν προτρέπεται· προστεθεῖσα οὖν ἡ τοῦ πατρὸς ποιότης, οὔπω μὲν ἐποίησε τελείαν ὑπόθεσιν, ἐπειδὴ ἔτι λείπεται τῇ περιστάσει· τελειοτέραν μέν τοι ἔδειξεν, ἢ κατʼ αὐτὴν θέσιν· καὶ οὕτω μὲν ἐκεῖνοι γεγράφασιν, ἀλλʼ ἡμεῖς τῷ κεκρατηκότι ἔθει ἑπόμενοι, καὶ τὴν ἠθοποιΐαν εὐθὺς μετὰ τὴν σύγκρισιν τιθέντες φαμέν, ἠθοποιΐα ἐστὶ λόγος ἁρμόζων τοῖς ὑποκειμένοις, ἦθος ἢ πάθος ἐμφαίνων, ἢ καὶ συναμφότερα, ἁρμόζων μὲν τοῖς ὑποκειμένοις, ἐπειδὴ δεῖ στοχάζεσθαι καὶ τοῦ λέγοντος καὶ πρὸς ὃν λέγει· ἦθος δὲ ἢ πάθος ἢ καὶ συναμφότερον, ἐπειδὴ πρὸς τὰ καθόλου τις ἀποβλέπει, ἢ πρὸς τὸ ἐκ περιστάσεως γινόμενον· ταύτῃ γὰρ ἦθος πάθους διαφέρει· οἷον εἰ λέγοιμεν, ὅτι ποίους ἂν εἴποι λόγους δειλὸς ἐπὶ μάχην μέλλων ἐξιέναι, τοῦ καθόλου τοῖς δειλοῖς προσόντος ἤθους φροντιοῦμεν· εἰ δὲ λέγοιμεν, ποίους ἂν εἴποι λόγους τυχὸν Ἀγαμέμνων, ἑλὼν τὴν Ἴλιον, ἢ Ἀνδρομάχη, πεσόντος Ἕκτορος, δώσει τὴν εὐπορίαν τὰ πάθη τὰ νῦν γενόμενα· τῶν δὲ ἠθοποιῶν αἱ μέν εἰσιν ἠθικαὶ, αἱ δέ εἰσι παθητικαὶ, αἱ δὲ μικταί· ἠθικαὶ μὲν καὶ παθητικαὶ, ἃς ἤδη ἐδηλώσαμεν, μικταὶ δὲ, αἱ ἀπὸ ἀμφοῖν· οἷον ἂν εἴπω, ποίους ἂν εἴποι λόγους Ἀχιλλεὺς ἐξιὼν ἐπὶ πόλεμον μετὰ τὴν τελευτὴν τοῦ Πατρόκλου· προσθήσω γὰρ τῷ ἤθει καὶ τὰ ἐκ τοῦ πάθους, καὶ μικτὴν ἐργάσομαι· τὴν δὲ προσωποποιΐαν καλουμένην, οὖσαν σχεδὸν τὴν αὐτὴν τῇ ἠθοποιΐᾳ· ἕτεροι ἑτέρως διαφέρειν αὐτὰς ἐνόμισαν, οἱ μὲν γὰρ προσωποποιΐαν αὐτὴν ἐκάλεσαν τὴν ἔχουσαν ὡρισμένα καὶ τὰ πρόσωπα καὶ τὰ ὑποκείμενα πράγματα· ἠθοποιΐαν δὲ τὴν πανταχόθεν ἀναπλαττομένην, ἣν καὶ ῥῆσιν καλοῦσι, τοῦτο αὐτῇ τιθέντες ὄνομα· εἰσὶ δὲ, οἳ καὶ κάλλιστον ἔδοξαν, ἠθοποιΐαν μὲν τὴν ἐκ τῶν ὡρισμένων προσώπων,

προσωποποιΐαν δὲ ἐν ᾗ καὶ πρόσωπον πλάττομεν, καὶ περιτίθεμεν αὐτοῖς λόγους· ταῦτα δὲ μάλιστα τοῖς ποιηταῖς ἀνατιθέασιν· οἷς ἔστι καὶ τὰ ἄψυχα μεταπλάττειν εἰς πρόσωπα ἐξουσία, καὶ περιποιεῖν αὐτοῖς ῥήματα, καὶ περὶ τὴν διαίρεσιν δὲ πολλοῖς οὖσι τοῖς περὶ αὐτῆς διαλαμβάνουσι τῆς διαφορᾶς τὴν κρατοῦσαν δεῖ ἐκθέσθαι, ὅτι τρισὶ χρόνοις διαιρεῖται, ἐνεστῶτι, παρεληλυθότι καὶ μέλλοντι· ἃ γάρ τινες κεφάλαια ὠνόμασαν, ταῦτα ἐνθυμήματά εἰσι τῶν περὶ ἕνα τῶν χρόνων τούτων εὑρισκομένων· ἀρξόμεθα οὖν ἀπὸ τοῦ ἐνεστῶτος, καὶ ἀναδραμούμεθα ἐπὶ τὸν παρεληλυθότα χρόνον, εἶτ' ἐκεῖθεν πάλιν ἀναστρέψομεν ἐπὶ τὸν ἐνεστῶτα· οὐ γὰρ ἀμέσως ἥξομεν ἐπὶ τὸν μέλλοντα, ἀλλὰ μνημονεύομεν διὰ βραχέων τῶν νῦν ἐχόντων καὶ οὕτως ἐξετάσομεν τὰ μέλλοντα· οἷον ἡ ἠθοποιΐα, ποίους ἂν εἴπῃ λόγους Πηλεὺς, τὸν θάνατον ἀκούσας τοῦ Ἀχιλλέως· οὐκ εὐθὺς ἀναμνησθήσεται τῆς παλαιᾶς εὐδαιμονίας, ἀλλὰ πρότερον θρηνήσας τὴν παροῦσαν τύχην ἀντιπαραθήσει τὰ παλαιὰ αὐτῷ συμβεβηκότα ἀγαθὰ, τὸν γάμον τῆς θεᾶς, τὴν παρὰ τῶν θεῶν τιμὴν, τὰς πολλὰς ἀριστείας, εἶτα δὲ δακρύσει τὰ νῦν προτιθεὶς, οἷα ἐξ οἵων αὐτὸν περιέστηκε, καὶ οὕτως οἷον μαντεύσεται· πόσοις εἰκὸς αὐτὸν περιπεσεῖν κακοῖς δι' ἐρημίαν τοῦ βοηθήσοντος· χρὴ δὲ τὴν ἀπαγγελίαν κομμωτικωτέραν [2] εἶναι μᾶλλον, καὶ οἷον πρὸς ἄλλα μὴ περιοδικῶς συμπληροῦσθαι· τὸ γὰρ περὶ τὴν φράσιν καταγίγνεσθαι πάθους ἀλλότριον· ἴδιον δὲ χαιρόντων καὶ θρηνούντων τὸ συντόμως καὶ διὰ βραχέων ἕτερα ἐφ' ἑτέροις ἐπάγειν· οὐ δόξει οὖν πεπονθέναι ἐν καιρῷ τοιούτῳ κάλλους τοῦ περὶ τὴν φράσιν ἐπιμελομένου· ἔστι δὲ καὶ τοῦτο προγύμνασμα πρὸς τὰ τρία εἴδη τῆς ῥητορικῆς χρήσιμον· καὶ γὰρ καὶ ἐγκωμιάζοντες καὶ κατηγο-

2 Mon. κωμωτικοτέραν.

ροῦντες καὶ συμβουλεύοντες ἠθοποιῶν πολλάκις δεόμεθα· ἐμοὶ δὲ δοκεῖ καὶ πρὸς τὸν ἐπιστολικὸν ἡμᾶς γυμνάζειν χαρακτῆρα, εἴγε καὶ ἐν ἐκείνῳ δεῖ τοῦ ἤθους τῶν τε ἐπιστελλόντων καὶ πρὸς οὓς ἐπιστέλλουσι, ποιεῖσθαι πρόνοιαν· αὐτὸ δὲ τὸ ἐπιστολικὸν, εἴτε ὑφ' ἓν τούτων τῶν τριῶν ἀνάγεται εἴτε ὑφ' ἕτερον, οὐ τοῦ νῦν ἐστι καιροῦ σκοπεῖν· ἄλλως τε, ἐπειδὴ καὶ περὶ αὐτῶν ἐν τοῖς περὶ ἐγκωμίων ἀρκούντως ὡς πρὸς εἰσαγωγὴν ἐλέχθη· προοιμίων δὲ ἐνταῦθα συνεστραμμένων, ὅπουγε μηδὲ τῆς ἄλλης φράσεως τοιαύτης χρεία, οὐ δεησόμεθα, ἀλλ' οὐδὲ διηγήσεων σωζουσῶν τὴν ἀκολουθίαν· εἰ δὲ μὴ, λύοιτο ἂν τὸ πάθος, οὐδὲ ἀγωνιστικὸς ἔσται ὁ λόγος, ἀλλὰ μόνον κινῶν τὸν ἀκροατὴν εἰς ἡδονὴν ἢ εἰς δάκρυον.

δ'. Ἐν τῇ δημοκρατίᾳ τῶν πάλαι δημοκρατησάντων εἰσάγει ὁ Ἀριστείδης τὰ ὀνόματα· ἦσαν δὲ τιμίων. Μιλτιάδης, Θεμιστοκλῆς καὶ Περικλῆς, καὶ ὑποκρινόμενος ἐκείνων τὰ πρόσωπα πάλαι τεθνεώτων, πολλὰ περὶ δημοκρατίας δημηγορεῖ· ταὐτὸ δὲ τοῦτο καὶ ὁ Εὔπολις περὶ παλαιῶν δήμων γράφων πεποίηκε.

ε'. Ὁ Μένανδρος πλάττει τὸν ἔλεγχον, καὶ πρόσωπον ἐλέγχου τοὺς κακούς· ἐοικὸς δὲ καὶ Πλάτων πεποίηκε, πολιτείαν [3] ὅλην καὶ πολιτευομένους πλασάμενος.

ς'. Πάθος ἐστὶ πρόσκαιρος κατάστασις ψυχῆς, σφοδροτέραν ὁρμὴν ἢ συμφορὰν ἐμποιοῦσα.

β'. Ἀνθηρός ἐστι χαρακτὴρ ὁ διὰ λέξεων συγκείμενος ἀνθηρῶν· ἀνθηραὶ δὲ λέξεις αἱ λαμπραὶ, καὶ οἷον περικαλλεῖς καὶ ἄνθεσιν ἐοικυῖαι· ὥσπερ γὰρ τὴν ὄρασιν τὰ ἄνθη, οὕτω τὸν νοῦν αἱ λαμπραὶ καὶ ἡδεῖς καὶ οἷον κομμωτικαὶ τῶν λέξεων ἥδουσι· τίνες δέ εἰσιν αὗται, περιττόν ἐστι λέγειν, αὐτοῦ τοῦ Ἑρμογένους ἐν τῷ περὶ ἰδεῶν κάλλιστα καὶ ἀκριβέστατα περὶ αὐτῶν διειληφότος,

3 Par. 2. πολιτείαν. Mon. πολιτίαν.

ἐν οἷς περὶ λαμπρότητος διαλαμβάνει, ἥτις ὑποβέβηκε τῷ μεγέθει τοῦ λόγου καὶ ἀξιώματι· ὁ δὲ χαρακτήρ τί ἐστι καὶ τὸ σαφὲς ἤδη εἴρηται· ἀπόλυτος δὲ λέγεται χαρακτὴρ ὁ ἄφετος καὶ ἐλεύθερος, καὶ οἷον εἰπεῖν ἰαμβόκροτος, καὶ περιόδων καὶ διλημμάτων καὶ κύκλων καὶ τῶν τοιούτων ἀπηλλαγμένος· πλοκὴν δὲ οὐ μόνον τὰ προειρημένα, φησὶν, ἀλλὰ καὶ τὰς τροπικὰς λέξεις, αἳ δῆλαι τῷ φιλοπονεῖν ἐθέλοντι τὸ περὶ ἰδεῶν βιβλίον Ἑρμογένους ἀναγινώσκοντι· σχήματος δὲ ἀξιοῖ τὸν λόγον ἀπηλλάχθαι, οὐ παντὸς, τοῦτο γὰρ οὐ τῶν δυνατῶν, ὅτι πᾶς λόγος διὰ σχημάτων γίνεται, ἀλλὰ τοῦ συνεχῶς ἀλλαττομένου καὶ μεταβαλλομένου· ἔστι δὲ σχῆμα ἡ ὑπαλλαγὴ τοῦ λόγου, ὡς φέρε ἐὰν ἐξ ὑποφορᾶς εἰς ἐλεγκτικὸν μεταβῶ καὶ εἴπω· σὺ μὲν φῂς, ὡς οὐδὲν ἠδίκηκας τοὺς Φωκεῖς, ἀλλ' οὕτω λέγων οὐκ ἐρυθριᾷς; οὐ δέδιας τοὺς δικάζοντας αὐτοὺς τοῖς θεοὺς, οὓς οὐδὲν τῶν ἀποῤῥήτων διαλανθάνει; Ἰδοὺ ἀπὸ τοῦ σχήματος τῆς ὑποφορᾶς ἐπὶ τὸ ἐλεγκτικὸν μετέβη· τῆς τοιαύτης οὖν ὑπαλλαγῆς τοῦ σχήματος ἀπηλλάχθαι τὸν περὶ ἠθοποιίας λόγον ὁ σοφιστὴς Ἀφθόνιος ἀξιοῖ· τὸ δὲ σχῆμα ἓν ἐστι τῶν ὀκτὼ μερῶν, αἷς ἰδέαι γίνονται· εἰσὶ δὲ ταῦτα, ἔννοια, μέθοδος, λέξις, σχῆμα, κῶλον, συνθήκη, ἀνάπαυσις καὶ ῥυθμός· αἱ δὲ ἰδέαι εἰσὶν αἵδε· σαφήνεια, μέγεθος, κάλλος, ἦθος, γοργότης, ἀλήθεια, δεινότης, εἰ καὶ τὸν ἀληθῆ λόγον καὶ ἐνδιάθετον Ἑρμογένης ὑφ' ἑτέραν ἰδέαν ἔταξε δι' αἰτίας, ἃς ἐν τῷ περὶ ἰδεῶν θεοῦ συναιρομένου ἐροῦμεν. [4]

ἡ. Περὶ τῆς Νιόβης Ὅμηρος ἱστόρηκεν ἐν τῇ κδ' ῥαψῳδίᾳ, ὅτι γυνή τις ἦν εὔπαις καὶ καλλίπαις, ἥτις καὶ συνδιητᾶτο καὶ συνῆν τῇ Λητοῖ· φαμένη κρεῖττον εἶναι οὐ κατὰ τὸ πολύπαις μόνον, ἀλλὰ καὶ κατὰ τὸ εὔπαις τυγχάνειν· ἡ μὲν γὰρ ἑπτὰ παίδων καὶ καλλίστων μή-

4 Vide T. VII. p. 1075.

τηρ ἐστὶν, ἡ δὲ Λητὼ δύο μόνον Ἀρτέμιδος καὶ Ἀπόλλωνος· οἷς ἡ Λητὼ κινηθεῖσα διὰ μὲν Ἀπόλλωνος τοὺς ἄῤῥενας υἱοὺς Νιόβης ἀνεῖλε, διὰ δὲ Ἀρτέμιδος τὰς θήλειας, τῶν πολλῶν ἐκείνων θυσιῶν καὶ τιμῶν τῆς Νιόβης ὀλιγωρήσασα· ἡ δὲ περὶ Ταντάλου τοῦ πατρὸς αὐτῆς ἱστορία δήλη, ἐξ ὧν Εὐριπίδης ἐν τῷ κατὰ Ὀρέστην δράματι ἐπεμνήσθη, ἐν οἷς φησὶ καὶ τό· [5]

Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον
Ἄέρι ποτᾶται, καὶ τίνει ταύτην [6] δίκην.

καὶ τό,

Ὁ γὰρ μακάριος, κοὐκ ὀνειδίζω τύχας,
Διὸς πεφυκὼς, ὥς λέγουσι, Τάνταλος
Ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον,

καὶ τὰ ἐπὶ τούτοις· ὅμοια οἷν τοῖς τοῦ Ταντάλου τὰ τῆς Νιόβης· ἐκεῖνός τε γὰρ συνδιαιτώμενος τοῖς θεοῖς ἀκόλαστον ἔσχε γλῶσσαν, καὶ τὰ θεῖα μυστήρια ἔκφορα τοῖς ἀνθρώποις ἐποιεῖτο· καὶ Νιόβη συνδιαιτωμένη Λητοῖ ἐξύβρισεν αὐτὴν λοιδορίαις βαλοῦσα, καὶ ἑαυτὴν κρείττονα διὰ τὴν πολυτεκνίαν νομίσασα. Ἐπειδὴ πάντα τὰ ἐν τῷ βίῳ χάριν τούτου διαπονοῦμεν, διὰ τὸ ἐξ αὐτῶν ἀποβαῖνον τέλος, εἰκότως ὁ Ἀφθόνιος διὰ τὴν τῆς Νιόβης δυστυχίαν, ἥτις ἀπὸ τῶν τῆς Λητοῦς τιμῶν εἰς αὐτὴν προεχώρησε διὰ τὴν παροινίαν δηλῶσαι βουλόμενος, τοιούτῳ κέχρηται σκοπῷ· ὅτι, φησὶν, εἰς κακόν μοι τέλος τὰ τῆς πρὶν εὐδαιμονίας, ἥτις διά τε τῶν παίδων καὶ διὰ τῆς θεοῦ αὐτῇ προσεγένετο, ἀπέβη τε καὶ κατέληξε· τουτέστιν αἱ τιμαὶ καὶ αἱ δόξαι, ἃς πρώην εἶχον, παρά τε τῆς θεοῦ καὶ τῶν παίδων, διά τε τὸ ὁμοδίαιτον καὶ τὴν καλλιπαιδίαν ἡ πολυπαιδίαν ὄλεθρον καὶ αἰσχύνην ἐν τῇ νυνὶ συμβάσῃ μοι συμφορᾷ κατέλειπε· σεμνὸν γὰρ τὸ νεκροὺς θρηνεῖν, διὰ δὲ τὸ πλῆθος καὶ τούτου

---

5 Or. v. 6. 6 Mon. ταύτην τήν.

ἠπόρημαι· τὴν αὐτὴν ὁρῶ μοι γινομένην καὶ τῇ παραλλαγῇ τῆς φύσεως, ὅ ἐστιν ἐς ἄλογον μεταβολὴν, ὠφέλειάν τε καὶ σωτηρίαν.

Cap. XII.

ΕΚΦΡΑΣΙΣ ΤΗΣ ΑΚΡΟΠΟΛΕΩΣ.

Παρέπεται τῇ ἐκφράσει δύο· ὅρος, ὑποκείμενον, ἤτοι ὕλη· ὅρος μὲν, λόγος περιηγηματικὸς ὑπ' ὄψιν ἄγων ἐναργῶς τὸ δηλούμενον· ὑποκείμενον ἤτοι ὕλη· ἐκφραστέον δὲ πρόσωπά τε καὶ πράγματα.

β'. Τινὲς μετὰ τὴν σύγκρισιν εὐθὺς τὴν ἔκφρασιν τάξαντες οὕτως ἔγραψαν· ἔστι μὲν ἡ τῶν ἐφεξῆς προγυμνασμάτων τάξις ἀδιάφορος, καὶ ἄλλων ἄλλως τασσόντων· οὐδὲν δὲ κωλύει, τὴν ἔκφρασιν ἐν μελέτῃ ποιεῖσθαι εὐθὺς μετὰ τὴν σύγκρισιν· ἐπειδὴ γὰρ καὶ ἐπὶ τῆς συγκρίσεως ἔφαμεν εἶναι ἄδειαν τῆς ἀνειμένης φράσεως, καὶ ἐπὶ ταύτης δὲ μᾶλλον ἐκείνῳ τῷ εἴδει τῆς ἀπαγγελίας χρῆσθαι παραδέδοται, εἰκότως ἀκολουθεῖν δεῖ τῇ συγκρίσει τὴν ἔκφρασιν· ἀλλ' ἐκεῖνοι μὲν οὕτως· ἡμεῖς δὲ τῷ κεκρατηκότι ἔθει ἑπόμενοι μετὰ τὴν σύγκρισιν μὲν τὴν ἠθοποιΐαν ἐτάξαμεν, ταύτην δὲ τὴν ἔκφρασιν μετετάξαμεν, καί φαμεν· ἔκφρασίς ἐστι λόγος ἀφηγηματικὸς, ὑπ' ὄψιν ἐναργῶς ἄγων τὸ δηλούμενον· πρόσκειται δὲ ἐναργῶς, ὅτι κατὰ τοῦτο μάλιστα τῆς διηγήσεως διαφέρει· ἡ μὲν γὰρ ὑψηλὴν ἔχει ἔκθεσιν πραγμάτων, ἡ δὲ πειρᾶται θεατὰς τοὺς ἀκούοντας ἐργάζεσθαι· ἐκφράζομεν δὲ τόπους, χρόνους, πρόσωπα, πανηγύρεις, πράγματα· τόπους μὲν, οἷον λειμῶνας, λιμένας, καὶ ὅσα τοιαῦτα, χρόνους δὲ, οἷον ἔαρ, θέρος· πρόσωπα δὲ, οἷον ἱερέας, Θερσίτας καὶ τὰ τοιαῦτα· πανηγύρεις δὲ, ὡς Παναθήναια, Διονύσια, καὶ τὰ ἐν αὐτοῖς δρώμενα·

καὶ ὅλως περὶ πολλὰ τῷ προγυμνάσματι τούτῳ χρησόμεθα· διαφέρει δὲ καὶ κατ' ἐκεῖνο τῆς διηγήσεως, ὅτι ἡ μὲν τὰ καθόλου, ἡ δὲ τὰ κατὰ μέρος ἐξετάζει· οἷον διηγήσεως μέν ἐστιν εἰπεῖν, ἐπολέμησαν Ἀθηναῖοι καὶ Πελοποννήσιοι, ἐκφράσεως δέ, ὅτι τοιᾷδε καὶ τοιᾷδε ἑκάτεροι παρασκευῇ ἐχρήσαντο, καὶ τῷδε τῷ τρόπῳ τῆς ὁπλίσεως· δεῖ δὲ ἡνίκα ἂν ἐκφράζομεν καὶ μάλιστα ἀγάλματα τυχὸν, ἢ εἰκόνας, ἢ εἴτι ἄλλο τοιοῦτον, πειρᾶσθαι λογισμοὺς προστιθέναι τοῦ τοιοῦδε ἢ τοιοῦδε παρὰ τοῦ γραφέως ἢ πλάστου σχήματος· οἷον τυχὸν, ἢ ὅτι ὀργιζόμενον ἔγραψε διὰ τήνδε τὴν αἰτίαν, ἢ ἡδόμενον, ἢ ἄλλο τι πάθος ἐροῦμεν συμβαῖνον τῇ περὶ τοῦ ἐκφραζομένου ἱστορίᾳ· καὶ ἐπὶ τῶν ἄλλων δὲ ὁμοίως πλεῖστα οἱ λογισμοὶ συντελοῦσιν εἰς ἐνάργειαν· ἀρξόμεθα δὲ ἀπὸ τῶν πρώτων, καὶ οὕτως ἐπὶ τὰ τελευταῖα ἥξομεν· οἷον εἰ ἄνθρωπον χαλκοῦν ἢ ἐν γραφαῖς, ἢ ὁπωσοῦν ἔχομεν ἐν τῇ ἐκφράσει ὑποκείμενον, ἀπὸ κεφαλῆς τὴν ἀρχὴν ποιησάμενοι βαδιοῦμεν ἐπὶ τὰ κατὰ μέρος· οὕτω γὰρ πανταχόθεν ἔμψυχος λόγος γίνεται· πέντε δ' ὄντων τῶν τοῦ λόγου μερῶν, ὡς πολλάκις εἴρηται, προοιμίου, διηγήσεως, λύσεως, ἐπιλόγου, γυμνάσει ἡμᾶς ἡ ἔκφρασις πρὸς τὸ διηγηματικὸν μέρος, πλὴν ὅσον οὐ ψιλὴν ἀφήγησιν ποιουμένη, ἀλλὰ παραλαμβάνουσα τὰ ἐργαζόμενα τὴν ἐνέργειαν, καὶ ὑπ' ὄψιν ἡμῖν ἄγοντα ταῦτα, περὶ ὧν εἰσιν οἱ λόγοι, καὶ μόνον οὐ θεατὰς εἶναι παρασκευάζοντα· τριῶν δὲ ὄντων εἰδῶν, τοῦ τε δικανικοῦ λέγω καὶ πανηγυρικοῦ καὶ συμβουλευτικοῦ, ἐν πᾶσιν ἡ χρεία τοῦ προγυμνάσματος τούτου εὑρεθήσεται· καὶ γὰρ συμβουλεύοντες ἀνάγκην ἔχομεν πολλάκις ἐκφράσαι τοῦτο, περὶ οὗ ποιούμεθα τοὺς λόγους, ἵνα μᾶλλον πείσωμεν, καὶ κατηγοροῦντες ἢ ἀπολογούμενοι δεόμεθα τῆς ἐκ τοῦ φράζειν αὐξήσεως· καὶ μέντοι καὶ ἐν πανηγυρικαῖς ὑποθέσεσιν ἱκανὸν τὸ τῆς ἐκφράσεως ἡδονὴν ἐμποιῆσαι τοῖς

ἐν θεάτροις καθημένοις· ἔστι δὲ ὡς ἐπὶ τὸ πολὺ τοῦτο τὸ προγύμνασμα τῶν ὡς μερῶν παραλαμβανομένων· οὐδὲν δὲ ἴσως ἂν κωλύοι καὶ ὡς ἀρκοῦσάν ποτε αὐτὴν πρὸς ὅλην ὑπόθεσιν ἐργάσασθαι, ὡς ἐπὶ τὸ πλεῖστον μέντοι τῶν μερῶν ἐστι· φράσεως δὲ ποικίλης ἐν αὐτῇ δεόμεθα, πρὸς γὰρ τὴν ὑποκειμένην ὑπόθεσιν ἁρμόζειν δεῖ καὶ τὸ τῆς ἀπαγγελίας εἶδος, ἢ γλυκαίνοντας ἢ ἐκτραγῳδοῦντας τὰς συμφορὰς, ἢ ὅλως ἄλλο τι παριστάντας πάθος· ἔστι γὰρ ὅτε εὐθυμίαν μόνην ἐμποιῆσαι θέλομεν· ἔστι δὲ ὅτε δεινῶσαί τε καὶ αὐξῆσαι, ὡς ὁ Δημοσθένης ἐν τῷ περὶ τῆς παραπρεσβείας τὸ κατὰ τῶν Φωκαέων πάθος ὑπ' ὄψιν ἄγειν πειρᾶται διὰ τοῦ λόγου.

γ'. Περιηγεῖσθαί ἐστι τὸ προϊέναι τινός, καὶ δεικνύειν αὐτῷ, ἃ μήπω τεθέαται· τὸν τοῦτο δὲ διαπραττόμενον καὶ περιηγητήν φαμεν, καὶ Λουκιανὸς εἰσάγει τὸν Μίκυλλόν τινι λέγοντα· περιήγησαί μοι τὰ ἐν Ἅιδου· καὶ τὸν ποιητὴν δὲ διὰ τοῦτο περιηγητὴν ὠνόμασαν, ὅτι διὰ τῶν αὐτοῦ λόγων ὡσανεὶ τὴν ὑφήλιον πᾶσαν περιϊὼν πρὸ ἡμῶν δείκνυσι, ποταμοὺς, λίμνας καὶ χώρας, ἔθνη τε καὶ διαφόρους τῆς γῆς ποιότητας, καὶ ὁ λόγος οὖν τῆς ἐκφράσεως περιηγηματικός ἐστι, κατὰ πάντα ἐοικὼς ἐκείνῳ, καὶ ὑπ' ὄψιν ἄγων ἐναργῶς τὸ δηλούμενον, ὡς ἄγε μὴ οὕτω τις ἐναργῶς ἐκφράσοι, διαμάρτοι αὐτῷ καὶ ὁ λόγος τοῦ τοιοῦδε ὀνόματος.

δ'. Ἐξέφρασε δηλονότι τὸν Εὐρυβάτην, τὸν τοῦ Ὀδυσσέως θεράποντα, ἐν οἷς φησιν, γυρὸς ἐν ὤμοισιν· ἀπὸ κεφαλῆς δὲ ἄρχεσθαι καὶ ἕως ποδῶν ὀφείλει κατιέναι ὁ ποιούμενος τὴν ἔκφρασιν, νῦν δὲ οὐ κατὰ τέχνην ἐξενήνεκται διὰ τὸ μέτρον· ἐν μέντοι τῷ φοξὸς ἔην κεφαλὴν, χωλὸς δ' ἕτερον πόδα ἐντέχνως εἴρηται.

ε'. Συγγραφέα Ἀφθόνιος τὸν Θουκυδίδην φησὶ κατὰ τὸ ἐξαίρετον, ὥσπερ καὶ ποιητὴν τὸν Ὁμηρόν φαμεν· καί τοι πολλῶν καὶ ἄλλων πειρηνότων, καὶ ῥήτορα ὁμοί-

ως τὸν Δημοσθένην, οὐκ ὀλίγων γεγονότων ῥητόρων. καὶ κατ' ἐκεῖνον τὸν χρόνον καὶ πρὸ ἐκείνου, καὶ μετ' αὐτόν.

ς'. Οὐ καλῶς, ὡς ἔοικεν, ὁ περίβολος τοῦ λιμένος ἦν, οὐδὲ ἀντεῖχε πρὸς κυμάτων ἐπιφοράς, εὐεπίδρομος δὲ καὶ ταῖς πνοαῖς τῶν ἀνέμων καὶ τοῖς ῥοθίοις ἦν, ὡς καὶ αὐτὸ τὸ σχῆμα ἐδήλου, καὶ διὰ τοῦτο χειμέριον αὐτὸν ἐκάλεσεν.

ζ'. Ὥσπερ ἐπὶ τῶν προσώπων ἀπὸ κεφαλῆς ἐπὶ πόδας προσήκει χωρεῖν ἐκφράζοντας, οὕτως ἐπὶ τῶν πραγμάτων, φησὶ, δεῖ[1] λέγειν τὰ προγεγονότα, εἶτ' ἐκεῖν' αὐτὰ τὰ ἐκφραζόμενα προτιθέναι, καὶ ἐπὶ τούτοις τὰ ἀποβησόμενα. Πράγματά φησιν εἰρήτην καὶ πόλεμον καὶ ὅσα ἐκ τούτων ἀποβαίνει.

θ'. Ἐὰν λειμῶνα ἐκφράσαι βούλῃ, τοῦ περιέχοντος αὐτὸν τόπου πρότερον μνημονεύσεις, καὶ ἀρκούντως περὶ ἐκείνου εἰρηκὼς, ὁδῷ προβαίνων τὰ περὶ τοῦ χειμῶνος ἐκφράσεις· ἐὰν δὲ περί τινος ἡμέρας ἢ νυκτὸς τυχὸν ἐκφράσαι ὁρμηθῇς, ὡς πνιγώδης τις ἦν, τῆς θερείας μνησθήσῃ πρότερον, καὶ διεξελθὼν ἱκανῶς τὰ ἐκείνης, ἐπὶ τὴν προκειμένην ἡμέραν ἢ νύκτα τῷ λόγῳ βαδιῇ.

ι'. Οὐ[2] τὴν μάχην, φησὶ, μόνον ἐκφράζει, ἀλλὰ μετὰ τοῦ περὶ αὐτῆς εἰπεῖν καὶ τοῦ ὅπως ἐπράττετο ἔτι ὡρίσατο καὶ περὶ τῆς νυκτὸς ὅπως εἶχε· διπλῆ τοίνυν ἔκφρασίς ἐστι πρᾶγμα μὲν ἡ μάχη, καιρὸς δὲ ἡ νύξ.

ια'. Συντελέσει μὲν τῷ ῥήτορι πρὸς τὴν ἔκφρασιν καὶ ὁ ταπεινὸς καὶ μὴ ἐπηρμένος, ἀλλὰ ἀνειμένος, καὶ οἷον ἀναβεβλημένος χαρακτὴρ, καὶ ἡ τῶν σχημάτων ποικιλία, καὶ διὰ ταχέων ἐξ ἑτέρου εἰς ἄλλο μετάβασις· μάλιστα μέντοι τὸ μιμεῖσθαι τὰ ἐκφραζόμενα, ὁποῖα ἂν καὶ εἶεν, ὡς φέρε γρυλίζειν, ἐὰν εἴπῃς περὶ χοίρων βρέφους.

---

1 Mon. δή. 2 οὐ Mon. om.

ιβ'. Οὐ μᾶλλον αὗται, φησὶ, τὰς πόλεις τειχίζουσιν ἢ τειχίζονται καὶ περικλείονται τοῖς οἰκήμασιν· οἷον κατὰ τὸν ὅμοιον τρόπον ἐξ ἴσου καὶ τειχίζουσι καὶ τειχίζονται.

ιγ'. Ἡ τῶν Ἀθηναίων ἀκρόπολις μεσίτης τῆς πόλεως ἦν· ἡ δὲ τῆς Ἀλεξανδρείας ἐπ' ἄκρου τοῦ ἄστεος ἵσταται, ὥσπερ καὶ νῦν ἡ τῆς Μεγαλοπόλεως· φησὶν οὖν Ἀφθόνιος, ὅτι, ὥσπερ καὶ προσηγόρευται ἄκρα πόλεως, οὕτω καὶ εἴργαστο, ὡς εἶναι τὴν ἐτυμολογίαν ἀτεχνῶς ἀληθῆ· τῷ τε γὰρ ὑπερανέχειν τοῦ λοιποῦ ἄστεος, καὶ ἄκρως ἐφ' ὕψους ἱδρύσθαι, καὶ τῷ μὴ ἐπὶ μέσῃ, ὡς ἡ τῶν Ἀθηνῶν, ἀλλ' ἐπὶ τῆς ἄκρας δεδομῆσθαι ἀκρόπολις ὠνομάσθη· οἰκειότερον οὖν αὕτη καὶ γνησιώτερον κληθείη ἂν ἀκρόπολις, ἢ ἡ τῶν Ἀθηναίων, ἐφ' ᾗ φρονοῦσι καὶ ἐγκαλλωπίζονται Ἀθηναῖοι.

ιδ'. Ἡ προκειμένη τῇ ἀκροπόλει ἀτραπὸς πρὸς μὲν τοὺς ἐνοικοῦντας τῇ πόλει ὁδός ἐστι, πρὸς δὲ αὐτὴν τὴν ἀκρόπολιν εἴσοδος, ὡς εἴ τις ὁρίσαιτο τὴν μὲν ὁδὸν ἐκ τοῦ ὁδεύειν ἐπὶ τὴν πόλιν κεκλῆσθαι, τὴν δὲ εἴσοδον ἐκ τοῦ εἰσιέναι εἰς τὴν ἀκρόπολιν· ἠκολούθησαν δὲ καὶ αἱ κλήσεις, φησὶ, τῶν πραγμάτων καὶ ἄλλως καὶ ἄλλως ἐξηνέχθησαν· τῇ μὲν γὰρ ὄνομα ὁδός, τῇ δὲ εἴσοδος, καὶ τῇ μὲν ὁδῷ ἔξεστι ποδὶ προσελθεῖν καὶ ταῖς ἁμάξαις οὔσῃ βατῇ, τῇ δὲ εἰσόδῳ ἀναβάθραι τὴν ἄνοδον διδόασιν ἀνεσπασμέναι, οἷον ἄνω φερόμεναι, καὶ ἀπὸ τοῦ ἐλάττονος καὶ χαμαιζήλου ἐπὶ τὸ μεῖζον καὶ τὸ ἀνώτερον ἄγουσαι καὶ ὑψοῦσαι· ἡ δὲ κλῖμαξ αὕτη, φησὶ, μετεωρίζει μὴ λήγουσα τῶν βαθμίδων, πρὶν εἰς ἑκατὸν προελθεῖν· τοσαῦται γάρ εἰσιν εἰς τὸν τέλειον ἀριθμὸν λήγουσαι καὶ πέρας ἀριθμοῦ ποιοῦσαι τελευτὴν, πρὸς ἐντελὲς φέρουσαν μέτρον, αὐτὸν δηλαδὴ τὸν ἑκατὸν ἀριθμόν.

ιε. Τὸ προπύλαιον, φησὶ, τέσσαρσιν ἐρείδεται καὶ

ὑψοῦται κίοσιν, τὰς πανταχόθεν ἐκεῖσε φερούσας ὁδοὺς εἰς μίαν συνάγον· μία γάρ τις ἦν ἡ δι' αὐτοῦ εἴσοδος· ἄνωθεν δὲ τῶν κιόνων ἐπῳκοδόμητό τις οἶκος, μιαρὸς μὲν, πολλὰς δὲ προβαλλόμενος καὶ προτείνων καὶ δεικνὺς κίονας καὶ τὴν χρόαν ἐξηλλαγμένας, τῷ δὲ κατασκευάσματι τοῦ προπυλαίου κόσμον ἐμποιούσας.

ις'. Ὄντα τὰ τέσσαρα στοιχεῖα καλοῦμεν, οἷς θεωρεῖται τόδε τὸ πᾶν, ἃ καὶ μεμίχθαι φασίν· εἰκὸς οὖν πεπῆχθαί τι περὶ τῷ κύκλῳ τῆς ὀροφῆς ὑπόμνημα καὶ διδασκάλιον περὶ τῶν ὄντων, οἷα πολλὰ ἐν τοῖς λαμπροῖς ὁρῶμεν οἰκοδομήμασι· καὶ οἱ μὲν χερσαίων, οἱ δὲ θαλαττίων, οἱ δὲ ἀμφιβίων ζώων εἰκόνας γράφουσιν, ἄλλοι τῶν παλαιῶν ἱστορίας, ἄλλοι προγράμματα καὶ σοφῶν τινῶν βιωφελῆ παραγγέλματα· τυχὸν οὖν καὶ παρὰ τῷ κύκλῳ τοῦ ῥηθέντος οἰκήματος ἐπέπηκτό τι πινάκιον, ᾧ διδασκάλιον τῶν στοιχείων ἐνεφέρετο, πόνημα τῶν περὶ φύσεως τῶν ὄντων φιλοσοφησάντων, οἷς ἐπλούτει τηνικαῦτα Ἀλεξάνδρεια. ὅτι δὲ πλῆθος αὐτῇ φιλοσόφων καὶ ῥητόρων ἐνῴκει, καὶ τοῖς λόγοις, εἴπερ ἄλλῳ τῳ, πολλοῖς εὐθηνουμένη [3] τῶν καλῶν μᾶλλον ἐκαλλωπίζετο, παντί που δῆλόν ἐστι.

ιζ'. Τετράπλευρον ἤγουν τετράγωνον, φησὶ, τὸ σχῆμα τοῦ οἰκήματος ἦν, ὅπερ καὶ πλαίσιον ὀνομάζουσι· τὸ γὰρ πλαίσιον πλινθίον ἐστὶ τετράπλευρον, τὸ εἰς χώρους ἴσους, τὸ ἰσόμετρον δηλοῖ· ἴσαι, φησὶν, αἱ παρ' ἑκατέρων πλευραὶ κατὰ τὸ διάχωρον ἦσαν.

ιή. Στοά ἐστιν, ὅπερ Ὅμηρος ποτὲ μὲν αἴθουσαν, ποτὲ δὲ πρόδρομον ὀνομάζει· αἴθουσαν μὲν διὰ τὸ ὑπὸ τῆς ἡλιακῆς ἀκτῖνος αἴθεσθαι, πρόδρομον δὲ διὰ τὸ πρὸ τῶν δομάτων μεμηχανῆσθαι· ἔστι γὰρ στέγη περίστυλος, ὀλίγῳ τοῦ αἰθρίου προδιαλλάττουσα· τὸ δὲ μέτρον αὐ-

3 Mon. εὐθυνουμένη.

ταῖς, δηλαδὴ ταῖς κίοσι, μεθ' ὃ πλέον οὐκ ἔστι λαβεῖν, ὃ ἢ τὸ ἑκατὸν εἶναι δηλοῖ διὰ τὸ τοῦ ἀριθμοῦ τέλειον καὶ τὸ αὖθις ἀναποδίζειν ἡμᾶς καὶ μὴ προβαίνειν ἀριθμοῦντας ἢ τὸ πλῆθος αἰνίττεται, ὑπὲρ ἀριθμὸν αὐτὰς φάσκων εἶναι· ὅρα δὲ πῶς θηλυκῶς δι' ὅλου λαμβάνει τὸ ὄνομα τῆς κίονος· καὶ ἰστέον, ὅτι καὶ ἀρσενικῶς πολλοῖς εἴληπται· αὐτίκα τὸ, πρὸς κίονα μακρὸν [4] ἐρείσας, καὶ μακροὺς ὑποστήριγμα κίονας φέρει.

ιθ'. Ἀκόλουθοι καὶ ὅμοιοι σχήματι τῷ οἰκήματι αἱ στοαὶ, καὶ ἐπεὶ ἐκεῖνο τετράπλευρον, ἐγκάρσιαι πάντως κακεῖναι ἐν τῷ ἑτέραν τῇ ἑτέρᾳ συνάπτεσθαι· καὶ αἱ κίονες δὲ κατὰ τὰς ἐφαρμογὰς διπλαῖ [5] ἀρχὴν ἢ τελευτὴν ἑκάτεραι διδοῦσαι.

κ'. Σηκοὺς [6] τὰ οἰκήματα ὡς ἱερὰ λέγει· τὸ δὲ πόλιν ἅπασαν εἰς ἐξουσίαν τῆς σοφίας ἐπαίρουσιν οὐκ ἄλλην πόλιν δηλοῖ, ἀλλὰ τὴν Ἀλεξάνδρειαν τοῖς [7] πολίταις, φησὶν, ἐδίδοτο ἐπ' ἐξουσίας χρῆσθαι ταῖς ἐναποθέτοις βίβλοις εἰς τὸ διδάσκεσθαι.

κά. Ἄλλο δημιούργημα ἄλλως ἦν κατεσκευασμένον· ὁ δὲ Περσεὺς τὴν Μέδουσαν ἀνεῖλε, καὶ διὰ τοῦτο κατὰ τὸν μῦθον οὐκ ὀλίγοις ἀνδραγαθήμασιν ἠρίστευσεν.

κβ'. Κίων τις ἵστατο μεγίστη, ἣν πρώτην ἑώρων οἵ τε διὰ θαλάττης προσιόντες, καὶ τοῖς αἰγιαλοῖς καταίροντες· οἵ τε διὰ τῆς ἐκεῖσε ἀφικνούμενοι· δῆλον οὖν ἐποίει τὸν χῶρον· καὶ προβάς τις, φησὶν, οὕπω ἔγνω οἳ πρόεισιν, πρὶν ἂν τῇ κίονι προσσχοίη. σημεῖον οὖν αὐτὴν τῶν ὁδῶν οἵ τε προσιόντες, ἀλλὰ μὴν καὶ οἱ ἐξιόντες ἐποιοῦντο, ὡς περιφανῆ γίνεσθαι τὴν πόλιν δι' ἐκείνης τῶν κατὰ γῆν τε καὶ θάλατταν.

κγ'. Ἀρχὰς τὰς προτομὰς καὶ γλυφὰς, τὰ διάκενα

---

4 Mon. μικρόν. — Od. ρ, 29. 5 Mon. διπλαῖ. Par. 2. διπλοῦν. 6 Par. 2. δοκούς. 7 Par. 2. τοὺς πολίτας.

καὶ κοιλώματα τὰ ἐν ταῖς κεφαλίσι τῶν κιόνων λέγει, ἐν αἷς εἰώθασιν οἱ λιθοξόοι ζῶα λαξεύειν τινά· εἰκὸς δὲ καὶ τῶν στοιχείων ἐμφάσεις καὶ εἴδωλα γῆς, ἀέρος, πυρὸς, ὕδατος· ταῦτα γὰρ τὰ ὄντα ἐν ταῖς κεφαλίσι λελαξεῦσθαι.

κδ'. Ὡρισμένος ὁ ἀριθμὸς ἦν τῶν πάλαι θεῶν τοῖς Ἀλεξανδρεῦσιν, ἅτε πλεῖον ἢ ἐχρῆν δεισιδαίμοσι. Κατὰ τὸν ἀριθμὸν γοῦν ἐκεῖναι αἱ πύλαι τοῦ ἱεροῦ τοῦ ἐν τῇ ἀκροπόλει δεδημιούργηνται· καὶ ἑκάστη αὐτῶν τῷ ὀνόματι ἐκέκλητο τοῦ θεοῦ, ᾧ περὶ τὴν ἀρχὴν ἀφωσίωτο.

κέ. Οἱ Πεισιστρατίδαι, οἵ εἰσιν οἱ ἐκ Πεισιστράτου τὸ γένος ἔλκοντες, πηγὴν ἱδρύσαντο Θερμὸν ὕδωρ ἀνιεῖσαν καὶ διειδὲς κάλλει καὶ μεγέθει διάφορον· φησὶν οὖν, ὡς ἡ ἐν τῷ ἱερῷ καὶ τῇ ἀκροπόλει πηγὴ ἄμεινον εἶχε τῆς τῶν Πεισιστρατιδῶν κατὰ τὰ προλεχθέντα πάντα.

κς'. Ἀναγέγραπται καὶ ὁ τῶν δημιουργῶν τῆς ἀκροπόλεως ἀριθμὸς, εἰς δώδεκα ὅλους περιϊστάμενος· καὶ τῷ ἀριθμῷ δὲ καὶ τῷ ἀξιώματι τῶν ἱδρυκότων τὸ τίμιον δέδοται τῷ δομήματι.

κζ'. Τὸ [8] τῇ μὲν, τῇ δὲ τινὲς ἡρμήνευσαν, ὅτι τῇ μὲν περὶ τῆς Ἀλεξανδρείας λέγει, ᾗ καὶ τὸ στάδιον προσάπτει· τὸ δὲ τῇ δὲ, τῇ Ἀθηνᾷ· ἀλλ' οὐχ οὕτως ἔχει· τοῦτο δὲ εἰπεῖν βούλεται, ὅτι τῷ κατιόντι τῆς ἀκροπόλεως τῇ μὲν λαιᾷ τυχὸν ὁμαλὸς διαδέχεται χῶρος καὶ ἐοικὼς σταδίῳ, καὶ οὕτω καλούμενος· τῇ δὲ δεξιᾷ ἕτερος διῃρημένος μὲν πρὸς ὅμοια, ἥττων δὲ τῷ μεγέθει.

Cap.

---

8 Par. 2. Τοῦ τῇ μέν. Mon. οὐ τῇ μέν. scripsi τὸ τῇ μέν.

Cap. XIII.

ΟΡΟΣ ΘΕΣΕΩΣ.

α. Παρῆκται ἀπὸ τοῦ τίθημι· ἔστι δὲ Θέσις ὑποκειμένου τινὸς πράγματος ζήτησις.

β. Παρέπεται τῇ Θέσει πέντε· ὅρος, διαφορὰ, σύγκρισις πρὸς τὸν τόπον, εἶδος καὶ διαίρεσις. ὅρος· Θέσις ἐστὶν ἐπίσκεψίς τινος πράγματος θεωρουμένου, ἀμοιροῦσα πάσης ἰδικῆς περιστάσεως· διαφορά· τῶν Θέσεων αἱ μὲν πολιτικαὶ, αἱ ὑποκείμεναι ταῖς κοιναῖς ἐννοίαις, αἱ παρά τισιν ὀνομαζόμεναι πρακτικαί· αἱ δὲ οὔ, ὅσαι οἰκεῖαί τινος ἐπιστήμης, αἳ καὶ θεωρητικαί· σύγκρισις πρὸς τὸν κοινὸν τόπον· διαφέρει δὲ τόπου ἡ Θέσις· τόπος μὲν γάρ ἐστιν ὁμολογουμένου πράγματος αὔξησις, ἡ δὲ Θέσις ὑποκειμένου πράγματος ζήτησις· τῶν δὲ Θέσεων αἱ μὲν ἁπλαῖ, αἱ δὲ κατὰ τὸ πρός τι λαμβάνονται· αἱ δὲ διπλαῖ νομίζονται, οἷον εἰ ἀθλητέον, εἰ γεωργητέον· διαίρεσις· διαιροῦνται δὲ τοῖς τελικοῖς κεφαλαίοις, ἐπὶ δὲ τελευτῆς αἱ προτροπαὶ καὶ τὰ κοινὰ ἔθη τῶν ἀνθρώπων.

γ'. Περὶ τῆς διαιρέσεως τῇ καλουμένῃ Θέσει πολλὴ τοῖς τεχνογράφοις γέγονεν ἀμφισβήτησις· ἀλλ' ἡμεῖς πρότερον τί ἐστι Θέσις εἰπόντες τότε τῆς διαιρέσεως ἁψόμεθα· Θέσις τοίνυν ἐστὶ πρᾶγμα, λογικὴν ἐπίσκεψιν ἐπιδεχόμενον, ἄνευ προσώπων ὡρισμένων καὶ πάσης ἑτέρας περιστάσεως· εἴρηται δὲ λογικὴν ἐπίσκεψιν ἐπιδεχόμενον, οὐχ ὅτι καὶ τὰ ἄλλα ἄνευ λόγου ἐπισκεπτόμεθα, ἀλλ' ὅτι τοῦτο περὶ μόνην τὴν ἐξέτασιν εἴληπται τὴν ἀπὸ τοῦ λόγου, καὶ οὐδὲ μίαν ἔχει περίστασιν ἑτέραν· ἐπεὶ προστεθείσης περιστάσεως τελεία ὑπόθεσις γίνεται· ταύτῃ γάρ τοι καὶ διαφέρει τῆς ὑποθέσεως ἡ Θέσις, ὅτι ἡ μὲν ἄνευ περιστάσεως, ἡ δὲ μετὰ περιστάσεως συνίσταται. οἷον Θέσις ἐστὶν· εἰ γαμητέον· ἐνταῦθα αὐτὸ καθ'

ἑαυτὸ τὸ πρᾶγμα ζητοῦμεν, οὐ ζητοῦντες, εἰ τόνδε δεῖ γαμεῖν, ἢ ἄλλο τι τοιοῦτον, ἀλλὰ μόνον, εἰ τὸ πρᾶγμα ἀγαθὸν, ἢ μὴ τοιοῦτον· εἰ μέντοιγε ἐθελήσομεν τυχὸν ἀναπλάσαι, ὅτι ἔχων τις τρεῖς παῖδας τούτους ἀποβαλὼν βουλεύεται τὴν γυναῖκα οὐκ οὖσαν ἔτι τεκνοποιὸν ἀποπέμψας ἑτέραν γῆμαι, ὑπόθεσις γίνεται· τοῦτο δὲ τὸ προγύμνασμά ἐστι μὲν τοῦ συμβουλευτικοῦ εἴδους, διαιρεῖται δὲ κατὰ τοὺς ἀκριβεῖς τεχνογράφους τοῖς πανηγυρικοῖς κεφαλαίοις· οὐ λέληθε γάρ με, ὅτι ἕτεροι καὶ ἑτέροις τισὶν ἐχρήσαντο κεφαλαίοις, οἱ μὲν τοῖς τελικοῖς καλουμένοις, τινὲς δὲ καὶ ἄλλοις, κενὰ αὐτοῖς ὀνόματα περιθέντες, περὶ ὧν ἰστέον, λέγω δὲ τῶν τοῖς κενοῖς ὀνόμασι χρησαμένων, ὅτι πάντα ἐκεῖνα, τὰ ὡς κενὰ κεφάλαια παρά τινων ὀνομαζόμενα ἐνθυμήματά ἐστι, συνίσταντο τὸ ἐν τῷ πράγματι χρήσιμον· οἷον ὃ λέγουσι κατὰ φύσιν ἢ κατὰ νόμον, ἢ κατὰ ἔθος, ἢ κατὰ τὸ ὅσιον τὸ περὶ τοὺς τελευτήσαντας, ἢ ὅσιον τὸ περὶ τὴν πατρίδα· τοιαῦτα γάρ τινα κεφάλαια ἐξευρήκασι· δῶμεν οὖν εἶναι τὴν ἐξέτασιν ἡμῖν, περὶ τοῦ εἰ γαμητέον· ἐνταῦθα τοίνυν, εἰ ἀρξαίμεθα εἰ κατὰ φύσιν τὸ πρᾶγμα ζητεῖν, εἰ κατ' ἔθος, εἰ κατὰ νόμον, εἰ ὅσιον περὶ τὴν πατρίδα, εἰ ὅσιον περὶ προγόνους, τί ἄλλο ζητοῦμεν, ἢ ὅσα ἂν ἀγαθὰ ἐκ τοῦ γάμου γένοιτο, ἅπερ ἂν εἴη ἐνθυμήματα τῶν ἐγκωμιαστικῶν κεφαλαίων ἑνός· εἰ δὲ ζητοίημεν, τίνες οἱ εὑρόντες πρῶτοι καὶ χρησάμενοι, τί ἕτερον ἢ ἐροῦμεν ἐνθυμήματα, ὅπερ ἀντὶ τοῦ γένους παραληψόμεθα· ὥστε μοι δοκοῦσι καλῶς ποιεῖν οἱ τοῖς ἐγκωμιαστικοῖς αὐτὸν διαιροῦντες κεφαλαίοις, ἵνα ᾖ μὲν τὸ προγύμνασμα εἴδους συμβουλευτικοῦ, ὕλης δὲ πανηγυρικῆς καὶ διαιρέσεως. καὶ γὰρ ἐν αὐταῖς ταῖς τελείαις κατὰ συμβουλὴν ὑποθέσεσιν ἢ προτρέποντες δι' ἐπαίνων ἢ ψόγων αὐτὸ κατασκευάζειν εἰώθαμεν. ὥστε μοι καὶ ἐνταῦθα ἐπαινετοὶ δοκοῦσιν οἱ οὕτω διαιροῦντες· παραλαμβανέσθω οὖν

καὶ ἐν αὐτῇ προοίμιον ἓν ἢ δύο ἢ καὶ πλείονα τῆς χρείας τῷ λέγοντι τὸ μέτρον ὁριζούσης, ἢ σύστασιν ἢ διαβολὴν ἔχοντος τοῦ πράγματος, ἢ ἄλλο τι κατασκευάζοντος, ὧν ἐν προοιμίοις εἰώθασιν οἱ ῥήτορες ποιεῖν· μετὰ δὲ ταῦτα ἰέναι δεῖ ἐπὶ τὰ ἀπὸ τοῦ γένους· παραληψόμεθα δ' ἐν αὐτοῖς ἐν τάξει προγόνων τοὺς εὑρόντας καὶ πρώτως χρησαμένους ἢ θεοὺς ἢ ἀνθρώπους· μετὰ δὲ ταῦτα ἀντὶ τῶν ἐπιτηδευμάτων τάζομεν τὰ περὶ τὴν ἄσκησιν τοῦ πράγματος γινόμενα· ἀντὶ δὲ πράξεων τὰς ἐξ αὐτοῦ ὠφελείας, καὶ οὕτω πλατυνοῦμεν τὴν ἐργασίαν· διαφέρει δὲ ἡ ἐνταῦθα πανηγυρικὴ διαίρεσις τῆς τοῦ ἐγκωμίου διαιρέσεως, ὅτι ἐν ἐκείνῳ μὲν ἀντίθεσις οὐκ ἐμπίπτει, εἰ μὴ ἄρα ἐξ ἰσαζούσης ὕλης, ἐνταῦθα δὲ πάντως ἐμπεσεῖται ἀντίθεσις, ἔχουσα μὲν ἐξέτασιν τῶν συμβαινόντων τε καὶ παρεπομένων τῷ πράγματι κακῶν· λυομένη δὲ παραδειγματικῶς καὶ ἐνθυμηματικῶς. παρακολουθηκῶς μὲν ἐκ τῶν ἑτέροις πράγμασι παρακολουθούντων κακῶν, οὐκ ὄντων δ' ἱκανῶν ἀποτρέπειν τοὺς θέλοντας ἐπ' αὐτὰ ἰέναι, καὶ διὰ τοῦτο τοῖς ἀγαθοῖς πλείοσι μᾶλλον ἢ τοῖς κακοῖς προσέχοντας· ἐνθυμηματικῶς δὲ, ἐκ τῶν ἀποδείξεων τῶν δεικνυουσῶν καὶ ἐν αὐτῷ τὰ ἑπόμενα καλὰ τοῖς ἄκρον κατωρθωκόσιν· οἷον τυχὸν, εἰ γαμητέον, μετὰ τὸ εἰπεῖν πόσα ἐκ γάμων γίνονται ἀγαθὰ, τικτομένων ἑτέρων τῶν εἰς πλῆθος αὐξόντων, εἰ τύχοι, ἰδίᾳ καὶ κοινῇ τὰς πόλεις, καὶ παρασκευαζόντων τοὺς τρόπους διαφόρους τὴν εὔνοιαν ἐπιδειξομένους, καὶ μετὰ τὸ δεῖξαι, ὅτι καὶ τοῖς γένεσιν ἡ διαδοχὴ σώζεται, καὶ ὅτι πένητες τεχθήσονται οἱ γηροβοσκήσοντες πλουσίοις· οἱ τὰς οὐσίας φυλάξαντες καὶ μετὰ πολλὰ τοιαῦτα τὰ θετικὰ καλούμενα ἀντιθήσομεν, τὰς μοιχείας τε καὶ τὰς τῶν παίδων ἀποβολὰς, αἵτινες λυθήσονται ἐκ ναυαγιῶν μὲν τῶν οὐκ εἰρξασῶν τοὺς πλέοντας, αὐχμῶν δὲ καὶ ὄμβρων τῶν οὐ κωλυσάντων γεωργίας, ἐπαγομένων τούτοις

καὶ ἐπὶ τῶν παίδων ἀριστείαις στεφάνων, εἰκόνων, σιτήσεων, εὐκλείας ὅλως· καὶ πάντων τῶν δεικνύντων εὐδαίμονα τοῖς μὴ ἐναντίας πειραθεῖσι [1] τύχης τὸν βίον ἅπαντα· τοῦ δὲ κοινοῦ τόπου διαφέρει· καὶ γὰρ ἐκεῖ αὔξησίς ἐστι πράγματος, καὶ κατὰ τοῦτο ἔστι τις αὐτοῖς κοινωνία· διαφέρει οὖν, ὅτι ἐν μὲν ἐκείνοις ὁμολογούμενόν ἐστι τὸ πρᾶγμα, περὶ οὗ οἱ λόγοι, ἐνταῦθα δὲ ἀμφισβητούμενον, διόπερ καὶ ἅπερ ἐπαινέσομεν, διαβάλλειν οὐ κωλυθησόμεθα. καὶ ἐν ἐκείνῳ μὲν δικαστῶν ψῆφον ἐκινοῦμιν, ἐνταῦθα δὲ ὡς βουλῆς οὔσης μόνης καὶ οὐδενὸς ἀκολουθοῦντος κακοῦ περὶ δικαστῶν τὴν ἐξέτασιν ποιησόμεθα· κἀκεῖ μὲν καὶ πρόσωπον καὶ τὸ ἁμαρτῆσαι ὑπόκειται· ἐνταῦθα δὲ ἀπερίστατος ἡ τοῦ πράγματος ὑπάρχει ζήτησις μόνου. πολλὴ δὲ ἡ τοῦ προγυμνάσματος τούτου χρῆσις, καὶ πρὸς πολλὰ ὠφέλιμος· εἴγε τέως μὲν τῶν δύο εἰδῶν τῆς ῥητορικῆς, τοῦ τε ἐγκωμιαστικοῦ λέγω καὶ τοῦ συμβουλευτικοῦ, τὴν μελέτην ἔχει. πάντων δὲ τῶν τοῦ λόγου μερῶν ἐστὶ δεκτικὴ, προοιμίων τε λέγω καὶ διηγήσεων· τῶν ἐν τῇ ἐξετάσει τε λέγω τῶν ἀγαθῶν τῶν περὶ τὸ προκείμενον πρᾶγμα, καὶ ἀντιθέσεων καὶ λύσεων, οἷς δεῖ τοὺς ἐπιλόγους ἕπεσθαι, καθολικὰς συμβουλὰς ἔχοντας καὶ παρακλήσεις ἐπὶ τὸ προκείμενον, ἵνα ἐκ τούτου τὸ τῆς συμβουλῆς ἴδιον διασώζοιτο· ἔστι δὲ καὶ αὕτη τῶν ὡς μερῶν παραλαμβανομένων μόνον· ὅλην γὰρ οὐκ εἰκὸς γενέσθαι τὴν θέσιν τὴν οὖσαν ἀπερίστατον, καὶ κατ' αὐτὸ τοῦτο τῶν τελείων ὑποθέσεων ἐλαττουμένην· πλὴν εἰ μή εἴπῃ τις εἶναι ὅλην, διὰ τὸ πάντα τὰ μέρη τοῦ λόγου ὑποδέχεσθαι. Τῶν δὲ θέσεων αἱ μέν εἰσι φυσικαὶ, οἷον εἰ σφαιροειδὴς ὁ οὐρανος, ἢ εἴ τις ἑτέρα τοιαύτη θειοτέραν ἔχουσα ζήτησιν· αἱ δὲ πολιτικαὶ, οἷον ἡ ἐξετασθεῖσα· ἀλλὰ τῆς μὲν τῶν φυσικῶν

1 Mon. περιθεῖσι. scr. πειραθεῖσι.

διαιρέσεως φροντιοῦσιν οἱ περὶ φιλοσοφίαν διατρίβοντες· ἡ δὲ τῶν πολιτικῶν διαίρεσις δεδήλωται.

δ'. Ἐπειδὴ τοῦ λόγου ὁ μέν ἐστιν ἐνδιάθετος, ὁ δὲ προφορικὸς, καὶ τοῦ προφορικοῦ ὁ μὲν θεωρητικὸς, ὁ δὲ πρακτικὸς, καὶ τοῦ θεωρητικοῦ διαίρεσις εἰς τρία γίνεται, θέσιν, ἐγκώμιον καὶ ψόγον, ἀναγκαῖον ᾠήθημεν ἐν τῷ περὶ θέσεως καὶ περὶ λόγου διαλαβεῖν, οὗ κατὰ ὑποδιαίρεσιν ἡ θέσις ἐγένετο, ὡς ἤδη δεδηλώκαμεν, περὶ μὲν τοῦ καθόλου λόγου οὐδεὶς λόγος κ. τ. λ. Vol. VII. p. 1, 11. — p. 2, 6. Ὁ δὲ προφορικὸς οὕτως ὁρίζεται· δήλωσις ἀνθρώπου διανοίας διὰ φωνῆς· τὸ δὲ διὰ φωνῆς πρὸς ἀντιδιαστολὴν τοῦ ἐνδιαθέτου· εἶτα ἐπειδὴ κοινὸς ὁ λόγος· ὁ μὲν προφορικὸς ὁ πάντων, ὁ δὲ διὰ μελέτης καὶ γνώσεως τεχνικῆς· τοῦτον τὸν λόγον ὑποδιαιροῦμεν εἰς δύο, εἰς θεωρητικὸν καὶ πρακτικόν· ὅρος δὲ τοῦ θεωρητικοῦ οὗτος· λόγος ἐπὶ πράξει θεωρίαν διαδεχομένη λεγόμενος· ὑποδιαιρεῖται δὲ ὁ θεωρητικὸς εἰς τρία· εἰς θέσιν, εἰς ἐγκώμιον καὶ ψόγον· θέσις οὖν ἐστι διάσκεψις λογικὴ τέλος ἔχουσα τὴν θεωρίαν· ἐγκώμιον δὲ ὁμολογουμένων καλῶν αὔξησις· θεωρητικὴ δὲ λέγεται, ἐπειδὴ μέχρι γνώσεως ἔστηκεν. ὁ δὲ πρακτικὸς εἰς δύο διαιρεῖται, εἰς συμβουλευτικὸν καὶ δικανικόν· καὶ τὸ μὲν συμβουλευτικὸν οὕτως· λόγος προτρεπτικὸς κέρδους ἕνεκα ἢ ἀσφαλείας· τὸ δὲ δικανικὸν ζήτησις πολιτικὴ τέλος ἔχουσα τὴν τιμωρίαν· τὸν δὲ λόγον διεῖλον οἱ μὲν Περιπατητικοὶ εἰς πέντε· εἰς εὐκτικόν·

Αἴ γὰρ [2] *Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον·*

προστακτικόν·

Βάσκ' ἴθι Ἶρι ταχεῖα, [3]

ἐρωτηματικόν·

Πῶς δ' αἱ τῶν ἄλλων Τρώων φυλακαί τε καὶ εὐναί; [4]

---

2 Il. η, 132. 3 Il. Θ, 399. 4 καὶ εὐναὶ Mon. om., addidi ex Il. κ, 108.

ἀποφαντικόν·

Ἰλιόθεν [5] με φέρων ἄνεμος Κικόνεσσι πέλασσε,

κλητικόν·

Δεῦρο [6] πάροιθ' ἐλθοῦσα, φίλον τέκος, ἴζευ ἐμοῖο·

οἱ δὲ Στωϊκοὶ προστιθέασι τούτοις πυσματικὸν καὶ ἐπαπορητικόν· πυσματικὸν μέν,

Πῶς δεῦρ' ἦλθες, Ὀδυσσεῦ, τίς δέ σε [7] ἔχραε δαίμων.

καὶ λοιπὸν ἄρχεσθαι διηγεῖσθαι τὰ συμβάντα· ἐπαπορητικόν δέ·

Δᾶος ποτ' ἦλθε τί ποτ' ἀγγέλων [8] ἄρα·

θαυμαστικόν, ὡς ἀγαθαὶ φρένες ἐσθλῶν, ἐπωμοτικόν, [9]

Ναὶ μὰ τόδε σκῆπτρον·

διασαφητικόν·

Ἥιομεν, [10] ὡς ἐκέλευες, ἀνὰ δρυμά, [11] φαίδιμ' Ὀδυσσεῦ·

καὶ τελευταῖον ὑποθετικόν·

Εἴπερ [12] γὰρ κ' ἐθέλοιμεν Ἀχαιοί τε Τρῶές τε.

τούτων δὲ οἱ Περιπατητικοὶ τὸν μὲν πυσματικὸν καὶ ἐπαπορητικὸν ἐπὶ τὸν ἐρωτηματικὸν ἀνάγουσιν· οὐδὲν γὰρ τὸ διάφορον πυσματικοῦ τε καὶ ἐπαπορητικοῦ πρὸς ἐρωτηματικόν, εἰ μὴ ὅσον ὁ μὲν ἐρωτηματικὸς συντομώτερος τοῦ πυσματικοῦ· ὁ δὲ ἐπαπορητικὸς πρὸς αὐτὸν τὸν ἐπαποροῦντα, οὐ πρὸς ἕτερον, ὡς ὁ ἐρωτηματικός. τοὺς δὲ λοιποὺς ὑπὸ τὸν ἀποφαντικὸν ἀνάγουσι, καθὸ ἐνδέχεται τούτων ἕκαστον καὶ ψευδῆ εἶναι καὶ ἀληθῆ· οὐδὲν ἕτερόν ἐστιν ὁ ἀποφαντικὸς ἢ λόγος ἐνδεχόμενος καὶ ψευδὴς εἶναι καὶ ἀληθής.

ε. Ὅρος λόγου· ὁ λόγος ἐστὶν ἔννοια ἀνθρωπίνη, καθ' ἣν τό τι λογίζεσθαι καὶ δηλοῦν ἡμῖν ἐκ προφορᾶς ἐγγίγνεται· ἄλλοι δὲ συντόμως ὡρίσαντο· λόγος ἐστὶν ἀν-

---

5 Od. ι, 39. 6 Il. γ, 162. 7 Mon. δέ σ'. Od. κ, 64. 8 Mon. ἀγγέλων. cfr. T. VII. p. 4. 9 Mon. ἐπομωτικόν. — Il. α, 234. 10 Par. κίωμεν. Mon. ἤομεν. 11 Par. ἀνὰ δρυμόν. — Od. κ, 251. 12 Il. β, 123.

Θρώπου γνώρισμα· ἄλλοι δὲ ἄλλως· λόγος ἐστὶ δῶρον μὲν θεῶν, ἀνθρώπων δὲ γνώρισμα· ἄλλοι δὲ οὕτως· λόγος ἐστὶ διάκρισις ποιότητος ψυχῶν, καθ' ἣν αἱ τῆς ψυχῆς παραγίγνονται ἐνέργειαι. ὁρισμὸς προφορικοῦ οὗτος· δήλωσις ἀνθρώπου προφορᾶς· ἐπεὶ δὲ πᾶς ὁρισμὸς ἐκ γένους λαμβάνεται καὶ συστατικῶν διαφορῶν καὶ ἰδιότητος, γένους μὲν, ἀφ' οὗ τέμνεται τὸ πρᾶγμα, περὶ οὗ ὁρισμὸς, διαφορᾶς δὲ τῆς ἀφιστώσης ἀπὸ τῶν ὁμοίων, ἰδιότητος δὲ τῆς μηνυούσης τὸ ἴδιον τοῦ προκειμένου πράγματος· καὶ οὗτος δηλαδὴ πάντα ταῦτα ἔχει· γένος μὲν ἐν αὐτῷ ἡ δήλωσις, καὶ ἐπειδὴ ἔστι δηλοῦν καὶ ἄλογον, ὡς ὁ κύων φέρε δι' ὑλακῆς, πρόσκειται διαφορὰ τὸ ἀνθρώπου· πάλιν, ἐπεί ἐστι καὶ ἄνθρωπον διὰ νεύματος δηλοῦν, προσετέθη τὸ ἴδιον, οἷον τὸ διὰ προφορᾶς· τὰ γὰρ νεύματα οὐ προφέρεται, ἀλλὰ δείκνυται· ὁ δὲ ἐνδιάθετος οὗτος· ἕξις ψυχῆς ἀνθρώπου, καθ' ἣν λογικοί ἐσμεν· γένος, ἕξις, πᾶν γὰρ ζῶον ἔχει τινὰ ψυχῆς ἕξιν, ἀλλ' ἐπειδὴ καὶ σώματός ἐστιν ἕξις, οἷον ἰσχύος εἶδος, προσετέθη διαφορὰ τὸ ψυχῆς· καὶ ἐπειδὴ πάλιν καὶ τὰ ἄλογα ἔχει ψυχῆς ἕξιν, ὥσπερ θυμικὸν μὲν ὁ λέων, καὶ ὁ ὄνος νωθής, προσετέθη τὸ ἴδιον, τὸ καθὸ λογικοί ἐσμεν. Αἱ θεωρητικαὶ θέσεις φιλοσόφοις ἀνεῖνται· ἐκεῖνοι γὰρ τὰ περὶ φύσεως ἐξετάζουσιν· οἷον ὅτι σφαιροειδὴς ὁ οὐρανὸς, καὶ ὅτι κόσμοι πολλοὶ, καὶ τὰ τοιαῦτα· λογικὴν δὲ ἐπίσκεψιν εἶπεν ὁ Ἀφθόνιος, ἐπειδὴ ἐστὶ καὶ πραγματική· τὸ γὰρ θεῖον εἶναι ἐν τῇ γῇ ἢ ἀλλαχοῦ, πρᾶγμά ἐστιν.

ς'. Ἐὰν εἴπω, εἰ γαμητέον, ἀπερίστατόν ἐστιν· οὔτε γὰρ ἔν τι τῶν περιστατικῶν ἔχει· θέσις τοίνυν ἐστίν· ἐὰν δὲ τῇ θέσει προστεθῇ τῶν τοιούτων ἕν, πρόσωπον ἢ πρᾶγμα ἢ χρόνος ἢ τόπος ἢ τρόπος ἢ αἰτία, ὑπόθεσις ἀπηρτισμένη γίνεται· εἴρηται δὲ αὐτὸ τοῦ Ἀφθονίου παράδειγμα ἐπελθών.

ζ'. Ὡς ἔχει τὸ ἐπὶ τοῦ παραδείγματος· μετὰ γὰρ τὴν ἔφοδον εὐθὺς ἀντίθεσις καὶ λύσις εὑρίσκεται· καὶ φησὶν, ἀλλὰ ὁ γάμος συμφορῶν αἴτιος· τοῦτο ἡ ἀντίθεσις· τύχης μοι δοκεῖς οὐ τοῦ γάμου κατηγορεῖν· τοῦτο ἡ λύσις.

ΘΕΣΙΣ ΕΙ ΓΑΜΗΤΕΟΝ.

ἡ. Οὐ μόνον γὰρ, φησὶν, ἐξ οὐρανοῦ ὁ γάμος ἐνήνεκται, ἀλλὰ καὶ αὐτὸν τὸν οὐρανὸν ἐπλήρωσε τῶν θεῶν· γάμῳ γὰρ Διὸς καὶ Ἥρας ὁ Ἥφαιστος, καὶ ἑτέρων ἄλλος· καὶ γέγονε πατὴρ τῶν θεῶν ὁ γάμος, δι' ὧν τὸ πατρὸς ὄνομα δέδοται, δηλονότι δι' ὧν τὸ εἶναι πρόσεστι τοῖς βροτοῖς καὶ τὸ παῖδας εἰς τὸν βίον παράγειν, καὶ πατράσιν ὑπ' ἐκείνων κεκλῆσθαι· ἀλλὰ τοὺς μὲν θεοὺς, φησὶν, ἐνεγκὼν, ὅ ἐστι παράγων καὶ ὑποστήσας, εἴασεν αὐτοὺς ἀϊδίους εἶναι καὶ ἀκηράτους, καὶ τηρεῖν τὴν ἑαυτῶν φύσιν ἀθάνατον. ἐξ οὐρανοῦ δὲ τῇ γῇ προσφοιτήσας τοῖς οὖσι τὴν γένεσιν ἐδωρήσατο· καὶ παρενεγκὼν φύσεις, αἳ μένειν οὐ δύνανται, ταῖς διαδοχαῖς αὐταῖς ἐσοφίσατο τὸ ἀΐδιον· ὧν μία καὶ πρώτη, καὶ κατὰ τὸ ἀσύγκριτον ὑπερέχουσα ἡ τῶν ἀνθρώπων ἐστίν.

θ'. Σημείωσαι, ὅτι περὶ τῶν τεσσάρων γενικῶν ἀρετῶν ποιεῖ λόγον, αἴτιον τὸν γάμον τούτων δεικνύς· εἰ δὲ ἀντὶ τῆς φρονήσεως τὴν σοφίαν τάττει, μηδὲν θαυμάσῃς· οὐδὲν γὰρ ἕτερον πάντως, ἢ σύνεσις καὶ λόγος ἡ σοφία ἐστίν· ὅρα δὲ τὰς τέσσαρας συνηριθμημένας ἐξῆς· τοὺς ἀνθρώπους εἰς ἀνδρείαν ἐπαίρει, εἶτα δικαίους σὺν ἀνδρείοις ποιεῖ· καὶ μὴν καὶ σοφοὺς, οἷς προνοεῖσθαι τῶν φιλτάτων ἐπαίρει· καὶ τὸ παράλογον σωφροσύνην οἶδε κομίζειν ἐν φιλοτιμίᾳ τῶν ἡδονῶν· καὶ οὕτω μὲν δῆλον, ὡς περὶ τῶν τεσσάρων διείλεκται γενικῶν ἀρετῶν ὁ Ἀφθόνιος· τοῖς δὲ λοιποῖς ἐξέλθωμεν· τὸ μὲν οὖν ἐπαίρει τὸ διεγείρει καὶ διανίστησι δηλοῖ· τὸ δὲ δι' ὧν παῖδας

καὶ γυναῖκας οἶδεν, ὅτι οἱ πολεμοῦντες γυναικῶν καὶ τέκνων τοῦ λαβεῖν αὐτὰ πολεμοῦσιν ἕνεκα· καὶ οἱ πολεμούμενοι πάλιν ἕνεκα αὐτῶν τῶν γυναικῶν καὶ τῶν παίδων τὰ δεινα πάσχειν προῄρηνται·[13] δίδωσιν οὖν ὁ γάμος παίδων καὶ γυναικῶν ἕνεκα τὸ ἐρρῶσθαι καὶ ἀνδρείους εἶναι τοῖς ἀνδράσι· δίδωσι δὲ καὶ τὸ δικαίοις εἶναι, καθὸ φιλοτιμότερον καὶ οἱονεὶ δαψιλῶς τὰ γένη τούτοις καὶ τὰς διαδοχὰς παρέχει, παῖδας δηλονότι γαὶ γαμετὰς, ὧν ἕνεκα δεδιότες τὴν δικαιοσύνην μετίασι· πῶς δὲ; ὃ μὴ παθεῖν ὁ καθέκαστος περὶ γαμετὴν ἢ παῖδα ἤ τι τῶν προσόντων σπεύδει καὶ βούλεται, τοῦτο οὐδὲ αὐτὸς εἰς ἕτερον καταπράττεται, δέει τοῦ μὴ ὅπερ ἂν δράσῃ, πείσεσθαι καὶ αὐτόν· τοῦτο οὖν καὶ δικαστηρίων καὶ δικαστῶν καὶ αὐτῆς τῆς δικαιοσύνης αἴτιον· προσέτι καὶ σοφοὺς αὐτοὺς καὶ συνετοὺς ἀπεργάζεται· συνέσεως γὰρ τὸ ἐπαίρειν καὶ διανιστᾶν ἐπὶ τὴν πρόνοιαν τῶν φιλτάτων· ἀλλὰ μὴν τὸ παραδοξότατον καὶ παρὰ τὸν δοκοῦντα εἰκότα λόγον γινόμενον· τοῦτο γὰρ δηλοῖ τὸ παράλογον· καὶ σωφροσύνης διδάσκαλος ὁ γάμος ἐστὶ, καὶ τῇ τοσαύτῃ φιλοτιμίᾳ καὶ δαψιλείᾳ τῶν ἡδονῶν λελῃθότως τὸ σωφρονεῖν ἀναμέμικται· ἐπιτίθησι γὰρ οὗτος ὅρον τινὰ καὶ νόμον ταῖς ἡδοναῖς, οὐ συγχωρῶν ταῖς θηλείαις οὐδὲ τοῖς ἄρρεσι πρὸς ἔρωτας ὁρᾶν ἀλλοκότους καὶ μίξεις τῶν ἀσελγῶν, ἀλλὰ μόναις ταῖς ἐξ αὐτοῦ στοιχεῖν ἡδοναῖς καὶ ταύταις στέργειν καὶ ταύταις ἥδεσθαι· τῷ τοιούτῳ οὖν τρόπῳ νόμῳ καὶ ὅρῳ τῆς σωφροσύνης ὄντι αὐτὰς τὰς ἡδονὰς δίδωσιν, ἀκωλύτως ἐῶν τοὺς συναφθέντας μετ' ἀλλήλων χρῆσθαι ταῖς ἡδοναῖς· καὶ αὐτὸ τοῦτο καθ' ἑαυτὸ κατηγορούμενον ἡ ἡδονὴ ἐν τῷ γάμῳ θαυμαζόμενον ἐπαινεῖται.

ί. Συναγωγή ἐστιν ἐν βραχεῖ τῶν ἀποτάδην ἐν πά-

13 Mon. προιέρηνται.

σῃ τῇ ἐφόδῳ ῥηθέντων· τοῦτο δὲ ἐπιλόγῳ ἐοικεν, οὐ διὰ τὴν δευτερολογίαν μόνον, ἀλλὰ καὶ αὐτὸ τὸ ἐπίτομον καὶ τὴν ἐγκειμένην ἀξίωσιν, ᾗ παρακαλοῦμεν τοὺς ἀκροατὰς ἢ δικαστὰς εἴκειν τοῖς ὑφ' ἡμῶν λεγομένοις.

ιά. Τῶν ἐκ κακοπραγίας, φησὶν, ἐπιόντων τῷ τῶν βροτῶν γένει, ὡς φέρε χηρείας, ὀρφανίας ἢ ἀπαιδίας οὐχ ὁ γάμος, ἀλλ' ἡ τύχη αἰτία· τῶν μέντοι ἀπὸ τοῦ γάμου χρηστῶν, οἷς ἐπιφιλοτιμεῖται, οὐδὲ ἕν ἐστιν ἐκ τῆς τύχης κέρδος, ὥστε χρὴ θαυμάζειν τὸν γάμον ἕνεκα ὧν ἔχει καλῶν, οὐ μέντοι μισεῖν καὶ διαβάλλειν τῶν δεινῶν ἕνεκα, ἅπερ ἡ τύχη δίδωσιν.

ιβ'. Ἐγὼ μὲν, φησὶν, οὐδενὸς τῶν δυσχερῶν αἴτιον τὸν γάμον ἀπέδειξα· εἰ δὲ, καθὼς ὑμεῖς φατὲ, δοίημεν καὶ πεισθείημεν τὰ ἐν ἀνθρώποις δεινὰ καὶ φαῦλα ἕπεσθαι τῷ γαμεῖν, οὐδ' οὕτως ἀποσπαστέον καὶ ἀφεκτέον αὐτοῦ· οὐ γὰρ ὅσα δυσχερῆ, ταῦτα πάντως καὶ φυγῆς ἄξια· ἐπεὶ σκόπει μοι τὰς τέχνας ἁπάσας, οἷς αὐτὸ τοῦτο πρόσεστιν, ὃ καταιτιᾷ, τὸ δυσχερὲς καὶ ἀλγεινὸν ἐνίοτε δηλαδὴ, ὅπερ αἴτιον τίθης τοῦ μὴ χρῆναι μετιέναι αὐτάς· οὐ γεωργοὶ σκηπτοῖς ἐνοχλοῦνται; οὐ χάλαζα βάλλει τὰς ἀρούρας καὶ τὰ ἐν αὐταῖς σπέρματα; ἀλλ' οὐ περὶ τοῦτο γεωργοὶ τὴν γῆν ἀνέργαστον καταλείπουσι τῷ διαφθείρεσθαι τὴν γῆν τοῖς σκηπτοῖς, μένουσι δὲ γεωργοῦντες, κἂν ἐξ οὐρανοῦ τι τὸ λυποῦν ᾖ· καὶ δυστυχοῦσι δὲ πάντες ἄνθρωποι καὶ χειμῶνι τὰς ὁλκάδας τυχὸν ἀπολλύουσιν· οὐ μὴν διὰ τοῦτο τὸ πλεῖν καταλύουσι, τῷ πεπονθέναι ποτὲ τυύτῳ [γὰρ] τῷ μέρει· ἀλλὰ τὸ μὲν ἀτύχημα πρὸς τὴν τύχην κατὰ τὸ εἰκὸς ἀναφέρουσιν· αὐτοὶ δὲ τὸν ἀπὸ θαλάττης πόρον προσμένουσι· καὶ μάχαι δὲ τὰ τῶν ἀριστέων φθείρουσι σώματα· ἀλλ' οὐ τῷ προσδοκᾷν πεσεῖσθαι τὰς μάχας ἐκλείπουσι, τῷ δὲ θαυμάζεσθαι πολεμοῦντες· καὶ αὐτὸ τὸ πεσεῖν ἠγαπήκασι, καὶ τὸ προσὸν ἀτυχὲς, δηλαδὴ τὸ πεσεῖν, τὸ συνὸν ἀγαθὸν ὁ

ἔπαινος ἀποκέκρυφεν· χηρία, φησὶ, καὶ ὀρφανία, τὰ δεινὰ ταῦτα, οὐ γάμου, θανάτου δὲ τυγχάνουσιν ἔργα· σὺ δὲ μάτην ἐκείνου κατηγορεῖς, καὶ ὅσα ἡ φύσις ἐπίσταται· ἐκείνης γὰρ τὸ θνήσκειν τῶν ὑμεναίων φῂς εἶναι· εὔκουν εὐλόγως ἀντιτίθης τοιαῦτα; ἔα πίπτειν βροτὸν τὸν διὰ ταῦτα γινόμενον, ὅπως πεσεῖται· φύσεως γὰρ τὸ τοιοῦτον ἔργον· καὶ μὴ καταιτιῶ τὸν γάμον ἐπὶ τῷ μὴ ἀθανάτους τοὺς ἀνθρώπους τετιμηκέναι· εἰ δὲ τὸ μὴ ὂν, εἶτα γινόμενον εἰς τὸ μὴ εἶναι περίεισταται αὖθις, τοιοῦτον δὲ καὶ ὁ ἄνθρωπος, καὶ πεσὼν χηρεύει τὴν σύνοικον, καὶ ὀρφανοὺς λείπει τοὺς παῖδας, τί τὰ τῆς φύσεως ἐλαττώματα τῷ γάμῳ προστρίβεις; ὡς ἔγωγε τοὐναντίον φημί· καὶ τῶν ἀπὸ φύσεως δυσχερῶν διορθωτὴν, ὡς ἂν εἴποι τις, ἡγοῦμαι τὸν γάμον· ἠγάγετό τις ὁμευνέτιν, πατὴρ ἐξ αὐτῆς ἐγένετο παίδων, τοῦτο τοῦ γάμου· ἦκε τὰ τῆς φύσεως ἀτυχήματα· κατέστρεψε τὸν βίον ὁ γήμας, χήρα τοῦ ἀνδρὸς ἡ γυνὴ, ὀρφανοὶ τοῦ πατρὸς οἱ παῖδες· ἀλλ' ὁ γάμος κατὰ τὸ ἐγχωροῦν ἄκος τὸ τοῦ πάθους ἐξεῦρεν· εἰς δεύτερον γὰρ ἡ γυνὴ φοιτήσασα γάμον ἑαυτὴν μὲν χρείας, τοὺς παῖδας δὲ ἀπήλλαξεν ὀρφανίας· ὥστε πάθος μὲν οὐ προέρχεται γάμου· αὐτὸ δὲ τούτῳ συγκαλύπτεταί τε καὶ συσκιάζεται, καὶ ὁ γάμος ἀφανισμὸς τῆς χηρείας καὶ ὀρφανίας ἐστὶν, ᾗ φημὶ, οὐ μὴν ὑπόθεσις καὶ αἰτία, ὥσπερ ἀντιτίθης αὐτὸς, ἀλλὰ τῷ γε ἀκριβῶς σκοποῦντι καὶ φύλαξ τῆς αὐτοῦ δωρεᾶς, ἣν βροτοῖς παρέσχεν ὁ γάμος, καθίσταται· χηρεύειν γὰρ τῆς φύσεως ἀπαγούσης αὐτὸς διὰ τῶν δευτέρων ὑμεναίων τὴν διόρθωσιν ἀπεργάζεται, καὶ μετατίθησι τὸ χηρείας πάθος αὖθις τὰ παρειμένα δωρούμενος.

ιγ'. Ὑμέναιος δὲ γίνεται ἢ ἀπὸ κυρίου ὀνόματος, τοῦ πρώτου ἐπιθαλαμίους πλέξαντος ἐπαίνους, ἢ ἀπὸ τοῦ ὑμένα εἶναί τινα τὸν διαῤῥηγνύμενον ἐν ταῖς παρθενεύσεσιν, ὡς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου. ὀρφα-

νὸς δὲ ὁ ὀρφνὸς [14] καὶ οἱονεὶ σκοτεινὸς διὰ τὸ πένθος καὶ τὸ ἀτημέλητον· [15] ὅτι δὲ ὀρφνὸς ὁ σκοτεινὸς, μάρτυς Ὅμηρος, [16] νύκτα δι' ὀρφναίαν εἰπών.

ιδ'. Ὅσα, φησὶ, περὶ τοῦ γάμου κατηγορεῖς, εἰς εὐφημίαν αὐτοῦ ἀντιπεριάγονται, [17] καὶ κατηγορῶν αὐτοῦ τὰ καὶ τὰ κατάλογον εὐεργετημάτων ποιεῖς. [18]

ιέ. Οὐκ ἐπίπονον ὁ γάμος, φησὶν, ἀλλὰ πρὸς τῷ μὴ τοῦτο εἶναι καὶ τοὺς πόνους λύειν ἐπίσταται, καὶ πόνος ἅπας δι' ὑμεναίων ἀνῄρηται· καὶ πολλῆς ῥᾳστώνης καὶ ἀναπαύλης ἐστὶ τὸ εἰς ὁμιλίαν συνελθεῖν γυναικί· μέγα γὰρ ὅσον πρὸς εὐφροσύνην τὸ συνευνασθῆναι τῇ γυναικί· ἡλίκον δὲ καὶ τὸ ἐλπίσαι γονὴν ὅσον εἰς ἡδονῆς λόγον, καὶ τὸ πατέρα παρὰ παιδὸς κληθῆναι, καὶ παιδικοῖς φελλίσμασι προσαγορευθῆναι, ὅπερ Ὅμηρος παπάζειν [19] ἐκάλεσεν.

Οὐδέ τί μιν παῖδες ποτὶ γούνασι παππάζουσιν·

εἰπών. Μέγας μὲν οὖν ὁ γάμος καὶ διὰ τἆλλα μὲν, καὶ ὅτι θεοὺς εἶναι δοκεῖν τοὺς ἀνθρώπους σοφίζεται, δι' ὧν μένειν ταῖς διαδοχαῖς αὐτοὺς ἀπεργάζεται· καὶ ὅτι παιδεύει τοὺς χρωμένους τὰ δίκαια· καὶ ὅτι παροξύνει σκοπεῖν πρὸς τὸ σῶφρον, καὶ ὅτι φιλοτιμεῖται καὶ δαψιλῶς παρέχει τὰς ἡδονὰς, ὁπόσαι φανεῖσαι μὴ διαβάλλονται.

Cap. XIV.

ΟΡΟΣ ΝΟΜΟΥ ΕΙΣΦΟΡΑΣ.

ά. Παρέπεται τῇ τοῦ νόμου εἰσφορᾷ τρία· ὅρος,

---

14 Mon. iterum ὀρφανὸς et paullo post: ὀρφανὸς ὁ σκοτεινός. 15 Mon. ἀτιμέλητος. 16 Il. κ, 83. et alibi. 17 Par. 2. αὐτῷ ἀντιπαράγονται. 18 Par. 2. ποιεῖ. 19 Il. ε, 408.

διαφορά, διαίρεσις· ὅρος μὲν, εἰσαγωγὴ νόμου ἄνευ περιστάσεως· οἷον γράφει τις, ὠνητὰς εἶναι τὰς ἀρχάς· διαφορὰ δὲ, ἐν μὲν πραγματικῇ περίστασίς ἐστιν, οἷον ἐν σπάνει χρημάτων γράφει τις, ὠνητὰς εἶναι τὰς ἀρχὰς, ἐν δὲ προγυμνάσματι οὔ· διαίρεσις· διαιρεῖται δὲ τῷ σαφεῖ, τῷ δικαίῳ, τῷ νομίμῳ, τῷ συμφέροντι, τῷ δυνατῷ, τῷ πρέποντι· νόμος ἐστὶ δόγμα πλήθους ἢ ἀνδρὸς ἐνδόξου πολιτικὸν, καθὸ ἅπασι προσήκει ζῆν τοῖς ἐν τῇ πόλει· τῶν δὲ νόμων οἱ μέν εἰσι κοινοὶ, οἱ δὲ ἴδιοι· κοινοὶ μὲν, οἱ περὶ τῶν τῆς πόλεως καθόλου· ἴδιοι δὲ, οἱ περὶ τῶν πρὸς ἀλλήλους συμβολαίων· καὶ πάλιν τῶν νόμων οἱ μὲν ἀγαθῶν ἀμοιβὰς εἰσηγοῦνται, οἱ δὲ ἀδικημάτων τιμωρίαν ὁρίζουσι· διαφέρει δὲ ψήφισμα νόμου κατὰ πάντα κοινωνοῦν αὐτῷ μόνῳ ἑνὶ, ὅτι τὸ μὲν ψήφισμα πρόσκαιρόν ἐστιν, ὁ δὲ νόμος πρὸς ἅπαντα τὸν χρόνον ἀναφέρεται· διαφέρει δὲ ἡ τοῦ νόμου εἰσφορὰ τοῦ κοινοῦ τόπου οὐ μόνου, οἷς καὶ τῆς πραγματικῆς, ἀλλ' ὅτι καὶ ἐκεῖ μὲν ὁμολογουμένου πράγματος ἐστὶ καὶ ἐξεληλεγμένου καταδρομὴ, ἐνταῦθα δὲ ἔτι ἀμφισβητουμένου· διαιρεῖται δὲ, ὡς ὁ τεχνικός φησι, τοῖς τελικοῖς κεφαλαίοις· οἱ γὰρ ἄλλοις βουλόμενοι διαιρεῖν αὐτὴν κεφαλαίοις, ἔλαθον ἑαυτοὺς τὰς ἐνθυμητικὰς ἀποδειξεις καινοῖς ὀνόμασι κασμήσαντες, καὶ ἐπὶ τὴν τῶν κεφαλαίων προσάγοντες τάξιν· τοῦτο δὲ καὶ ἐν πραγματικῇ τινὲς πεπόνθασι· διαιρεῖται δὲ τὰ τελικὰ κεφάλαια εἰς ἔγγραφον καὶ ἄγραφον· ἔγγραφον μὲν τὸ ἐκ νόμου, ἄγραφον δὲ τὸ ἐξ ἔθους· τούτων δ' ἡ τάξις ἐν μὲν πεπλασμένῃ ὑποθέσει, ὡς εἰκὸς εὑρεθήσεται· ἐν δὲ ἀληθεῖ πραγμάτων ὑποθέσει τῆς τάξεως κριτὴς ὁ ἀγωνιζόμενος· ὥσπερ πολλάκις καὶ Δημοσθένης ποιεῖ, ταῖς χρείαις τὴν τάξιν συμμεταβάλλων τῆς διαιρέσεως· γυμνασία δὲ γίγνεται τῶν νόμων ἐν εἰσηγήσει μὲν καὶ ἀντιλογίᾳ. ὅταν πρῶτον εἰσφέρηται· ἐν κατηγορίᾳ δὲ καὶ ἀπολογίᾳ, ὅταν

πάλαι κειμένου ἐξέτασις γίνηται· καθόλου γὰρ ἢ τὸν ὄντα διαβάλλομεν, ἢ συνιστῶμεν, ἢ τὸν μὴ ὄντα εἰσφέρομεν, ἢ εἰσφέρεσθαι κωλύομεν· τὸ παρὸν προγύμνασμα ἐστὶ πρωτοτύπως τοῦ δικανικοῦ· γένοιτο δ' ἄν τις καὶ τοῦ συμβουλευτικοῦ συγγένεια πρὸς αὐτό, ἀλλὰ καὶ τοῦ πανηγυρικοῦ βραχεῖά τις· καθὸ ἐπαινοῦντες ἢ ψέγοντες ἢ κυροῦμεν, ἢ ἀκυροῦν ἐθέλομεν· ἔτι δὲ καὶ τοῦ πολιτικοῦ τῶν μερῶν ἔχει γυμνασίαν, προοιμίων καὶ ἀγώνων καὶ ἐπιλόγων μόνων· διηγήσεως δὲ οἷα μὴ μετὰ περιστάσεως οὔσης, καὶ περὶ τῶν μελλόντων βουλῆς προκειμένης οὐ σφόδρα ἐνταῦθα δεόμεθα· ἔστι δὲ οὔτε τῶν ὡς μερῶν κυρίως, οὔτε τῶν ὅλων· οὔτε γὰρ ὅλον ἐστὶ διὰ τὸ ἀπερίστατον, οὔτε μέρος διὰ τὸ μεῖζον ἢ κατὰ μέρος ὑπάρχειν· μᾶλλον δ' ἂν εἴη τῶν μερῶν· φράσεως δὲ συνεστραμμένης ἤδη χρεία καὶ δυνατωτέρας· οἷα δὴ οὐ πρὸς θέατρον ὁρῶντος τοῦ λόγου, οὐδὲ πάθος κινοῦντος, ἀλλὰ δεομένου δεινότητος καὶ ἐργασίας, ὅσης καὶ ἐν πραγματικῇ ἐπιμελεῖσθαι εἰώθαμεν· ὅτι καὶ ἡ κατηγορία νόμου εἰσφορὰ λέγεται· κατηγορία δὲ νόμου ἡ τοῦ νομοθέτου καταδρομή· τελικὰ κεφάλαια ταῦτα λέγεται, ἐπειδὴ ἕκαστον αὐτῶν ἰδιάζον τέλος ἔχει, καὶ δύναται καὶ ἐφ' ἑαυτοῦ ἐμπεσὸν εἰς τελείαν ὑπόθεσιν πληροῦν τὸν ἀγῶνα ὅλον· τοσαῦτα περὶ τούτων τὰ νῦν ὡς ἐν εἰσαγωγῇ λεκτέον.

β'. Τί ἐστιν ὑπόθεσις; ζήτησις πολιτικὴ ἐφ' ὡρισμένων προσώπων καὶ πραγμάτων τὴν ἀμφισβήτησιν ἔχουσα καὶ ἀπαιτοῦσα τινὰ παρὰ τῶν ἀκουόντων μετὰ τῶν λόγων ἐνέργειαν.

γ'. Σχήματι δέχεται πρόσωπον ὅλως εἰπὼν ὁ Ἀφθόνιος τοῦτο φησὶν, ὅτι οὐχ ὡρισμένον ἐστὶ τὸ πρόσωπον τοῦ θέντος τὸν νόμον, οὐδὲ γνώριμον, ἀλλ' ἀόριστον· νόμου γάρ ἐστι κατηγορία καὶ τοῦ θέντος αὐτὸν τινός· ὃ καὶ σχῆμα μέν ἐστι προσώπου, οὐ μὴν τελεία περίστα-

σις· διὸ καὶ οὐδὲ ἐξέτασιν ἐπιδέχεται, ὡς ἐν τῷ τῶν στάσεων βιβλίῳ μαθήσῃ διεξιών· τὸ περὶ προσώπων ἐξέτασιν οὐκ ἐπιδεχομένων· σχήματι οὖν ἐστι πρόσωπον τὸ ἀόριστον· διὰ τοῦτο οὐδὲ τελείαν ὑπόθεσιν τὴν εἰσφορὰν τοῦ νόμου ποιεῖ· μεῖζων δὲ ἡ εἰσφορὰ τῆς θέσεως, ὅτι ἐνταῦθα μὲν σχήματι νοοῦντι ὅλως εἰσάγεται πρόσωπον, ἐν ἐκείνῃ δὲ οὐδαμῶς· τοῦτο δὲ διαφορὰ θέσεως καὶ νόμου εἰσφορᾶς ἐστιν.

δ'. Κοινῇ γὰρ ἐκκλησιάζοντες οἱ πολῖται τῶν νεωστὶ τιθεμένων νόμων ἠκροῶντο, καὶ τηνικαῦτα ἐδοκίμαζον ἀρεσκόμενοι, ἢ ἀπεδοκίμαζον δυσαρεστῶντες· συνθήκη δὲ πᾶν τὸ συντιθέμενον ἐκ δύο τυχὸν ἢ καὶ πλειόνων· συνθήκη οὖν ὁ μὲν νόμος λέγοιτ' ἂν, ἤτοι ἐκ πολλῶν ἠθροισμένων γνωμῶν τὴν σύνθεσιν εἴληφε· τὸ δὲ συμπεφωνημένον τὸ ποιὸν ἢ ποσὸν, ὅτι συναρεσκόμενον τοῖς δυσὶ μέρεσι κατὰ τοὺς ἀγαθοὺς τρόπους συντίθεται· λέγεται συνθήκη καὶ τὸ συνομολογούμενον πᾶν καὶ συντιθέμενον, καθὸ σημαινόμενον· καὶ τὸ εἰ μέρος τῶν ὀκτὼ, οἷς αἱ ἰδέαι γίνονται, συνθήκη προσηγορεύθη· σύνθεσις γὰρ ἐστὶ λόγου καὶ ἁρμογὴ, ὡς ἐν τῷ περὶ ἰδεῶν Ἑρμογένους βιβλίῳ μαθήσῃ· ὀκτὼ γὰρ ἀνατάττεται τὰ μέρη, ἔννοιαν, μέθοδον, λέξιν, σχῆμα, κῶλον, συνθήκην, ἀνάπαυσιν καὶ ῥυθμόν.

ε'. Εἰς ἀμφότερα εἰπὼν τὰ ψυχικὰ καὶ τὰ σωματικὰ ἐδήλωσεν· ὁ μὲν γὰρ εἰς χρήματα ζημιώσας σωματικὴν πεποίηκε τὴν πλημμέλειαν· εἰ δὲ τυχὸν μυεῖν ἢ μυεῖσθαι οὐκ εἴασεν, ἢ τῆς τῶν θεῶν θρησκείας ἀπάγει τοὺς ἁπλουστέρους, εἰς ψυχὴν ἐπάγει τὸ βλάβος.

ς'. Ἐπεὶ ὁ Ἀφθόνιος καλῶς ποιῶν τὴν εἰσφορὰν τοῦ νόμου ὡρίσατο τῇ πραγματικῇ ἐοικέναι, καὶ τοῖς αὐτοῖς ἐκείνῃ εἶπεν ἐργάζεσθαι κεφαλαίοις, οἷον νομίμῳ, δικαίῳ, καὶ τοῖς λοιποῖς, φέρε καὶ ἡμεῖς μικρά τινα περὶ πραγματικῆς διαλάβωμεν, τὴν τελείαν ἐπεξεργασίαν ἐν

ταῖς στάσεσι ταμιευσάμενοι· ἐπεξίωμεν δὲ καὶ τοῖς τελικοῖς κεφαλαίοις τοσαῦτα λέγοντες, ὅσα τοῖς εἰσαγομένοις συνοίσει, μὴ μείζονα τῆς αὐτῶν ἐν τῷ συνιέναι ἰσχύος συνείροντες, ὅπερ ἀπειρόκαλον ἄν τις καὶ ἀλαζονίαν ἄντικρυς οὐ διδασκαλίαν καλέσοι· πραγματικὴ τοίνυν ὠνόμασται οὐχὶ ἀπὸ τοῦ πράγματα παρέχειν τοῖς ἀγωνιζομένοις· τοῦτο γὰρ καὶ αἱ ἄλλαι στάσεις· ἀλλ' ἐπειδὴ καὶ τὰς ἄλλας στάσεις περιέχει ἐν ἑαυτῇ, κατὰ πάσας γὰρ σχεδὸν μελετᾶται· τοῖς γὰρ τελικοῖς διαιρουμένη κεφαλαίοις καθέκαστον ἐκ τῶν ἄλλων στάσεων ἔχει τὰς εὑρέσεις διαφόρους. πῇ[1] μὲν στοχαστικὰς, ὥσπερ ἐπὶ τῷ συμφέροντι· ἀδήλου γὰρ ὄντος τοῦ συμφέροντος, στοχαστικῶς τοῦτο κατασκευάζομεν· πῇ δὲ ἀντιθετικὰς ὥσπερ τὸ δίκαιον, πῇ δὲ νομικὰς, ὥσπερ τὸ νόμιμον· ἄλλως τε καὶ δύο ὄντων εἰδῶν τῆς ῥητορικῆς τῶν δεχομένων στάσιν, συμβουλευτικοῦ καὶ δικανικοῦ, τὸ συμβουλευτικὸν μόνη ἀπείληφεν ἡ πραγματική· πᾶσαι γὰρ, ὅσαι συμβουλευτικαὶ ὑποθέσεις, ὑπὸ ταύτην ἀνάγονται· μετέχει δὲ κατὰ πολὺ καὶ τοῦ δικανικοῦ· τὸ γὰρ δίκαιον δηλονότι τοῦ δικανικοῦ τυγχάνει, ἔχει δέ τι καὶ τοῦ πανηγυρικοῦ· ταῖς γὰρ κατὰ ἀμφισβήτησιν στάσεσι τὸ πανηγυρικὸν ἐμπίπτει· ἀλλὰ καὶ τῆς ποιότητος τῶν πραγμάτων εἰς τὰ γεγονότα καὶ μέλλοντα διαιρουμένης, μόνη τὴν περὶ τῶν μελλόντων ἀπείληφεν ἐπισκοπεῖν φύσιν· ἔσθ' ὅτε δὲ καὶ τῶν γεγονότων ἐφάπτεται, πρὸς κατασκευὴν τῶν μελλόντων· διὰ ταῦτα οὖν πάντα μεγίστην περὶ τὰ πράγματα ἰσχὺν ἔχουσα ἡ πραγματικὴ ταύτης ἐξαιρέτως ἔτυχε τῆς προσηγορίας· τοῖς τελικοῖς δὲ κεφαλαίοις διαιρεῖται, ἅπερ εἴρηται τελικὰ, διότι πολλῶν νοημάτων περιεκτικά ἐστι· τελικὰ δὲ κεφάλαια κυρίως μέν ἐστι τρία, εἴγε καὶ τρία τῆς ῥητορικῆς εἴδη· ὡς τοῦ μὲν δικα-

1 Mon. ποῖ μὲν στοχαστικόν.

δικανικοῦ τέλος τὸ δίκαιον, τοῦ δὲ συμβουλευτικοῦ τὸ συμφέρον, τοῦ δὲ πανηγυρικοῦ τὸ καλόν· τούτων ἕκαστον ὑποδιαιρεῖται εἰς τάδε· τὸ μὲν δίκαιον εἵς τε τὸ νόμιμον καὶ τὸ δίκαιον καὶ τὸ ἔθος· τὸ δὲ συμφέρον εἵς τε τὸ χρήσιμον καὶ ἀναγκαῖον καὶ δυνατὸν καὶ ῥᾴδιον καὶ τὸ ἐκβησόμενον· τὸ δὲ καλὸν εἵς τε τὸ πρέπον καὶ ἔνδοξον· προτέτακται δὲ τὸ νόμιμον καὶ τὸ δίκαιον διὰ ταῦτα· εἰς δύο χρόνους τῶν πολιτικῶν διῃρημένων ζητημάτων, εἵς τε τὸν παρεληλυθότα καὶ μέλλοντα, καὶ τῆς πραγματικῆς φύσει μὲν εἰς τὸ μέλλον ἐχούσης τὸν σκοπόν, οὐ μὴν οὐδὲ τοῦ παρελθόντος ἐκτὸς οὔσης, εἰκότως προτέτακται τὰ κεφάλαια ταῦτα τῶν λοιπῶν, ἐπεὶ τὰ μὲν ἄλλα ἐπὶ τὸν μέλλοντα ὁρᾶται, τὸ δὲ νόμιμον καὶ τὸ δίκαιον τοῦ παρελθόντος εἰσὶν, οἱ γὰρ νόμοι ἔφθασαν τεθεῖσθαι, καὶ τὸ δίκαιον ἐκ τῶν φθασασῶν ἐννοιῶν δοκιμάζεται, τὸ παρεληλυθὸς οὖν τῷ χρόνῳ πρότερον τοῦ μέλλοντος· ἄλλως τε τῶν κεφαλαίων τῶν μὲν τοῦ προσώπου, τῶν δὲ τοῦ πράγματος ὄντων, ἐν στοχασμῷ μὲν τὰ τοῦ προσώπου προτάττει κεφάλαια, περὶ δὲ ὑπάρξεως ἡ ζήτησις· ἐνταῦθα δὲ περὶ τῆς τοῦ πράγματος ποιότητος τῆς ζητήσεως οὔσης, τὰ ζ πράγματι οἰκεῖα προτέτακται· κεφάλαιον τοῦ πράγματος, τὸ νόμιμον καὶ τὸ δίκαιον· αὐτοῦ δὲ τοῦ δικαίου τὸ νόμιμον προτέτακται, ὡς ἄτεχνος πίστις· αἱ γὰρ ἄτεχνοι πίστεις οὐ πανταχοῦ αἱ αὐταί· αὐτίκα γοῦν καὶ τὸ ἐσθίειν τοὺς γονεῖς τισὶν ἀγαθόν ἐστιν· ἑτέροις δὲ τὸ καίειν· Ἀθηναίοις δὲ καὶ τὸ μὴ τρέφειν ἢ χειραγωγεῖν ἔγκλημα ἐδόκει· μετὰ δὲ ταῦτα τὰ περὶ τῶν μελλόντων τέτακται κεφαλαίων, καὶ πρὸ τοῦ δυνατοῦ τὸ συμφέρον· πρῶτον γὰρ σκοποῦμεν, εἰ συμφέρον, εἶθ' οὕτως, εἰ δυνατὸν γενέσθαι· φησὶν οὖν τὸ συμφέρον πρῶτον, καὶ ἐμπεριείληφεν ἐν ἑαυτῷ τὸ δυνατόν· ἀνάγκη γὰρ τῷ συμφέροντι τὸ δυνατὸν περιέχεσθαι, οὐ μὴν τῷ δυνατῷ τὸ συμφέ-

ρον· οὐ γὰρ εἰ δυνατὸν ἀποκτεῖναί τινα ἢ ἱεροσυλῆσαι, ἀφυλάκτων τῶν ἱερῶν ὄντων, ἤδη καὶ συμφέρον ἐστίν· εἰ δὲ λέγει τις ἄχρηστον τὸ συμφέρον ἀπόντος τοῦ δυνατοῦ, ἐροῦμεν, ὅτι κἂν ἀπῇ τὸ δυνατὸν, ἀεὶ τὸ συμφέρον ἐξετάζεται· δεῖ γὰρ βούλεσθαι τὰ χρηστὰ ἑαυτοῖς, καὶ εἰ μὴ δυνάμεθα· τὸ ἔνδοξον μετὰ τοῦτο καὶ τὸ μὴ ἐκβησόμενον· ἡ γὰρ τοῦ ζητήματος ἔννοια τὴν δόξαν ἔχει· τὰ ζητήματα βούλεται ἀκόλουθον ἔχειν τοῖς προτεινομένοις προσώποις τὸν σκοπὸν, προτείνεσθαι δὲ, ὡς ἐπὶ τὸ πολὺ ἐν τοῖς ζητήμασι τῶν ἀρχαίων προσώπων· οἷον τὸ Δημοσθένους ἢ Περικλέους ἢ Λακεδαιμονίων ἢ Ἀθηναίων, οἷς ἐπιμελὲς τὸ δόξης μᾶλλον ἢ τῶν ἄλλων φροντίζειν· ὡς δῆλον ἀπὸ τῶν ἐν Πύλῳ τριακοσίων, οἳ διὰ δόξαν τοῦ ἐκβησομένου κατεφρόνησαν· ἐξὸν γὰρ ἀλόγως σώζεσθαι εἵλοντο μᾶλλον τὸν μετὰ δόξης ἐκβάντα θάνατον· εἰκότως οὖν τὸ ἔνδοξον τοῦ ἐκβησομένου προτέτακται· καὶ ἡ μὲν τάξις τῶν κεφαλαίων αὕτη· τὴν δὲ πραγματικήν τινες οὕτω διεῖλον· εἰς νόμιμον, συμφέρον, δυνατόν· τῷ μὲν νομίμῳ τὸ σαφὲς προστιθέντες, τῷ δὲ συμφέροντι τὸ ἀναγκαῖον, τῷ δυνατῷ δὲ τὸ ῥᾴδιον· ἀλλ' Ἑρμογένης ἐντέχνως τοῖς κειμένοις διελὼν ταύτην ἐκείνην παρελογίσατο τὴν διαίρεσιν. Ἰστέον δὲ, ὅτι οὗτος μὲν τὸ ἀναγκαῖον κεφάλαιον ἀγνοεῖ. Δημοσθένει δὲ καὶ ἄλλοις μεμελέτηται· τίς δέ ἐστιν ἔγγραφος πραγματικὴ καὶ τίς ἄγραφος, διδάσκει Ἑρμογένης ἐν τῷ περὶ στάσεων, [2] ἐν οἷς φησὶν, ὅτι ἔγγραφος μὲν ἡ ἀπὸ ῥητοῦ τὴν ζήτησιν ἔχουσα, δεῖ δὲ προσθεῖναι καὶ περὶ ῥητόν· αἱ γὰρ τῶν νόμων εἰσφοραὶ ἐξετάζονται, πότερον κατὰ νόμον καὶ δίκαιον ἢ οὔ· καὶ πότερον συμφέρον καὶ ἔνδοξον, ἢ τοὐναντίον· ἡ δὲ ἄγραφος ῥητῶν οὐ προσαπτομένη περὶ ψιλὰ μόνον ἔχει τὰ πράγματα τὴν ζήτησιν. Ἰστέον μέν-

2 T. III. p. 48.

τοι, ὡς καὶ ἐν τῇ ἀγράφῳ ἐμπίπτει ἔσθ' ὅτε ῥητὸν, ὡς καὶ ἐπὶ τῆς ἀποκτεινάσης γυναικὸς τυράννου τὸν ἄνδρα, καὶ αἰτούσης εἰς τὴν δωρεὰν τὴν σωτηρίαν τῶν τέκνων, νόμου ὄντος τῷ τυράννῳ συναποθνήσκειν τὰ τέκνα· ἐνταῦθα γὰρ κεῖται μὲν τῷ ῥητῷ, ἀλλ' ἐπειδὴ οὐ περὶ αὐτοῦ ἡ ζήτησις ἐστὶν, οἷον εἰ ἔννομον, εἰ δίκαιον, εἰ συμφέρον, ἀλλὰ περὶ τὴν ποιότητα τῆς δωρεᾶς, οἷον πότερον ἦν αἰτεῖ, δεῖ λαβεῖν αὐτὴν ἢ ἑτέραν, ἡ ζήτησις ἄγραφός ἐστι πραγματική· ἀλλὰ δὴ καὶ ἐν τῇ ἐγγράφῳ ἐστὶν εὑρεῖν τὸ ἔθος ἀντὶ νόμου παραλαμβανόμενον· ἡμεῖς δὲ ἐμάθομεν, ὅτι διττὴ τῆς πραγματικῆς ἡ φύσις· ἡ μὲν γάρ ἐστιν ἔγγραφος, ἡ δὲ ἄγραφος· καὶ περὶ τῆς ἐγγράφου τέως ἀναβάλλεται· ἐν ταῖς νομικαῖς γὰρ, φησὶ, τὴν ταύτης γνωσόμεθα δύναμιν· ἔστι γὰρ ἔγγραφος, ὅτε περί τινος ἐγγράφου ἡ ζήτησις γίνεται, λεγόντων ἡμῶν, ἢ ὅτι κατὰ νόμους εἰσήχθη τόδε τὸ ψήφισμα, ἢ παρὰ τοὺς νόμους· καὶ ἐπειδὴ τὸ κεφάλαιον τοῦτο νόμιμόν ἐστι, καὶ μιᾷ τῶν νομικῶν ὑποπίπτει στάσεων, οὐκ ἐνεδέχετο δὲ, ἡμᾶς τὴν τούτου δύναμιν γνῶναι, μὴ πρότερον μαθόντας τὰς νομικὰς στάσεις, ἐκεῖσε ἡμᾶς παραπέμπων ἐπαγγέλλεται τὴν τούτου διαίρεσιν διδάξειν· καὶ ἐν τῇ ἐπαγγελίᾳ φησὶν, ὅτι ἔθος [3] ἐστὶ τὸ ἐν συνηθείᾳ κρατῆσαν, ἢ ὅπερ χρόνος ἐκράτυνεν, ἢ ὡς συμφέρον αἱ τῶν πολλῶν ἐκύρωσαν γνῶμαι· διαφέρει δὲ νόμος ἔθους τῷ τὸ μὲν ἄγραφον εἶναι, τὸν δὲ ἔγγραφον, καὶ τὸ μὲν καθόλου, τὸν δὲ ἐπὶ μέρους, καὶ τὸ μὲν φύσει, τὸν δὲ θέσει· κατασκευάζεται δὲ τὸ ἔθος ἢ ἐκ προγόνων, ἢ ἐξ ἡμῶν αὐτῶν· εἰ δὲ οἰκείων ἀπορρίπτομεν παραδειγμάτων, χρησόμεθα τοῖς ξενικοῖς· ὅτι δὲ Λακεδαιμόνιοι καὶ ἄλλοι τινὲς τοῦτον πολιτεύονται τὸν τρόπον· καὶ ἐκ προγόνων μὲν λέξομεν, ὅτι καὶ οἱ πρόγονοι τοῦτο ἔπραττον·

3 Cfr. T. IV. p. 729, 27.

ἐξ ἡμῶν δὲ αὐτῶν, ὅτι καὶ ἡμεῖς τοιοῦτον ἐπράξαμέν ποτε· καὶ σύνηθες τῇ πόλει τὸ πρᾶγμα, τοιαύτας διδόναι δωρεάς· πλατύνεται δὲ τὸ ἔθος, οἷσπερ καὶ τὸ νόμιμον, προσώπῳ, πράγματι καὶ καιρῷ· προσώπῳ μὲν, ὅτι Περικλῆς τοῦτο ἔπραξεν, ὁ συνέσει ἁπάντων Ἑλλήνων διαφέρων· πράγματι δὲ, ὅτι μέγα τοῦτο τῆς πόλεως κατόρθωμα· καιρῷ δὲ, ὅτι καὶ εἰρήνῃ καὶ πολέμῳ τοῦτο λυσιτελεῖ· ταῦτα μὲν οὖν κατασκευάζοντες· ἀποτρέποντες δὲ τοῖς ἐναντίοις χρησόμεθα, ὡς Δημοσθένης ἐν τῷ πρὸς Λεπτίνην· ἐκείνου γὰρ λέγοντος, ὅτι οἱ πρόγονοι οὐδὲν ἐδίδοσαν, αὐτὸς φησὶν, ὅτι οὐκ ἀκολουθητέον τοῖς προγόνοις· ἡ γὰρ τῶν πραγμάτων διαφορὰ καὶ τὰς δωρεὰς διαφόρους ποιεῖ, καὶ ἀνδρῶν ἐνδόξων παρατιθέμενοι κατορθώματα λέξομεν, ὅτι Θεμιστοκλῆς καὶ Μιλτιάδης τοιαῦτα κατορθώσαντες οὐκ ᾔτησαν τοιαύτην δωρεάν· ὡς Αἰσχίνης φησὶν,[4] ὅτι καὶ στρατηγῶν καὶ ἐνδόξων ῥητόρων γενομένων, οὓς ἡ πόλις μεγίστης ἠξίωσε τιμῆς, οὐδεὶς πώποτε ταύτης ἠξιώθη τῆς τιμῆς· τὰ δὲ ξενικὰ παραδείγματα ἢ Ἑλληνικῆς ἐστι πολιτίας, ὡς ἐκ Λακώνων ἢ Βοιωτῶν, ἢ βαρβάρων, ὡς ἐκ Περσῶν καὶ Σκυθῶν, διὸ τὰ μὲν Ἑλληνικὰ ἀνατρέποντες μετρίου ἀξιώσομεν διασυρμοῦ· τοῖς δὲ βαρβαρικοῖς τελείᾳ χρησόμεθα καταφορᾷ, ὡς Δημοσθένης· ἐκεῖνος γὰρ εἰς τοῦτο ἐλθὼν φησίν· οὐ δίκαιον[5] τοὺς Λακεδαιμονίων νόμους ἐπαινεῖν ἐπὶ τῷ τοὺς ἐνθάδε λυμήνασθαι· περὶ δὲ βαρβαρικῶν ὑπόδειγμα ὁ Ἀριστείδης λέγων εἰς Περικλέα· ὦ παῖ Ξανθίππου, μὴ τοὺς Γίγαντας μιμώμεθα, οἳ λέγονται τοξεύειν εἰς τὸν οὐρανὸν, μὴ τὴν τῶν Περσῶν βασιλείαν καὶ τοὺς σὺν ἐκείνῳ, ὡσαύτως καὶ κατασκευάζοντες τοὺς μὲν Ἑλληνικοὺς ἐπαινεσόμεθα ἐθισμοὺς καὶ τὰ πρόσωπα τῶν ἀφ' ὧν τὰ παραδείγματα, τοὺς δὲ

4 In Ctes. p. 444 — 446. Bekk. 5 In Lept. p. 490.

βαρβαρικοὺς ἐκ τοὐναντίου, ὥσπερ ἐπὶ Κλέωνος τοῦ ἀξιοῦντος καλεῖσθαι Πυθίου μετὰ τὰ ἐν Πύλῳ· λύεται γὰρ τὸ ἔθος τοιῶσδε· πρὸς γὰρ τὴν ἀντίθεσιν τὴν ὅτι καινὰ αἰτεῖς, ἀπαντήσει ὁ Κλέων λέγων· ἀλλ' οὐδὲ πρὸς τὸν βίον ἅπαντα ἐξ ἀρχῆς προῆλθεν, οὐδὲ τέλεια ἐξ ἀρχῆς ἀνεφάνη, ἀλλὰ μὴ πρότερον ὄντα κατὰ μέρη ἤρξαντο γίνεσθαι· οὕτω καὶ τέχναι ηὐξήνθησαν καὶ τὰ πράγματα εἴληφε τὰς ἐπιδόσεις· ἕκαστα δὲ τούτων κατὰ ἔνστασιν καὶ ἀντιπαράστασιν εἰσάξομεν· ἐνστάσεως δὲ ἴδιον τὸ ἐξ ἐναντίου ἵστασθαι πρὸς τὰ λεγόμενα, καὶ ψευδῆ δεικνύναι· ἀντιπεριστάσεως δὲ τὸ συντρέχειν μὲν τοῖς ὑπὸ τοῦ ἀντιδίκου λεγομένοις, ἔκ τε τοῦ ἀκολούθου περιτρέπειν εἰς τὸ ἐναντίον· τὸ μέντοι δίκαιον δευτέραν ἔχει τάξιν· μετὰ γὰρ τὰ ῥητὰ ἢ τὰ ἔθη τὰ συγχωροῦντα τόδε τι ποιεῖν ἢ τοὐναντίον κωλύοντα ἐπὶ τὰς τῶν λογισμῶν κατασκευὰς ἐρχόμεθα, ἐν οἷς τὸ δίκαιον τὴν ἀξίαν ἑκάστου παρίστησιν· ὑποπίπτει δὲ μιᾷ τῶν ἀντιθετικῶν ἤτοι δικαιολογικῶν, αἳ εἰσιν ἀντίληψις, ἀντίστασις, ἀντέγκλημα, μετάστασις, συγγνώμη· ἐν γὰρ ταύταις πάσαις πολυτρόπως τὸ δίκαιον ἐξετάζεται· ὁ μὲν γὰρ φεύγων δίκαιον εἶναι τὸ γεγονὸς ἀποφαινόμενος τοὺς ἀκολούθους ἀπὸ τῶν ἑξῆς κεφαλαίων ἐπάγει λογισμούς, ὁ δὲ διώκων ἄδικον αὐτὸ διὰ τῶν ἐναντίων λογισμῶν ἀποδεικνύει· ὥσπερ γὰρ εἴπομεν ἐν τῷ νομίμῳ ὡς ἀπὸ τῶν νομικῶν στάσεων ἐμπίπτει ἡ ἀντίθεσις, τὸν αὐτὸν τρόπον καὶ τῷ δικαίῳ κεφαλαίῳ ἀπὸ τῶν δικαιολογικῶν ἐμπίπτουσιν ἀντιθέσεων, καθ' ἃς τοῖς κεφαλαίοις τῆς ἐμπιπτούσης στάσεως ἐπιχειροῦμεν πρὸς τὴν τούτων λύσιν, ὡς ἂν ἡ τῶν πραγμάτων ὕλη διδῷ· καὶ παράδειγμα τοῦ κατὰ ἀντίληψιν δικαίου οἱ φυγάδες, οἱ πόλεις ἐπὶ τοῖς ὁρίοις κτίζοντες τῆς πατρίδος, δι' οὓς βουλὴ τῆς πόλεως, οὐ χρὴ κατ' αὐτῶν ἐπιστρατεύειν· ἔστι γὰρ ἡ προβολή, ὅτι πολλῶν κακῶν αἴτιοι γεγόνασι· καὶ μετὰ

τοῦτο τὸ μόριον τοῦ δικαίου· ὅτι οὐδεὶς νόμος κωλύει πόλιν κτίζειν τοὺς φεύγοντας, εἶτα ὅρος, ὅτι ἄντικρυς ἀποστάσεως ἐστίν· εἶτα πηλικότης, ὅτι δεινόν τι συμβήσεται ἐκ τοῦ συνοικεῖν τοὺς φυγάδας ἡμῖν· εἶτα τὸ πρός τι, ὅτι τοῦτο δεινότερον τοῦ κατὰ τὴν πόλιν μένειν, καὶ ἵνα μὴ πολλὰ παραδείγματα λέγωμεν, πρὸς τὴν ὕλην τῶν πραγμάτων καὶ τὸ δίκαιον ἐξετασθήσεται· καὶ γὰρ αὖ καὶ κατὰ τοῦ κατὰ φύσιν γελάσαντος, λέγοντος ἐν ἀντιλήψει τοῦ φεύγοντος οὐκ ὀφείλω κρίνεσθαι, ἐξετάζομεν, πότερον ἀφεῖναι τὸ τοίονδε δεῖ, ἢ μή· καὶ ἐν ἀντιστάσει ὁ φεύγων ὁμοίως ἐρεῖ, οὐ δίκαιόν με κρίσιν ὑπέχειν ὑπέρ σου πεποιηκότα· ἐν δὲ μεταστάσει ἄλλου αἰτίου ὄντος· ἐν δὲ ἀντεγκλήματι τοῦ πεπονθότος ἀξίου παθεῖν ὃ πέπονθεν· ἐν δὲ συγγνώμῃ τῆς ἀγνοίας ἢ τῆς ἀνάγκης ἢ τινος ἄλλου βιασαμένου κρείττονος· ὑπὸ μιᾶς γὰρ τῶν δικαιολογιῶν ὑποπίπτον τὸ δίκαιον κατ' αὐτὴν ὡς δυνατὸν διαιρεῖται· διττὸν δὲ τὸ δίκαιον, τὸ μὲν ἀπὸ τοῦ προσώπου, τὸ δὲ ἀπὸ τοῦ πράγματος, οἷον ὡς Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους ἐξετάζων τὸ δίκαιον, πρῶτον ἀπὸ τοῦ προσώπου πεποίηκε τὴν ἐξέτασιν εἰπών· ὅτι οὐκ ἄξιος ὁ Χαρίδημος τοιαύτης δωρεᾶς τυχεῖν παρὰ τῆς πόλεως, καὶ τοῦτο κατασκευάζων ἄνωθεν αὐτοῦ τὴν πολιτείαν κατέλεξε, δεικνὺς, ὅτι δύσνους ἀεὶ τῇ πόλει, καὶ μηδὲν ἐξ εὐνοίας εὐεργετήσας· εἶτα καὶ τὸ πρᾶγμα ἐξήλεγξεν ἄδικον δεικνὺς, ὅτι ἐπὶ τῷ πονηρὰν λαβεῖν ἀφορμὴν ταύτης γλίχεται τῆς δωρεᾶς· τὸ μέντοι συμφέρον διττόν ἐστι, φησίν· ὅτι τε χρήσιμον καὶ ὅτι ἀναγκαῖον· τὸ μὲν οὖν χρήσιμον ἐκ λογισμῶν ἔχει τὴν κατασκευὴν, τὸ δὲ ἀναγκαῖον ἀπὸ τῆς ἀνάγκης τὴν πίστιν· διπλῆ οὖν ἐστιν ἡ τοῦ συμφέροντος ἐξέτασις· ἡ μὲν τὸ χρήσιμον κατασκευάζουσα, ἡ δὲ τὸ ἀναγκαῖον, οἷον χρήσιμον μὲν Ἀθηναίοις καὶ Κερκυραίους ποιήσασθαι συμμάχους διὰ τὴν τοῦ ναυτικοῦ δύναμιν, οὐ μέν-

τοι σφόδρα ἀναγκαῖον. Ὀλυνθίοις δὲ ἀναγκαῖον, ἵνα μὴ Φίλιππος στρατεύῃ σὺν ἐκείνοις κατὰ τῆς πόλεως· χρήσιμον οὖν ἐστι τὸ ἐκ περιουσίας λυσιτελὲς, ἀναγκαῖον δὲ, ὅπερ ἐξ ἀνάγκης αἱρούμεθα· ἐκεῖνο μὲν γὰρ προαιρετικὸν τυγχάνει· τὸ μέντοι ἀναγκαῖον ἀκούσιον ἐστὶ, χώραν δὲ ἔχει μάλιστα ἡ τοῦ ἀναγκαίου ἐξέτασις ἐν ταῖς δυσκολίαις τῶν πραγμάτων, ὅταν ἐπιπόνους ἢ διαπόνους ἢ ἄλλο τι τῶν δυσχερῶν παρακαλῶμεν τοὺς ἀκούοντας, ἔνθα καὶ ἡ τοῦ ἐκβησομένου ἐξέτασις ἀναγκαία, ὡς εἰ μὴ τάδε πράξομεν, τάδε ἡμᾶς καὶ τάδε περιστήσεται τὰ δεινὰ, ὅπερ ὁ Δημοσθένης ἐν Ὀλυνθιακῷ[6] ποιεῖ, κατασκευάζων, οἷα συμβήσεται τοῖς Ἀθηναίοις εἰ βοηθήσει Ὀλυνθίοις· φησὶ γὰρ, „εἰπέ μοι, τίς αὐτὸν κωλύει δεῦρο βαδίζοντα; Θηβαῖοι; μὴ λίαν πικρὸν εἰπεῖν, καὶ συνεισβαλοῦσιν ἑτοίμως· ἀλλὰ Φωκεῖς; οἱ τὴν οἰκείαν οὐχ οἷοί τε ὄντες φυλάττειν, ἂν μὴ βοηθήσητε ὑμεῖς, ἢ ἄλλος τις;“ τὸ δὲ συμφέρον διττῶς κατασκευάσομεν· τί ποιοῦσιν ἡμῖν καὶ τί μὴ ποιοῦσι συμβήσεται· στοχαστικὴ γὰρ ἡ τοῦ συμφέροντος ἐργασία· τετραχῶς δὲ γίνεται ἡ τοῦ χρησίμου καὶ τοῦ ἀναγκαίου ἐξέτασις, τί συμβήσεται γιγνομένου τοῦ πράγματος, τετραχῇ διαιρετέον· ἐροῦμεν γὰρ, εἰ τόδε τι ποιήσομεν τυχὸν, εἰ ἐλοίμεθα τόδε, περὶ οὗ ἡ βουλὴ, οἷον συμμαχῆσαι εἰ τύχῃ Ὀλυνθίοις, τὰ ὄντα ἀγαθὰ παραμενεῖ, ἐλευθερία, ἀσφάλεια, καὶ τὰ μὴ ὄντα προσγενήσεται, δόξα, σύμμαχοι, χρημάτων πρόσοδοι, τῶν ἄλλων ἡγεμονία· καὶ πάλιν ἂν τύχῃ κακῶς ἡ πόλις πράξασα, ἐκ τῆς τῶν καλῶν ἀπαλλάξεως τὸ συνοῖσον κατασκευάσομεν· λέγοντες, ὅτι τόδε ποιοῦντες τὴν τῶν ὑπαρχόντων μὲν ἀδοξίαν ἀποτριψόμεθα, χρημάτων ἔνδειαν, συμμάχων ἀπορίαν, ἐχθρῶν ἰσχὺν, φαῦλον δὲ οὐδὲν εἰς τὸ μέλλον κτησόμεθα· τὰ γὰρ οὐκ

6 Olynth. I. p. 16.

ὄντα οὐ προσέσται, οἷον ἀπὸ ἐχθρῶν ἡττηθῆναι, συμμάχων ἀπορῆσαι, καὶ ὅσα τοιαῦτα. Ἐναντία καλοῦνται τὰ καὶ ἀντίθετα καλούμενα, οἷον ὡς ἐπὶ τοῦ ὑποκειμένου παραδείγματος· ναί φησιν, ἀλλά χαλεπωτέραν ἕξει τιμωρίαν, παραχρῆμα πεσών· ἐναντία δὲ εἴρηται, ὅτι τὴν ἐναντίαν τῷ κατηγοροῦντι φέρονται.

ή. Ἐντεῦθεν δῆλον, ὡς ἐν τῇ Θέσει σφάλμα ἐστὶ τὸ διαιρεῖται δὲ τοῖς τελικοῖς· οὐ γὰρ τούτοις, ἀλλὰ τοῖς ἐγκωμιαστικοῖς ἡ Θέσις ἐργάζεται.

θ'. Τὸ μὲν προοίμιον ἀπὸ τοῦ πράγματος, ἡ δὲ ἰδέα λαμπρότητος· τὸ δὲ σχῆμα ἀποφατικόν, ἡ δὲ πρότασις δίμοιρος καὶ δίκωλος· τῶν δὲ κώλων τὸ μὲν ἀκατάληκτον, τὸ δὲ ὑπερκατάληκτον, καὶ αἱ αἰτίαι πρὸς ἑκάτερον ἀποδίδονται κατά τε γοργότητα καὶ κάλλος.

ί. Νόμον οὐ τὸν καθόλου λέγει, ἀλλ' ἐκεῖνον μόνον τὸν τηνικαῦτα τεθέντα, ὃν οὔτε ὅλως ἐπαινεῖν, οὔτε μὲν ψέγειν βούλεται· ἐπαινεῖ μὲν γὰρ αὐτὸν τῷ τὸν μοιχὸν ἀνελεῖν κελεύειν, ψέγει δὲ τῷ ἀκρίτως καὶ μὴ δικαστικῇ δοκιμασίᾳ καὶ ἀποφάσει, ἀλλὰ γνώμῃ μόνον τοῦ κατειληφότος ἐπ' αὐτοφώρῳ.

ιά. Αἵρεσιν τὴν βούλησιν φησὶ καὶ τὴν πρόκρισιν· καλῶς μὲν ἐποίησε, φησὶ, κελεύσας ἀναιρεῖν τοὺς μοιχούς, οὐ καλῶς δὲ ᾑρετίσετο καὶ προείλετο ἀκρίτως αὐτοὺς ἀναιρεῖσθαι παρὰ τοῦ κατειληφότος.

ιβ'. Οὐ προκατάστασις τοῦτο, ὡς οἴονταί τινες, οὐ γὰρ ἀπὸ τῶν παλαιοτέρων ἄρχεται· ἦ γὰρ ἂν ὑπόθεσις ἦν, ἀλλὰ κατὰ παράθεσιν, κατὰ προκαταρκτικὴν ἔννοιαν τοῦ δεῖξαι τὸν νόμον ἐναντίον πᾶσι· ταῦτα τῷ μερικῷ ἀφέλειαν ὑποκρίνει, τῷ δὲ ἀρίστῳ περιβολήν.

ιγ'. Οἱ μὲν, φησὶν, ἐναντιοῦνται τινὶ τῶν πόλεων παρὰ τὰ ἐκείνων ἔθη τιθέμενοι· οἱ δὲ ἑτέραις πόλεσιν ὁμολογοῦσιν, οἷον ταῖς γνώμαις τῶν πολιτῶν συμφθέγ-

γονται. ὁμολογία γὰρ πᾶσι λόγων συναρμογὴ, καὶ εἰς ἓν βούλημα συνέλευσις, ὡς καὶ ἡ ἐτυμολογία δείκνυσιν· ἐκ τοῦ ὁμοῦ γὰρ γίνεται καὶ τοῦ λόγου.

ιδ'. Νόμου τὸ ψήφισμα διαφέρει, ὅτι τὸ μὲν ψήφισμα κατὰ μόνην τὴν ἐφ' ᾗ τεθῇ καὶ ὅτε τεθῇ ἀμφισβήτησιν κρατεῖ καὶ διενεργεῖ, εἶτ' ἀπρακτεῖ καὶ ἀκυροῦται καὶ εἰς τὸ μηδὲν περῐ́σταται· ὁ δὲ νόμος ἀεὶ καὶ ἐπὶ τῶν ὁμοίων πάντων τὴν ἰσχὺν καὶ τὴν ἐνέργειαν ἐπιφέρεται.

ιέ. Οὐδὲ ἓν τῶν προανατεταγμένων ἀδικημάτων φησὶν οὕτως ἔχειν, ὡς ὁ κατήγορος λέγει, καὶ ἀδίκημα εἶναι τοῖς δικασταῖς παρέστη καὶ ἐνομίσθη, ᾧ μὴ ἐκεῖνοι τὴν ψῆφον ὑπήνεγκαν· ψῆφος δὲ τὴν ἀρχὴν ὠνομάσθη ἀπὸ τοῦ λίθαξιν ἀριθμεῖν τῶν δικαζόντων τὸ πλῆθος. καὶ τὸ πλεῖον μέρος αὐτῶν ἐπάγειν τῶν κρινομένων· τῷ μὲν τὴν λευκὴν, τῷ δὲ τὴν μέλαιναν, τῷ μὲν τὴν μείζονα, θατέρῳ δὲ τὴν ἥττονα. Ἡ μοναρχία, φησὶν, ἐναντία καὶ δημοκρατίᾳ καὶ αὐτοῖς τοῖς νόμοις ἐστὶ, καὶ κολάζει ἐκεῖνα, ἃ πέπραχε τὸ συναμφότερον, δῆμος καὶ νόμοι· ἅπερ οὖν συμφθεγξάμενος ὁ δῆμος τῷ νόμῳ πράξει, ταῦτα ἡ μοναρχία κολάζει· ὅτι ἐκεῖνος μὲν, ἅπερ ἂν σκοπήσῃ, ἐπὶ μέσης προτίθησιν εἰς ἐξέτασιν· ἡ δὲ τὸ παραστὰν νόμον ἡγεῖται καὶ τοῦτο ποιεῖν αἱρεῖται γνώμης τῶν ἀρχομένων χωρίς· τὸ δὲ ἐξ ἐναντιωμάτων ἅπαντα οὕτω νοητέον· οἱ νόμοι πάντες ἐξ ἐναντιωμάτων ἐτέθησαν, οἷον ἐτολμήθη φόνος, καὶ νόμοι κατὰ φονέων ἐγράφησαν· μοιχεία, καὶ κατ' ἐκείνων ὡσαύτως· οὕτω καὶ κατὰ ἱεροσύλων καὶ τυμβωρύχων, καὶ πατροκτόνων καὶ προδοτῶν καὶ τυράννων καὶ τῶν λοιπῶν· καὶ μοναρχῶν φησὶν εἴτουν τυράννων ἐναντιωμάτων τοιαῦτα πεποιηκώς, καὶ κινήσας τὰς τῶν νομοθετῶν ἐπ' αὐτὸν γλώσσας εἰς ἀνατροπὴν τῶν ὑπ' αὐτοῦ πραχθέντων κο-

λάζει τὰ ἐκείνου νόμου καὶ δήμου καὶ νομοθετῶν δηλονότι· ἅπτονται γὰρ αὐτοῦ καὶ διὰ τοῦτο μεμίσηνται.

Περὶ ἐργασίας τοῦ νομίμου κατασκευάζεται δ' τρόποις· πρῶτον ἐκ τῆς πολιτείας, ὅτι ἐν δημοκρατίᾳ κεῖται ὁ νόμος ἐν τῇ πασῶν ἀρετῶν πολιτείᾳ, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου· δεύτερον ἐκ τοῦ προσώπου, ὅτι καὶ παρὰ Ἀθηναίοις, ὥστε οὐ μόνον ἐν δημοκρατίᾳ, ἀλλὰ καὶ παρὰ τοῖς σοφωτάτοις τῶν Ἑλλήνων· τρίτον ἐκ τοῦ πράγματος, ὅτι καὶ περὶ τῶν μεγίστων διαγορεύει πραγμάτων, οἷον περὶ εἰρήνης ἢ πολέμου· τέταρτον ἐκ τοῦ καιροῦ, ὅτι νῦν μάλιστα χρηστέον αὐτῷ, ἡνίκα τυχὸν Φίλιππος Ἐλάτειαν κατέλαβε· πλατύνεται δὲ μάλιστα τὸ κεφάλαιον ἐκ δύο τρόπων· ἔκ τε ἐγκωμίου τοῦ τεθεικότος, ὅτι Σόλων ὁ θέμενος τὸν νόμον, ἀνὴρ σοφίᾳ πάντας ἀνθρώπους παρενεγκών, καὶ ἐκ τῆς τῶν χρωμένων ἀσφαλείας, ὅτι πλεῖστα ὅσα τὴν πόλιν ὠφέλησεν ὁ νόμος· χρὴ δὲ καὶ κατ' εἶδος ἐπεξιέναι τῶν ὠφελημάτων ἕκαστον· λύεται δὲ τὸ κεφάλαιον τοῖς νομικοῖς.

Περὶ ἐξεργασίας τοῦ δικαίου· ἐπιχειρήσομεν τοίνυν ἐκ τοῦ προσώπου, ὅτι φίλοις καὶ συμμάχοις βοηθήσομεν· ἐκ δὲ τοῦ πράγματος, ὅτι δίκαιον, τὰς ἀγαθὰς τῶν πράξεων διὰ τῶν ἴσων ἀμείβεσθαι, ἢ ὅτι δίκαιον τὴν οὐσίαν τὴν ἐκ τοῦ ἀποβησομένου τιμᾶν. Τὸ δίκαιον μιᾷ τῶν δικαιολογικῶν. Τὸ δίκαιον, εἰ φίλοις καὶ συμμάχους προτίθεσαι βοηθῆσαι, ἐμπίπτει. εἰ δὲ οὐ φίλοις, ἐχθροῖς δέ ποτε γεγονόσιν· ἢ διὰ τὸ πλησιάζειν, ἢ δὴ ἄλλως πως τὸ μὲν δίκαιον ἐκλείπει, τὸ δὲ συμφέρον μάλιστα μελετηθήσεται. Τὸ τὴν ὁδὸν τῆς διαιρέσεως δεικνύναι ἡ τέχνη ἐστί· τῆς κρίσεως δὲ καὶ διαχωρήσεως ἡ τοῦ πράγματος φύσις ἐστίν.

Ἐπὶ παντὸς πράγματος τρία δεῖ ζητεῖν, εἰ ἔστι, τί ἐστι, καὶ ὁποῖόν τί ἐστι· τῶν γὰρ πραγμάτων τὰ μὲν

εἰσὶ καὶ λέγονται, οἷον θεὸς, ἄγγελος· τὰ δὲ οὐκ εἰσὶν, οὐδὲ λέγονται, ὡς τὰ ἀνίπαρκτα· τὰ δὲ λέγονται μὲν, οὐκ εἰσὶ δὲ, οἷον τραγέλαφος, σκινδαψός· τὰ δὲ εἰσὶν, οὐ λέγονται δὲ, ὡς τὰ ἐν βυθῷ· ἀλλ' ἐπὶ τῆς ῥητορικῆς εἰ ἔστι ζητεῖν περιττὸν τῷ δῆλον εἶναι· ἀντὶ δὲ τούτων δεῖ ζητεῖν δίκαιον, εἰ ἐκ θεοῦ ἡ ῥητορική, εἰ ἐν θεοῖς, εἰ ἐν ἥρωσι, πῶς ἐν Ἀθήναις ἤκμασεν ἡ ῥητορική· τί ἐστι ῥητορική· πόσα εἴδη τῆς ῥητορικῆς, πόσοι τρόποι ἀναγνώσεων ῥητορικῆς, πῶς εἰς ἀνθρώπους ἦλθεν ἡ ῥητορική, πόσαι πολιτεῖαι, κατὰ πόσους τρόπους ὀφείλει ἐξηγεῖσθαι ὁ ἐξηγούμενος, καὶ κατὰ πόσους τρόπους ἀγνοεῖ ὁ μανθάνων· εἰ ἐκ θεοῦ πᾶν ἀγαθὸν, ἐκ θεοῦ καὶ ἡ ῥητορική· ἀγαθὸν γὰρ οὖσα ἐκ θεοῦ ἐστιν· εἰ ἐν θεοῖς ἡ ῥητορικὴ φαίνεται Ὅμηρος λέγων·

Οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι· [7]

ὅ ἐστι τῆς ῥητορικῆς· εἰ ἐν ἥρωσιν, ὡς Ὅμηρος, ἔπεα νιφάδεσσιν ἐοικότα· ὅτι ἀπὸ τῶν ἡρώων ἐν Σικελίᾳ εὑρέθη· Φαλάριδος ἐπασκήσαντος τῷ λέγειν· εἶτα Κόραξ καὶ Τισίας ὁ μαθητὴς αὐτοῦ· εἶτα Γοργίας ὁ Λεοντῖνος εἰς Ἀθήνας καὶ Ἰσοκράτης ἔγραψαν τέχνην, καὶ μεγάλοι ἐγένοντο· καὶ ἐπίσημον τὸ τῆς ῥητορικῆς ὄνομα ἐποίησαν ἐν τῇ Ἑλλάδι, ὅτι μετὰ τὰ Μακεδονικὰ ἐσβέσθη τὸ τῶν ῥητόρων ὄνομα καὶ φευκτὸν καὶ βαρὺ καὶ ὁλοκίνδυνον ἐδόκει. Ἀντίπατρος δὲ ἐξ Ἀθηνῶν ῥήτορας ἀπέκτεινε δύο, [8] καὶ ἑκατὸν ἐκ πάσης τῆς Ἑλλάδος· ἔπειτ' ἀκμασάντων τῶν Ῥωμαϊκῶν πραγμάτων Ἑρμαγόρας ἔγραψε πολιτικὴν τέχνην καὶ Ἀολλιανός· [9] Ἑρμαγόρας στάσεις οἶδεν ἑπτὰ, Ἀολλιανὸς πέντε· πρῶτος δὲ Μινουκια-

7 Il. δ, 1. 8 Cfr. cum hoc numerum exaggeratum in prolegomenis ad στάσις Vol. VII. p. 6. 9 Mon. Ἀολιανός bis.

νὸς ἐξέθετο περὶ τῶν ιγ' στάσεων· ἔπειτα γενόμενος ὁ Ἑρμογένης τούτου πολλῆς ἀσαφείας κατέγνω· αὐτὸς δὲ μετὰ ἀκριβείας ἐξέθετο, ὡς τοῦ Μινουκιανοῦ προκρίνεσθαι.

Τέλος τῶν εἰς τὴν ῥητορικὴν προγυμνασμάτων.

Corrigenda.

p. 11, 15. a. i. Ὦς l. Ὦ.
p. 281, 6. εἰς ἐμὴν, l. ἐμὲ ex Vat. 108.
p. 346, 20. ὑπερτρέχουσι et v. 21. ὑπερτρέχοιεν l. ὑπερέχουσι et ὑπερέχοιεν ex Vat. 108.
p. 361, 4. σχήματι δὲ τῆς λεγούσης. l. σχήματα δὲ τῆς λέξεως ex Vat. 108.
p. 440, 25. συνεθεμελίωσας. l. σὺ ἐθεμελίωσας ex Vat. 108.
p. 450, 12. l. Βασίλειον.
21. εὐτύχει. l. εὐτυχές.
p. 490, 12. post βούλεται et v. 13. post Θέτιδι pone punctum.
p. 507, 30. συμφερὰς, l. συμφοράς.
p. 512, 14. ἀναφέροντας. l. ἀναφέρονται ex Vat. 108.

PA
3484
W35
v.2

Walz, Christian (ed.)
Rhetores graeci

PLEASE DO NOT REMOVE
CARDS OR SLIPS FROM THIS POCKET

UNIVERSITY OF TORONTO LIBRARY